Joachim vero et ipse cum necessariis gratulans, festum cum tribulibus agitans, ac quidem senibus honoratis magnifica dona, sacerdotibus vero majori cumulo debita stipendia præbens atque munera, gaudio exsultans gratiarum actionem Salvatori red- C debat, dicens: Domine Deus meus, laudabo te; glorificabo nomen sanctum tuum, quia fecisti res mirabiles, consilium antiquum, verum [19]; *et dignatus es in nobis veracem ostendere sanctum tuum prophetam Isaiam; ac videre est sterilem, quæ non parit, lætantem; et quæ non parturit, filii causa clamantem ac exsultantem* [20]. *Ac, quodnam canticum, quæ laus, quæ magnifica gratiarum actio ob ea quæ in præsenti sunt? Nullus enim nobis est sermo aut intelligentia, ut beneficii magnitudinem ac doni Dominici perfectionem laudemus. Non enim ex natura solum data nobis filia est; non ex ejus legibus præclaræ infantis nativitas; sed multo magis ex verbo virtutis Dei. Quapropter etiam donum perfectum est ac digne* D *amore prosequendum, qua ratione in nos desursum venit a te, Patre luminum, utque sensim manifestandam postea in eo claritatem ostendit. Natura enim meliore statu novata, quæ sit explorate dexteræ omnipotentis opus, magnum quid ac eximie bonum præsagit, in quibus occurrit* [21].

Sic quidem beatissimi divinæ puellæ parentes, tantaque fide et opera ea suscepta, majori ferventiorique educabant propensæ voluntatis diligentia; do-

[18] Psal. cxviii, 39. [19] Isa. xxv, 1. [20] Isa. liv 1. [21] Jac. i, 17.

Digitized by Google

nec triennem, uti se voto obstrinxerant, hostiam do- numque obtulerunt Deo. Nos vero Dei Genitricis natale hodie honoremus, ac præ illis majore gaudio exsultemus, spiritaliter festum celebrantes atque lætantes, quanto et majorem ex illa utilitatem consequimur; quanto nunc magis, splendidiusque ac perfectius gratia per Dei parentem coruscat ac prænitet. Honoremus vero, nedum quod carnali ratione ex sterili processit, sed longe magis quod ex superna gratia spiritu nata est, animo quidem considerantes atque colentes, canticis vero plaudentes et magnificantes ac dilaudantes; quatenus purissima omni hoc exuta sæculo, supercœlestique Sponso prope adjuncta ac cum eo in sacratissimum incorruptissimumque thalamum ingressa, regnique solio ei consociata, pro nostra intercedit salute, adjuvatque cum Patre et Filio et Spiritu sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

προθυμίας· ἕως αὐτὴν τριετίζουσαν, καθὼς ηὔξαντο, δῶρον ἀνάγοντες ἐκαρποφόρησαν τῷ Θεῷ. Ἡμεῖς δὲ τιμήσωμεν τῆς Θεοτόκου τὴν γέννησιν σήμερον, καὶ μᾶλλον ἐκείνων ἀγαλλιώμεθα, πνευματικῶς ἑορτάζοντες καὶ εὐφραινόμενοι, ὅσῳ καὶ πλείονος ἐξ αὐτῆς μετέσχομεν τῆς ὠφελείας, ὅσῳ νῦν μᾶλλον ἢ τότε, λαμπρότερόν τε καὶ τελειώτερον ἡ χάρις διὰ τῆς Θεομήτορος ὑπερεκλάμπει. Τιμήσωμεν δὲ, μὴ μόνον τὴν ἐκ τῆς στείρας κατὰ σάρκα πρόοδον, πολλῷ δὲ μᾶλλον τὴν ἐκ τῆς ἄνωθεν χάριτος κατὰ πνεῦμα γέννησιν αὐτῆς, ἀναθεωροῦντες μὲν τῷ νοῒ καὶ σεβόμενοι, κροτοῦντες δὲ τοῖς ὕμνοις καὶ μεγαλύνοντες καὶ δοξάζοντες· καθ' ἣν ὅλον ἡ πάναγνος ἀπεκδυθεῖσα τὸν νῦν αἰῶνα, καὶ τῷ ὑπερουρανίῳ Νυμφίῳ προσεγγίσασα, καὶ εἰς τὴν ἱερωτάτην αὐτῷ παστάδα καὶ πανακήρατον συνεισελθοῦσα καὶ συμβασιλεύουσα, τὴν ἡμετέραν πρεσβεύει σωτηρίαν, καὶ συνεργεῖ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO II.

In exaltationem venerandæ ac vivificæ crucis.

Qui cruci honorem habeam, explorate crucifixo habeo: qui vero honorem habeam crucifixo, crucem dubio procul adoro. Utrique enim vicissim, aliique ex alio gloria et adoratio conflatur. Nam neque crux ante Christi apparitionem gloriam habebat (quippe cum mortis organum, atque id infamis, esset), et, *Jesus*, inquit, *nondum erat glorificatus* [11], quia necdum tum crucem adierat. Laudemus igitur ter beatam Domini crucem, et adoremus et glorificemus, ut et Deum gloriæ in ea pariter laudemus ac exaltemus. Qua vero laudemus ratione? Non ita ut crapula et ebrietatibus corrumpamur, sed ut jejunio ac precibus castitatem colamus: non ut sæculi curis ac turbis suffocemur, sed ut Domini spe fideque illustremur. Ne avaritiæ reique injustis lucris augendæ studio animum addicamus, sed divina ac veritatis scientia dilatemur. Prorsus vero Christi amore ad alta contemplationis ducente, sanctificemur, non occupatis nequitiæ opinionibus, non simultatis malignitatibus, non superbiæ jactantia, non vesani gloriæ appetitus vanitate, nec ullo omnino alio vitio interiorem hominem labefactemus ac conspurcemus.

Non scurrilitatibus mente evagemur, non turpiloquio linguam inquinemus, non conviciis aut mendaciis conscientiam fœdemus; neque vero temere juramento assuescamus, per quod in perjurium (negati scilicet Dei scelus) prolabamur. Verum hæc impiis et incredulis gentibus relinquamus, jam a puero pravæ mancipatis consuetudini, ac quæ vitia hæc tanquam nativos affectus, præ longo temporis usu, consectentur, ac quæ ne hoc quidem ipsum intelligant, quod delinquunt. Nos autem quibus crucifixus atque ejus crux adoretur ac colatur, si utique vere adorare volumus, ab omni prius inqui-

[11] Joan. VII, 39.

ΛΟΓΟΣ Β'.

Εἰς ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.

Τὸν σταυρὸν τιμῶν, ὁμολογουμένως τὸν σταυρωθέντα τιμῶ· τὸν σταυρωθέντα δὲ τιμῶν, ἀναντιῤῥήτως προσκυνῶ τὸν σταυρόν· δι' ἀλλήλων γὰρ ἀμφοτέροις ἡ δόξα συγκροτεῖται καὶ ἡ προσκύνησις. Οὔτε γὰρ σταυρὸς πρὸ τῆς ἐπιφανείας δεδόξασται τοῦ Χριστοῦ· ὄργανον γὰρ θανάτου, καὶ ἀτίμου, καθίστατο· καὶ, *Ὁ Ἰησοῦς οὐδέπω*, φησὶν, *ἐδοξάσθη*, ὅτι μήπω ἦν τότε τῷ σταυρῷ προσωμιληκώς. Ἐπαινέσωμεν τοιγαροῦν τὸν τρισόλβιον τοῦ Κυρίου σταυρὸν, καὶ προσκυνήσωμεν καὶ δοξάσωμεν, ἵνα καὶ τὸν τῆς δόξης Θεὸν ἐν αὐτῷ συνεπαινέσωμέν τε καὶ συνυψώσωμεν. Ἐπαινέσωμεν δὲ πῶς; Μὴ κραιπάλαις καὶ μέθαις καταφθειρόμενοι, ἀλλ' ἐγκρατείᾳ καὶ προσευχαῖς ἁγνιζόμενοι. Μὴ μερίμναις καὶ τύρβαις βιωτικαῖς συμπνιγόμενοι· ἀλλ' ἐλπίδι καὶ πίστει τοῦ Κυρίου φωτιζόμενοι· μὴ τὴν καρδίαν εἰς πλεονεξίαν τιθώμεθα, ἀλλ' εἰς Θεολογίαν καὶ ἀληθογνωσίαν ἐμπλατυνώμεθα· ὁλικῶς δὲ τῷ ἀναγώγῳ ἔρωτι ἁγιαζώμεθα τοῦ Χριστοῦ, μὴ πονηρίας προλήψεσι, μὴ μνησικακίας κακότησι, μὴ ὑπερηφανίας αὐχήματι, μὴ δοξομανίας ματαιότητι· μηδ' ἄλλῃ μηδεμιᾷ κακίᾳ, συνόλως εἰπεῖν, τὸν ἐντὸς ἄνθρωπον ἀχρειώτωμεν ἢ χράνωμεν.

Μὴ εὐτραπελίαις μετεωριζώμεθα, μὴ αἰσχρολογίαις τὴν γλῶσσαν καταῤῥυπαινώμεθα· μηδὲ λοιδορίαις ἢ ψεύδεσι τὸ συνειδὸς μιαινώμεθα· μήτ' οὖν ὅρκωμα μάτην κατεθιζώμεθα, δι' οὗ πρὸς ἐπιορκίαν, εἶτ' οὖν ἄρνησιν Θεοῦ, καταπίπτομεν· ἀλλὰ ταῦτα μὲν ἔθνεσιν ἀσεβέσι καὶ ἀπίστοις παρῶμεν, πονηρῷ νηπιόθεν δεδουλωμένοις ἕξει· καὶ ὡς φυσικὰ, ταῦτα μετιοῦσι τὰ πάθη διὰ τὴν τοῦ χρόνου συνήθειαν· καὶ οὐδ' αὐτὸ τοῦτο εἰδόσιν, ὡς ἁμαρτάνουσιν. Ἡμεῖς δὲ οἷς ὁ ἐσταυρωμένος καὶ ὁ τούτου σταυρὸς ἐστι τὸ προσκυνούμενον καὶ σεβόμενον, εἰ ἀληθῶς ἄρα προσκυνεῖν ἐθέλοιμεν, παντὸς μολυσμοῦ

Digitized by Google

σαρκὸς καὶ πνεύματος πρότερον ἑαυτοὺς διὰ πνευ- A
ματικῆς ἀγάπης ἐκκαθηράμενοι, καὶ ὅλον τὸν Χριστὸν διὰ πάσης εἰσοικίσαντες ἀρετῆς, οὕτως πνεύματι προσκυνῶμεν καὶ ἀληθείᾳ. *Πνεῦμα* γὰρ, φησὶν, *ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.* Καὶ ὥσπερ ὁ προσκυνούμενος σταυρὸς ἔχει μέν τι καὶ σωματικὸν, τὴν ἀπὸ τῆς γῆς δηλαδὴ λαμβανομένην ὕλην πρὸς αὐτοῦ κατασκευήν· πᾶσα δὲ ἡ δόξα καὶ ἡ μεγαλοπρέπεια τῆς αὐτοῦ δυνάμεως ἔσωθεν ἀπὸ τοῦ Πνεύματος ἐπιχορηγεῖται τοῦ ἐσταυρωμένου· οὕτω χρὴ καὶ ἡμᾶς διττὴν αὐτῷ τὴν προσκύνησιν ἀπονέμειν, καὶ τὴν τιμήν· προηγουμένως μὲν, τὴν ἐν πνεύματι κατὰ δεύτερον δὲ λόγον, καὶ τὴν σωματικήν.

namento carnis et spiritus per spiritalem dilectionem mundati, ac qui totum Christum; omnis virtutis cultu, mentis hospitio exceperimus, sic spiritu ac veritate adoremus. *Spiritus* enim, inquit, *est Deus, et eos qui adorant eum, in spiritu et veritate oportet adorare*[22]. Ac sicut crux, quæ adoratur, ipsa quoque corporeum quid habet (terrenam scilicet substantiam, quæ ad fabricam illius assumitur), omnis vero claritas et magnificentia virtutis ejus, interius a Crucifixi Spiritu subministratur; sic nos quoque duplicem ei adorationem ac honorem impendamus necesse est; primo quidem, adorationem quæ in spiritu est, consequenti vero ratione, etiam eam, quæ corpore præstatur

Ἀποδῶμεν τοιγαροῦν τὸ τῆς προσκυνήσεως χρέος B
τῷ σταυρῷ τοῦ Χριστοῦ. Κάμψωμεν αὐτῷ γόνυ τοῦ σώματος· κάμψωμεν πολὺ πρότερον τὸν ἀκαμπῆ τῆς καρδίας αὐχένα, τὸν μὴ δυνάμενον ὑποταγῆναι τῷ νόμῳ τοῦ Θεοῦ· τὸν αὐθάδη λέγω καὶ ἀλαζόνα τῆς φιλαυτίας λογισμόν. Τοῦτον κλίνωμεν πρότερον, καὶ κατακάμψωμεν τῷ σταυρῷ, τὸν ζυγὸν εὐμαρῶς ὑποδεχόμενοι τῆς ὑποταγῆς τοῦ Χριστοῦ· καὶ οὕτως ἡμῖν καὶ τῶν γονάτων ἡ κλίσις δεκτή. Οὕτως προσκυνήσωμεν καὶ προσπέσωμεν, ὡς αὐτῷ προσπίπτοντες τῷ ἐσταυρωμένῳ ὑπὲρ ἡμῶν· καὶ δοξάσωμεν ταῖς αἰνέσεσιν, καὶ τοῖς ὕμνοις ὑψώσωμεν.

Reddamus igitur cruci Christi adorationis debitum. Genu ei corporis flectamus, longe vero prius inflexam cordis cervicem, legi Dei subjici non valentem (protervum scilicet et arrogantem carci amoris ac libidinis sensum) flectamus. Hunc prius cruci inclinemus ac incurvemus, qui jugum subjectionis Christi placide suscipiamus: sicque fiet, ut quod etiam genua flectimus, acceptum reddatur. Sic adoremus ac procidamus, velut ei, qui pro nobis cruci affixus est, procumbamus; laudibusque celebremus ac canticis exaltemus.

Ὑψώσωμεν αὐτὸν ἐν τοῖς ἔθνεσιν· ὑψώσωμεν αὐτὸν ἐν τῇ γῇ. Μᾶλλον δὲ καθ' ἑκάστην αὐ- C
τὸν ὑψοῦντες καὶ προσκυνοῦντες μὴ παυσώμεθα, ἄχρις ἂν ὑπ' αὐτοῦ κυβερνώμενοι καὶ ποιμαινόμενοι, τὸν πονηρὸν τοῦτον αἰῶνα καὶ τὰς αὐτοῦ δυσχερείας διαβῆναι δυνηθῶμεν. Ὥσπερ γὰρ οὐκ ἔνι χωρὶς τοῦ ἡλιακοῦ τοῦδε φωτὸς βιῶτον γενέσθαι τὸν βίον ἡμῖν, οὕτως οὐδὲ ψυχὴν ἀνθρώπου δυνατὸν ἄνευ τῶν νοερῶν ἀπαυγασμάτων σταυροῦ τοῦ Χριστοῦ διαβιῶναι κατὰ Χριστόν. Καὶ ὥσπερ ἀναγκαία τοῖς ζῶσιν ἡ τοῦ ἀέρος ἀναπνοὴ, οὕτως Χριστιανοῖς ἀπαραίτητος ἡ σημείωσις τοῦ σταυροῦ.

Exaltemus eam in gentibus : exaltemus eam in terra[24]. Quinimo eam quotidie exaltandi et adorandi nullum finem faciamus, quoadusque ea gubernante atque regente sæculum hoc nequam ejusque molestias superaverimus. Quemadmodum enim fieri non potest ut absque solari hac luce vita nobis toleranda sit, sic neque hominis animus absque spiritalibus mentemque irradiantibus crucis Christi splendoribus Christiana pietate vixerit. Ac sicut vitæ usura fruentibus necessaria aeris spiratio, sic Christianis inevitabilis crucis consignatio est.

Σταυρὸς τὸ σημεῖόν ἐστι τοῦ Υἱοῦ τοῦ Θεοῦ, δόξα Χριστοῦ, ὕψωσις Ἰησοῦ, σκῆπτρον τῆς βασιλείας τῶν οὐρανῶν, βακτηρία Θεοῦ, ῥάβδος εὐθύτητος, ῥάβδος δυνάμεως, ῥάβδος ἣν μάλα σαφῶς ἡ Μωσαϊκὴ ἐκείνη προεικόνισε ῥάβδος. Οὐκ ἂν ὁ Ἰσραὴλ D
ἐκεῖνος τοῦ τε Φαραὼ καὶ τῶν Αἰγυπτίων τότε τῆς πικρᾶς ἐκείνης δουλοσύνης καὶ ταλαιπωρίας ἀπήλλακτο· οὐκ ἂν τὴν θάλασσαν ἀνακοπεῖσαν αὐτῷ, ὡς διὰ χλοηφόρου διέβαινε πεδίου, εἰ μὴ ἡ ῥάβδος ἐκείνη ἐν χειρὶ Μωϋσῆ τὰ στοιχεῖα μετεσκεύασεν, καὶ τοὺς ἀδικοῦντας ἀπώλεσεν. Καὶ οὐκ ἂν ἡμεῖς τοῦ νοητοῦ Φαραὼ, καὶ τῶν ὑπ' αὐτῷ στρατηγουμένων δαιμόνων τῆς τυραννίδος ἀπηλλάγμεθα· οὐδ' ἄν, τῆς εἰδωλολατρείας ὡς Ἐρυθραίας ἡμῖν ῥαγείσης, πρὸς τὴν τῶν πατέρων κληρονομίαν, ἤτοι τὴν τοῦ Θεοῦ πίστιν καὶ ἀλήθειαν διέβημεν, εἰ μὴ ὁ τοῦ Κυρίου

Crux signum est Filii Dei, Christi gloria, Jesu exaltatio, sceptrum regni cœlorum, Dei baculus, virga directionis, virga virtutis: virga, quam Mosaica illa clare admodum præfiguravit[25]. Nunquam Israeliticus ille populus amara tunc illa Pharaonis Ægyptiorumque servitute atque ærumna liberatus esset; nunquam intercisum illi mare, velut virenti solo incedendo, transisset, nisi virga illa in manu Mosis elementa mutasset, atque injuriæ auctores perdidisset: nec vero nos unquam spiritalis Pharaonis eique succenturiatorum dæmonum tyrannidem eramus excussuri, aut vero simulacrorum cultu velut mari Rubro nobis dirupto, ad patrum hæreditatem (Dei scilicet fidem ac veritatem) commeaturi, nisi crux Dominica nequissimum mundi principem profligasset, ascensumque in cœlum,

[22] Joan. IV, 24. [24] Psal. XLV, 11. [25] Matth. XXIV, 30; Psal. XXII, 4, et XLIV, 5; CIX, 2; Exod. III etc.

Digitized by Google

inaccessus cum esset, accessum volentibus præstitisset.

Crux, Ecclesiæ catholicæ splendor illustrisque ornatus, apostolorum gloria, sacerdotum sanctificatio, martyrum nitor, constansque adversus nequissimos patientia. Piorum ac monachorum firmitas, omniumque justorum fides atque spes, omnium denique sanctorum gaudium et corona exsultationis. Ne lex quidem expers virtutis crucis: nec qui gratam præcessere sancti absque ea admirabiles: sed et in illis paulatim obscuris quasi umbris delineata, suam gloriam vimque submonstrabat. Nam et magnus quondam Moses manibus in cœlum crucis figura extensis, Amalecum fugavit ac fudit [26].

Crux armatura Christianis omnibus invulnerabilis ac inexpugnabilis. Murus æneus, cunctis latronum insultibus insuperabilis. Turris fortitudinis a facie inimicorum. Signaculum regium inviolabile ac inadulterabile: locus munitus ac tutus ad salutem, his qui persecutionem patiuntur: domus refugii, his qui a peccato impugnantur: vitæ pharmacum, his quorum vita in periculo versatur [27].

Crucis signum Moses effingebat, cum in deserto olim e recto ligno velut malo, serpentem transversum exponeret: ac si quod lethiferum virus serpens morsu immisisset, eo læsus, in eam statim pilam ac simulacrum aspicere jubebatur. Mox igitur ac percussus crucis signo adhibebat oculum, etiam venenati vis morsus elanguescebat, noxaque interitum afferens facessebat; ac confestim qui morsus fuerat, sanitatis remedium ultro concessum referebat. Si autem crucis figura vivificam adeo operationem præbebat, multo magis crux ipsa. Si quidem enim Petri umbra infirmos sanabat (uti sacro proditum eloquio ac creditum est), longe potius ipse Petrus [28].

Crux sacerdotii consummatio ac signaculum, imperii robur ac fundamentum, potestas magistratuum, armatura ducum, victoria militum ac victoriæ tropæum, tuta salus pro imperio dominantium, subditorum compositio ac constantia. Crux eruditorum sapientia, insipientium disciplina, divitum fulcimentum ac firmamentum, pauperum gloriatio et solatium, eorum qui versantur in ærumna, gaudium et exsultatio, eorum qui morbis conflictantur, sanitas et refrigerium, eorum qui in cunctis vitæ malis agunt, ædificatio exhortatioque et consolatio.

Crux omnium sanctorum angelorum gloriatio et corona, dæmonum omnium plaga ac confractio, Judæorum offensio et afflictio, infidelium confutatio et condemnatio, fidelium conservatio et justificatio, cadentium excitatio, elisorum erectio [29].

Crux emortuorum vita, depositorum spes, virtute

A σταυρὸς τὸν πονηρὸν ἄρχοντα καταλέλυκε τοῦ κόσμου, καὶ τὴν πρὸς οὐρανὸν ἄνοδον, ἄβατον οὖσαν, εἰργάσατο τοῖς βουλομένοις βατήν.

Σταυρὸς τῆς καθολικῆς Ἐκκλησίας ὁ λαμπρυσμός τε καὶ στολισμός· τῶν ἀποστόλων ὁ καλλωπισμός· τῶν ἱερέων ὁ ἁγιασμός· τῶν μαρτύρων ὁ ἀγλαϊσμός, καὶ ἡ πρὸς τοὺς πονηροὺς ἀνένδοτος ὑπομονή· τῶν ὁσίων ὁ στηριγμός, καὶ πάντων τῶν δικαίων ἡ πίστις καὶ ἡ ἐλπὶς, καὶ πάντων ἁγίων χαρὰ καὶ στέφανος καυχήσεως. Οὐδὲ ὁ νόμος ἄμοιρος τῆς δυνάμεως τοῦ σταυροῦ· οὐδὲ οἱ πρὸ τῆς χάριτος ἅγιοι τούτου χωρὶς θαυμαστοί· ἀλλὰ καὶ ἐν ἐκείνοις ἠρέμα σκιαγραφούμενος, τὴν ἰδίαν δόξαν ὑπέφαινε καὶ ἰσχύν. Ἐπεὶ καὶ Μωσῆς ὁ μέγας ποτὲ σταυροειδῶς τὰς χεῖρας πρὸς οὐρανὸν ἐκτεινόμενος τὸν Ἀμαλὴκ ἐτροπώ-
B σατο.

Σταυρὸς, ὅπλον Χριστιανοῖς πᾶσιν ἄθραυστον καὶ ἀπρόσμαχον· τεῖχος χαλκοῦν, πάσαις ἐφόδοις λῃστρικαῖς ἀνεπίβατον· πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθρῶν. Βασιλικὴ σφραγὶς ἀπαράτρωτος καὶ ἀπαραποίητος· τόπος ὀχυρὸς τοῖς διωκομένοις εἰς σωτηρίαν· οἶκος καταφυγῆς, τοῖς ἐξ ἁμαρτίας πολεμουμένοις· ζωῆς φάρμακον, τοῖς εἰς θάνατον κινδυνεύουσιν.

Σταυρὸν ἐτύπου Μωσῆς, ὀρθίῳ ξύλῳ καθάπερ ἱστῷ χαλκοῦν ὄφιν ἐγκάρσιον ἐπὶ τῆς ἐρήμου τὸ πρὶν ἐκδεδωκώς· καὶ εἴ τι θανατηφόρον ἰὸν ὄφις ἐναπῆμεσε δακὼν, ἐκείνῃ προσβλέπειν εὐθὺς τῇ στήλῃ παρήγγελτο. Ἅμα τοίνυν τῷ τύπῳ τοῦ σταυροῦ προσεῖχε, καὶ τὸ ἰοβόλον ἠμβλύνετο δῆγμα, καὶ τὸ
C ὀλεθροτόκον ἐλύετο πῆμα· καὶ ἄμισθον αὐτίκα τὴν ἴασιν ὁ δηχθεὶς ἐκομίζετο. Εἰ δὲ ὁ τοῦ σταυροῦ τύπος ζωοποιὸν οὕτω παρεῖχεν ἐνέργειαν, πολλῷ μᾶλλον ὁ σταυρὸς αὐτός· εἰ γὰρ ἡ σκιὰ τοῦ Πέτρου τοὺς ἀσθενοῦντας ἴᾶσθαι καὶ μεμαρτύρηται καὶ πεπίστευται, πολὺ πρῶτον ὁ Πέτρος αὐτός.

Σταυρὸς τῆς ἱερωσύνης ἡ τελείωσις καὶ σφραγίς· τῆς βασιλείας ἡ κραταίωσις καὶ κρηπίς· ἡ δύναμις τῶν δυναστῶν, ἡ πανοπλία τῶν στρατηγῶν, ἡ νίκη τῶν στρατιωτῶν καὶ τῆς νίκης τὸ τρόπαιον· τῶν ἀρχόντων ἡ ἀσφάλεια τῆς ἀρχῆς, τῶν ἀρχομένων ἡ εὐταξία τε καὶ εὐστάθεια. Σταυρὸς τῶν πεπαιδευμένων ἡ σοφία, τῶν ἀσόφων ἡ παίδευσις, τῶν πλουσίων ἔρεισμα καὶ κραταίωμα, τῶν πενήτων καύχημά
D τε καὶ παρηγόρημα, τῶν ἐν θλίψεσιν χαρμοσύνη καὶ ἀγαλλίασις, τῶν ἐν νοσήμασιν ἴασις καὶ ἀνάψυξις, τῶν ἐν πᾶσιν ἐξεταζομένων τοῦ βίου κακοῖς οἰκοδομὴ καὶ παράκλησις καὶ παραμυθία.

Σταυρὸς τῶν ἁγίων ἀγγέλων πάντων τὸ ἀγαλλίαμα καὶ στεφάνωμα, τῶν δαιμόνων ἁπάντων θραῦσμα καὶ συντριμμὸς, τῶν Ἰουδαίων πρόσκομμα καὶ θλιμμὸς, τῶν ἀπίστων ἔλεγξις καὶ κατάκρισις, τῶν πιστῶν συντήρησις καὶ δικαίωσις, τῶν καταπιπτόντων ἀνάστασις, τῶν καταῤῥηγνυμένων ἀνόρθωσις.

Σταυρὸς ζωὴ τεθνατωμένων, ἐλπὶς τῶν ἀπεγνω-

[26] Exod. XVII, 11. [27] Psal. LX, 4; Psal. LXX, 3; Psal. XXX, 3. [28] Act. V, 15. [29] Psal. CXLIV, 14.

Digitized by Google

συέναν, τῶν κατορθούντων κλίμαξ ὑψοῦσα πρὸς οὐρανόν, τῶν διεστώτων συναγωγεὺς, τῶν ὀρθοποδούντων εὐθυδρομία καὶ συντονία, τῶν ἐκκλινόντων διόρθωσις καὶ χειραγωγία, τῶν μετανοούντων ἀνακαίνωσις καὶ ἀναγωγία. A

Σταυρὸς, τῶν ὅλων τοῦ θείου Πνεύματος χαρισμάτων βραβεὺς καὶ δοτήρ. Ὅσα γὰρ ἐν τῷ Χριστῷ μένοντα τοῖς ἀξίοις ἐπιχορηγεῖται, διὰ πίστεως καὶ δυνάμεως ἐπιχορηγεῖται τοῦ σταυροῦ. Σταυρὸς, φόβων νυκτερινῶν, βελῶν ἡμερινῶν, καὶ παντὸς πράγματος ἐν σκότει διαπορευομένου, καὶ συμπτώματος παντὸς καὶ δαιμονίου παντὸς, οὐ μεσημβρινοῦ μόνον, τοῖς καλῶς αὐτὸν ὡπλισμένοις, ἤτοι σεσημειωμένοις, ἀναιρετικός τέ ἐστι καὶ ἀποτρόπαιος.

Σταυρὸς, τί δεῖ μακρηγορεῖν; τῶν παναγάθων τοῦ Θεοῦ δωρεῶν, ὧν ἐξ αἰῶνος ἀνθρώποις ἐδωρήσατο, B τὸ θεοπρεπέστατον καὶ τελειότατον. Οὗτος τὸν δλισθον τοῦ προπάτορος ἀνεκαλέσατο, καὶ τὴν ἀρχαίαν ὑπήνοιξεν τοῦ παραδείσου τρυφήν. Οὗτος τὴν διὰ τοῦ ξύλου κατάραν, εἰς εὐλογίαν· τὴν φθορὰν, εἰς ἀφθαρσίαν· τὴν πικρίαν, εἰς γλυκύτητα· καὶ τὴν ὑπερορίαν, εἰς βασιλείαν· καὶ τὸν θάνατον μετεσκεύασεν εἰς ζωήν. Οὗτος, οὐ μόνον πρὸς τὸν ἄνω παράδεισον εἴσοδος καὶ εἰσαγωγεὺς, ἀλλὰ καὶ ζωῆς ὄντως ξύλον, ὥσπερ τῷ λῃστῇ πρότερον, οὕτω καὶ πᾶσι καθίσταται τοῖς τὴν πίστιν ἐκείνου μιμουμένοις.

Τοῦτον ὁ μέγας Πέτρος κρατῶν τῇ χειρὶ, καὶ ὡς ῥάβδῳ ποιμαντικῇ τούτῳ σκηριπτόμενος, ἀπεδουκόλησε μὲν τῆς Ἐκκλησίας ὡς ἐπίβουλον Σίμωνα C τὸν Μάγον, καὶ τοὺς λύκους ἐξέτριψε τῆς Ἀραβίας· ἐν αὐτῷ δὲ τὰ πρόβατα προθύμως ἐποίμανεν καὶ ποιμαίνει Χριστοῦ. *Λήψομαι*, φησὶν ὁ θεσπέσιος Ζαχαρίας, *τὴν ῥάβδον μου τὴν καλὴν* (τὸν σταυρὸν ἐμοὶ δοκεῖν λέγων), *καὶ ῥίψω αὐτὴν ἐναντίον τῶν ἐχθρῶν, καὶ ποιμανῶ τὰ πρόβατά μου, καὶ διασκεδάσω τὴν* [*Sixt.* αὐτὴν τοῦ διασκευάσαι τὴν] *διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς*· ἐν τῷ σταυρῷ γὰρ, τὸ γράμμα μὲν διεσκέδασται, ἀνέθαλε δὲ καὶ παῤῥησιάζεται τὸ πνεῦμα.

Τοῦτον καὶ ὁ οὐρανοφοίτης Παῦλος ἄριστα περιφραχθεὶς, πᾶσαν περιώδευσεν τὴν οἰκουμένην, λογισμοὺς ἐν αὐτῷ καθαιρῶν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· καὶ αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.

Τὸν σταυρὸν καὶ πάντες ἀπόστολοι καὶ πάντες μάρτυρες, ἱερεῖς τε Κυρίου πάντες, καὶ πάντες ὅσιοι νοητῶς καθοπλιζόμενοι· οἱ μὲν κατὰ τῆς εἰδωλολατρείας λαμπρῶς ἀριστεύοντες· οἱ δὲ κατὰ πάσης D ἀνομίας, ποικίλοις τροπαίοις νίκης τὸν ἐσταυρωμένον διὰ τῆς δυνάμεως δοξάζουσιν τοῦ σταυροῦ.

Τὸν σταυρὸν καὶ Κωνσταντῖνος πρώην ὁ μέγας φωτὶ μορφαζόμενον ἐν οὐρανῷ κατιδὼν, καὶ τὴν αὐτοῦ δύναμιν διὰ τοῦ τύπου συνεὶς, ὕστερον καὶ αὐτὸ ἐκεῖνο τὸ πρωτότυπον τοῦ σταυροῦ ξύλον, ἐν ᾧ προσηλούμενος κατετάθη Χριστὸς, γῆς κατορω-

viventium scala in cœlum sublevans, discordantium conciliatio, recto pede incedentium rectus cursus ac contentio, declinantium emendatio et manuductio, pœnitentium renovatio et subvectio.

Crux omnium divini Spiritus donorum arbitra ac datrix. Quæcunque enim in Christo manentia dignis subministrantur, per crucis fidem ac potentiam subministrantur. Crucis ea vis, ut iis qui ea probe armati sunt seu consignati, timores nocturnos, diei sagittas, remque omnem in tenebris ambulantem, ac casum omnem, omneque dæmonium (nedum meridianum) interimat profligetque [30].

Crux (quid refert prolixius dicere?) optimorum Dei donorum, quæ a sæculo mortalibus elargitus est, augustissimum perfectissimumque. Hæc primi parentis ruinam instauravit ac paradisi antiquas delicias subaperuit. Hæc invectam a ligno maledictionem in benedictionem, corruptionem in incorruptionem, amaritudinem in dulcedinem, exiliumque in regnum, ac mortem in vitam commutavit. Hæc nedum ingressus ac admissio ost ad supernum paradisum, sed et plane lignum vitæ, uti prius latroni, sic et cunctis qui ejus imitantur fidem [31].

Hanc magnus ille Petrus manu tenens, illaque tanquam virga pastorali nixus, Simonem magum, velut qui Ecclesiæ insidiaretur, abegit, luposque Arabiæ extrivit, atque in illa propense Christi oves rexit ac regit [31*]. *Sumam*, ait divinus Zacharias, *virgam meam pulchram* (crucem eum dicere arbitror), *et projiciam eam contra inimicos, et pascam oves meas, et dissipabo fœdus meum, quod pactus sum ad omnes populos* [32]. In cruce enim dissipata quidem littera est; refloruit vero ac se palam spiritus prodit.

Hac quoque, qui in cœlo versaretur, Paulus optime instructus, universum terrarum orbem circuivit, destruens in eo cogitationes et omnem sublimitatem extollentem se adversus scientiam Dei, et captivans omnem sensum in obsequium Christi [32*].

Cruce omnes tum apostoli tum martyres, sacerdotesque Domini omnes, ac pii omnes et sancti spiritaliter armati; priores quidem, adversus simulacrorum cultum, alteri autem, adversus omnes hæreses; postremi adversus omnem improbitatem strenue dimicantes, variis victoriæ tropæis per crucis potentiam crucifixum clarificant.

Crucem quoque magnus olim Constantinus luce formatam cum in cœlo vidisset, exque figura, illius potentiam intellexisset, postea illud ipsum prototypum lignum, in quo Christus distentus fuerat, alta defossum humo, per beatissimam ipsius matrem

[30] Psal. IX, 5, et 9. [31] Pro. III, 18; Luc. XXIII, 43. [31*] Habac. I, 8. Vulg. *Vespertinos*. [32] Zach XI, 10. [32*] Phil. III, 20; II Cor. X, 4.

Digitized by Google

(augustissimam scilicet Helenam) diligenter scrutatus reperit, repertumque religiose adeo coluit et exaltavit, ut ejus longe claritas in omnem orbem exuberet.

Quis vero illi spe devinctus, ad ejus adorationem non occurrit? Quis non exaltat atque adorat scabellum pedum Domini Dei nostri, quia sanctus est [33]? Quis non laudat ac magnificat eam, quæ emortuum genus nostrum ex morte et inferni perditione exaltavit et vivificavit? Nunc gaudent angeli atque exsultant archangeli, cum quibus etiam choros ducunt supermundani principatus et potestates, omnesque cœlorum virtutes, invisibilique præsentia, salutarem toto orbe adorari atque exaltari crucem videntes, cum Ecclesiis Dei collætantur. Neque enim ulla alia est bonis angelis æque festiva lætaque solemnitas, ac quæ salutis hominum argumento agitur.

Nunc apostoli clarescunt, et prophetæ, his quæ geruntur, magnifice splendescunt. Nunc martyres jucundantur, ac decorantur sacerdotes. Nunc religiosorum sanctorumque chori omnes diem festum agunt gestiuntque, qui nimirum quam illi clarificarunt, et quæ eos clarificavit, sacro ritu crucem clarificari videant, atque e terra sacris manibus in altum tolli: cum qua pariter sublati, per quam bono omnium Salvatori gratiarum actionem incessabilibus mysticisque vocibus modulantur ac promunt.

Omnis jam Ecclesia lætatur ac decore fulget, velutque cœleste donum, ut immortales delicias pignusque inviolabile, ita crucem sinu complectitur, universorumque conspectibus ad spectaculum simul et exaltationem ac adorationem proponens, filiis suis fortiter ad Dominum clamantibus, illius munere misericordiam et sanctificationem et illuminationem large impertitur. Jamque omnes gentes, quantas fecit Dominus, veniunt, ac vivifico terque beato ligno procumbunt [33*]. Adorant coram illo, ac per crucem Crucifixi nomen clarificant, quod revera magnus sit et faciens mirabilia solus [34]. Jam dæmonum aerea omnis aerique incubans cohors ac pompa triumphali cæditur ligno, frangiturque et rumpitur, exque cœlestibus jure merito sedibus deturbatur: cunctæque sanctorum Ecclesiæ et piorum cœtus velut cum scala e terra in cœlum exaltata, pariter exaltati, velut virgæ fortitudinis innixi, velut prælatum sceptrum regium, supremi omnium Regis crucem hodie deducentes, cœlestem commutant locum, pro terrenis cœlestes, ac pro mortalibus immortales effecti: igneaque romphæa triumphali ligno superata, ad supernum paradisum ac lignum vitæ recta procedunt.

ρυγμένον βάθεσιν, διὰ τῆς πανολβίας αὐτοῦ μητρὸς, τῆς κοσμιωτάτης Ἑλένης λέγω, φιλοπόνως ἀνερευνησάμενος εὗρεν· καὶ εὑρὼν, φιλοθέως ἐτίμησέν τε καὶ ὕψωσεν ἐπὶ τοσοῦτον, ὡς τὴν αὐτοῦ δόξαν εἰς πᾶσαν ὑπερπερισσεύειν τὴν γῆν.

Καὶ τίς τῶν εἰς αὐτὸν ἠλπικότων οὐκ ἀπαντᾷ πρὸς τὴν τούτου προσκύνησιν; Τίς οὐχ ὑψοῖ καὶ προσκυνεῖ τῷ ὑποποδίῳ Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὅτι ἅγιός ἐστιν; Τίς οὐ δοξάζει καὶ μεγαλύνει τὸν ἐκ θανάτου καὶ ἀπωλείας ᾅδου, τὴν ἡμετέραν ἀνυψώσαντα καὶ ζωώσαντα νέκρωσιν; Νῦν ἄγγελοι χαίρουσι, καὶ σκιρτῶσιν ἀρχάγγελοι, Ἀρχαί τε σὺν τούτοις ὑπερκόσμιαι καὶ Ἐξουσίαι, καὶ πᾶσαι τῶν οὐρανῶν αἱ Δυνάμεις χορεύουσι, καὶ ἀοράτως παρεστῶσαι, καὶ τὸν σωτήριον ἐν πάσῃ τῇ γῇ προσκυνούμενον καὶ ὑψούμενον ὁρῶσαι σταυρὸν, ταῖς Ἐκκλησίαις συνευφραίνονται τοῦ Θεοῦ. Οὐδὲ γάρ ἐστιν ἄλλη τοῖς ἀγαθοῖς ἀγγέλοις οὕτως ἑορτή τε καὶ χαρμονὴ, ὡς ἡ ἐπὶ σωτηρίᾳ τελουμένη τῶν ἀνθρωπίνων ψυχῶν.

Νῦν ἀπόστολοι ἐλλαμπρύνονται, καὶ προφῆται τοῖς παροῦσιν ἐναγλαΐζονται. Νῦν οἱ μάρτυρες κατατέρπονται, καὶ οἱ ἱερεῖς ὡραΐζονται. Νῦν πάντες ὁσίων καὶ ἁγίων ἑορτάζουσι καὶ γεγήθασιν οἱ χοροὶ, τὸν ὑπ' αὐτῶν δεδοξασμένον, καὶ αὐτοὺς δοξάσαντα, βλέποντες σταυρὸν ἱερῶς δοξαζόμενον, καὶ ἀπὸ γῆς ἱεραῖς χερσὶν εἰς ὕψος αἰρόμενον· καὶ αὐτῷ συνεπαιρόμενοι, τῷ παναγάθῳ τῶν ὅλων Σωτῆρι τὸν χαριστήριον ἀκαταπαύστοις καὶ μυστικαῖς ἀναμέλπουσι ταῖς φωναῖς.

Ἄρτι μὲν Ἐκκλησία πᾶσα φαιδρύνεται καὶ καλλύνεται· καὶ ὥσπερ τι δῶρον οὐράνιον, ὡς ὅλβον ἀκήρατον, ὡς κειμήλιον ἄφαυστον, οὕτως ἐγκολπίζεται τὸν σταυρὸν, καὶ τοῦτον ταῖς ἁπάντων ὄψεσιν εἰς θεωρίαν τε ὅμα καὶ ὕψωσιν καὶ προσκύνησιν προτιθεῖσα, τοῖς τέκνοις αὐτῆς στερρῶς ἐπιβοωμένοις τὸν Κύριον, δι' αὐτοῦ τὸν ἔλεόν τε πλουσίως καὶ τὸν ἁγιασμὸν ἐπιχορηγεῖ καὶ τὸν φωτισμόν. Ἄρτι δὲ πάντα τὰ ἔθνη, ὅσα ἐποίησεν ὁ Κύριος, ἥκοντα, καὶ τῷ ζωοποιῷ ξύλῳ καὶ τρισολβίῳ προσπίπτοντα, προσκυνοῦσιν ἐνώπιον αὐτοῦ· καὶ διὰ τοῦ σταυροῦ τὸ τοῦ ἐσταυρωμένου δοξάζουσιν ὄνομα, ὅτι μέγας ἐστὶ τῷ ὄντι καὶ ποιῶν θαυμάσια μόνος. Ἄρτι δὲ πᾶσα τῶν δαιμόνων ἐνάερος στρατιὰ καὶ πομπὴ τῷ νικοποιῷ ῥαπίζεται ξύλῳ, καὶ θλᾶται καὶ ῥήγνυται, καὶ τῶν οὐρανίων ἐνδίκως οἰκητηρίων κατασπᾶται· πᾶσαι δὲ τῶν ἁγίων αἱ ἐκκλησίαι καὶ ὁμηγύρεις τῶν εὐσεβῶν, ὡς κλίμακι γῆθεν ὑψουμένῃ πρὸς οὐρανὸν συννυφούμεναι, ὡς ῥάβδῳ ἰσχύος ἐπερειδόμεναι, ὡς σκήπτρῳ βασιλικῷ προϊόντι, τῷ τοῦ παμβασιλέως σήμερον συνεπόμεναι σταυρῷ, τὸν οὐράνιον διαμείβονται χῶρον· ἀντὶ γηΐνων οὐράνιοι, καὶ ἀντὶ θνητῶν ἀθάνατοι καθιστάμενοι· καὶ τὴν φλογίνην ῥομφαίαν τῷ τροπαιοφόρῳ παριόντες ξύλῳ, πρὸς τὸν ἄνω παράδεισον καὶ τὸ ξύλον κατευθύνονται τῆς ζωῆς.

[33] Psal. XCVIII, 5. [33*] Psal. LXXXV, 9. [34] Psal. LXXV, 4.

Digitized by Google

Ἀλλ', ὦ σταυρὲ τίμιε, καὶ ὑπέρτιμε σωτηρίας καὶ ζωῆς χορηγέ· ὡς ἐμψύχῳ γάρ σοι καὶ ζῶντι διὰ τὴν ζῶσαν προσλαλῶ χάριν· τὸ μέγα καὶ καλὸν τῶν ψυχῶν φυλακτήριον· τὸ παντὸς εὐσεβοῦς νοὸς ἱλαστήριον, καὶ πάσης καρδίας καὶ διανοίας ὀρθῆς φωτιστήριον καὶ ἁγιαστήριον. Ὦ σταυρὲ, πάντων ὑπερασπιστὰ τῶν πιστῶν, πασῶν οἰκιῶν οἰκιστὰ, καὶ συνοικιστὰ τῶν χωρῶν· πασῶν πόλεων πολιστὰ, καὶ εἰρηνευτὰ τῶν ἐθνῶν. Ὦ σταυρὲ, τοῦ κόσμου παντὸς συναγωγὲ καὶ ἐνοποιὲ, οὗ τὸ ὕψος καὶ βάθος, μῆκός τε τοῦ παντὸς καὶ πλάτος ταῖς οἰκείαις κεραίαις διαγράψων, καὶ τὴν τετραπέρατον κτίσιν ἐν ἑαυτῷ διαζωγραφῶν καὶ συγκρατῶν, *σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· καὶ ποίμανον ἡμᾶς, καὶ ἔπαρον ἡμᾶς ἕως τοῦ αἰῶνος τῶν αἰώνων.* Ἀμήν.

A Verum, o Crux venerabilis, omnique major veneratione, ac salutis vitæque conciliatrix (velut enim cum animata atque vivente loquor, ob eam qua prædita es vitalem gratiam), magnum præclarumque animorum phylacterium, piæ omnis mentis propitiatorium, necnon recti omnis cordis atque animi lucis ac sanctitatis promptuarium. O Crux, omnium defensio præsidiumque fidelium! omnium ædificatio domorum, auctorque ut tractus et loca pari fœdere habitentur; omnium condendarum arbitra civitatum, et ut nationes pace componantur! O crux mundum universum concordia socians uniensque, cujus omnis altitudinem et profunditatem, longitudinemque et latitudinem tuis cornibus ramisque delineas, orbisque quatuor partes in te B repræsentes contineasque, *Salva populum tuum et benedic hæreditatem tuam : et rege nos atque extolle in sæculum usque sæculorum* [38]. Amen.

ΛΟΓΟΣ Γ'.

Εἰς τοὺς ἁγίους καὶ κορυφαίους ἀποστόλους Πέτρον καὶ Παῦλον (2).

Τίς ὁ τερπνὸς οὗτος ἦχος; Τίς ὁ τῶν ἑορταζόντων εὔσημος κρότος; Τίς ἡ θαυμαστὴ καὶ περιφανὴς αὕτη λαμπροφορία καὶ φωταγωγία; Ὑμεῖς ὁ περιούσιος τοῦ Θεοῦ λαὸς· ὁ τῇ Χριστωνύμῳ τετιμημένος κλήσει, ὁ καὶ παντὸς γένους καὶ βίου καὶ πολιτείας καὶ ἡλικίας, ζέσει πίστεως κεκινημένος, καὶ τὸν περιώνυμον τοῦτον τῶν ἀποστόλων σηκὸν πεπληρωκώς. Τίς ὁ δρόμος; τίς ἡ σπουδὴ τὴν ἱερὰν ταύτην καταλαβεῖν αὐλήν; πόθεν ὑμῖν ὥσπερ ἐξ ἑνὸς C συνθήματος, ἀφ' ἑσπέρας αὐτῆς ἐγηγερμένοις, τὰς ἰδίας μὲν οἰκίας ἐκκενῶσαι, τὸν θεῖον δὲ πληρῶσαι ναόν; καὶ ἑαυτῶν μὲν ὥσπερ ἐξεστάναι δοκεῖν· ἀλλήλων δὲ συμπνοίᾳ γεγενῆσθαι, γνώμης καὶ πίστεως ὁμοφροσύνῃ, καὶ γλώσσης συμφωνίᾳ, μονοειδῆ καὶ ἐναρμόνιον ὥσπερ ἐξ εὐρύθμων ὀργάνων τὸν τῆς δοξολογίας ἀνακροῦσαι φθόγγον; Τίς ὁ τὸν ἱερώτατον τοῦτον σύλλογον ἢ θίασον οὕτω παναρμονίως συγκροτῶν; Ἢ δῆλον ὡς Πέτρος καὶ Παῦλος, ἡ κορυφαία καὶ πρεσβυτάτη τῶν ἀποστόλων ἀκρότης· Πέτρος, ἡ τῆς Χριστοῦ πίστεως ἀρχή· Παῦλος, ἡ τῆς ἀγάπης τελειότης· Πέτρος, ἡ ἀμετακίνητος τῆς Ἐκκλησίας πέτρα· Παῦλος, ὁ τὸν θεμέλιον ταύτης ἀσφαλῶς καταβαλόμενος.

Οὗτοι δὴ σήμερον οἷα νόες ὑπόπτεροι τῶν ὑπερφώτων καὶ οὐρανίων ὑποκαταβάντες χώρων, καὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ ζῶσιν ἔτι νοερῶς τε καὶ φιλανθρώπως συγγινόμενοι· ὀξέως τε διατρέχοντες, καὶ ἐμπεριπατοῦντες ἐν ἡμῖν, πρὸς ὑπέρλαμπρον ἐκκαλοῦνται θυμηδίαν· καὶ ἄλλον ἀλλαχόθεν ἡσυχίῳ καὶ ὑψηλῷ συγκαλούμενοι κηρύγματι, καὶ καθάπερ μέλη πλείω τοὺς πάντας εἰς ἓν σῶμα τῇ ἀρχι-

ORATIO III.

Laudatio sanctorum ac principum apostolorum Petri et Pauli.

Quisnam jucundus hic sonitus? Quis faustus clarusque festum agentium plausus? Quænam mira hæc ac splendida vestium candore luminumque gestatione pompa? Vos scilicet peculiaris Dei populus, Christi nominis nuncupatione ornatus, ex omni genere, instituto, civitate atque ætate, fidei fervore commotus, quique illustre hoc apostolorum delubrum, quantum est, concertantibus animis impleveritis. Quisnam cursus? Quæ diligentia et ardor, ut in sacrum hoc septum veniretis? Unde vobis ut velut ex uno condicto ab ipso excitati vespere, relictis vacuis domibus, divinam hanc ædem repleretis? ac quidem vobis ipsis prope modum excessisse; alii vero aliorum facti, animorum conspiratione fideique concordia ac linguæ consensione, uniformem atque concinnam velut modulatis organis laudationis vocem sonumque edere videamini? Quis sacratissimum hunc conventum seu chorum sic apte tantaque omnino harmonia cogit? Nonne palam Petrus et Paulus, princeps ille augustissimusque apostolorum vertex : Petrus, Christi fidei origo, Paulus, charitatis perfectio : Petrus immobilis Ecclesiæ petra, Paulus, illius tute certaque destinatione jactum fundamentum? D

Hi nimirum hodie velut aligeræ mentes a lucidissimis illis ac cœlestibus sese demittentes axibus, benignaque inclinatione illis spiritu congressi, qui mortalem adhuc agunt vitam, velociusque discurrentes ac ambulantes in nobis, ad omni majorem splendore jucunditatem invitant : aliumque aliunde placido altoque convocantes præconio, ac velut plura membra, in unum corpus, sacratissimi eorum

[38] Psal. xxvii, 9.

(2) Tota hæc oratio variis flosculis ludit, vixque alia ad historiam pertinentia sumit quam quæ ipsa Scriptura de principibus apostolorum sic magnifice tradit; quæ certe sunt maxima, et quæ merito maximam eis venerationem in fidelium animis concilient. Pauca itaque nobis annotanda.

Digitized by Google

spiritus fabricatione cunctos coaptantes, ad Dei cantica laudesque celebrandas, ipsorumque honestandam magnificentiam ac spargendos honores, congregant.

Igitur ea sonemus, quæ Spiritum nobis insonantem addeceant! Canamus tuba in Sion : prædicemus in monte sancto, in hac scilicet Ecclesia (mystica ac prædilecta Dei civitate, ac sacros ordinantes choros, sacrorum theologorum sacratissime religiosaque pietate cantica laudesque depromamus [36]. Qua vero id ratione? Non Sophistarum leges secuti ; non sermone celebrantes, quam quisque in terris patriam nactus sit ; non terrenum magnifice genus extollentes ; non nativitatis atque conversationis civilitatem sermone ornantes. Quæ enim laus eis proveniat, qui patrem habuerunt universorum Deum, patriam vero, cœlestem Jerusalem, genus, beatissimum patriarcham Abraham? quin potius illius fidem et justitiam, quibus etiam illi prorsus similes exstiterunt : conversationem, virtutem, et quæ ad Christum est per legem, primam institutionem ac præparationem? At neque cuncta ordine præclare illis ac magnifice Dei Verbi causa gesta sigillatim laudemus. Sic enim præterquam quod impossibilis ea molitio est, justæ mediocritatis legem excesserimus. Hæ vero etiam, si qua alia, quemadmodum in omnibus operationibus passionibusque et actibus, sic et in ipsis intellecta integraque sermonibus, laudem habet. Verum alia quidem alii tempori atque sermoni sunto reposita; alia vero nunc laudis argumento atque gloriæ disertissimis sermonis amicis offeramus : directoque ad eos laudis cantico, in hæc verba cum propheta : *Avete, filii Sion* [37], ipsos alloquamur.

Avete, paternæ divinæ originis clari præcones : divinorum Filii operum divinissimi explanatores : vivificæ Spiritus virtutis viva organa ac modulatissima, quæ videlicet dulcissimis vocibus atque modulis concinnissimis, universum simul orbem terram uni Verbo et Deo adhibueritis, et ad illi in spiritu et veritate serviendum institueritis [38].

Salve sis, Petre, cui claves regni cœlorum creditæ sunt ; super quem Christus firmavit Ecclesiam suam; quem ad Patrem migraturus suis ovibus pastorem præfecit [39].

Salve sis, Paule, qui fidelis et prudens dispensator paternæ domus enitueris, eamque ob rem etiam super omnia quæ illius sunt, constitutus sis ; qui adhuc vivens corpore, in tertium cœlum raptus sis, paradisumque mentis oculis aspectabilem conspexeris, ac verba arcana tuis ipse auribus audiveris [40].

Salve sis, Petre, qui prius quidem mutos sagena pisces capiebas [41] : postea vero, divino plexa opere ipse per Christum sagena effectus, et in sæculi missus mare, atque ex omni rationalium piscium

A τεκτονίᾳ τοῦ πανευαγοῦς αὐτῶν πνεύματος ἁρμόζοντες, εἰς ὕμνησιν μὲν καὶ δόξαν Θεοῦ, ἔπαινον δὲ καὶ τιμὴν τῆς οἰκείας μεγαλοπρεπείας συγκροτοῦσιν.

Οὐκοῦν ἠχήσωμεν τοῦ ἐνηχοῦντος ἡμῖν Πνεύματος ἐπάξια· σαλπίσωμεν σάλπιγγι ἐν Σιών· κηρύξωμεν ἐν ὄρει ἁγίῳ, τῇ Ἐκκλησίᾳ ταύτῃ, τῇ μυστικῇ καὶ ἀγαπητῇ τοῦ Θεοῦ πόλει· καὶ ἱερὰς συστησάμενοι χοροστασίας, τὰς τῶν ἱερῶν θεολόγων πανιέρως κροτήσωμεν ὑμνολογίας. Κροτήσωμεν δὲ πῶς ; Οὐ σοφιστῶν ἐπόμενοι νόμοις· οὐ τῷ λόγῳ τὰς κάτω σεμνύνοντες πατρίδας· οὐ τὸ ἀπὸ γῆς μεγαλαυχοῦντες γένος· οὐ γεννήσεως, οὐκ ἀναστροφῆς ἀστειότητα διεξιόντες. Τίς γὰρ ἐκ τούτων αἶνος, τοῖς Πατέρα μὲν, τὸν τῶν ὅλων σχοῦσι Θεόν·
B πατρίδα δὲ, τὴν ἄνω Ἱερουσαλὴμ· γένος δὲ λαχοῦσι, τὸν μακάριον πατριάρχην Ἀβραάμ· μᾶλλον δὲ, τὴν ἐκείνου πίστιν καὶ δικαιοσύνην, οἷς αὐτῷ καὶ παντάπασιν ὡμοίωνται· ἀναστροφὴν δὲ τὴν ἀρετὴν, καὶ τὴν πρὸς Χριστὸν διὰ νόμου παιδαγωγίαν τε καὶ προκατάρτισιν ; Ἀλλ' οὐδὲ πάσας ἑξῆς τὰς ὑπὲρ τοῦ Θεοῦ Λόγου κατωρθωμένας αὐτοῖς μεγαλουργίας κατ' εἶδος ἐξυμνήσωμεν· οὕτω γὰρ πρὸς τῷ ἀνεφίκτῳ τῆς ἐγχειρήσεως, καὶ τὸν τῆς συμμετρίας ἂν νόμον παραβαίημεν. Ἐπαινετὸς δὲ καὶ οὗτος, εἴπερ ἄλλος τις, ὥσπερ ἐνεργείαις πάσαις καὶ πάθεσι καὶ πράξεσιν, οὕτω δὴ καὶ τοῖς λόγοις αὐτοῖς ἐνθεωρούμενος. Ἀλλὰ τὰ μὲν ἑτέρῳ τεταμιεύσθω καιρῷ καὶ λόγῳ· τὰ δὲ νῦν αἶνον καὶ
C δόξαν τοῖς λογιωτάτοις προσάξωμεν τοῦ Λόγου φίλοις· καὶ πρὸς αὐτοὺς τὸν ὕμνον ἀποτείναντες, *Τὰ τέκνα Σιὼν, χαίρετε*, μετὰ τοῦ προφήτου, προσφθεγγώμεθα.

Χαίρετε, τῆς πατρικῆς θεαρχίας διαπρύσιοι κήρυκες· τῆς τοῦ Υἱοῦ θεουργίας ἱεροφάντορες θειότατοι· τῆς ζωαρχίας τοῦ Πνεύματος ὄργανα ζῶντα καὶ πολυαρμόνια· τὰ φθόγγοις ἡδίστοις καὶ μέλεσι παναρμονίοις, τὴν οἰκουμένην ὁμοῦ πᾶσαν, ἑνὶ Λόγῳ καὶ Θεῷ παραστησάμενα, καὶ τούτῳ πνεύματι καὶ ἀληθείᾳ λατρεύειν συμβιβάσαντα.

Χαίροις, Πέτρε, ὁ τῆς τῶν οὐρανῶν βασιλείας τὰς κλεῖς πεπιστευμένος· ἐφ' ᾧ τὴν ἰδίαν ὁ Χριστὸς Ἐκκλησίαν ἐστηρίξατο· ὃν καὶ ποιμένα, πρὸς τὸν
D ἐκυτοῦ Πατέρα μεταβαίνων, ἐπὶ τῶν αὐτοῦ προβάτων κατεστήσατο.

Χαίροις, Παῦλε, ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος τῆς τοῦ Πατρὸς ἀποδειχθεὶς οἰκίας· δι' ὃ καὶ ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ καθεσταμένος· ὁ ἔτι σώματι ζῶν, πρὸς τὸν τρίτον ἁρπαγεὶς οὐρανὸν, καὶ τὸν νοητὸν παράδεισον τεθεαμένος, καὶ ῥημάτων ἀῤῥήτων αὐτήκοος γεγενημένος.

Χαίροις, Πέτρε, ὁ πρότερον μὲν ἀλόγων ἰχθύων σαγηνευτής· ἔπειτα σαγήνη θεόπλοκος διὰ Χριστοῦ γενόμενος αὐτὸς, καὶ εἰς τὴν κοσμικὴν θάλασσαν ἐμβεβλημένος, καὶ ἐκ παντὸς γένους τῶν λογικῶν

[36] Joel II, 1, 15; Psal. II, 6. [37] Joel II, 23. [38] Joan. IV, 23. [39] Matth. XVI, 18; Joan. XXI, 17. [40] Matth. XXIV, 46; II Cor. XII, 2. [41] Matth. IV, 19; XIII, 47.

Digitized by Google

συνειλεχὼς ἰχθύων · καὶ τῇ Δεσποτικῇ τραπέζῃ πολυτελέστατον παρασκευαζόμενος ὀψώνιον.

Χαίροις, Παῦλε, ὁ πρότερον μὲν τῷ ζήλῳ τοῦ νόμου καταφλεγείς · ἔπειτα τῇ τῆς χάριτος ἀγάπῃ πυρποληθείς · καὶ φυγὰς μὲν, ἀντὶ διώκτου · ἀντὶ βλασφήμου δὲ καὶ ὑβριστοῦ, δοκιμώτατος εὐαγγελιστὴς γεγενημένος · καὶ χερσὶ μὲν δέρρεις ἀψύχους συρράπτων πρὸς σκηνοποιίαν · Πνεύματι δὲ θείῳ λογικὰς συνδέων καρδίας καὶ νοερὰς, καὶ σκηνὴν ταύτας ἀκήρατον, καὶ οὐράνιον πρὸς τὴν τοῦ Ὑψίστου κατοίκησιν ἀπεργαζόμενος.

Ὑμεῖς, εἰ καὶ κατὰ χρόνον τὸν ἴδιον ἑκάτερος τῆς ἐν σαρκὶ γεννήσεως ἐτύχετε, ἀλλὰ προαιωνίως ἐν Θεῷ Πατρὶ προεγνωσμένοι, καὶ τῆς τοῦ Μονογενοῦς δόξης σύμμορφοι γενέσθαι προωρισμένοι, ὅτε ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, καὶ Λόγος σὰρξ ἐγένετο, πρώτως αὐτοὶ (3) τοῦτον ἐπιγνόντες καὶ λαβόντες · καὶ πρῶτοι τῆς ἐξ αὐτοῦ γεννήσεως ἠξιωμένοι, καὶ πρῶτοι τοῦτον ἑαυτοῖς εὐμοιρήσαντες ἐσκηνωκότα, αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ συμμαρτυροῦν ἐσχήκατε τῷ πνεύματι ὑμῶν, ὅτι ἐστὲ τέκνα τοῦ Θεοῦ · εἰ δὲ τέκνα, καὶ κληρονόμοι · κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ.

Ὑμεῖς, οὐ τῆς ἐπουρανίου κλήσεως μέτοχοι μόνον, ἀλλὰ καὶ ἐκλογῆς υἱοὶ κεχρηματίκατε · καὶ οὐκ ἐξελέγητε μόνον, ἀλλὰ καὶ ἐδικαιώθητε, ἀλλὰ καὶ ἐδοξάσθητε. Ὑμεῖς οὐκ ἀπὸ σαρκὸς καὶ αἵματος · διὰ δὲ τοῦ ἐν οὐρανοῖς Πατρὸς τὸν αὐτοῦ Χριστὸν ἀπαυγασθέντες, καὶ ἐν τῷ μεγάλῳ φωτὶ τὸ μέγα φῶς τεθεαμένοι, καὶ τούτῳ σαφῶς πεπιστευκότες, καὶ νοῦν ἐν αὐτῷ καταστραφθέντες, καὶ ψυχὴν καταλαμφθέντες · μᾶλλον δὲ φῶτα λαμπρὰ καὶ θεαυγῆ (4) γεγενημένοι, εἰς φῶς ἐθνῶν ἀπεστάλητε, εἰς σωτηρίαν ἐσχάτου τέθεισθε τῆς γῆς.

Ὑμῶν τὴν πίστιν, ὁ μακάριος καὶ μόνος δυνάστης πρῶτος ἐμακάρισεν, ἄγγελοι ὕμνησαν, δαίμονες ἔπτηξαν, ἡ κτίσις ἐδόξασεν. Ὑμῶν τὴν ἐλπίδα, οὐ πυκναὶ βροχαὶ καὶ συνεχεῖς λογισμῶν ἐκτόπων παρεσάλευσαν · οὐ πονηροτάτων καταιγίδες γλωσσῶν καὶ βαρύτητες, ὡς ποταμοὶ προσπίπτοντες διέλυσαν · οὐ κινδύνων καὶ θανάτων ἐσμὸς, ὡς ἀνέμων βία προσρήσσουσα κατέῤῥαξεν. Ὑμῶν τὴν ἀγάπην, οὐκ Ἀρχαὶ, οὐκ Ἐξουσίαι, οὔτε ζωὴ, οὔτε θάνατος, ἀλλ' οὐδὲ πᾶς ὁ κόσμος ἰταμώτατα συγκινηθεὶς, τῆς οἰκείας αὐτὴν βεβαιότητος μετεκίνησε καὶ μονιμότητος.

Ὑμῖν πρώτως καὶ εἰλικρινῶς καὶ σαφῶς δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ · τοῖς

genere congregans, laudatissimum mensæ Dominicæ edulium struis apparasque.

Salve sis, Paule, prius quidem legis æmulatione exæstuans; postea autem gratiæ charitate incensus; ac pro persecutore, qui ipse fugam inieris; pro blasphemo et injuriis atroce, probatissimus prædicator exstiteris : ac qui pelles quidem inanimes in usum tabernaculorum manibus ipse consueris [42], divino autem Spiritu corda utentia ratione ac mente prædita alia aliis Deoque devinciens, immortale hæc tabernaculum atque cœleste, in quo Altissimus habitaret, præstares.

Vos, etsi suo quisque tempore in carne nati estis; ante sæcula tamen in Deo Patre præsciti, atque ut Unigeniti gloriæ similes efficeremini, prædestinati; quando venit plenitudo temporis ac Verbum caro factum est, tunc primum ipsi, illo agnito acceptoque ; ac primi ut ex eo nasceremini consecuti, primique ut ipsum in vobis manentem haberetis felici sorte nacti, ipsum Dei Spiritum habuisti testimonium perhibentem spiritui vestro, quod filii Dei essetis : si autem filii, et hæredes ; hæredes quidem Dei, cohæredes autem Christi [43].

Vos, nedum cœlestis vocationis participes facti estis, sed et electionis exstitistis filii : nec solum electi estis, sed et justificati, sed et glorificati. Vos non ex carne et sanguine, sed Patris cœlestis illustratione, ejus Christum edocti, inque magna luce magnam conspicati lucem, eique manifeste credentes, atque in illa mente collustrati penitusque animo illuminati ; quinimo splendida divinique fulgoris lumina effecti, in lucem gentium missi estis : in salutem ad extremum usque terræ estis positi [44].

Fidem vestram, primus beatus ille et solus potens beatam prædicavit ; concelebrarunt angeli, dæmones expaverunt, creatura gloria extulit. Spem vestram, crebri jugesque absonarum cogitationum imbres non concusserunt ; nequissimarum linguarum procellæ, dirique blasphemiarum turbines ac molestiæ, irruentium more fluminum, non dissolverunt ; periculorum agmina mortesque plurimæ, ceu venti vehementius illisi, non eliserunt. Vestram charitatem, non Principatus, non Potestates, neque vita, neque mors (at neque mundus totus sævissime commotus) a sua constantia et firmitate dimoverunt [45].

Vobis primum vereque ac manifeste datum est nosse mysteria regni Dei ; reliquis autem, juxta

[42] Gal. I, 14 ; Act. IX, 2 ; Act. XVIII, 3. [43] Rom. VIII, 29 ; Gal. IV, 4 ; Joan. I, 14 ; Rom. VIII, 16. [44] Hebr. III, 1 ; Act. IX, 15 ; Rom. VIII, 30 ; Matth. XVI, 17 ; Psal. XXXV, 10 ; Isa. XLIX, 6. [45] I Tim. VI, 15 ; Matth. XVI, 17 ; VII, 25 ; Rom. VIII, 38.

(3) *Τότε πρώτως αὐτοί.* Id ita verum de Petro ac Andrea ejus fratre, qui sic primo primique Christum agnoverunt et receperunt ; Paulus vero, aliquanto post, et tardius, Domino jam in cœlos recepto, a quo etiam de cœlo vocatus est. Sed et ipse inter primos et primus, quantum ad illos qui post illum ejusque maxime opera credidere-runt.

(4) *Θεαυγῆ φῶτα.* Divini splendoris ac fulgoris lumina. Sic maxime apostoli et in eis principes, quorum sic divinus splendor et claritas, et qui dii quidam, toti Deo imbuti mortalibus sint.

Digitized by Google

quod divino proditum eloquio, est, in parabolis, pro cujusque nimirum certa quadam ratione cum sermone Verboque necessitudine. Vobis sublimis divinaque ac immediata in excelsis circa inaccessum thronum primæ sedis constituta dignitas, pro vestra illa cum divinissimo sermone Verboque necessitudine digne ac magnifice attributa : nec dictu temerarium arbitror, quæ a dextris atque sinistris summi universorum Regis sessio est, vobis a Patre præparatam esse [46].

Vos, terra quidem tanquam veritatem, juxta ac sacratissimum occinit melos, edidit : cœlum autem, justitiæ præcones produxit [47]. Nam terra quidem, velut elegantem emisit fructum : sua vero Dominus, in vobis alte defixa rataque benignitate, emicantibus ex vobis radiis creaturam omnem bonitate imbuit.

Vos primos vasa misericordiæ, suarumque gratiarum pretiosas penus condens, sacrosanctorumque donorum suorum plenitudine implens, ex vestra rursum plenitudine, cunctas deinceps gentium generationes munere afficit [48]. Ac sicut legis olim interpretem ac promulgatorem, cum suo illum spiritu illique proprio adimplesset, subjectos ei legisperitos ex illo impartit (quod ita manifeste Septuaginta seniorum, juxta Scripturam, vocatio prodit; ac quod a Mosaico ablatum, Spiritus illis demensum contributum est), sic in vos quoque postea principes, gratiæ doctores ministrosque, non commensa largitate; sed velut in summe necessarios, toto effuso adoptionis Spiritu, vestra ex plenitudine ut ex inexhausto fonte, gratiæ filios omnes bonitate imbuit et deitate.

Vos mundus universus non recte æmulatus, hoc quoque satagens ut perditionis profundo mergeret, sic nesciens imprudensque spe frustratus est, ut suos magis heros regesque agnoverit. Nempe reges, non qui rapina regnum caducum inierint, sed qui gloriam immortalem ac sempiternum regnum induerint. Omnis enim terra et mare excitatis, aquarumque more importabili impetu præcipitantium efferatis, linguæque multiplicis gentium cuneis, adversus sacros ipsos theologos; viros scilicet modestos ac graves, humiles, brevi lacerna opertos, nec ullum præterea sæculi hujus inferentes commeatum; atque his corpus perdere, prædicationem exstinguere, sensumque ac fidem sic radicitus evellere molientibus, ut nec memoriæ vestigium mundo exstaret: sic vicissim aversa, et ab absurdis inhibita conatibus sunt, ut divinum illud re ipsa oraculorum impletum conspiciatur [49]. Eorum nempe sermone compressa tempestate inque lenem traducta auram; atque illius quidem silentibus fluctibus; cunctis vero præ tranquillitate lætantibus, ac qui in divinæ voluntatis portum deducantur.

δὲ λοιποῖς, κατὰ τὸν θεῖον Λόγον, ἐν παραβολαῖς, ἀναλόγως τῆς πρὸς τὸν Λόγον ἑκάστων οἰκειότητος. Ὑμῖν ὑψηλή τε καὶ θεία καὶ προσεχὴς ἐν ὑψηλοῖς περὶ τὸν ἀπρόσιτον θρόνον ἡτοιμάσθη προεδρία, κατὰ τὴν πρὸς τὸν θεαρχικώτατον Λόγον οἰκείωσιν ἀξιοπρεπῶς ἀποκεκληρωμένη. Ὑμῖν οὐ τολμηρὸν οἶμαι φάναι τὴν ἐκ δεξιῶν τε καὶ ἐξ εὐωνύμων τοῦ Παμβασιλέως καθέδραν ὑπὸ τοῦ Πατρὸς προητοιμάσθαι.

Ὑμᾶς, ἡ γῆ μὲν ὡς ἀλήθειαν, κατὰ τὸ ἱερώτατον μέλος, ἐξανέτειλεν· ὁ οὐρανὸς δὲ δικαιοσύνης κήρυκας ἐξέφανεν. Καὶ γὰρ ἡ γῆ μὲν, ὡς ὡραῖον προῖσχετο καρπόν· ὑμῖν δὲ ὁ Κύριος τὴν οἰκείαν ἐνιδρυσάμενος χρηστότητα, ταῖς ἐξαλλομέναις ὑμῶν ἀκτῖσι πᾶσαν ἀγαθουργεῖ τὴν κτίσιν.

Ὑμᾶς πρώτους ἐλέους σκεύη, καὶ ταμιεῖα τίμια τῶν αὐτοῦ χαρίτων κατασκευασάμενος, καὶ ἐκ τοῦ πληρώματος τῶν τελεταρχικῶν αὐτοῦ δωρεῶν πεπληρωκὼς, ἐκ τοῦ ἡμετέρου πάλιν πληρώματος, τὰς ὅλας ἑξῆς γενεὰς τῶν ἐθνῶν εὐεργετεῖ· καὶ ὥσπερ τὸν τοῦ γράμματος πρώην ὑποφήτην, τοῦ ἐκείνῳ προσήκοντος πνεύματος πεπληρωκὼς, ἐξ αὐτοῦ τοῖς ὑπ' αὐτῷ μεταδίδωσι νομιζομένοις· εἴπερ ἀπόδειξις τούτου σαφὴς, ἡ τῶν Ἑβδομήκοντα πρόσκλησις πρεσβυτέρων, κατὰ τὴν Γραφήν· καὶ πνεῦμα τοῦ Μωσαϊκοῦ μὲν ἀφαιρούμενον, αὐτοῖς δὲ ἐπιμετρούμενον· οὕτω καὶ ὑμῖν ὕστερον τοῖς κορυφαίοις τῆς χάριτος μυσταγωγοῖς καὶ διακόνοις, οὐκ ἐκ μέτρου τὸ Πνεῦμα τῆς υἱοθεσίας· ἀλλ' ὅλον ὡς οἰκειοτάτοις ἐκχεάμενος, ὡς ἐξ ἀκενώτου πηγῆς τῆς ὑμετέρας πληρότητος, τὰ τέκνα πάντα τῆς χάριτος ἀγαθύνει καὶ θεουργεῖ.

Ὑμᾶς ὁ πᾶς κόσμος ζηλώσας οὐ καλῶς, καὶ βυθοῖς ἀπωλείας καταχώσειν βιασάμενος, οὕτως ἔλαθε τῶν ἐλπίδων ἀποτυχὼν, ὥστε μᾶλλον δεσπότας ἰδίους ἐπιγνῶναι καὶ βασιλεῖς· βασιλεῖς οὐχ ἁρπαγμῷ βασίλειον εἰληφότας καταργούμενον· ἀλλ' ἀκατάλυτον δόξαν καὶ διαιωνίζουσαν ἡμφιεσμένους βασιλείαν. Καὶ γὰρ ἡ γῆ μὲν πᾶσα καὶ θάλασσα, τὰς ἐκτεθηριωμένας καὶ πολυγλώσσους ἀγέλας τῶν ἐθνῶν, καθάπερ ὑδάτων βίαν ἀνυπόστατον, κατὰ τῶν ἱερῶν τούτων θεολόγων κατεγείρουσα, τῶν σεμνῶν, τῶν μικρῶν, τῶν βραχεῖ ῥάκει τὸ σῶμα σκεπομένων· ἄλλο δὲ καθάπαξ τοῦ νῦν αἰῶνος οὐδὲν ἐφόλκιον ἐπαγομένων· καὶ τούτοις ὀλέσαι μὲν σῶμα, σβέσαι δὲ λόγον· νοῦν δὲ καὶ πίστιν οὕτως ὁλόριζον ἐκτῖλαι, ὡς μηδὲ μνήμης ἴχνος τῷ βίῳ καταλιπεῖν μηχανωμένη· οὕτως ἀντέστραπται τῆς κακίας, καὶ τῶν ἀτόπων ἐγχειρημάτων ἀνακέκοπτο, ὡς τὸ θεῖον ἐκεῖνο λόγιον ἐνεργούμενον ὁρᾷν· τῷ λόγῳ μὲν αὐτῶν τῆς καταιγίδος ἐπιτεταγμένης, εἰς πραεῖαν δὲ αὔραν ἱσταμένης· καὶ τῶν κυμάτων μὲν αὐτῆς κατασιγαζομένων· εὐφραινομένων δὲ πάντων ἐπὶ τῇ ἡσυχίᾳ, καὶ ἐπὶ λιμένα τοῦ θείου θελήματος ὁδηγουμένων.

[46] Matth. XIII, 11; Luc. VIII, 10; Matth. XIX, 28; Matth. XX, 23 [47] Psal. LXXXIV, 12. [48] Rom. VIII, 23; [49] Psal. CVI, 29. Num. XI, 17.

Digitized by Google

Ἦν ὁρᾷν ἐκεῖ τότε πᾶσαν μὲν ἀνθρώπων φυλήν· πᾶσαν δὲ γλῶσσαν, τὴν ἰδίαν διάλεκτον ἀκούουσαν, τῷ Παρακλήτῳ διὰ ἀποστόλων λαλουμένην· καὶ γόνυ μὲν ψυχῆς τῷ θεολογουμένῳ Λόγῳ κατακάμπτουσαν· χείλη δὲ καὶ γλῶσσαν πρὸς τὴν τριαδικὴν κατευθύνουσαν δοξολογίαν· καὶ ὥσπερ εἰδώλων τε πλάνης καὶ τῶν δαιμονίων πρώην ἐμεμέστωτο, οὕτως ὕστερον χάριτος ζώσης τοῦ ζωαρχικοῦ Πνεύματος πεπλήρωτο. Καὶ οἷον ἁλσὶ δραστηρίοις ταῖς τούτων θεηγορίαις καταρτυομένη, τὴν ὑγρὰν ἀπερρύπτετο καὶ δυσώδη τῆς ἁμαρτίας σηπεδόνα. Τῶν μιαρῶν γὰρ ὀργίων καὶ ἐθῶν καὶ τελετῶν, οἷς χρονίως ἐμμείνασα δυσαπόνιπτον ἔσχε τὴν κηλίδα, τούτων ὕδατι ῥυπτομένη καθαρῷ, καὶ μυστηρίων θείων θεουργουμένῃ μετουσίᾳ, κοινωνὸς οὐρανίων ἀναπέφηνε μεγαλοδωρεῶν. A

Vidisses illic tunc hominum nationem omnem omnemque linguam, suum proprium sermonem ex apostolorum ore Spiritus munere audientem [50]: ac quidem genu, sermoni, cujus deitas prædicaretur, flectentem; labia vero ac linguam ad Trinitatis laudem dirigentem: ac sicut olim simulacrorum dæmonumque errore plena exstiterat, sic postea viva vivifici Spiritus gratia exuberabat: velut denique acri sale, divinis eorum condita prædicationibus, udam atque olentem peccati cariem detergebat. Impuris enim orgiis mysteriisque ac cæremoniis, quibus olim alte hærentem contraxerat maculam, horum munda aqua abluta, divinorumque mysteriorum communione imbuta, magnificorum cœli munerum consors effecta est. B

torum : per quam ipsam occasionem factum est ut et Græcis Christi Evangelium, ante etiam Jacobi necem, a viris Cypriis aliisque Antiochiæ annuntiaretur, Act. xi. Quod si hoc a discipulis vix secundi ordinis, quidni ab apostolis, et inter apostolos fere principe, Jacobo ? Potuit ergo interim in Hispania versari, et quidquid est apostolici muneris præstare, ac, quod postea Paulus, obduratis Judæis et viam Domini bonam blasphemantibus, ad gentes converti, vel certe illarum explorasse animos, num ad fidem aptiores essent, deque illis relaturus (velut etiam factum est Antiochiæ) Hierosolymam ad Petrum et apostolos reliquos ascendisse ; per quas moras Herodes Agrippa ante festum Paschæ cervices illi amputarit. Ac forte simile aliquid in Jacobo præcessit, quod postea in Paulo Actuum apostolicorum historia nobis manifestavit. Nempe delatæ quædam querelæ, sive perlatus Hierosolymam rumor, B ab iis Judæis quos vel in Hispania, vel aliis locis inviserat, tanquam et ipse discessionem prædicaret a lege, et gentibus Evangelii ostium aperiret ; vel non omnem œconomiam quam Joannes illius frater, vel etiam reliqui Hierosolymis apostoli et Jacobus loci episcopus servaret. Certe peculiare aliquid fuit, ut sic Herodes Agrippa legis æmulatione, ac putans se obsequium præstare Deo, non Petrum, non Joannem, non quemquam aliorum invaserit, sed potissimum Jacobum, ac reliquorum primum, cujus cæde in Petri necem exarserit. Hæc tota mens, quam ipse nobis Nicetas insinuavit, quibus sic loquitur, τὴν ἔρημον δὲ τέως Ἐκκλησίαν συσσείσασα τῶν ἐθνῶν, quasi Jacobi prima omnium prædicatio sic concusserit desertam hactenus gentium Ecclesiam, sensumque Evangelii sensim illi indiderit : quod vel maxime in Hispania factum sit. Vellem pro Hispanis testes antiquiores, et probatæ magis fidei, quam quos habent. Isidorus plura ha- C bet consuta mendaciis, ut bene Baron. Proinde non verus Isidorus : Flavius Dexter, auctor supposititius ; Beda ipse non satis vetustus, et forte interpolatus : Callixtus, aliique pontifices, possunt ipsi pium sensum suum de Jacobo ejusque in Hispania apostolatu et miraculis aperire, et etiam libris ecclesiasticis inserere ; sed historicam fidem, nisi ex probatis monumentis, non possunt certam præstare. Utque in Jacobo sic in aliis, in quibus nulla pietatis jactura, licet post etiam diplomata pontificia, vel instituta publica auctoritate sanctorum veneratione officia, a viris doctis et studiosis certius aliquid inquiri. Quod recudendis Romæ nuper fastis ecclesiasticis diligenter præstitum audio, et summopere laudo ; quippe nullum majus ad pietatem fomentum, quam certa veritatis assertio. Græcis prorsus ignotus Jacobi hic in partes occiduas adventus. Nicetas, in Judæa et Samaria prædicasse habet, ab illa dispersione, quæ facta est sub D Stephano, tumque reversum ut inviseret Hierosolymorum Ecclesiam, sic ab Herode captum et occisum. Hippolytus adhuc parcius, ἐν τῇ Ἰουδαίᾳ κηρύσσων, *cum prædicaret in Judæa :* nec aliter Menæa Græcorum. Abdias Babylonius, cujuscunque fidei auctor, Samariam adjungit ; quæ ipsa vicina Judææ est, ac procul abest a transmarina illa Hispanica profectione. Euseb. l. ii, c. 9, ejus duntaxat meminit, quod ex Actibus habuit : solumque refert ex Clem. Alexandr., eum *qui judicio obtulerat*, εἰσαγαγὼν εἰς δικαστήριον, visa Jacobi martyrii constantia, veniam a Jacobo petiisse, quem Jacobus imprecando pacem osculatus sit, fratremque vocaverit. Docet Henric. Vales. illam vocem potius de delatore seu accusatore intelligendam, qui ipse in judicium adducere dicitur, quam de apparitore seu milite ; cum vox Græca utrumque ferat ; quod sic ille veniam a Jacobo petierit, quod *magis*, inquit, *convenit accusatori, quam militi. Quippe accusator qui innocentem calumniatur, sciens ac volens peccat: atque idcirco veniam petere potest ab eo quem affecit injuria. Miles vero qui judici exhibet noxium, cum imperio judicis obsequatur, omni culpa videtur vacare.* Quæ certe ratio, pace tanti viri, non prorsus satisfacit. Quoties enim legimus in Actis martyrum et confessorum apparitores, cornicularios, carcerarios veniam petiisse, ac culpam agnovisse, cum omnes judici obsequerentur, cui proinde obedire, non omni semper culpa vacare videri potest ; tunc nimirum, cum contra Dei legem obeditur, nec reus adducitur, sed sanctus et Dei servus, eo ipso nomine quod Dei servus, uti res se tunc in martyrum et confessorum judiciis pœnisque habebat. Cum itaque vox εἰσαγαγών, ut exstat in Clem. nullis aliis vestita, non magis apparitorem sonet et militem, quam delatorem vel calumniatorem (qui forte nullus peculiaris erat, sed communis rumor prædicationis Jacobi, quovis tandem modo illa impingere videretur Mosis legi), liberum erit quo quis potius sensu accipere velit. Si qua tamen fides Abdiæ, fuit hic unus ex scribis Pharisæorum, Josias nomine, qui Jacobo concionem habenti, cum essent duo centuriones, qui eum essent adducturi, Lysias et Theocritus, ipse quasi majoris zeli, in ejus collum funem injecerit : quasi nimirum legis vindex, quam in Jacobo putaret violari ; donec miraculo curati paralytici ad fidem illuminatus, sic veniam suæ temeritatis petiit, et ejus, quod cæco zelo atque ignorans, in Jacobum et Christum patraverat, delicti. Quæ narratio plenior est illa Clementis, et forte ad veritatem expressior. Potuit visus Jacobus μαρτυρήσας, vel ut alii codd. μαρτυρήσων, ipsa scilicet martyrii constantia, cogere ad fidem Josiæ animum affulgente illi Christi gratia ; pronius tamen est ut existimetur id factum aliquo miraculo, cujusmodi istud paralytici Abdiæ relatum : in quo nihil novum, aut non prius Christo sæpius, tumque Petro et Joanni, Christi Deitatis argumento exhibitum, uti partim sacris Evangeliis, partim Actuum libro habemus expressum. Sic in Stephano, ut Saulus converteretur, non satis fuit ejus exemplum constantiæ, vel etiam oratio, sed opus fuit divino vocationis miraculo : sic in Jacobo videatur, cum pene pares Josias et Saulus in Jacobo et Stephano videantur, eademque instincti æmulatione, præcipui amborum necis auctores exstiterint. Sunt in Abdia, quæ probata videri possint, sintque bonis auctoribus consentientia, multumque eis ac historiæ lucis afferant ; quod tamen in eo carbones auro commisti merito censeantur, caute legenda et probanda, quæ affert ; velut etiam est illa tanta narratio de Phileta et Hermogene magis, quos nihil vetat, sic a Jacobo conversos, a fide postea defecisse, ut testatur Paulus ; sicque pene in illis se rem habuisse ac in Simone Mago. Multos ejusmodi ad fidem conversos, fidem facit Actuum liber, qui et libros suæ artis tanto pretio combusserint.

Joannes Tamayo Salazar in suo Martyrologio, Hispanico, tom. IV, sancti Jacobi genealogiam texens, seu historiam referens, in hæc verba orditur : *Jacobus Zebedæi ex Maria sorore Matris Dei, Filia Salome, de Anna, et frater Joannis Evangelistæ, filius.* Ubi primum ipsa quæsita constructio, mire obtundit. Quam enim longe posita vox, *filius !* Sententia ejus est fuisse tres Annæ filias, omnes dictas Marias ; Mariam matrem Jacobi, filiam Salome et Annæ : ita ut Salome illi vir sit unus ex maritis sanctæ Annæ, quos plures habuerit. At abhorrent hæc a traditione relata a Niceph. l. ii, c. 3, ex Hippolyto Portuensi, singularis prolis sanctæ Annæ ex Joachim, quam confirmat card. Baron. in appar., n. 41. Idem tamen totis velis in eam sententiam vide-

Digitized by Google

Dei Verbi Theologus, ad suorum mirabilium laudationem humanissime colligens, laudatissimam

A πρῶτος τοῦ Θεοῦ Λόγου Θεολόγος, πρὸς ὕμνησιν τῶν αὐτοῦ θαυμασίων ἀγαθοπρεπῶς ξεναγαγῶν, πολυ-

tur ire in notis Jul. 25, ubi et Maii 25, majori commento Mariam Jacobi, hujus matrem interpretatur, quæ sic in Italiam venerit in dispersione illa sub Stephano, et Verulis in Hernicis sancto fine quieverit : putatque se habere ex illius Ecclesiæ monumentis; quæ certe vir doctus probare debuit, vel probanda repræsentare lectori. Mihi certe monstro simile, quæ in Evangelio legitur Maria Jacobi, matrem intelligi Jacobi Zebedæi aut etiam Joannis. Undenam vero orta Maria hæc, ac quidni æque Joannis dicta, qui ipse etsi junior fratre ætate, cunctis tamen reliquis celebrior fuit, ut etiam auctor est Chrysostomus, etc. Certe Maria Jacobi, ipsi Baronio, et illis qui ejus sententiæ sunt de duobus ex duodecim Jacobis, Maria Alphæi est (scilicet uxor) non Zebedæi : ita alios, ne illius quidem, sed Jacobi, cujus se fratrem Judas nominat, qui etiam Jacobus B μικρός, *Parvus* seu *minor*, ὁμωνυμίας vitandæ causa a Marco dicitur, undecunque hoc illi cognomen hæserit, sive quia fratrum minimus, quanquam meritis ita conspicuus, sive quia hujus ipsius Jacobi nepos sit ex Symeone. Hanc sic dictam Mariam Jacobi, quasi evangelica phrasi habeant Verulenses, illa gaudeant : non illa invicta, ex nescio quibus monumentis, Mariam Jacobi, quasi uxorem Zebedæi (quæ nec Maria quidem) nobis obtrudant. Sanius certe idem ill. annalium pater in Appar. 61, non jam ex stramineis ac subditiliis monumentis, sed ex puris evangelicis fontibus censens, Matthæumque Marco componens, *Quam alter matrem filiorum Zebedæi astantem cruci ponit, alter Salomen dicit :* nec usquam aliter dictam, aut vocatam Mariam, probatus ullus auctor insinuavit. Nec bene, qui nuper (id est Clem. VIII pontifice) Rom. tabulas auxerunt, nec satis ex tanti pontificis mente zeloque emendarunt, dum ita XI Kal. Novembr. illis ascripserunt : *Hierosolymis sanctæ Mariæ Salome, quæ in Evangelio legitur circa Domini sepulturam sollicita.* Ubi Bar. : *De ipsa Matthæi Evangelium* XV et XVI. *Agunt de ea hac die Beda, Usuardus et alii recentiores.* Matth. XV et XVI, ne Salome quidem nominatur, sed solum mater filiorum Zebedæi pro filiis sollicita, et rogans pro illis; etsi id non Matth. XV aut XVI, sed XX. Beda : *Item beatæ Salomæ, quæ in Evangelio legitur cum reliquis sanctis feminis circa Dominisepulturam sollicita ;* nec aliter Ado. Quid hoc ad illud novarum ejusmodi tabularum, ut quasi ex illo videatur exscriptum ? Vetus quoque Rom. Hieron.; *Item Salome, quæ in Evangelio legitur circa,* etc. Quomodo Maria Salome Hierosolymis, si Maria Jacobi, quæ ipsa Maria Salome, auctorum sensu, quos exagito, Verulis in Italia ? Rom. item Rosveid.: *Et Salome, quæ in Evangelio legitur.* Corbeien. ipsum antiquissimum, Salomen non habet, at nec Mariam Magdal.: quod mirum, et contra ac reliqua omnia, etsi ita in indice ascriptum vulgatoris προλήψει, *Maria Magdalena* XIV *Kal. Febr.*, 19 *Jan.*, ubi tamen ipsæ tabulæ. *Hierosolymæ, Marthæ et Mariæ sororum Lazari.* Certe ad eum diem nullæ veterum tabulæ, nulli fasti Magdalenam ascriptam habent : sed omnes 22 Julii, et quidem simplicissime, ascripto duntaxat illius nomine, *Sanctæ Mariæ Magdalenæ;* exceptis duntaxat novis Rom. tabulis, in quibus explicatur adventus ejus in Provinciam, et quidquid est traditionis illius provinciæ. Corbeienses illæ unæ tabulæ, cur desiderent Magdalenæ nomen et memoriam, nescio. Num quod illarum auctor in Asia defunctam ad se minus spectare existimavit; an quia ipsam Mariam sororem Marthæ putavit, et cum sorore honorare voluit? Sic certe Dacherius suo indice repræsentavit : sed re ancipiti, probare debuit, ejusque suæ opinationis momenta aperire, quibus forte suasurus aliquid erat, non quasi imponere. Græcos certe video Magdalenam colere dicta illa Julii 22, Mariam vero et Martham die 4 Junii; Basilianum Menol. altero die, *Natalis sanctæ Mariæ Magdalenæ ;* altero, *et sanctarum mulierum Marthæ et Mariæ.* Sed hæc alterius operæ.

Ad Jacobi matrem Salomen quod spectat, Græci in Menæis 8 Maii laudato Sophron. Ἰστέον ὅτι ὁ πατὴρ τοῦ Θεολόγου ὁ Ζεβεδαῖος ἦν · ἡ δὲ μήτηρ, Σαλώμη, θυγάτηρ Ἰωσὴφ τοῦ μνηστευσαμένου τὴν Θεοτόκον. Ὁ δὲ Ἰωσὴφ υἱοὺς ἔσχε τέσσαρας, Ἰάκωβον, Συμεών, Ἰούδαν καὶ Ἰωσῆ · καὶ θυγατέρας τρεῖς · τήν τε Ἐσθὴρ, τὴν Μάρθαν καὶ τὴν Σαλώμην, ἣ τις ἦν γυνὴ Ζεβεδαίου. Ἐντεῦθεν ὁ Σωτὴρ, θεῖος ἦν Ἰωάννου, ὡς ἀδελφὸς Σαλώμης τῆς θυγατρὸς Ἰωσήφ. Hæc quidem de Joanne; sed eadem ratio de Jacobo, qui ejus germanus erat. *Fuit Zebedæus Theologi pater : mater vero, Salome, filia Joseph, qui Deiparam sponsam accepit. Porro Joseph quatuor masculos habuit, Jacobum, Simeonem, Judam et Josetem : feminas tres, Estherem et Martham et Salomen, quæ fuit uxor Zebedæi. Itaque Salvator Joannis avunculus erat, velut Salomes frater filiæ Josephi.* Paulo aliter Niceph. ex Hippol. l. II, c. 3, duas assignans Josepho filias ex Salome Zachariæ filiæ, patris Joannis Baptistæ, *Estherem et Thamar.* Epiphan. hær. 78, ipse quoque duas filias dicit, καὶ δύο θυγατέρες, Μαρία, καὶ ἡ Σαλώμη καλουμένη. *Filiæ duæ, Maria et Salome.* Fuit in feminis istud nomen vulgatissimum : *Salome* enim mater Machabæorum, soror Herodis, obstetrix Bethlehemitica, ipsaque hæc uxor Zebedæi, et plures aliæ : mirumque sic potuisse in virum mutari per apocryphorum somnia, ex quo et Anna Maria mater filiorum Zebedæi suscepta sit, ut in Anna idem Tamayo belle describit.

C Unum alterumve notabo, ne nimius sim, quod Stephanum Jacobi hujus diaconum faciunt. Julian. in Chron. n. 16, fol. 3, *quod*, ait Tamayo, *multum honoris Apostolo nostro conciliat.* Auctorem laudant Ignatium epist. ad Tralien. Verba Ignatii sunt, in ea epistola, inter eas quæ interpolatæ censentur, cum nec purius exemplar Florentinum habeat, nec veteres versiones Latinæ : Τί δὲ διάκονοι, ἀλλ' ἢ μιμηταὶ τῶν ἀγγελικῶν δυνάμεων, λειτουργοῦντες αὐτῷ λειτουργίαν καθαρὰν καὶ ἄμωμον ; ὡς Στέφανος ὁ ἅγιος Ἰακώβῳ τῷ μακαρίῳ, καὶ Τιμόθεος καὶ Λῖνος Παύλῳ, καὶ Ἀνέγκλητος καὶ Κλήμης Πέτρῳ. *Quid vero diaconi ? nisi imitatores angelicarum potestatum, præstantes episcopo ministerium mundum et immaculatum ; quomodo sanctus Stephanus beato Jacobo, et Timotheus et Linus Paulo, et Anencletus et Clemens Petro.* Hæc quidem interpolator, nullius proinde frugis, ut existimentur veri Ignatii. Ac vel si Ignatii, quid hæc ad Jacobum Zebedæi ; aut cur D ejus potius diaconus Stephanus, seu minister quam Petri, vel etiam Andreæ, aut Joannis? Fuerit Jacobus Hierosolymis, at cum reliquis apostolis fuit, nec in eis princeps, aut etiam peculiarius Ecclesiæ illius sacerdos, cui addictum foret Hierosolymis ministerium Stephani ; cum præcipue, si aliquid demus Hispaniarum illi traditioni, Jacobi ad eam apostolatus, minus omnibus Hierosolymis moratus sit, nec ut faceret missas, ac diacono in eis uteretur, sed ut Christum prædicaret. Nec forte ulla alia potiori ratione delatus Jacobo ἀδελφοθέῳ Hierosolymorum episcopatus, non ulli ex duodecim peculiarius usurpatus, ne quid ejus functio obstaret prædicationi, quam præcipuum atque proprium suum munus duodecim noverant a Christo sibi constitutum, et ad quod primitiis Spiritus donati erant : licebatque sacerdotes facere et episcopos, non sic facile apostolos, ac apostolico vere spiritu præditos. Hæc sic straminea, ac curiose adeo accersita, ipsam elevant piæ traditionis apostolatus

Digitized by Google

τελῆ μὲν ἡμῖν τράπεζαν σεπτῶν ἐννοιῶν· ἡδεῖαν δὲ A
ὅτι μάλιστα παρεσκευάσατο φιλοτησίαν· οὗ τῆς
ἀφθόνου καὶ ζωηρᾶς κατατρυφῶντες ἑστιατορίας, καὶ
τῇ δαψιλείᾳ τῆς χάριτος πληρούμενοι καὶ θερμαινό-
μενοι, οἷά τινα μικρὰν ἐκ καρδίας τῶν λόγων αὐτῷ
προσενηνέγκαμεν ἐρυγήν· τῆς μὲν εὐεργεσίας ἄξιον
προσενεγκεῖν ἔχοντες οὐδέν· ὡς ἂν δὲ μὴ ἀχαριστίας
δεινὴν ἀποισώμεθα γραφὴν, κατὰ δύναμιν τὸν ἔπαι-
νον εἰσενεγκόντες.

Νυνὶ δὲ μετ' αὐτὸν, ἄλλη μυστικὴ διαδέδεκται
πράπεζα, καὶ ἄλλος ἡμῖν ζωηρύτου πόματος με-
μεστωμένος προεβήθη κρατήρ· καὶ ὁ ἑστιάτωρ ὡς
φιλότιμός τε καὶ δαψιλὴς, οὐδὲν ἐκείνου τῆς μεγα-
λοπρεπείας λειπόμενος· πάντα δὲ τρόπον ἐξισούμε-
νος, ἀδελφὸς τὴν φύσιν, ἀδελφὸς τὴν πίστιν. Ἑνὸς B
γὰρ ἑκάτεροι πατρὸς, ὥσπερ τοῦ Ζεβεδαίου κάτω,
οὕτως ἄνω τοῦ Θεοῦ· ὀνόμασι μόνοις Ἰωάννης καὶ
Ἰάκωβος διενηνόχασι, μικροῦ τοῖς πράγμασι συν-
απτόμενοι· ἴσοι τὴν γνώμην, ἴσοι τὴν χάριν, ἴσοι
τὴν ἀρετὴν καὶ τὴν πρὸς Θεὸν οἰκείωσιν. Ὧν ἀληθῶς
Κύριος εἷς, ὁμοίως ὁρώμενός τε καὶ πιστευόμενος,
ὁμοίως προσκυνούμενός τε καὶ λατρευόμενος· μία
κλῆσις, μία πρόθεσις, ἐλπὶς μία, ὥσπερ καὶ βά-
πτισμα ἕν.

Ὁμότιμοι τὴν ἐν γράμματι λατρείαν, ὁμότιμοι
τὴν πρὸς τὸ πνεῦμα μετάθεσιν. Ὁμόφρονες τὴν
ἐπίγνωσιν τοῦ Πατρὸς, ὁμόφρονες τὴν εἰς τὸν Μονο-
γενῆ καὶ ἀγάπησιν· οὐ μόνον δὲ, ἀλλὰ καὶ πρὸς τὴν
τοῦ Πνεύματος συγκατάθεσιν καὶ ὑποταγὴν οἱ αὐ-
τοί. Διὸ καὶ Βοανεργὲς, ὅ ἐστιν υἱοὶ βροντῆς, ἅμφω C
πρὸς αὐτῆς κέκληνται τῆς ἀληθείας, ὡς ἑνὶ καὶ τῷ
αὐτῷ Πνεύματι πρὸς τὴν τοῦ Εὐαγγελίου μεγαλο-
φωνίαν καταρτιζόμενοι καὶ κροτούμενοι· ὀφθαλμοὶ
δύο τῆς ἁγιοπρεπείας Ἰησοῦ, τὴν ἀνωτάτω τοῦ
Δεσποτικοῦ σώματος κατέχοντες σκοπιάν· καὶ πρῶ-
τοι τῶν θεαρχικῶν ἀκτίνων ὁμοίως, ὡς ἁπλοῖ καὶ
διειδεῖς καὶ φωτοφανεῖς ἀποπληρούμενοι· καὶ ἀγα-
θοπρεπῶς ὅλον δι' ἑαυτῶν καταλάμποντες τὸ σῶμα.
Κορυφαῖοι τὴν τάξιν ὡσαύτως, ὡς τῇ κορυφαίᾳ τῶν
ἀρετῶν ἀγάπῃ πάντων μᾶλλον τῷ τοῦ Θεοῦ προσ-
ψκειωμένοι ἀγαπητῷ. Διὸ καὶ πρωτόθρονοι, καὶ ἰσό-
τιμοι καὶ πάντων μικροῦ φάναι πρόκριτοι, ὡς τῆς
ἴσης καὶ πρώτης παρὰ τῷ Παμβασιλεῖ κατηξιω-
μένοι τιμῆς. D

Τοῦτον οἱ τῆς βροντῆς υἱοὶ τὸν τρόπον ἐνούμενοι
καὶ ταυτιζόμενοι, πῶς οὐ τὸν αὐτὸν τῆς εὐφημίας
προσοίσονται λόγον; Ὧν γὰρ οἱ ἀγῶνες ἴσοι, καὶ αἱ
ἀναῤῥήσεις αἱ αὐταί· ὧν δὲ κοινὴ τῆς ἀρετῆς ἡ κτῆ-
σις, κοινοὶ δῆλον ὅτι οἱ στέφανοι. Τίς οὖν τὰ ἀδιαί-
ρετα διελεῖν, καὶ τὰ κατὰ φύσιν καὶ γνώμην ἡνω-

nobis venerabilium sententiarum sensorumque mensam, ac quam maxime suave convivium paravit : cujus copiosis vitalibusque delectati epulis, nec non abundantia gratiæ repleti accensique, quasi exiguam quamdam ex corde sermonum eructationem ei dependimus : quibus suppeteret quidem nihil, quod pro munere dignum offerretur ; sed qui tamen, quanta facultas erat, ad depellendam ingrati animi tetram labem ac crimen, laudatione in eum defuncti simus.

Nunc vero post illum alia nobis mystica successit mensa : alius nobis mellito plenus nectare crater propositus est; mensæque structor ac convivator, quasi splendidus largusque opum ac magnificus, nihil illi impar ambitioso cultu et magnificentia, sed omnimode æqualis : natura germanus, ac fide germanus : uno enim prolati patre, uti in terris Zebedæo, ita in cœlis Deo. Solis discreti nominibus Joannes atque Jacobus, propemodum rebus concreti ac copulati : pares animo, pares gratia, pares virtute ac cum Deo necessitudine : quorum revera unus Dominus, quem similiter viderent, et una vocatio, unum mentis propositum, una spes, uti et baptisma unum [1].

Pari honore, quod attinet ad cultum legalem ; pari, quod ad translationem ad spiritum. Pari animi sensu ac concordia in Patris agnitione, pari propensa in Unigenitum voluntate et dilectione. Neque id modo, sed et consensu in Spiritum ejusque subjectione, iidem. Quamobrem etiam Boanerges (quod est, Filii tonitrui) ab ipsa ambo nuncupati sunt veritate, velut quos unus idemque Spiritus ad magnificam Evangelii prædicationem concinnasset atque conflasset [2]. Gemini oculi sanctissimi decoris Jesu, Dominici corporis supremam tenentes speculam ; primi scilicet divinæ lucis radiis, ceu simplices atque limpidi lucidique pariter repleti, benignissimeque totum corpus fulgoribus suis collustrantes. Perinde ordine principes, tanquam charitate quæ princeps virtutum est omnium maxime Dei dilecto devincti ac familiares. Quamobrem etiam primis sublimes sedibus, parique honore ac cunctis propemodum prælati, tanquam vidélicet parem primumque apud summum universorum Regem consecuti honorem.

In hunc modum conjuncti tonitrui Filii unaque velut ratione coaliti, quomodo non eumdem laudationis ac præconii sermonem admiserint ? Quorum enim certamina paria, eadem etiam exsistant præconia. Quorum commune virtutis decus, communes nimirum etiam coronæ. Quis igitur quæ sunt indi-

[1] Ephes. IV, 5. [2] Matth. III, 17.

Jacobi in Hispaniam fidem. Porro interpolator ipse insulsus, qui præter Stephanum Jacobi Hierosolymorum antistitis vere diaconum, et in hoc præcipue ab apostolis creatum, inter diaconos numeret, qui omnes episcopi fuerunt, et quidem apostolorum quasi suffraganei, quos vocant ; partes scilicet et munia et episcopalia præstantes, dum apostoli majora magisque propria ex officio tentarent ; ipsi κατ' ἐξοχὴν coryphæi et principes, eminentiusque quidquid episcoporum est, ac velut prima sub Christo fundamenta atque ostia habentes.

Digitized by Google

visa tentet dividere; ac quæ natura ac voluntate copulata, dispescere? Quonam vero modo ex propositis alteri seorsim contexi laudatio queat? quæ enim quis de altero dixerit hæc forsan etiam alteri conveniant. Num vero, cum aliis quidem, uti dictum est, coeant; modo tamen quo ad Christum emigrarunt, abunde distinguantur; illorum quidem ratione, communis amborum laudatio; horum vero merito cuique propria ac distincta sit?

μένα πειράσαιτο διιστᾷν; Πῶς δὲ τῶν προκειμένων ἡμῖν ἑκατέρῳ τὸν αἶνον ἰδίᾳ διαπλέκοιμεν; ἃ γὰρ ἄν τις εἴποι περὶ τοῦ ἑνὸς, ταῦτά γε τυχὸν καὶ τῷ ἑτέρῳ ἐφαρμόσειεν. Ἢ, τὰ μὲν ἄλλα, καθάπερ εἴρηται, ταυτιζομένους, τῷ τρόπῳ δὲ τῆς πρὸς τὸν Χριστὸν διαφορουμένους ἀναλύσεως· κοινοποιητέον μὲν κατ' ἐκεῖνα· διαιρετέον δὲ τὸν λόγον κατὰ ταῦτα.

Etenim cum primum eamdem humano satu nativitatem ac educationem nacti essent; iisdemque moribus et disciplinis instituti fuissent, ac paternæ piscatoriæ arti operam posuissent; magnam vitæ partem in mari versati, qui hamum mitterent, sagenam laxarent, ac rursus retia emundarent, eamdem postea divinissimi Jesu vocationem consecuti; ac tanquam eodem animo duplicique corpore uterentur, eodem ambo divinæ scientiæ e cœlo coruscante, cuncti qui attentis animis sint, uno ejus fulgore atque micatu pariter irradiantur: sic et illi Dominica vocatione donati, quæ sequi illos præciperet, atque hominum piscatores facturum pollicereture, nihil verbi novitate diffidentia acti sunt: nulla vocationem dubietate repulerunt; nec sicut Paulum Athenienses in crastinum distulerunt [a]: sed simul atque sermone illabente collustrati animo sunt, ac velut incendio paratiore materia, mentis rectitudine cœlestem ignem susceperunt, sui ipsorum confestim obliti sunt, ac patre cum navi relicto, spretaque propinquorum necessitudine ac consueta institutione posthabita, cunctisque deliciis ac carnis voluptatibus contemptis, uni se Jesu amori addixerunt.

Καὶ γὰρ τὴν ἐξ ἀνθρώπων γέννησιν πρῶτον καὶ ἀνατροφὴν λαχόντες τὴν αὐτὴν, καὶ ὑπὸ τοῖς αὐτοῖς ἤθεσι καὶ μαθήμασι παιδοτριβούμενοι, καὶ τῇ πατρικῇ τέχνῃ τῆς ἁλείας προσασχολούμενοι, καὶ τὰ πολλὰ τῇ θαλάσσῃ προσέχοντες, καὶ ἄγκιστρον καθιέντες, καὶ δίκτυον χαλῶντες, καὶ αὖθις ἀνακαθαίροντες· μετὰ ταῦτα δὲ τῆς αὐτῆς ὁμοίως πρὸς τοῦ θεαρχικωτάτου κλήσεως ἀξιωθέντες· ὥσπερ μιᾷ μὲν ψυχῇ, δυσὶ δὲ σώμασι χρώμενοι, μίαν ἀμφότεροι τὴν τῆς θεογνωσίας περιελάμφθησαν ἀκτῖνα. Καὶ καθάπερ ἀστραπῆς ἄνωθεν διαλαμψάσης, μίαν τὴν ἀπ' αὐτῆς αὐγὴν πάντες ὁμοίως οἱ προσέχοντες ἐναπαστράπτονται, οὕτω δὴ καὶ οὗτοι τῆς Δεσποτικῆς κλήσεως ἠξιωμένοι, ἕπεσθαι μὲν αὐτῷ παρεγγυώσης· ἀνθρώπων δὲ ἁλιεῖς ποιεῖν ὑπισχνουμένης, οὐκ ἐνεδοίασαν τῷ ξενίζοντι τοῦ ῥήματος, οὐκ ἀπορίᾳ τὴν κλῆσιν διεκρούσαντο, οὐδ' ὥσπερ Ἀθηναῖοι τὸν Παῦλον εἰς τὴν ἐξῆς ὑπερετίθεντο· ὁμοῦ δὲ τῷ λόγῳ περιαστραφθέντες τὸν νοῦν, καὶ ὥσπερ ὕλης ἐπιτηδειότητι, τῇ τῆς διανοίας εὐθύτητι τὸ οὐράνιον καταδεξάμενοι πῦρ, ἐπελάθοντο μὲν εὐθὺς ἑαυτῶν· ἐπελάθοντο δὲ οἰκειότητος φυσικῆς· καὶ τὸν πατέρα μετὰ τοῦ πλοίου καταλιπόντες, καὶ συγγενείας ὑπεριδόντες, καὶ τῆς συνήθους διαγωγῆς ἐκστάντες, καὶ πάσης τέρψεως καὶ πάσης σαρκίνης παραμελήσαντες ἡδονῆς, μόνου γεγένηντο τοῦ ἔρωτος τοῦ Ἰησοῦ.

Terrenorum omnem jucunditatem, una hac sublimi cupiditate commutarunt: neque duntaxat naturalem corporis libidinem animi magnitudine supergressi, Legis tamen litteræ ac Mosaicis traditionibus justo amplius addicti, segniores ad Spiritum accedebant; neque fervore quidem ac fide accedentes, novum tamen legislatorem spernebant; aut ei quidem honorem habebant, at qualem Mosi, seu cuidam alii prophetarum: quinimo omnium a sæculo sanctorum Deum ac Dominum, Deique viventis Filium [b], ac prophetam olim Scripturis prænuntiatum Christumque venturum Jesum credentes, sic ardore fidei ipsum sequebantur [b*]; non subjecta oculis specie offendentes, sed qui ad ea quæ mente intelligebantur spiritus ratione dirigerentur. Non enim lapis eis offensionis, velut his qui essent prava mente, nec petra scandali positus erat [c], sed lapis electus, angularis, pretiosus in fundamentis Sionis collocatus [c*].

Μιᾶς ταύτης ἁγίας καὶ ὑψηλῆς ἐπιθυμίας, πᾶσαν ἠλλάξαντο τὴν ἀπόλαυσιν τῶν γεηρῶν· καὶ οὐ τῆς κατὰ τὸ σῶμα φυσικῆς σχέσεως μόνον μεγαλοφυᾶ φρονήματος ὑπερανέβησαν, τῷ γράμματι δὲ τοῦ νόμου καὶ ταῖς Μωσαϊκαῖς παραδόσεσι πλέον ἢ ἔδει κρατούμενοι, πρὸς τὸ πνεῦμα νωθέστερον ἐχώρουν· οὐδὲ συντόνως μὲν καὶ πιστῶς προσίεσαν τῷ πνεύματι, τοῦ καινοῦ δὲ ὑπερεφρόνουν νομοθέτου· ἢ ἐτίμων μὲν, ἴσα δὲ Μωσέως, ἤ τινος ἄλλου τῶν προφητῶν· πάντων δὲ τῶν ἐξ αἰῶνος ἁγίων Θεὸν καὶ Κύριον καὶ Υἱὸν Θεοῦ ζῶντος, καὶ τὸν προκατηγελμένον προφήτην ταῖς Γραφαῖς, καὶ Χριστὸν εἶναι τὸν ἐρχόμενον πεπιστευκότες τὸν Ἰησοῦν, οὕτως αὐτῷ θερμότητι πίστεως ἐπηκολούθουν, οὐ τῷ ὁρωμένῳ προσκόπτοντες, ἀλλὰ τῷ νοουμένῳ κατευθυνόμενοι τοῦ Πνεύματος. Οὐ γὰρ λίθος αὐτοῖς προσκόμματος, ὥσπερ τοῖς τὸν νοῦν σκολιοῖς, οὐδὲ πέτρα τέθειται σκανδάλου, ἀλλὰ λίθος ἐκλεκτὸς, ἀκρογωνιαῖος, ἔντιμος, τοῖς θεμελίοις ὑποβεβλημένος Σιών.

Hunc Jacobus atque Joannes lapidem suam in spiritu effodientes mentem ac cor alte scindentes

Τοῦτον τὸν λίθον Ἰάκωβος καὶ Ἰωάννης, τὴν τῶν ἐν τῷ πνεύματι σκάψαντες διάνοιαν καὶ τὴν καρδίαν

[a] Act. xvii, 22. [b] Matth. xvi, 16. [b*] Deut. xviii, 15. [c] 1 Petr. ii, 8. [c*] Isa. xxviii, 16.

Digitized by Google

βαθύναντες, καὶ τὸν νοῦν μεταλλεύσαντες καὶ εὑρηκότες, καὶ ἐν αὐτῷ τῆς αὐτῶν πίστεως τὰ θεμέλια καταπηξάμενοι, κραταιοί τινες καὶ ἀνένδοτοι πρός τε τοὺς νοουμένους ὁμοίως καὶ τοὺς ὁρωμένους γεγένηντο πειρασμούς· ὅθεν τῆς κορυφαίας ἅμα τῷ μεγάλῳ Πέτρῳ καὶ ἀκροτάτης παρ' αὐτῷ καταξιοῦνται τιμῆς, καὶ τὴν ἀπὸ τοῦ θεαρχικοῦ σώματος ἐπὶ τοῦ ὄρους ἀστράψασαν, ὡς πιστοτάτοις παραδεικνύει μορφήν. Τούτοις καὶ τὴν κατὰ τὸ πάθος τῆς ἀνθρωπίνης ἐν αὐτῷ φύσεως ἀγωνίαν καὶ ἀδημονίαν, ὡς οἰκειοτάτοις ἀνατίθησιν· καὶ μετὰ τὸ δεῖπνον εὐθὺς, συλλήπτορας αὐτοὺς παρειλήφει τῆς προσευχῆς· εἰ καὶ τὸ πολὺ τῆς λύπης ἀπέκναιε, καὶ ὕπνῳ τούτοις κατενάρκα τὸν λογισμόν.

animumque, curiosius investigantes, cum offendissent, atque in eo suæ fidei fundamenta fixissent, firmi ac constantes adversus spiritales pariter et quæ oculis subjiciantur, tentationes exstitere; unde primo atque principe supremoque una cum magno Petro apud eum honore donantur; iisque seu fidelissimis effulgentem divini corporis formam in monte ostendit. Ad eos quoque tanquam summe necessarios, humanæ in ipso naturæ anxium mortis timorem ac mœstitiam, sub ipsum tempus passionis refert; moxque a cœna, orationis socios adhibuit; quanquam nimia tristitiæ vis exulcerabat, ac torpentem eorum animum somno degravabat.

Καὶ κατὰ πᾶσαν δὲ τῶν δύο τούτων τοῦ Θεοῦ παίδων τὴν μετὰ τοῦ Κυρίου τὴν συναναστροφὴν, καὶ τοῦ ζήλου τὴν θερμότητα, καὶ τῆς πίστεως τὴν δοκιμότητα, καὶ τῆς ἀγάπης τὴν τελειότητα· ναὶ δὴ καὶ κατὰ τὴν τοῦ Πνεύματος ἄνωθεν ἐπέλευσιν καὶ τὸν τῶν γλωσσῶν μερισμὸν καὶ τὴν διανομὴν τῶν δωρεῶν, οὐδὲν ἕτερον ἡγοῦμαι τοῦ ἑτέρου διενεγκεῖν. Ὅθεν εἷς ἀμφοτέρων καὶ κοινὸς ἄχρι τούτων αὐτοῖς ὁ αἶνος, μιᾷ Χριστοῦ μεμορφωμένοις μορφῇ, καὶ ἑνὶ τῷ αὐτῷ Πνεύματι, τὸν ἴσον τρόπον κατηρτισμένοις καὶ χαρακτηριζομένοις. Ἐπεὶ δὲ ἴδιος ἑκατέρῳ τῆς μεταστάσεως ὅ τε χρόνος ὑπάρχει καὶ ὁ τρόπος, ἰδίᾳ λοιπὸν καὶ τὸν λόγον τῶν ἐγκωμίων ἀποδῶμεν.

Quantum denique ad omnem amborum horum Dei puerorum cum Domino conversationem, atque æmulationis fervorem, probatamque fidem ac dilectionis perfectionem; sed et quantum ad Spiritus e cœlo illapsum, linguarumque dispertitionem ac donorum divisionem, nihil quidquam alterum ab altero existimo differre. Quamobrem una hactenus ac communis erit eorum laudatio, qui una Christi forma imbuti, unoque ac eodem pariter Spiritu perfecti fuerint ac configurati. Quod vero propria cuique migrationis tum tempus, tum modus exstiterint, seorsim etiam, qua eis defungimur, laudationem reddemus.

Τῷ μὲν οὖν Εὐαγγελιστῇ πρότερον ἀφωσίωται κατὰ δύναμιν ἡ αἴνεσις· καὶ πνευματικῶς αὐτοῦ τῆς μεγάλης κατατρυφῶντες ἀρετῆς, καθὼς οἷοί τε ἦμεν, ἀπετίσαμεν μετρίως τὴν ὀφειλήν. Νῦν δέ μοι, ὦ ἄριστε καὶ δοκιμώτατε Χριστοῦ μαθητά, δεῦρο καὶ σὺ σήμερον, Ἰάκωβε, ὁ τῶν ὑψηλῶν τοῦ Θεοῦ Λόγου θεατὴς καὶ ποιητὴς ἔργων· καὶ τῶν ἀπορρήτων μύστης καὶ μυσταγωγὸς λόγων. Ἡ κινύρα τοῦ Πνεύματος, ἡ ἡδύφωνος καὶ καλλίφωνος· ἡ εὐμελὴς καὶ εὐάρμοστον τοῖς εὐθέσι τὸν νοῦν, τὴν τῆς θεολογίας ἀνακρουομένη φωνήν· ἡ μεγάλη τοῦ Θεοῦ Λόγου βροντὴ, ἡ ὑψηγόρως, ἡ μεγαληγόρως τὴν ἀνάστασιν τοῦ Ἰησοῦ, ταῖς Ἰουδαϊκαῖς διανοίαις ἐνηχήσασα, καὶ τὴν σκληρότητα τῆς αὐτῶν καρδίας καταθραύσασα· τὴν ἔρημον δὲ τέως ἐκκλησίαν συσσείσασα τῶν ἐθνῶν, καὶ ἠρέμα πρὸς αἴσθησιν τοῦ κηρυττομένου Λόγου προσάγουσα, καὶ τῇ ἀποβολῇ τῆς ἀγνώμονος Συναγωγῆς τὴν εὐγνώμονα μνηστευομένη Χριστῷ.

Prius itaque pro virili nostra laudationis in evangelistam partibus functi sumus, ejusque summa virtute spiritaliter delectati, quod per facultatem licuit, vel modice debitum dependimus Nunc autem, optime Christique discipulorum probatissime Jacobe, tu quoque mihi adesto hodie; nempe sublimium Dei Verbi spectator factorque operum, arcanorumque discipule ac magister sermonum: dulcisona ac pulchrisona Spiritus cinyra, modulatam concinnamque his qui recto animo sint pulsans theologiæ vocem: magnum Dei Verbi tonitruum, sublimi magnoque fragore Jesu resurrectionem Judæorum mentibus insonans, atque eorum cordis frangens duritiam: hactenusque desertam concutiens gentium Ecclesiam, eique sensim Verbi evangelici sensum ingerens, atque improbæ Synagogæ repudio probam gratamque sponsam Christo adhibens [6].

Δεῦρό μοι, μακαριώτατε Ἰάκωβε, ὁ τῷ ἁπλάστῳ τοῦ ἤθους καὶ ἀγαθοειδεῖ καὶ μονοτρόπῳ, τῷ ἑνὶ καὶ ἀγαθῷ μόνῳ τὴν φύσιν ἀγαπηθεὶς, καὶ τῶν πατρικῶν εὐλογιῶν κληρονόμος ἀποδειχθεὶς, καὶ ταύτῃ τὸν πρὸ γεννήσεως μεμισημένον Ἡσαῦ ἐπτερνικὼς καὶ παρευδοκιμηκὼς, ὡς τῶν πρωτοτοκίων τῆς κατὰ πνεῦμα γεννήσεως ἠξιωμένος. Ὁ τῷ ἀληθινῷ Ἰσαὰκ, τὴν ἀληθῶς φίλην αὐτῷ τῆς πίστεως προεισενεγκάμενος τροφὴν, καὶ διὰ τοῦτο κατέναντι τοῦ πατρὸς εὐηρεστηκὼς, καὶ διὰ τοῦτο τελέως εὐλογηθεὶς· καὶ

Ades dum, beatissime Jacobe, morum simplicitate et bonitate et uniformitate, ei qui unus solusque natura bonus est, dilectus, paternarumque benedictionum hæres effecte [7], ac qui ea ratione Esau ante ortum nativitatis odio habitum supplantaveris, ac gloria superaveris, velut nimirum qui spiritalis nativitatis primitiva nactus sis [7*]. Qui vero Isaac, vere illi acceptos fidei cibos intuleris, eamque ob rem coram Patre placueris, ac propterea perfectam benedictionem consecutus sis; frumenti-

[6] Psal. XXVIII, 5, 8. [7] Gen. XXV, 25, 27; [7*] Rom. IX, 11; Malach. I, 2.

Digitized by Google

que ac vini loco, Unigeniti corpore et sanguine constabilitus, Dominusque et judex contribulium ab eo constitutus [a].

Adesdum; os deiloquium admove, excelsam vocem ac deisonum immittens eloquium, aspira verbum fidele ac verum; nempe verbum vestra apostolici muneris functione, sive certamine dignum. Nefas enim ea aggredi, quæ majora quam pro tenui mea facultate sunt. *Mortalis* enim *temere natat sermonibus*, ut divina Scriptura loquitur : *status autem omnium conservatoris*, inquit, *ipse docet nos* [a*]. Jam enim divinissimo Verbo, uti semper deitate, sed et anima sua intelligente et quæ simul Deus exsistat, omnia implere satagente : ac cum inferna quidem, suo illuc per crucem descensu impleret ad seque summa colligeret; ac rursus cœlestia, sua in cœlos exaltatione, majestate sua impleret : cumque adeo congeneo Spiritu, vehementis flatus instar e cœlo in discipulos veniente, omnemque eis sensum ac corporis membrum, omnemque motum ac operationem ad pietatem complente : quando visus quidem linguis igneis collucens circumfulgebatur; auditus vero, divini sonitus fragore sanctificabatur : atque olfactus quidem mysticis gratiæ radiis, tanquam unguenta perspirantibus suavissimæque fragrantiæ odoribus, efflorebat; linguæ vero his eximie afflatæ, potiorique theologia excitæ, sic Spiritus vi ad omnem nationum sermonis vim ac proprietatem componebantur, ut et temulentiæ profani rem ascriberent : per omnem autem tactum, omnemque rationis ac intelligentiæ vim, divina pervadens gratia, totosque illos vere undequaque adimplens; extraque seipsos ac mundum omnem constituens (o beatum et exoptandum excessum! o laudabilem illam immutationem!), intra Deum esse fecerat : quando nimirum, eorum, quæ ad eos primum dicta a Christo, obscure acceperant, quæ tunc gerebantur ac præsentia, clara evictio erant : ac quorum obscuris vestigiis fidei umbras animo effingebant, eorum ibi tunc dilucida ac perspicua adimpletione oculis obversante, rationumque ac cogitationum missa dubietate metuque deposito : omni denique ignavia, omnique animi labe detersa, cœlestis jam vitæ gustum faciebant : quando plane præmagnificum revera maximæ perfectionis arrhabonem nacti, certissimam inde spem divinissimamque arripuerant.

Tunc sane, tunc rursus æmulatio nihil priore minor, insolentem populum invasit; ignisque adversarios vorans, adversariam Deique inimicam factionem, adversus apostolicam (divinam scilicet) fidem ac consilium accendebat [b]. Quemadmodum autem iuitio scelestissimus ille, suam Jesu apparitione convellendam tyrannidem sentiens, Judam quidem ut proditor esset, suscitaverat; omnemque incompositam plebem cogens, ad deditionem turbasque

ἀντὶ σίτου καὶ οἴνου, τῷ σώματι καὶ αἵματι τοῦ Μονογενοῦς στηριχθείς· καὶ κύριος καὶ κριτὴς τῶν ὁμογενῶν ὑπ' αὐτοῦ καταστάς.

Δεῦρό μοι, πρόσαγε τὸ θεηγόρον στόμα, ὑψηγόρον φθέγμα, καὶ θεόφθογγον ἐνιεὶς λαλιάν, ἔμπνευσον ῥῆμα πιστὸν καὶ ἀληθινόν, ῥῆμα τῆς ὑμετέρας ἀποστολῆς, εἴτ' οὖν ἀθλήσεως ἄξιον· οὐ γάρ μοι θέμις ἐγχειρεῖν τοῖς ὑπὲρ ἐμέ· *Βροτὸς* [*Sixt.* Ἄνθρωπος] γὰρ *ἄλλως νήχεται λόγοις*, κατὰ τὴν Γραφήν· *πρὸ δέ*, φησὶν, *παντοκράτορος ἡ διδάσκουσά με*. Ἄρτι γὰρ τοῦ θεαρχικωτάτου Λόγου, ὥσπερ ἀεὶ τῇ θεότητι, οὕτω καὶ κατὰ τὴν νοερὰν αὐτοῦ ψυχὴν καὶ ὁμόθεον, τὸ πάντα πληροῦν ἐπειγομένου· καὶ τὰ ὑποχθόνια μὲν κατὰ τὴν ἐκεῖσε διὰ τοῦ σταυροῦ κάθοδον αὐτοῦ τε πληροῦντος, καὶ πρὸς ἑαυτὸν ἀνακεφαλαιοῦντος· τὰ ἐπουράνια δὲ αὖθις, διὰ τῆς ἐπὶ τοὺς οὐρανοὺς ὑψώσεως, τῆς οἰκείας ἐμπιπλῶντος δόξης, τοῦ συμφυοῦς δὲ Πνεύματος ἄνωθεν, ὥσπερ βιαίας πνοῆς ἐπὶ τοὺς μαθητὰς ἰόντος, καὶ πᾶσαν αὐτοῖς αἴσθησιν, πᾶν τε μέλος τοῦ σώματος καὶ πᾶσαν κίνησιν, καὶ πᾶσαν ἐνέργειαν κατορθοῦντος πρὸς εὐσέβειαν· ἡνίκα τούτοις ὅρασις μὲν ταῖς πυρίναις γλώσσαις λαμπρυνομένη κατηστράπτετο· ἀκοὴ δὲ τῷ ῥοιζήματι τῆς θείας ἠχῆς καθηγιάζετο· καὶ ὄσφρησις μὲν, ταῖς μυστικαῖς ἀκτῖσι τῆς χάριτος, οἷα μυριπνόοις ἀνέθαλλε εὐωδεστάτοις ὀσμαῖς· γλῶσσαι δὲ τούτοις ὑπερφυῶς θεοφορούμεναι καὶ κρείττονος ἐμφορούμεναι θεολογίας, οὕτω πρὸς πᾶσαν ἐθνῶν διάλεκτον μεθηρμόζοντο τῷ πνεύματι, ὥστε καὶ μέθην τοῖς ἀμύστοις αὐτῶν καταγινώσκεσθαι· δι' ἁφῆς δὲ πάσης, καὶ πάσης λογικῆς δυνάμεως καὶ νοερᾶς ἡ θεία καταδεδωκυῖα χάρις, καὶ ὅλους δι' ὅλου τούτους ἀκραιφνῶς πληροῦσα· καὶ ἔξω μὲν ἑαυτῶν, ἔξω δὲ τοῦ κόσμου καθιστῶσα παντός· (Ὦ μακαρίας ἐκστάσεως καὶ ζηλωτῆς! ὦ τῆς ἐπαινετῆς ἐκείνης ἀλλοιώσεως, ἐντὸς καθίστη Θεοῦ!) ἡνίκα τῶν ὑπὸ Χριστοῦ πρῶτον πρὸς αὐτοὺς εἰρημένων καὶ ἀμυδρῶς ἀκουομένων, ἔλεγχος ἦν τὰ παρόντα σαφῆς· καὶ ὧν ἀμαυροῖς ἴχνεσι πίστεως ἐν λογισμοῖς ἐνετύπουν τὴν σκιαγραφίαν, τούτων ἐκεῖ τότε φανήν τε καὶ εὔδηλον καταθεασάμενοι τὴν πλήρωσιν, καὶ τῶν λογισμῶν τὴν διάκρισιν ἀποβαλόντες καὶ τὴν διψυχίαν ἀφέντες, καὶ τὸν φόβον ἀποσκευασάμενοι, καὶ πᾶσαν δειλίαν καὶ πᾶν πάθος ἀποκαθηράμενοι τῆς ψυχῆς, τῆς οὐρανίας λοιπὸν ἦσαν ἐν συναισθήσει ζωῆς· ὅτε δὴ λαμπρὸν ὄντι μάλιστα τὸν ἀῤῥαβῶνα δεξάμενοι τῆς τελειότητος, ἀξιολογωτάτης ἐντεῦθεν ἐλπίδος καὶ θεοτελεστάτης κατεδράξαντο.

Τότε δὴ, τότε ζῆλος μὲν πάλιν οὐχ ἧττον τοῦ πρώτου, τὸν ἀπαίδευτον εἰλήφει λαόν· πῦρ δὲ τοὺς ὑπεναντίους κατεσθίον, εἰς ἀντίπαλον καὶ θεομάχον μοῖραν, κατὰ τῆς ἀποστολικῆς ἤτοι θεαρχικῆς ἐξῆπτε πίστεως καὶ βουλῆς. Ὥσπερ δὲ τὴν ἀρχὴν ὁ δυσμενὴς καθαιρουμένην αὐτοῦ τὴν τυραννίδα διὰ τῆς ἐπιφανείας αἰσθόμενος τοῦ Ἰησοῦ, Ἰούδαν μὲν ἤγειρεν εἰς προδοσίαν· πάντα δὲ τὸν ἀσύνθετον ὀχλαγωγήσας δῆμον, εἰς ἐπισύστασιν ἐξέμηνεν· ἀρχιερεῖς τε

[a] Gen. xxvii, 27. [a*] Job xxxii, 8. [b] Isa. xxvi, 11.

Digitized by Google

καὶ γραμματεῖς πάντας ἐξῆπτε πρὸς θεοκτονίαν· καὶ ὁ Πιλάτος τὸν ἀθῷον ἐξεδίδου, καὶ οἱ στρατιῶται κατέπαιζον· καὶ ὁ σταυρὸς ὕψωτο, καὶ ὁ δίκαιος τοῖς ἀνόμοις συνεσταύρωτο· κἀντεῦθεν ἐδόκει μὲν τὸ χρῆμα κατὰ νοῦν τοῖς ἀσεβέσι χωρεῖν, καὶ τεθνάναι τὸν Ἰησοῦν, καὶ τὴν αὐτοῦ καταπαύσασθαι διδαχὴν, καὶ διεσκορπίσθαι τοὺς μαθητάς· ἐλάνθανον δὲ διὰ τῆς αὐτῶν κακουργίας, δόξαν μὲν ὀδοποιοῦντες Χριστῷ· αἰσχύνην δὲ καὶ ὄλεθρον αἰώνιον ἑαυτοῖς περιποιούμενοι.

A consciverat; pontificesque ac scribas omnes ac deicidii scelus animaverat: tradebatque Pilatus innoxium, ac milites illudebant: exaltata denique cruce, justus cum sceleratis illi confixus fuerat: hincque adeo res ex animo impiis cedere videbatur, exstincto Jesu, ejus abrogata doctrina, dispersis discipulis. At imprudentes nequitia sua pravisque consiliis Christi gloriæ viam perstruebant, sibique ipsis probrum ac exitium æternum arcessebant.

Ὥσπερ οὖν πρὸ τοῦ Πνεύματος ταῦτα, οὕτω καὶ μετὰ τὸ Πνεῦμα, ἐπειδὴ τὸ ἔργον Ἰησοῦ πάλιν ἐν τοῖς ἀποστόλοις διὰ τοῦ Πνεύματος ἀνενεοῦτο, καὶ ὁ τῆς χάριτος λόγος ἐπαῤῥησιάζετο, καὶ τὸ μέγα θαῦμα τῆς ἀναστάσεως μεγαλοπρεπῶς ἀνεκηρύττετο. Οἱ πρὸ μικροῦ δὲ φυγάδες καὶ δεδιότες καὶ τρέμοντες, σὺν μεγάλῃ παῤῥησιαζόμενοι δυνάμει τὸ μαρτύριον ἀπεδίδουν τῷ Θεῷ· καὶ ὁ ἐπὶ τῇ Ὡραίᾳ τοῦ ἱεροῦ πύλῃ καθήμενος ἀνώρθωτο χωλὸς, καὶ ἐκ νεκρῶν ἀνίστατο Ταβυθὰ, καὶ πᾶσα νόσος καὶ πᾶσα μαλακία οὐ προσευχῇ μόνον, καὶ χειρὸς ὁσίας ἁφῇ, ἀλλὰ καὶ τῇ σκιᾷ μόνῃ τῶν μαθητῶν ἐθεραπεύετο· καὶ πάντα συνόλως φάναι τὰ ἔργα τοῦ Χριστοῦ, καὶ μείζονα ὧν ἐκεῖνος πεποίηκεν, ὡς ἡ ἐπαγγελία, τῷ ὀνόματι τοῦ διδασκάλου κατειργάζοντο. Ἐπειδὴ οὖν ταῦτα τοῦτον ὡρᾶτο γινόμενα τὸν τρόπον, ἐκμαίνεται μὲν αὖθις ὁ τῶν φόνων πατήρ· ἐκμαίνεται δὲ καὶ πᾶσα ἡ ὑπ' ἐκείνῳ στρατηγουμένη Συναγωγή· καὶ ἡ μάχαιρα στιλβοῦται, καὶ τείνεται τὸ τόξον, καὶ ῥομφαία καὶ πόλεμος ἐῤῥιπίζετο κατὰ τῆς Ἐκκλησίας.

B Quemadmodum igitur hæc ante Spiritum, sic et post Spiritum. Quod namque Jesu opus Spiritus munere in apostolis rursum instaurabatur, magnumque resurrectionis miraculum magnifice prædicabatur. Qui paulo ante profugi, pavidi, tremen-tes erant, cum magna virtute palam loquentes testimonium Deo reddebant [10]. Qui ad portam Speciosam templi claudus sedebat, erectus; Tabitha a mortuis suscitata [10*]: morbus omnis et languor, nedum precibus ac sanctæ manus contactu, sed et sola discipulorum umbra curabatur. Atque ut summa dicam, cuncta Christi opera, quin et majora quam ille operatus erat (pro eo ac fuerat pollicitus) in magistri nomine fiebant [10**]. Quod itaque hæc eum in modum fieri cernebantur, furore rursus incenditur cædium auctor; accenditur et illi succenturiata omnis Synagoga. Vibratur gladius, arcus tenditur; romphæa suscitatur ac bellum adversus Ecclesiam conflatur.

Πρῶτον μὲν οὖν, παραγγελίαις, ἀπειλαῖς, φυλακαῖς, πληγαῖς, τοὺς ἱεροὺς τοῦ Λόγου θεολόγους οἰομένη φοβεῖν, ἀναστέλλειν αὐτῶν (ὦ τῆς ἀσεβείας! ὦ τῆς σκαιότητος!) ἐπειρᾶτο τὴν θεολογίαν. Ἐπεὶ δὲ τούτοις εἰς μάτην ἠσθάνετο πονοῦσα· οὐ γὰρ μανίαις ἀφρόνων τὸ Θεῖον περιτρέπεται· οὐδὲ οἱ ἀληθεῖς τούτου ῥᾳδίως ὑπείκουσι συνήγοροι· οἷα δὲ ἄργυρος τῇ πυρώσει καθαιρόμενοι, εὐφωνοτέραν τῆς πίστεως οἴδασιν ἀποδιδόναι τὴν φθογγήν· διὰ τοῦτο τὴν συνήθη λοιπὸν εἰς ὑπόμνησιν εἵληφε μιαιφονίαν· καὶ δὴ ζήλῳ προφητοκτόνῳ διαθερμανθεῖσα, πρῶτον μὲν λίθοις κατέλευσε τὸν Στέφανον, οἷα δεκτὸν καλλιέρημα τοῦτον μιαιφόνοις ἱερουργοῦσα χερσὶν, τὴν ὑπὲρ τῶν θυομένων χριστοπρεπῶς ἀναφέροντα προσευχήν.

C Primum igitur, præceptis, minis, carceribus, plagis, sacros Verbi theologos se illa territuram existimans; ipsorum (o impietatem! o consilii malignitatem!) divinam inhibere doctrinam nitebatur. Ubi autem frustra se conari sensisset (non enim Dei consilium insipientium furore evertitur, nec facile cedant, qui illius veri patroni ac defensores exsistunt: sed sicut argentum igne depurgatum, sonoram magis fidei vocem reddere sueverunt). Idcirco consuetam animo repetit cædium vim ac sævitiam: atque adeo æmulatione, qua prophetas occiderat succensa, primum quidem lapidibus obruit Stephanum, tanquam scilicet placabilem hostiam cruentis manibus illum immolans, qui Christi exemplo pro immolantibus preces offerebat [11].

Γευσαμένη δὲ τοῦ ἀποστολικοῦ αἵματος ἡ ἐναγὴς, καὶ ἡσθεῖσα κομιδῇ, οἷα ἐκείνη ἀεὶ τοῖς τοιούτοις ἐπιτερπομένη, ἐμελέτα μὲν πάντας, εἴ γε δυνατὸν, ἐπὶ τῷ ὁμοιώματι διαχειρίσασθαι Στεφάνου, οὐκ εἶχεν δὲ ὅπως τὴν αὐτῆς μελέτην συντελέσαι, ὁρῶσα μὴ καθ' ἕνα τῷ λόγῳ τοὺς πιστεύοντας προστιθεμένους, ἀλλὰ κατὰ χιλίους τε καὶ μυρίους τὴν Ἐκκλησίαν διὰ τῶν προστατῶν τοῦ λόγου συγκροτουμένην καὶ πληθυνομένην.

D Gustu percepto apostolici sanguinis, scelestissima, eoque plurimum delectata, ut quæ cædibus semper gavisa esset, id serio cogitabat, ut si liceret, pari cum Stephano nece cunctos tolleret. Cum vero consilium implere non posset: quippe non singulos ad fidem ac doctrinam amplectendum accedere; sed millenis denisque millibus per verbi præsules pariter adjunctis, Ecclesiam conflari ac multiplicari videbat.

Τί οὖν ποιεῖ; ἆρα γὰρ ἡττήθη τῆς τῶν σημείων θεοπρεπότητος; ἆρ' ἔδεισε τὸν ὑπερηφάνοις ἀντιτασσόμενον, ταπεινοῖς δὲ χάριν ἐπιμετροῦντα; τὸν

Quid ergo facit? Num divinis signis victa concessit? operum novitate? splendore sermonum? Num eum timuit, qui superbis resistit et humilibus gra-

[10] Act. IV, 33; IX, 36. [10*] Act. III, 7; V, 15. [10**] Joan. XIV, 10. [11] Act. VII, 7.

Digitized by Google

tiam tribuit? Fortem illum in bellis, clarificatum in sanctis, mirabilem in majestate; cujus potentiæ documenta multa acceperat; atque a pugna cum Deo destitit? Minime gentium: sed sicut pridem Pilatum adiens, crucem ac mortem, Sodomorum Gomorrhæque clamoribus adversus Dei Verbum poposcerat, sic postea ab Herode ejus apostolorum necem, supplex flagitabat [13].

κραταιὸν ἐν πολέμοις; τὸν δεδοξασμένον ἐν ἁγίοις, τὸν θαυμαστὸν ἐν δόξαις, οὗ πολλὰ τῆς δυνάμεως εἴληφεν ὑποδείγματα, καὶ τοῦ θεομαχεῖν ὑπανεχώρησεν; Οὐδαμῶς· ὥσπερ δὲ τῷ Πιλάτῳ προσιοῦσα πρώην, σταυρόν τε καὶ θάνατον ἐν κραυγαῖς Σοδόμων καὶ Γομόρρας κατὰ τοῦ Θεοῦ Λόγου παρῃτεῖτο, οὕτω μετὰ ταῦτα τῷ Ἡρῴδῃ προσπίπτουσα, τὴν κατὰ τῶν ἀποστόλων αὐτοῦ κατελιπάρει σφαγήν.

Nulla, aiebat, *nulla, rex optime, genti tuæ salutis spes. Concidimus; periimus: periculo vertitur ne prorsus a facie discipulorum Jesu deficiamus ac intereamus. Non satis fuit, quod ille adhuc vivens post se plebem seduxit: sed qui eo familiarius usi, illius doctrinæ successerunt, nostram dementarunt gentem: duodecim tribus nostras perdiderunt: parum abest quin populum omnem allexerint. Defectionem a Cæsare docent; in majestatem tuam contumeliosi sunt; patriam legem evertunt. Neque id modo, verum etiam in ipsum Deum Patrum impii exsistunt, qui Jesum illum, qui crucifixus est, faciant Deum. Nisi igitur ocius, regum maxime, justam illis pœnam infixeris, conspicue rei malus exitus erit.*

Οὐδεμία, λέγουσα, *τῷ ἔθνει σου, κράτιστε βασιλεῦ, οὐδεμία σωτηρίας ἐλπίς. Διαπεπτώκαμεν, ἀπολώλαμεν. Κινδυνεύομεν οἰχήσεσθαι τέλεον καὶ διαφθαρήσεσθαι, ἀπὸ προσώπου τῶν μαθητῶν τοῦ Ἰησοῦ. Οὐκ ἀπέχρησεν ἐκεῖνος ἔτι ζῶν ὀπίσω αὐτοῦ τὸν λαὸν ὑποπλανᾶν· νῦν δὲ τὴν ἐκείνου διδαχὴν οἱ ὠμιληκότες αὐτῷ διαδεξάμενοι, ἐξέστησαν τὸ ἔθνος ἡμῶν· ἀπώλεσαν τὸ δωδεκάφυλον ἡμῶν. Ὀλίγου δεῖν πάντας ἐπεσπάσαντο τοὺς λαούς. Ἀποστασίαν ἀπὸ Καίσαρος ἐκδιδάσκουσιν. Πρὸς τὴν σὴν βασιλείαν ἐξυβρίζουσιν, τὸν πατρῷον ἀθετοῦσι νόμον. Καὶ οὐμόνον, ἀλλὰ καὶ εἰς αὐτὸν τὸν τῶν πατέρων ἀσεβοῦσι Θεόν, τὸν ἐσταυρωμένον ἐκεῖνον θεοποιοῦντες Ἰησοῦν. Εἴπερ οὖν μὴ θᾶττον αὐτοῖς τὴν ἀξίαν δίκην, ὦ μέγιστε βασιλεῦ, ἐπιβαλεῖς, εἰς περιοπτον τὸ χρῆμα τοῦτο καταλήξει κακόν.*

Quid igitur vero simili conjectura dixisse Herodem putabimus? *Quid vero operæ pretium faciamus? Qui autem adversus tantam hominum turbam neci dandam procedentes, non majorem noxam malumque difficilius reddiderimus? At non adversus omnes penitus*, aiunt, *potentiam vestram exsuscitari hortamur. Nam præterquam quod res difficillima, neque forte Cæsari grata fore videatur; tantis scilicet cædibus civitatem pollui ac deformari: sed insignes ejus discipulos (sunt autem illi duodecim numero, quos et plebs omnis erroris magistros habet) hos, si duci jusseris, rex clarissime, tum Deum propitium habebis, tum omni genti pacatam vitam largieris; ejusque nos beneficii memores, gratias quam maximas habentes, debitam vicem rependemus.*

Τί οὖν διανοηθῶμεν Ἡρῴδην, ὡς εἰκός, φάναι; *Τί δὲ ποιητέον ἡμῖν; πῶς δὲ κατὰ τοσούτου πρὸς σφαγὰς ὄχλου χωροῦντες, οὐ μείζω τὴν βλάβην καὶ ἀργαλεώτερον ἀπεργασαίμεθα τὸ κακόν, Ἀλλ' οὐ κατὰ πάντων ἄρδην*, φασί, *τὸ ὑμέτερον κράτος διαναστῆναι παραινοῦμεν· καὶ γὰρ πρὸς τῷ δυσχερεῖ τοῦ πράγματος, οὐδ' αὐτῷ ἂν ἀρέσαι τῷ Καίσαρι τοσούτοις αἵμασι τὴν πόλιν μιαίνειν καὶ ἀχρειοῦν· τοὺς ἐπισήμους δὲ τῶν αὐτοῦ μαθητῶν. Δώδεκα δὲ τὸν ἀριθμὸν οὗτοι, οἷς καὶ ὁ πᾶς ὄχλος ἐπόμενος ἀποπλανᾶται· τούτους, ὦ λαμπρότατε βασιλεῦ, εἰ ἀπαγάγοις, ἔξεις μὲν τὸν Θεὸν εὐμενῆ· ὅλῳ δὲ τῷ ἔθνει εἰρηναίαν ζωὴν χαριῇ· καὶ σοι τῆς εὐεργεσίας ταύτης μεγίστην εἰδότες χάριν, ἀξιόχρεων εἰσοίσομεν ἀμοιβήν.*

Mox igitur Herodes pessimo illo instinctus consilio, injustitiam parturiebat. Porro *concipit dolorem, et parit iniquitatem* [14]. Mandatum accipiunt milites, positisque cuniculis insidiæ struuntur. Jamque adeo discipulorum turba, ejus vexationis causa quæ sub Stephano facta erat, Hierosolymis relictis, perque alias extra urbes atque oppida alii alio dispersi, veritatis doctrinam secundo conatu prædicabant [15]. Magnus autem Jacobus, cum per universam Judæam et Galilæam, uti vere tonitrui filius, Dei Evangelium clarius intonuisset, Hierosolymitanam Ecclesiam invisurus iterum reversus est. Repente ergo militari manu corripitur, atque Herodis tribunali sistitur. Cumque atrocius injuriis petitus, probris complutus, verberibus exanimatus, etiam atque etiam juberetur omnino negare Christum; sin illi esse morte luendum: *Impossibile*, exclamavit, vi-

Ἅμα τοίνυν τῇ πονηρᾷ βουλῇ, καὶ Ἡρῴδης ὠδίνε τὴν ἀδικίαν. *Συλλαμβάνει δὲ πόνον, ἀνομίαν δὲ τίκτει*· καὶ οἱ στρατιῶται παρηγγέλλοντο, καὶ ὁ λόχος ἡτοιμάζετο, καὶ τὸ ἔνεδρον κατεσκευάζετο. Τὸ πλῆθος μὲν οὖν τῶν μαθητῶν, διὰ τὴν ἐπὶ τῷ Στεφάνῳ θλῖψιν, τὴν Ἱερουσαλὴμ καταλιπόντες, καὶ πρὸς τὰς ἔξω πόλεις καὶ κώμας ἄλλοι διασπαρέντες ἀλλαχοῦ, τὸν λόγον τῆς ἀληθείας ἐπεκηρυκεύοντο· Ἰάκωβος δὲ ὁ μέγας, ἐπειδὴ καθ' ὅλην τὴν Ἰουδαίαν τε καὶ Γαλιλαίαν, ὡς βροντῆς υἱὸς ἀληθῶς ὤν, τὸ τοῦ Θεοῦ Εὐαγγέλιον ἐμβροντήσας γεγωνότερον, τὴν ἐν Ἱεροσολύμοις αὖθις ἐπισκεψόμενος ἐκκλησίαν ἐπανῆγεν· συναρπάζεται μὲν ἐξαπίνης χειρὶ στρατιωτικῇ, τῷ Ἡρώδου δὲ βήματι προσάγεται· ὃς καὶ ὕβρεσι βαλλόμενος, καὶ ὀνείδεσι πλυνόμενος, καὶ μάστιξιν ἐταζόμενος, καὶ παραγγελλόμενος παραγγελίᾳ παντάπασιν ἐξόμνυσθαι τὸν Χριστὸν, ἢ θάνα-

[13] Gen. XVIII, 20. [14] Psal. VII, 15. [15] Act. VIII, 1.

Digitized by Google

τον ἐτηρτῆσθαι τὴν ζημίαν, Ἀμήχανον, ἐξεβόησεν, ἄνδρα σώφρονος μετέχοντα λογισμοῦ, ἐλέσθαι μὲν ἐν συγκρίσει τὸν σκότον ὑπὲρ τὸ φῶς· θάνατον δὲ θέσθαι προτιμότερον τῆς ζωῆς. Ἀδυνατώτερον δὲ πολλῷ, τὸν ἐν συναισθήσει τῆς Ἰησοῦ τοῦ Χριστοῦ θειότητος καὶ μακαριότητος γενόμενον, ἄλλο τι τῶν πάντων ἐκείνου σεβασμιώτερον, ἢ τῆς εἰς αὐτὸν ἀγάπης καὶ πίστεως ἀξιοθεώτερον ἡγήσασθαι.

A *rum qui sobria impartitus ratione sit, optione facta, tenebras luci anteferre; mortemque vita potiorem ducere: longe vero amplius abhorret ut sit possibile, eum, qui Jesu Christi Deitatis ac beatitudinis sensum fecerit, universorum aliud quidpiam illo sanctius, seu dilectione fideque in ipsum, dignius arbitrari.*

Οὔκουν ὃς γε πεπίστευκεν ἐκ Θεοῦ τε γενέσθαι τόδε τὸ πᾶν, καὶ παρ' αὐτοῦ δεδόσθαι προφήτας καὶ νόμον ἐν Ἰσραὴλ, τὸν ἀγαπητὸν δύνατ' ἂν ἀρνεῖσθαι καὶ συμφυῆ καὶ μονογενῆ, δι' οὗ πάντα γέγονεν, ἃ τῆς δόξης πεποίηκε Πατήρ, καὶ ἐν ᾧ συνέστηκε τὰ πάντα. Τοῦτο μόνον λυπηρόν, B ὦ βασιλεῦ, τοῦτο θλίψεως ἡμῖν αἴτιον, ὅτι ἅπαξ μόνον, ἀλλ' οὐ μυριάκις ὑπὲρ τῆς Ἰησοῦ θεότητος καὶ δόξης ἀποθανεῖν δυνατόν.

Absit igitur, ut qui rerum hanc universitatem a Deo conditam credit, atque ab eo datos prophetas ac legem in Israele, dilectum, ejusdem ac ille naturæ et Unigenitum, per quem condita omnia, quæ Pater gloriæ condidit, et in quo constant omnia, unquam negare possit. Unum nobis, rex, hoc molestum; unum angit et excruciat, quod semel duntaxat, non millies pro Jesu Deitate atque gloria mori concessum sit.

Τούτοις τὸν μιαρώτατον ἐμβροντηθέντα καὶ μανέντα, παρευθὺ κελεῦσαι τοῦτον ἀπαγαγεῖν, καὶ τὴν πανολβίαν κάραν μαχαίρᾳ τεμεῖν. Οὐ θαυμαστὸν δὲ εἰ ὁ τῆς ἀδικίας πυθμὴν, ὁ ὀδοποιὸς τοῦ Ἀντιχρίστου, ὁ τῆς ἀσεβείας πληρωτὴς, οὐ θαυμαστὸν εἰ τὰς χεῖρας ἐπὶ τοὺς ἀποστόλους ἐπιβαλὼν, τὸν δεξιὸν ἀνεῖλε τῆς Ἐκκλησίας ὀφθαλμόν· ἀλλ' ἐκεῖνο θαυμασιώτερον, εἰ μὴ εἰς οἰκοδομὴν τοῦτο μείζω, καὶ νίκην αὐτῆς περιφανεστέραν ᾠκονόμητο· καὶ οὐδὲ τοῦτο τοσούτῳ θαυμαστὸν, ὅσον εἰ μὴ τοῖς Χριστοῦ διώκταις ἐντεῦθεν ἡ πανωλεθρία ἐπισέσεισται.

Hisce scelestissimus ille attonitus ac furens, confestim duci Jacobum jussit, ac beatissimum illius caput gladio abscindi. Neque id mirum, quod iniquitatis sentina imusque gurges, Antichristi præcursor, impietatis artifex; cum in apostolos misisset manus, dextrum Ecclesiæ sustulerit oculum: sed illud dignum admiratione, nisi in majorem id ædificationem ejusque ipsius illustriorem victoriam, dispensatum esset. Quin ne hoc quidem sic mirum, quam si hinc quoque Christi persecutoribus conflatum non esset exitium.

Ἰάκωβος μὲν οὖν ὁ μακαριώτατος, ὡς ἀρνίον ἄκακον, ὡς πρόβατον ἄμωμον, ὀπίσω τοῦ ἀμνοῦ τοῦ C Θεοῦ σφαγιασθείς, καὶ διὰ τοῦ ἀρχιερέως τοῦ μεγάλου θυσία ζῶσα, λογική τε καὶ θελητὴ τῷ ζῶντι Θεῷ προσενεχθεῖσα, ἐπρέσβευσε μὲν ὑπὲρ τῶν ἀποστόλων, ἐπρέσβευσε δὲ ὑπὲρ τῆς Ἐκκλησίας· τοῖς μὲν, τὸ ἔργον εὐοδοῦσθαι τῆς ἀποστολῆς· τὴν δὲ, τῆς Ἰουδαϊκῆς ἀπαλλάττεσθαι μιαιφονίας· καὶ ῥήγνυσθαι μὲν τοὺς τῷ Εὐαγγελίῳ μαχομένους· λυτροῦσθαι δὲ τοὺς εὐδοκοῦντας αὐτῷ.

Beatissimus itaque Jacobus tanquam agnus innocens, tanquam ovis immaculatus, post Agnum Dei immolatus, et per pontificem magnum hostia vivens, rationalisque et voluntaria, Deo viventi oblatus, precibus ad Deum pro apostolis intercessit; intercessit et pro Ecclesia. Pro illis quidem, ut eis prospere cederet apostolica functio; pro hac vero, ut a Judaica liberaretur sævitia: ac rumperentur quidem Evangelii hostes; malis autem solverentur, qui lubentes illud haberent.

Ταύτης ἀποτέλεσμα τῆς ἱκεσίας, ἡ παρ' ἐλπίδα τοῦ Πέτρου σωτηρία· τῶν τε δεσμῶν καὶ τῆς εἱρκτῆς καὶ τῆς ἀπαγωγῆς, ἣν αὐτὸν ἔμελλεν Ἡρώδης ἀπαγαγεῖν εὐθὺς μετὰ τὸ Πάσχα, δι' ἀγγέλου χειρὸς ἀπαλλαγή. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἡ αὐτοῦ Ἡρώδου θεήλατος πληγὴ, δι' ἣν αὐτίκα τοῦ μιαροῦ σώματος σκώληκας ἐξέρψαντος, βιαίως ἀπέρρηξε τὴν ψυχήν. Ἐντεῦθεν δὲ καὶ ἡ χάρις τὰ ἔθνη μετοιοῦσα, τοῖς Ἰουδαίοις τὸν οἶκον εἰς ἐρήμωσιν ἠφίει.

Hujus effectus supplicationis, Petri illa inexspectata salus; ejusque a vinculis et carcere et ductione per angelum liberatio, qua statim post Pascha eum Herodes erat ducturus. Neque id modo, sed et Herodis ipsius divino numine plaga, qua mox impuro corpore ebullientibus vermibus, violenter animam abrupit. Quin et inde gratia gentes prosecuta, Judæis domum in desolationem reliquit.

Ἀλλ', ὦ κήρυξ θερμότατε τῆς ἀληθείας τοῦ Εὐαγγελίου! ὁ μετὰ Πέτρου καὶ Ἰωάννου τὴν ἀνωτάτω τάξιν καὶ τὴν κορυφὴν τῆς ἀποστολικῆς καθέδρας διειληχώς· χαῖρε, ὡς τὸ ποτήριον Χριστοῦ τοῖς συμμαθηταῖς προπιών, καὶ τὸ σωτήριον βάπτισμα, κατὰ τὴν ὑπόσχεσιν βαπτισθείς· καὶ διπλῷ στεφάνῳ, τῆς ἀποστολῆς καὶ τῆς μαρτυρίας, κατακοσμηθείς.

Sed, o veritatis Evangelii prædicator ferventissime! qui cum Petro et Joanne supremam classem atque verticem apostolicæ dignitatis tenes: Salve sis, ut qui Christi calicem ante condiscipulos biberis ac juxta quod illi pollicitus eras, salutari baptismo baptizatus sis, duplicique præclare corona condecoratus, apostolici muneris ac suscepti martyrii [15].

Χαῖρε, ὅτι νήπιος ὢν ἔτι τὴν πνευματικὴν ἡλι-

Salve, quod cum parvulus adhuc esses spiritali

[15] Marc. x, 39.

Digitized by Google

statura et ætate, terreni regni primatum petieris (nec enim fiat unquam ut magnificus animus, rei alicujus tenuis ac vilioris desiderio afficiatur) in virum autem adultus, Regi gloriæ proximam primamque sedem adeptus sis.

Salve, beate Verbi Deique ipse oculis inspector, quod piscationem piscatione, desiderium desiderio, hæreditatem hæreditate commutans, iis, quæ instabilia sunt, ea quæ manent; iis, quæ in terris et fluxa sunt, cœlestia nec unquam peritura consecutus sis.

Gaude, quod sicut nullo medio, cum in corpore versareris, Dei hominis consuetudine in terra prius utebaris, sic nunc eidem immediate spiritu devinctissimus facie ad faciem in cœlis insuescis.

Gaude et lætare in Domino Deo tuo ac Rege tuo, nosque propitius de cœlo intuere: ac vero purum nobis ac immaculatum, apostolorum ter beatissime, et a sæculi malitiæ insidiis liberum servans animum, Domino Christo incontaminatum utinam repræsentes, in gloriam Patris et Filii et Spiritus sancti, in sæcula sæculorum. Amen.

ORATIO VI.

Laudatio sancti ac celebratissimi apostoli et Evangelistæ Joannis Theologi.

Qui magnum tonitrui Filium laudare jubet, ipsum mihi magnum Dei Spiritum laudibus coronare jubere videtur; quo ille compositus ac concinne collisus, orbem terrarum ad suum convertit sonum [16]. Id vero tantum sermonis nostri facultatem superat, quantum et humanæ vim comprehensionis excedit. Cum enim sonitum hunc, qui sensu percipitur, haud facile animo intelligamus; quanam quis ratione spiritalem assequatur, ac qui omni corporis sensui præcellit? Cumque id tonitruum, quod per naturam in nubibus venti agitatione conflatur, accurate verbis explanare non possimus: quonam modo eximii illius, cujus solus ipse Dominus conflator, ac parens, laudes præsumamus? Quis ita in divinis eruditus, sicque alto animo præditus? Quis ita terrenis superior sese extulit, parique cœlestibus celsitudine evasit? Quis adeo seipso excedens, intra Deum comprehensus totusque receptus est, ut vel os aperire, ac linguam movere in Dei discipulorum laudem audeat? Quis sufficiens, ut nedum omnium sigillatim, sed vel unius illorum virtutis magnificentiam pro rei merito, animo informare, ut verbis eloqui possit?

Quænam mens (ut summa dicam), quæve ratio ac oratio, magnificæ Joannis indolis (quinimo animi Deo simillimi mentisque divinissimæ) laudes attigerit, nisi is ipse e cœlestibus tantisper adytis descendens, divinæque æmula bonitate humilibus accedens, osque pro theologi munere divinissimum auribus nostris accommodans, suam nobis, quoad

[16] Marc. III, 17.

κίαν, βασιλείας ἐπιγείου προτίμησιν ᾔτησας· οὐδὲ γὰρ ἀνέχεταί ποτε ψυχὴ μεγαλοφυὴς, μικροπρεπές τι ποθεῖν· εἰς ἄνδρα δὲ τελειούμενος, τῆς ἐγγιστα παρὰ τῷ Βασιλεῖ τῆς δόξης πρωτοκαθεδρίας ἠξιώθης.

Χαῖρε, μάκαρ αὐτόπτα τοῦ Λόγου καὶ θεόπτα, ὅτι τῆς ἁλείας ἁλείαν, τῆς ἐπιθυμίας ἐπιθυμίαν, καὶ τῆς κληρονομίας κληρονομίαν ἀμειψάμενος, τοῖς ἀβεβαίοις τὰ μένοντα, καὶ τοῖς κάτω καὶ ῥέουσι τὰ οὐράνια κατεκτήσω, καὶ μὴ μεταπίπτοντα.

Χαῖρε, ὥσπερ μετὰ σώματος ἀμέσως τῷ Θεανθρώπῳ προσωμίλεις πρὶν ἐπὶ γῆς, οὕτω νῦν τῷ αὐτῷ προσεχῶς ἐν τῷ πνεύματι συμφυόμενος, πρόσωπον πρὸς πρόσωπον ἐντυγχάνεις ἐν τοῖς οὐρανοῖς.

Χαῖρε καὶ κατευφραίνου ἐν Κυρίῳ τῷ Θεῷ σου καὶ βασιλεῖ σου· καὶ ἡμᾶς ἐποπτεύοις ἄνωθεν ἵλεως· ἄσπιλον δὲ καὶ ἄμωμον ἡμῖν, ὦ τρισμακαριώτατε τῶν ἀποστόλων, καὶ τῆς τοῦ νῦν αἰῶνος κακίας ἀνεπίβουλον [ἀνεπιβούλευτον] διατετηρηκὼς τὴν ψυχὴν, ἀμίαντον παραστήσαις τῷ δεσπότῃ Χριστῷ, εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ϛ'.

Εἰς τὸν ἅγιον καὶ πανεύφημον ἀπόστολον καὶ εὐαγγελιστὴν Ἰωάννην τὸν Θεολόγον.

Ὁ τὸν μέγαν τῆς βροντῆς γόνον προτρεπόμενος ἐπαινεῖν, αὐτό μοι δοκεῖ τὸ μέγα τοῦ Θεοῦ Πνεῦμα παραινεῖν ἐπαινεῖν· ᾧ ῥυθμιζόμενος ἐκεῖνος καὶ ἐναρμονίως κροτούμενος, πρὸς τὸν οἰκεῖον τὴν οἰκουμένην ἐπέστρεψε φθόγγον. Τὸ δὲ τοσοῦτῳ τοῦ ἡμετέρου λόγου τὴν δύναμιν ὑπερβάλλει, ὅσῳ καὶ τὴν ἀνθρωπίνην ὑπεραίρει κατάληψιν. Εἰ γὰρ τὸν αἰσθήσει ληπτὸν τοῦτον ἦχον, οὐ πρόχειρον κατανοεῖν, πῶς ἄν τις ἐφίκοιτο τοῦ νοουμένου καὶ πᾶσαν σώματος αἴσθησιν ὑπερβαίνοντος; Καὶ εἰ τὴν ἐγγινομένην τοῖς νέφεσι, τῇ κατὰ φύσιν κινήσει τοῦ πνεύματος βροντὴν, οὐχ οἷοί τέ ἐσμεν ἀκριβεῖ διασαφῆσαι λόγῳ, πῶς ἂν τῆς ὑπερφυοῦς, καὶ μόνῳ τῷ Κυρίῳ προσκροτηθείσης ἢ γεννηθείσης, τῶν ὑμνήσεων κατατολμήσαιμεν; Τίς οὕτω τὰ θεῖα πολὺς, οὕτω τὴν καρδίαν βαθύς; Τίς οὕτω τῶν γηΐνων ὑπερανῴκισται, οὕτω τοῖς οὐρανίοις συνύψωται; Τίς ἐπὶ τοσοῦτον ἑαυτοῦ ἔξω γενόμενος, ἔνδον Θεοῦ κατείληπται, ὥστε στόμα διᾶραι τολμᾷν, καὶ γλῶσσαν εἰς ἔπαινον κινεῖν τῶν τοῦ Θεοῦ μαθητῶν; Τίς ἱκανὸς, μὴ ὅτι γε πάντων ὑφ' ἓν, ἑνὸς γοῦν αὐτῶν, τὴν τῆς ἀρετῆς μεγαλοπρέπειαν, τυπωθῆναί τε κατ' ἀξίαν τῷ νῷ, καὶ ἑρμηνεῦσαι τῷ λόγῳ δυνηθῆναι;

Ποῖος, ἵνα συνελὼν εἴπω, νοῦς, ποῖος δὲ λόγος τῆς Ἰωάννου μεγαλοφυΐας, μᾶλλον δὲ θεοειδεστατης ψυχῆς καὶ διανοίας τοῖς ἐγκωμίοις προσεγγίσαι, εἰ μὴ αὐτὸς ἐκεῖνος τῶν οὐρανίων ἀδύτων ὑποκαταβὰς, καὶ θεομιμήτῳ χρηστότητι τοῖς ταπεινοῖς ἡγγικὼς, καὶ τὸ θεολογικώτατον στόμα τοῖς ἡμετέροις ὠσὶ παρασκευάσας, τὸν οἰκεῖον ἔπαινον, εἰς τὴν

Digitized by Google

τοῦ Πατρὸς δόξαν, ὡς ἐφικτὸν ἡμῖν, ἐμβροντήσειεν ἡμῖν ; Ἐλθὲ τοιγαροῦν, ὦ θεσπέσιε θεολόγε καὶ εὐαγγελιστά, ἡ οὐρανία τοῦ Λόγου σάλπιγξ, ἡ εὔηχος, ἡ ἐναρμόνιος, ἡ τοῖς μελιεἰδέσι τῆς ἀληθείας φθόγγοις, πᾶσαν εἰκαιομυθίαν ἑλληνικὴν κατασιγάσασα· πάντα δὲ ῥητόρων καὶ φιλοσόφων ὄργανα πολυαρμόνια τῷ βροντοφώνῳ τῆς θεολογίας σου κατακοιμίσασα· πᾶσαν δὲ ψυχὴν ἀξίαν τοῦ Λόγου πρὸς ἑαυτὴν ἐφελκομένη· καὶ οὐκ ἀνθρώπων μόνων, ἀλλὰ καὶ αὐτῶν, τολμῶ φάναι, τῶν οὐρανίων Δυνάμεων, τὴν ὑπερφυεστάτην ἐπισπωμένη πρὸς ἑαυτὴν ἀκοήν.

assequi licet, in Patris gloriam, laudem intonuerit? Veni igitur, divine Theologe et Evangelista, cœlestis Verbi tuba, sonora, concinna mellitis veritatis sonis, omnem Græcorum sermonis vanitatem silentio damnans: omniaque oratorum ac philosophorum multiplici consonantia modulata organa theologiæ tuæ alto tonitruo sopiens, atque omnem Verbo dignum animum ad se trahens; nec hominum modo, sed et ipsarum (ausim dicere) cœlestium Potestatum pereximium auditum sui desiderio illiciens.

Ὁ τοῦ Πατρὸς τῶν φώτων ἀξιώτατος ὑποφήτης καὶ γραμματεύς· τὸ στόμα τοῦ Χριστοῦ, ἡ γλῶσσα τοῦ Πνεύματος, ἐλθέ μοι τῷ πνεύματι, Πνεῦμα καὶ αὐτὸς θεῖον ὤν, ὡς ἐκ Θεοῦ Πνεύματος γεγεννημένος. Ἰδοὺ κίχρημί σοι καρδίαν πραεῖαν καὶ ἡσύχιον, καὶ οἷα δὴ νοερὸν κῆπον καὶ μυστικὸν, διάνοιαν ὑπέχω ταπεινήν τε καὶ ὁμαλῆ. *Ἔξεγείρου, βορρᾶ, καὶ ἔρχου, νότε· διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου.* Προσλαλείτω γάρ σοι καὶ Σολομών· σὺ γὰρ βορρᾶς μὲν, ὡς τοῖς καθαρωτάτοις τῆς θεολογίας φθέγμασιν, οἷα λαμπραῖς καὶ ζωογόνοις ἀναψύχων πνοαῖς· καὶ τὸ τῆς πολυθεΐας πνῖγος, καὶ τὸν τῶν αἱρέσεων διαχέων φλογμόν· καὶ τὰς πιεζομένας ἐν τούτοις καρδίας ψυχαγωγῶν καὶ ἀνακτώμενος. Νότος δὲ, ὡς τοῖς τῆς ἀγάπης διαθερμαίνων λόγοις, καὶ τοὺς ἀναισθησίᾳ νοῦ καὶ σκληρότητι θείας ἐστερημένους ἐπιῤῥοῆς, ἀγόνους τε διὰ ταῦτα καὶ κατεψυγμένους καθεστῶτας, ἀναθάλπων καὶ ἀναζωπυρῶν, καὶ ζωτικῆς ἰκμάδος πληρῶν καὶ καρποφόρους ἀποτελῶν.

Patris luminum dignissime interpres ac scriba, Christi os, lingua Spiritus, veni ad me spiritu, qui et ipse divinus Spiritus sis, tanquam ex Deo Spiritu natus [17]. Ecce cor tibi lene et tranquillum mutuo, velutque intelligentem hortum ac mysticum, humilem æquabilemque animum præbeo. *Surge, aquilo, et veni, auster; perfla hortum meum, et fluent aromata mea* [18]. Te enim etiam Salomon alloquatur. Tu namque aquilo, ut limpidissimis scilicet theologiæ vocibus, tanquam puris ac vitalibus flatibus refrigerans, superstitiosique numinum cultus algorem atque hæreseon incendia, dissipans; hisque oppressa pectora recreans ac levans. Auster vero, velut charitatis sermonibus calefaciens, mentisque exstincto sensu ac duritie, divino omni detitutos influxu, eaque ratione infecundos atque rigentes refovens ac exsuscitans, vitalique humore replens ac fructiferos præstans.

Τοιαύταις πνοαῖς, τοιούτοις ῥοιζήμασιν ἀεὶ διαπνέων ἡμᾶς, ὦ μακάριε, ὥσπερ τινὰ ποικίλην ἐκ ποικίλων ἀρωμάτων εὐωδίας ὀσμὴν, τὴν ἐκ τῶν λόγων σοι αἴνεσιν παρασκεύασον ἐνεγκεῖν. Πάντως δὲ, οὐδεμιᾶς ἡμῖν μακρηγορίας χρεὼν, τὸν πρῶτον ἐν θεολόγοις προθεμένοις ὑμνεῖν. Ὧ; γὰρ ἀεὶ τὸ Θεῖον ἔν τε τοῖς ἄλλοις πᾶσι, καὶ πολὺ πλέον τοῖς λόγοις, τὸ γοργὸν καὶ συντετριμμένον [συντετμημένον] φιλεῖ· φίλον δὲ τοῦτο, καὶ τοῖς ἐν αὐτῷ θεολογεῖν εἰδόσιν, οὕτω προσήκειν ἡγοῦμαι καὶ τῷ νῦν ἐπαινουμένῳ, ἀπέριττόν τε καὶ σύμμετρον, ὡς οἷόν τε, τὸν λόγον καρποφορεῖν. Ὅθεν οὐκ ἀπὸ τῶν ἔξω καὶ γῆθεν αὐτῷ παρεπομένων, γένους, φημὶ, καὶ πατρίδος, ἤ τινος εὐκληρίας βίου, τὸν οὐράνιον ἄνδρα γνωριοῦμεν· περιττὴ γὰρ, καὶ οὐχ ὅπως τῷ ὑψηλοτάτῳ τῆς ἀληθείας εὐαγγελιστῇ· ἀλλ' οὐδὲ τοῖς πολλῷ λειπομένοις τῆς ἀρετῆς ἁγίοις, οἰκεία ἡ θελητὴ, ἡ ἀπὸ τῶν τοιούτων εὐφημία. Ἀλλὰ τὰ ἀπὸ γῆς μὲν τίμια τοῖς ἀπὸ γῆς ἐναβρύνεσθαι παρῶμεν· οἷς δὲ ἡ γέννησις οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος γέγονεν ἀνδρός· ἀλλ' ὁ Πατὴρ μὲν οὐράνιος ἄνωθεν προεγνωκὼς, συμμόρφους κατὰ καιρὸν ἐξελέξατο τῷ Μονογενεῖ· τὸ Πνεῦμα δὲ τὸ ἅγιον ὡς ἁγίοις ἐπαναπαυσάμενον, καὶ καινὸν ἐν αὐτοῖς ἄνθρωπον καὶ θεοειδῆ τῷ τῆς ἀληθείας λόγῳ γεγεννηκὼς, υἱοθετήσατο τῷ Θεῷ, τούτους ἐντεῦθεν

Ejuscemodi flatibus, istiusmodi stridoribus nos semper perflans, vir beate, præsta, ut velut quamdam ex variis aromatibus odoris suavissimi fragrantiam, quæ sermonibus texitur, laudem tibi offeramus. Omnino enim nihil nobis prolixa opus oratione, quibus incumbat ut primum inter theologos laudemus. Quemadmodum enim Deus, cum in reliquis omnibus, tum potiori longe ratione in sermonibus, id amat quod acre ac breve est; amant vero et qui divina tractare norunt: sic et illi quem laudamus convenire existimo, ut orationem minime superfluam, ac modis suis coercitam, quoad licet, offeramus. Quamobrem a nullo eorum quæ extrinsecus sunt, et terrena quasi appendice sequuntur (prosapia scilicet atque patria ullave sæculi claritate) virum cœlestem celebrabimus (superflua enim, ac nedum celsissimo veritatis evangelistæ, sed neque sanctis ab ejus longe virtute remotis conveniens aut placita, quæ ex talibus laudatio est). Verum terrenis ornamentis superbire eos sinamus et gloriari, qui sunt e terra: quibus autem nativitas atque origo non ex sanguinibus, nec ex voluntate viri obtigit [19]; sed Pater quidem cœlestis olim præcognitos, pro tempore conformes elegit Unigenito; Spiritus sanctus autem, ut qui in sanctis conquie-

[17] II Cor. III, 17. [18] Cant. IV, 16. [19] Joan. I, 13.

Digitized by Google

cat [20], atque in eis novum hominem ac Deiformem sermone veritatis gignat, in filios Deo adoptavit [20*]; ii inde laudentur ac admirationi habeantur, quorum, juxta sacra eloquia, in Domino laudetur animus ; quique adeo cum cœlesti Patre jucundissime celebrentur [21].

A ὑμνεῖσθαι καὶ θαυμάζεσθαι, ἐν τῷ Κυρίῳ, κατὰ λόγια, ψυχὴν ἐπαινουμένους, καὶ ὡς ἥδιστα τῷ οὐρανίῳ συνδοξαζομένους Πατρί.

Inde cunctis quidem sanctis apta laudatio, velut ex uno Patre luminum prognatis ; cum primis vero coryphæis antiquissimisque Verbi theologis ; ex quibus Petrus quidem tanquam fidei petra firmissimumque fundamentum honore prælatus est : Jacobus vero, ut qui primus apostolorum, calicis ac baptismatis passionis Christo socius, sanctæque fidei basis sanctis esset futurus. Tu vero, o beate ! summa apostolicæ majestatis arce arrepta, ut qui supremam virtutum (charitatem dico) præ B cunctis illius consortibus dilexeris, eximieque tibi illa placueris, ac summe eam colueris ; inque ea, vere dilecto ac charissimo Deo Verbo Deique Unigenito, necessitudine devinctus sis. Nempe hoc tibi animi incitationis summique in Deum ascensus initium. Hoc et vestræ nota propria atque insigne beatitatis, pulcherrimum peculiarissimumque, ac quam maxime singularis gloriatio, velut præ sanctis reliquis magis propria, Jesu nempe dilectio ; qua utique suavissimi mentis vestræ decoris, divinæque formæ præstantia elucescit. Quemadmodum enim nihil ad speciem majus, ne subtili quidem cogitatu assumi queat, specioso forma præ filiis hominum [21*]: sic quem ille singulariter amavit, primas utique animi pulchritudinis laude præ reliquis retulerit. Nec enim C adeo dilectus esset, ut et una fere illius nota propriaque distinctio charitas foret ac dilectio, nisi probitatis morumque lenitatis, atque Dei simulacro bonitatis abundantia, maxima cum diligente necessitudine, a se quoque certa quadam ratione ac pro modulo, dilectionem ipse contulisset. Diligere enim eos qui ipsum ament, diserte pronuntiat Dei sapientia [22].

Ἐντεῦθεν πᾶσι μὲν ἁγίοις προσήκων ὁ ἔπαινος, ὡς ἐξ ἑνὸς τοῦ τῶν φώτων γεννωμένοις Πατρός· οὐχ ἥκιστα δὲ τοῖς κορυφαίοις καὶ πρεσβυτάτοις τοῦ Λόγου θεολόγοις· ὧν Πέτρος μὲν, ὡς τῆς ἱερᾶς πίστεως πέτρα καὶ ἀῤῥαγὴς προετιμήθη κρηπίς· Ἰάκωβος δὲ, ὡς πρῶτος τῶν ἀποστόλων τῷ ποτηρίῳ καὶ τῷ τοῦ πάθους βαπτίσματι κοινωνεῖν μέλλων Χριστῷ, καὶ βάσις ἁγίας ἐλπίδος τοῖς ἁγίοις ἐσόμενος. Σὺ δὲ, ὦ μάκαρ, τὴν ἄκραν τῆς ἀποστολικῆς μεγαλοπρεπείας κατέλαβες κορυφὴν, ὡς τὴν ἀκροτάτην τῶν ἀρετῶν, τὴν ἀγάπην δὴ λέγω, παρὰ τοὺς μετόχους αὐτῆς πάντας ἠγαπηκὼς, καὶ ὑπερβαλλόντως ῥητικῶς, καὶ ἄκρως κατωρθωκὼς, καὶ ἐν αὐτῇ τῷ ὄντως ἀγαπητῷ Θεῷ Λόγῳ καὶ τοῦ Θεοῦ προσωκειωμένος Μονογενεῖ. Τοῦτό σοι καὶ ἀρχὴ τῆς πρὸς τὸν Θεὸν ὑπῆρξε κινήσεως καὶ ἀναγωγῆς. Τοῦτο καὶ γνώρισμα τῆς μακαριότητος ὑμῶν κάλλιστόν τε καὶ ἰδιαίτατον, καὶ καύχημα ἐξαίρετον, οἷον τῶν πάντων μᾶλλον ἁγίων ἀποκληρούμενον, ἡ ἀγάπη τοῦ Ἰησοῦ, δι' ἧς ἡ ὑπερβολὴ τῆς νοερᾶς ὑμῶν εὐπρεπείας ἡ θεοειδείας παραδείκνυται. Ὥσπερ γὰρ οὐδὲν ὡραιότερον τοῦ ὡραίου κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, οὐδὲ τῇ ἐπινοίᾳ δυνατὸν λαβεῖν· οὕτω καὶ ὃν ἐξαιρέτως ἐφίλησεν ἐκεῖνος, τὰ πρεσβεῖα δηλαδὴ πρὸς τοὺς ἄλλους τῆς νοερᾶς ἀποίσεται καλλονῆς. Οὐδὲ γὰρ ἂν ἐπὶ τοσοῦτον ἠγάπητο, ὡς καὶ ἀπ' αὐτῆς μόνης σχεδὸν τῆς ἀγάπης χαρακτηρίζεσθαι, εἰ μὴ περιουσίᾳ χρηστότητος καὶ θεομιμησίας, οἰκείως εἶχε πρὸς τὸν ἀγαπῶντα, καὶ τὴν παρ' ἑαυτοῦ φιλίαν ἀναλόγως εἰσηνέγκατο. Τοὺς γὰρ φιλοῦντας αὐτὴν ἀγαπᾷν, ἡ τοῦ Θεοῦ διαῤῥήδην ἀποφαίνεται σοφία.

Omnem igitur divinam actionem omnemque eximiam contemplationem, velut ex quadam radice, ex Christi in eo dilectione surgere : ac quidquid ageret aut loqueretur, dilectionis fructum esse ; qua ille totus excedens ac continue quasi emigrans, semper quidem in ea Deum contuebatur [23] ; hancque D adeo divinæ legis plenitudinem, Deumque esse ac deificam noverat ; cujus scilicet extrema, perfectissima imperturbatione ac mente purissima, nactus esset [23*].

Πᾶσαν τοίνυν πρᾶξιν θεοτελῆ καὶ θεωρίαν ὑπερφυᾶ πᾶσαν, καθάπερ ἔκ τινος ῥίζης, τῆς ἐν αὐτῷ βλαστάνειν ἀγάπης Χριστοῦ· καὶ πᾶν τὸ δι' αὐτοῦ γινόμενον ἢ λεγόμενον, ἀγάπης εἶναι καρπὸν, καθ' ἣν ἐκεῖνος ἐξεστὼς ὅλος καὶ διαπαντὸς ἐκδημῶν, ἀεὶ μὲν ἐώρα τὸν Θεὸν ἐν αὐτῇ· ταύτην δὲ ἤδει πλήρωμα νόμου Θεοῦ, καὶ Θεὸν οὖσαν καὶ θεοποιοῦσαν, τὰ ἔσχατα ταύτης ἀπαθείᾳ τελειοτάτῃ καὶ νῷ καθαρωτάτῳ κατειληφώς.

Cæterum videamus, unde a principio motus, et qua provectus ac proficiens via, ad perfectionis hanc speculam subvectus sit. Jam enim magna veraque luce iis exorta, qui sedebant in tenebris ; ac quidem Patre gloriæ, Filium esse charissimum, eum qui intingebatur, e cœlis intonante [24] ; e terra vero, ipso qui intingebat, Agnum Dei esse testante [24*], quin et Spiritu in columbæ specie descendente,

Ἀλλ' ἴδωμεν, ὅθεν τὴν ἀρχὴν κινηθεὶς, καὶ δι' ἧς ἀναγόμενος καὶ προκόπτων ὁδοῦ, ταύτην ἐπήρθη τῆς τελειότητος τὴν περιωπήν. Ἄρτι γὰρ τοῦ μεγάλου καὶ ἀληθινοῦ φωτὸς, τοῖς ἐν σκότει καθημένοις ἀνίσχοντος· καὶ ἄνωθεν μὲν ἐξ οὐρανῶν τοῦ Πατρὸς τῆς δόξης ἀγαπητὸν Υἱὸν εἶναι τὸν βαπτιζόμενον ἐμβροντήσαντος· κάτωθεν δὲ τοῦ βαπτίζοντος, Ἀμνὸν εἶναι τοῦ Θεοῦ τοῦτον μαρτυρήσαντος·

[20] Rom. VIII, 29. [20*] Jac. I, 18. [21] Psal. XXXIII, 3. [21*] Psal. XLIV, 3. [22] Prov. VIII, 17. [23] II Cor. V, 14. [23*] Rom. XIII, 10 ; I Joan. IV, 8. [24] Isa. IX, 21 ; Matth. III, 17 ; Luc. III, 22 [24*] Joan. I, 29.

Digitized by Google

καὶ τοῦ Πνεύματος δὲ περιστερᾶς εἴδει κατιόντος, καὶ τὴν μαρτυρίαν ἀμφοῖν ἐπισφραγίζοντος, οἷά τις ἡλιακὴ πρὸς τοὺς ἄλλοις τοῦ Λόγου μύσταις, καὶ τοῖς υἱοῖς Ζεβεδαίου προσέπεσε μαρμαρυγή· καὶ καθάπερ τινὰ σπινθῆρα γνώσεως ἐλλαμφθέντες τοῦ μαρτυρουμένου, ἐπειδὴ μετ' ὀλίγον αὐτοὺς ὁ θεαρχικώτατος ἐκάλεσε παραστὰς, οὐδὲ βραχὺ γοῦν πρὸς τὴν κλῆσιν ἀνεβάλοντο· οὐ συνηθείας οἰκείων, οὐ φίλων, οὐχ ὁμηλίκων, οὔθ' ὅλως συγγενικῆς φιλίας, καὶ ἑταιρίας ἐπεσχέθησαν τοῖς δεσμοῖς· ἀλλὰ καὶ τὰ προσόντα πάντα, καὶ τὴν ἑστίαν τὴν πατρικήν· ναὶ δὴ καὶ αὐτὸν τὸν πατέρα μετὰ τοῦ πλοίου καὶ τῆς ἁλιευτικῆς ἀφέντες (ὦ τῆς πίστεως!) ἀκολουθοῦσι τῷ Ἰησοῦ· ἐν ἀληθινῇ καὶ γνησίᾳ καρδίας συμφυόμενοι στοργῇ. A

Καὶ ταῖς μὲν ἀκτῖσι τῶν λόγων τῆς χάριτος τῶν ἐκ τοῦ θεαρχικοῦ στόματος ἐξαλλομένων, περιλαμπόμενοί τε τὸν νοῦν, καὶ εἰς καινὸν ἄνθρωπον καὶ θεοειδῆ μεταμορφούμενοι· τοῖς τῶν ἔργων δὲ θαυμασίοις τὴν πίστιν κραταιούμενοι, καὶ ἡμέραν ἐξ ἡμέρας τὸν τῆς ἀγάπης ἀναζωπυροῦντες πυρσόν· καὶ καθάπερ τὰ τῶν φυτῶν εὐγενέστερα ἢ εὐθαλέστερα, γῆς τε πίονος καὶ καλῆς λαχόντα τῆς ὑποκειμένης· ἱκανῶς δὲ καὶ τῆς παρὰ τῶν φυτοκόμων ἀξιούμενα κομιδῆς· θᾶττόν τε πρὸς ὕψος ἀναδίδοται, καὶ βαθείας καθιέντα ῥίζας, ἀδρύνεταί τε κατὰ τάχος, καὶ πολὺν, ὡς εἰκὸς, ἀποδίδωσι τὸν καρπόν· οὕτως οἱ τοῦ Λόγου δοκιμώτατοι μαθηταὶ, καλῆς ὄντες διανοίας, οἷς μὲν τῶν ἱερῶν τῆς σοφίας ὀργίων κατηξίωντο, τὴν καρδίαν βαθυνόμενοι· οἷς δὲ τῶν ἔργων Χριστοῦ τὴν μεγαλοπρέπειαν κατεθεῶντο, πρὸς οὐράνιον ὕψος πίστεως τὸν νοῦν ἀνατεινόμενοι, εὐγενῆ καὶ ὥριμον τὸν τῆς ἀγάπης ἀπεδίδουν καρπόν. B C

Ὅθεν αὐτοῖς περὶ τὰ ἧττω φανεῖσι πιστοῖς, καὶ περὶ τὰ μείζω λογισθῆναι πιστοῖς· καὶ τῶν ἔργων Ἰησοῦ τὴν λαμπρότητα πίστεως ὑποσχόντες τελειότητι, καὶ τῆς ὑπερουσίου θεότητος, ὡς ἐφικτὸν ἀνθρωπίνῃ κατηξιοῦντο φύσει. Καὶ γὰρ οὐ τοῖς πολλοῖς ἑαυτὸν ἐνεπίστευεν ὁ ὑπερούσιος, σαφῶς ἑκάστου τὰ κρύφια τῆς καρδίας καταθεωρῶν· οὐδὲ πᾶσιν ἐξαπίνης τοῖς μαθηταῖς· ἀλλ' οὓς ἀξιωτέρους ᾔδει, καὶ μᾶλλον τῶν ἄλλων πιστοτέρους παραλαβών· καὶ τῷ Θαβωρίῳ προσαναγαγὼν, τὴν αὐτοῦ δόξαν ἠρέμα μεταμορφούμενος ὑπέδειξεν. D

Τοῦτο μὲν οὖν, οὐ τοῦ Ἰωάννου μόνον, ἀλλὰ καὶ Ἰακώβου καὶ Πέτρου τῆς πίστεως ἀπόδειξις ἐναργής· τεκμήριον δὲ τῆς κατὰ τὴν ἀγάπην τελειότητος, ἡ κατὰ τὸ μυστικὸν δεῖπνον ἐπὶ τὸ ζωαρχικώτατον στῆθος ἀνάκλισις τοῦ Θεολόγου. Ἐπεὶ γὰρ ἕνα τῶν συνεστιωμένων παραδώσειν αὐτὸν προειρηκέναι, θορύβου μὲν, ὡς εἰκὸς, τὰς καρδίας τῶν μαθητῶν καὶ λύπης ἀγωνιώσας ὑποπίμπλασθαι· οὐδένα δὲ παῤῥησίᾳ τολμᾷν ἐρωτᾷν, εἰ μὴ τὸν κατὰ τὴν ἱερὰν ἀγάπην ὑπερβαλλόντως τετελειωμένον, ὃς ἐχόμενα κατακείμενος τῷ διδασκάλῳ· προσαναβὰς δὲ,

atque amborum testimonium obsignante, præter reliquos Verbi discipulos, in Zebedæi quoque filios, velut solis quidam micatus et splendor cecidit; ac quasi scintilla quadam, ejus, cui testimonium perhibebatur, illis coruscante, cum brevi post divinissimus ille fonsque deitatis illos præsto vocasset, ne momento quidem obsequi distulerunt. Non consuetudinis suorum, non amicorum, non æqualium, neque prorsus cognatorum sodaliumque necessitudinis vinculis inhibiti sunt; sed et omni substantia paternaque domo, quin et ipso patre una cum nave ac navicularia arte relictis (o fidem!) Jesum sequuntur, nedum corpore, sed magis spiritu; vero illi sinceroque cordis amore devincti.

Ac quidem sermonum gratiæ, divino ex ore salientium, radiis animo collustrati, inque novum hominem ac deiformem transformati; admirandisque operibus in fide roborati, ac dilectionis flammam de die in diem suscitantes, velutque nobiliora vegetioraque ac magis virentia germina, pinguique ac opima subjecta humo consita, necnon sedula plantantis diligentia exculta, citius proceritate augescunt, altisque firmata radicibus, tum cito crassescunt, tum fructum, ut par est, longe uberem proferunt; sic probatissimi Verbi discipuli, cum honesta maxime atque optima præstarent mentis indole, qua sacris sapientiæ orgiis initiabantur, alte animo defixi; qua vero operum Christi magnificentiam contuebantur, in cœlestem fidei sublimitatem mente surrecti, nobilem ac maturum dilectionis fructum reddebant.

Hinc nempe adepti, ut cum in minoribus fideles exstitissent, etiam in majoribus fideles haberentur[25]: operumque Jesu splendorem perfectioni fidei permittentes, supersubstantialis quoque deitatis, quoad humanæ naturæ concessum est, compotes efficerentur. Non enim vulgo seipsum credebat, qui substantiam omnem excedit, quod cujusque occulta cordis palam intueretur[25*]: nec cunctis repente discipulis; sed illis assumptis quos digniores noverat, ac majori cæteris fide præstantes; subductisque illis ad Thaborii excelsa, suam eis claritatem leniter transformatus ostendit[26].

Id quidem, non Joannis duntaxat, sed et Jacobi et Petri fidei aperta probatio est: perfectæ vero dilectionis certum indicium, theologi in mystica cœna super vitalissimum pectus recubitus[26]. Quod enim discipulorum corda, idcirco quod prædictum erat, fore ut communi mensa cœnantium unus Magistrum traderet, turbationis atque mœroris, ut par est, anxiique timoris plena erant[26*]: nec ullus palam interrogare audebat, excepto duntaxat qui sacræ dilectionis perfectione excellenter præstabat, cum Magistro proximus discumberet, tantisper ad

[25] Luc. xvi, 10. [25*] Joan. ii, 24. [26] Matth. xvii, 1; Marc. ix, 1; Luc. ix, 17. [26*] Joan. xiii, 23.

Digitized by Google

eum ascendens, omnique reverentia pectus suum Dominico admonens, osque illius auribus adhibens (o beatam religiosissimamque audaciam!) ex illo percontatur proditorem, eumque signo intincti panis docetur.

Clarius vero expressiusque in crastinum, deificæ dilectionis necessitudinem seu perfectionem, solus mysteriorum auctor Jesus in cruce quasi ænigmate ostendit; dum Matri prædilectum discipulum tanquam filium commendavit, Matrisque curam corporalem in eum filium retulit; ac velut sui permutationem pretiumque Dei Genitrici traditum, veriori gradu fratrem sibi eum adhibuit [27].

Quia enim reliqui omnes discipuli (absit, ut quod molestum est, totum dicam) irruentem potestatem tenebrarum, Judæque cruentam grassationem, necnon Judæorum rabiem ac sævitiam, adversusque Salvatorem vesaniam non ferentes, fugam arripuerant : tu vero ex omnibus tanquam firmi ac tolerantissimi animi ut qui majori fortiorique amoris vi Magistro devinctus esses, cunctis illi salutaribus cruciamentis comes, præ illo fere dirius molestis afficiebaris; qui nempe tanquam acutissimis jaculis viscera transverbrareris, valdeque acerbis illius causa doloribus animo exurereris : condolebas quod verberibus excipiebatur varieque colaphis dehonestato miseratione afficiebaris : sed et cruci affixo solus cum Maria astans, una et ipse quodam modo cruci suffixus eras, qui videlicet clavorum pariter perforationes lanceæque punctionem, lethales animo ictus exceperas. Idcirco igitur non hos frustra sustinuisti laborum aculeos, sed cum operibus vero amicum prætulisses, alter ille visus es. Hoc veræ amicitiæ munus; hoc sacrorum laborum æquale dignumque præmium; qui nempe supra quam summe eximiam Verbi amicitiam (seu potius fratris dignitatem et nomen) cunctis dignius magnificentiusque consecutus sis. Etenim non corporis indulgentiore cultu ac deliciis sed molestia ac tentationibus, probata amicitia, claram erga amicum puramque amoris vim ostentare novit.

Igitur ad vitalem usque passionem ac resurrectionem tentata apostolorum fides, ac qua in eum ferebantur, qui sponte nostri causa morte functus esset, probata affectio; quod offendiculo omni superior, ac Domini tentationibus inviolabilis perstitisset, inde jam ceu divina quædam, veræ illæ amicitiæ fideique digna præmia, consequitur. Quænam vero illa? Primum quidem ipsum triduanum a mortuis suscitatum Christum vident, illatique cruciatus symbolis, mysterii resurrectionis fide roborantur. Ad hæc Spiritum, partim quidem primum ejus qui suscitatus erat spiraculo [27*]; perfectius vero illo e terra in cœlum recepto, in sono vehementi linguisque igneis e cœlo in ipsos venientem suscipiunt [28] : cujus et munere accepta in omnes gentes potestate, ac principes constituti super omnem ter-

A καὶ τὸ οἰκεῖον στῆθος πανευλαβῶς ἐπερείσας τῷ Δεσποτικῷ, καὶ τὸ στόμα παραθεὶς τοῖς ὠσὶν, (ὦ μακαρίας καὶ θεοφιλεστάτης τόλμης!) πυνθάνεται μὲν παρ' αὐτοῦ τὸν προδότην· συνθήματι δὲ τοῦτον, τῷ κατὰ τὸν ἄρτον, ἐκδιδάσκεται.

Ἐμφαντικώτερον δὲ τῇ ἐξῆς, τὴν διὰ τῆς θεωτικῆς ἀγάπης οἰκείωσιν ἢ τελείωσιν, ὁ μόνον τελετάρχης ἐπὶ τοῦ σταυροῦ παρενέφηνεν Ἰησοῦς· τῇ Μητρὶ μὲν εἰς υἱὸν τὸν ἠγαπημένον παρακατατιθεὶς μαθητήν· τῷ δὲ τῆς Μητρὸς τὴν κατὰ τὸ σῶμα προμήθειαν ὡς υἱῷ ἀνατιθείς· καὶ οἷον ἀντάλλαγμα τῇ Θεοτόκῳ διδοὺς ἑαυτοῦ, καὶ εἰς τάξιν αὐτὸν ἀδελφότητος γνησιωτέρας τιθείς.

B Ἐπειδὴ γὰρ οἱ μὲν ἄλλοι μαθηταὶ πάντες· ἀπείη δέ μοι φορτικὸν ἅπαν εἰπεῖν, τὴν ἐπεισπεσοῦσαν τοῦ σκότους ἐξουσίαν, καὶ τὴν Ἰούδα μιαιφόνον ἐπίθεσιν, καὶ τῶν Ἰουδαίων τὴν λύτταν καὶ ὕβριν, καὶ τὴν κατὰ τοῦ Σωτῆρος ἀπόνοιαν ἔφυγον οὐκ ἐνεγκόντες, σὺ δὲ μόνος ἐκ πάντων, ὡς σταθερᾶς καὶ καρτερικωτάτης διανοίας, ἅτε μείζονι καὶ ἰσχυροτάτῃ συνημμένος τῷ διδασκάλῳ στοργῇ, πᾶσιν αὐτῷ τοῖς σωτηρίοις παθήμασι παρὼν, πλέον ἢ ἐκεῖνος· μετεῖχες τῶν ἀνιαρῶν· οἷα μὲν βολίσιν ὀξείαις τὰ σπλάγχνα τιτρωσκόμενος· ὀδύναις δὲ ἄγαν δριμείαις ὑπὲρ ἐκείνου πυρπολούμενος, καὶ μαστιγουμένῳ συνήλγεις, καὶ συνέπασχες πολυτρόπως κολαφιζομένῳ καὶ σταυρουμένῳ δὲ μόνος ἅμα τῇ Μητρὶ παρεστὼς, τρόπον τινὰ συνεσταυρώθης· τάς τε τῶν ἥλων τρήσεις, καὶ τὴν τῆς λόγχης ἐκκέντησιν, καιC ρίας κατὰ τῆς καρδίας δεδεγμένος βολάς. Διὰ ταῦτα τοίνυν, οὐ προῖκα ταύτας ἀνέτλης τῶν πόνων τὰς ἀκίδας· ἔργοις δὲ τὸν ἀληθῆ φίλον ἐπιδειξάμενος, ἄλλος ἐκεῖνος ὤφθης. Τοῦτο γέρας φιλίας ἀληθινῆς, τοῦτο τῶν ἱερῶν πόνων ἄθλον ἀντάξιον· τὴν ὑπερφυεστάτην Λόγου φιλότητα, μᾶλλον δὲ ἀδελφότητα, πάντων ἀξιοπρεπέστερον ἀπενεγκάμενος. Καὶ γὰρ οὐκ εὐπαθείᾳ σώματος καὶ τρυφῇ, ἀνίᾳ δὲ καὶ πειρασμοῖς ἡ φιλία δοκιμαζομένη, καθαρὰν τὴν πρὸς τὸν φίλον οἶδεν ἐπιδεικνύναι στοργήν

Μέχρι μὲν οὖν τοῦ ζωαρχικοῦ πάθους, καὶ τῆς ἀναστάσεως τοῖς ἀποστόλοις ἡ πίστις πειρασθεῖσα, καὶ ἡ πρὸς τὸν ἑκουσίως ὑπὲρ ἡμῶν παθόντα διάD θεσις βασανισθεῖσα· ἐπειδὴ παντὸς ὑπερτέρα προσκόμματος, ἀνάλωτος δὲ τοῖς τοῦ Κυρίου διαμεμενήκει πειρασμοῖς, ἐντεῦθεν λοιπὸν οἷά τινα θεοπρεπῆ γέρατα, τῆς ἀκραιφνοῦς φιλίας καὶ πίστεως ἄξια κομίζεται. Τίνα δὲ ταῦτα; Πρῶτον μὲν αὐτὸν ἐκεῖνον τριήμερον ἐκ τῶν νεκρῶν ἀνιστάμενον ὁρῶντες Χριστὸν, καὶ τοῖς συμβόλοις τοῦ πάθους, τὸ μυστήριον βεβαιούμενοι τῆς ἀναστάσεως· ἔπειτα τὸ Πνεῦμα, μερικῶς μὲν πρῶτον τῷ τοῦ ἀναστάντος ἐμφυσήματι· τελεώτερον δὲ μετὰ τὴν ἀπὸ τῆς γῆς ἀνάληψιν ἐν ἤχῳ βιαίῳ καὶ πυριμόρφοις γλώσσαις οὐρανόθεν ἰὸν ἐπ' αὐτοὺς ὑποδεχόμενοι· ᾧ δὴ καὶ τὴν ἐπὶ πάντων ἐθνῶν ἐξουσίαν εἰληχότες, καὶ ἐπὶ

[27] Joan. XIX, 26. [27*] Joan. XX, 22. [28] Act. II, 2.

Digitized by Google

πᾶσαν ἄρχοντες καταστάντες τὴν γῆν· ἄλλοι μὲν ἄλλου τῆς οἰκουμένης μέρους τ�ὴν ἀποστολικὴν ἀρχὴν διακληρούμενοι, τὴν κατ' αὐτὸν ἕκαστος ἐπείη

A ram, alius aliam partem ad apostolici muneris functionem sortiti, ad suam quisque provinciam proficiscebantur [28].

Ἡ μεγάλη δὲ τοῦ Θεοῦ Λόγου βροντή, ὁ μεμεστωμένος τῆς ἄνω θεολογίας κρατήρ, ὁ τῶν ἀποστόλων ὀφθαλμός, Ἰωάννης ὁ πάνυ, κατακληροῦται τὴν Ἀσίαν, ὡς δυνατὸς ἐν λόγοις, δυνατὸς ἐν ἔργοις· τὴν πόλεσι μὲν ἄγαν καὶ δυναταῖς, λαοῖς δὲ θρασυτάτοις κομῶσαν καὶ πονηροτάτοις· λαοῖς πολλῷ πλούτῳ, καὶ δόξαις γαυρουμένοις κεναῖς· καὶ σοφίᾳ μὲν Ἑλλήνων ὑπεραιρομένοις· τῇ περὶ τοὺς θεοὺς δὲ πλάνῃ σφοδρότερον ἐνισχημένοις.

Magnum vero Dei Verbi tonitruum, plenus ille supernæ theologiæ crater, apostolorum oculus, præclarus Joannes, Asiam in sortem accipit, tanquam videlicet vir sermone potens ac operibus : provinciam nimirum multis urbibus iisque potentibus confertam, ferocioribusque ac nequissimis populis longe plenam ; populis scilicet divitiarum affluentia inaniumque vento opinionum superbientibus ; Græcorum quidem sapientia gloriantibus, sed qui deorum arctius errore innexi tenerentur.

Τούτοις ὁ μέγας ἀπόστολος ἐπιδεδημηκὼς, καὶ πᾶσαν μὲν τῶν ἀνθρώπων καρδίαν τῷ τῆς δεισιδαιμονίας ζόφῳ πεπαχυμένην ἰδών· πᾶσαν δὲ ψυχὴν ἐζωγρημένην τῷ διαβόλῳ, καὶ πρὸς τὸ αὐτοῦ θέλημα συντεταμένην τῷ πνεύματι κατανενοηκὼς, οὐκ ἐνεβάλετο τοῦ Πνεύματος τὴν ἐπιταγήν· οὐ τῷ ἐργώδει τοῦ ἐγχειρήματος ἀπεκναίσθη τὸν νοῦν, οὔτ' οὖν δι᾽ψυχίας περιπέπτωκε λογισμοῖς. Πρὸς τὸν δὲ ἐν αὐτῷ μένοντα Χριστὸν ἀφορῶν, οὐ κατὰ τῶν ἀνθρώπων, ἀλλὰ κατὰ τῶν δαιμόνων· οὐδὲ κατὰ τῶν αἰχμαλώτων, ἀλλὰ κατὰ τοῦ τυράννου πρῶτον αὐτοῦ, τῇ νοητῇ παντευχίᾳ παρατέταχτο τοῦ Πνεύματος

B Ad hos magnus apostolus cum se contulisset, omnesque eorum animos superstitionis caligine obrutos cerneret; captosque omnes a diabolo, atque in ejus intentos voluntatem spiritu animadvertisset, nihil morandam Spiritus jussionem putavit. Non aggressionis arduo offensus animo est, neque vero in dubietatis ac diffidentiæ incidit rationes : sed in Christum in ipso manentem, versis oculis, non adversus homines, sed dæmones; nec adversus captivos, sed in ipsum primo tyrannum, ea quæ mente intelligitur armatura Spiritus instructus est.

Καὶ τοῦτον ἐν ὁμοιώματι Χριστοῦ καὶ δυνάμει πρῶτον διανοεῖται δῆσαι· καὶ οὕτω τὴν αὐτοῦ πανοπλίαν ἆραι· καὶ οὕτω τὴν αἰχμαλωσίαν αἰχμαλωτίσαι· καὶ τῇ ὡραιότητι τοῦ οἴκου Κυρίου, τῇ Ἐκκλησίᾳ λέγω, διελέσθαι σκῦλα. Ἆρ' οὖν διανενόηται μὲν Χριστοπρεπῶς οὕτως, ἀγεννέστερον δὲ συνερράγη τῷ δυσμενεῖ; ἢ συμπλέκεται μὲν νεανικῶς, εἶτ' οὖν εὐαγγελικῶς, ἡμιτελῆ δὲ τὸν ἀγῶνα καταλέλοιπεν; ἢ τέλειον μὲν, οὐχ ὥστε δὲ παντάπασιν ἀφομοιοῦσθαι τῷ Ἰησοῦ; Οὔμενουν· ὥσπερ δὲ τὸν Χριστὸν οὐκ ἐκ μέρους, ἀλλ' ὅλον ἐν ἑαυτῷ προκατωκίσατο, καὶ διὰ τοῦτο πάσαις ἅμα ταῖς ἐνεργείαις τοῦ θείου Πνεύματος ἐδορυφορεῖτο καὶ συνεκροτεῖτο, οὕτω καὶ τὸ τῆς σωτηριώδους διακονίας ἔργον, ἐν τελείᾳ τῇ πρὸς αὐτὸν ὁμοιότητι, τέλειον ἐπληροφόρησε τῷ Θεῷ· καὶ καθάπερ αὐτὸς πρῶτος ὁ τῶν οὐρανῶν βασιλεὺς, οὔτε περιουσίᾳ δυνάμεως μόνῃ τὸν ἀρχηγὸν τῆς κακίας χειρώσασθαι βεβούληται, ἀλλὰ καὶ ἐν σοφίᾳ, ἀλλὰ καὶ ἐν δικαιοσύνῃ, ὡς ἅμα τὰ πάντα, καὶ δυνατὸς, καὶ δίκαιος, καὶ σοφός· μᾶλλον δὲ αὐτοσοφία καὶ δικαιοσύνη καὶ δύναμις ὤν· καὶ ἵνα περιφανῆ μὲν ἑαυτῷ τὴν νίκην· περιφανῆ δὲ καὶ βεβαιοτέραν τὴν πτῶσιν τῷ ἀντιπάλῳ κατεργάσηται, τὴν αὐτὴν τοῖς ἠδικημένοις μορφὴν εἰληφὼς, καὶ ἐν σοφίᾳ τοῖς ἀνθρώποις καὶ ἐν δικαιοσύνῃ συναναστραφεὶς, ὑπὸ τῆς τοῦ πονηροῦ κακίας μάτην διώκεται, καὶ εἰς θάνατον ἐπιβουλεύεται. Διὸ καὶ οἷς ἀδίκως ἐκεῖνος ἐπέθετο, δικαίως περιπαρεὶς, καὶ ἐν τοῖς ἔργοις τῶν αὐτοῦ χειρῶν συλληφθεὶς ἑάλω· καὶ κατακριθεὶς, οὕτως ἐν χειρὶ Θεοῦ τῆς τυραννώδους ἐκβέβληται ἀρχῆς. Οὕτως καὶ ὁ ἀγαπητὸς τοῦ Λόγου

Atque hunc primum, Christi tum exemplo, tum potentia, alligare statuit; sicque ejus arma auferre, atque ea rationne captivos recipere [29]; necnon C decori domus Dei (Ecclesiæ scilicet) spolia dividere [29a]. Num vero sic quidem Christi exemplo cogitavit ac statuit, seguius vero cum hoste conflixit? aut congressus quidem strenue est (id est, ex Evangelii norma) certamen tamen inchoatum ac imperfectum reliquit? aut exhibuit quidem perfectum, non sic tamen ut omnimodis Jesu similitudinem assecutus sit? Nequaquam; sed sicut Christum prius, non ex parte, sed totum animi sinu exceperat, eamque ob rem cunctis simul divini Spiritus virtutibus stipatus instructusque erat, sic quoque salutaris ministerii opus, perfecta cum eo similitudine, perfectum Deo repræsentavit. Ac sicut ipse primus cœlorum Rex, non sola potentiæ abundantia parentem malitiæ voluit subjugare, D verum etiam sapientia, verum etiam justitia, ut qui simul omnia, et potens, et justus, et sapiens esset, quinimo ipsa vere sapientia et justitia et potentia: atque ut sibi quidem illustrem victoriam, adversario autem illustrem firmioremque ruinam efficeret, eadem assumpta forma cum illis qui læsi injuria fuerant, inque sapientia et justitia cum hominibus conversatus, frustra nequissimi malitia persecutionem sustinet, insidiisque ad mortem appetitur. Quamobrem etiam quibus ille inique ingruebat, merito transfixus, et in operibus manuum suarum comprenhensus, devictus est, judicioque damnatus, sic manu Dei tyrannico principatu do-

[28] Psal. xliv, 17. [29] Matth. xii, 29; Marc. iii, 27; Luc. xi, 21 [29a] Psal. xxv, 8.

Digitized by Google

jectus est [30]. Sic quoque prædilectus Verbi theologus, ad eorum qui eum susceperi essent, salutem, in Asiam ingressus, atque in unam primum in ea metropoleon maximam scilicet Ephesum veniens, non statim adventu suo et præsentia civitatem turbavit: non civium confestim animos magnifica Evangelii prædicatione perculit; sed in sapientia cum externis ambulans, ac tempus, quod malum esset, redimens, benigniori indole modestoque gestu atque habitu, et leni alloquio, cunctis ad se accessum facilem placidumque præbebat; vitæ vero disciplina, variaque ac exculta virtute, inaccessus pariter ac mirabilis erat.

Ac ipse quidem continentiæ rigore, infracta patientia, jugi precum instantia cum mentis tranquillitate ac lenitate spiritus, Deo serviebat: malitiæ autem princeps, qui externa quidem specie hominem, mente autem angelum videret; tantisper inferius terram contingentem, superius vero mente cœlos penetrantem; quique deos omnes ac dæmonia excuteret, sensimque hactenus ad se adeuntibus Jesu doctrinam proponeret; acerba confestim æmulatione accensus est, cum inde futuram sibi ruinam præsagiret. Tanquam autem ignitis jaculis invidia succensus, varias Christi discipulo tentationes suscitat: accenditque in eum, primo quidem mulierem zelotypam ac procacem, ea in civitate facile principem habitam, exindeque tum

A Θεολόγος, ἐν σωτηρίᾳ τῶν ὑποδεξομένων αὐτὸν τὴν Ἀσίαν καταλαβών, εἰς μίαν δὲ πρῶτον τῶν ἐν αὐτῇ μητροπόλεων, τὴν μεγίστην Ἔφεσον γενόμενος, οὐκ ἐθορύβησε τῇ παρουσίᾳ παραχρῆμα τὴν πόλιν· οὐ τὰς τῶν πολιτῶν διανοίας εὐθὺς τῷ μεγαλοφυεῖ τοῦ Εὐαγγελίου διετάραξεν· ἀλλ' ἐν σοφίᾳ πρὸς τοὺς ἔξω περιπατῶν, καὶ ὡς πονηρὸν ἐξαγοραζόμενος τὸν καιρὸν, τῷ μὲν ἀγαθοπρεπεῖ τοῦ ἤθους, καὶ τῷ μετρίῳ τοῦ σχήματος, καὶ τῷ προσηνεῖ τῆς ἐντεύξεως, πᾶσιν ἑαυτὸν εὐπρόσιτον καθίστη καὶ εὐμενῆ, τῷ τρόπῳ δὲ τοῦ βίου, καὶ τῷ ποικίλῳ καὶ ἀπεξεσμένῳ τῆς ἀρετῆς, ἀπρόσιτον ἅμα καὶ θαυμαστόν.

Καὶ αὐτὸς μὲν τῇ ἐπιτεταμένῃ ἐγκρατείᾳ, ὑπομονῇ ἀνενδότῳ, προσευχῇ ἀνεκλείπτῳ, μετὰ ἡσυB χίας νοὸς καὶ πραΰτητος πνεύματος ἐλάτρευε τῷ Θεῷ· ὁ ἄρχων δὲ τῆς κακίας, ὁρῶν ἄνθρωπον τὸ φαινόμενον, ἄγγελον τὸ νοούμενον· κάτω μὲν τῇ σαρκὶ μετρίως ἁπτόμενον τῆς γῆς· ἄνω δὲ, τῷ νῷ διαβαίνοντα τοὺς οὐρανούς· καὶ θεοὺς μὲν πάντας καὶ δαίμονας ἀποσειόμενον, ῥήμα δὲ τέως τοῦ Ἰησοῦ τὴν δόξαν τοῖς ἐγγίζουσι παρατιθέμενον· ζήλῳ μὲν ἀνῆπται παραχρῆμα πικρῷ, τὴν οἰκείαν ἐντεῦθεν κατάλυσιν ὑποβλεπόμενος. Οἷα δὲ πυρφόροις βολίσι τῷ φθόνῳ πυρπολούμενος, ἐπεγείρει μὲν ποικίλους τῷ Χριστοῦ μαθητῇ πειρασμούς· ἐξάπτει δὲ κατ' αὐτοῦ, πρῶτον μὲν γυναικάριον ζηλότυπον (15) καὶ θρασὺ, πρῶτον ἐκείνης τῆς πόλεως

[30] Psal. IX, 17.

(15) *Γυναικάριον ζηλότυπον.* Hactenus inoffenso pede oratio Nicetæ processerat, ea solum exornans Joannis Theologi, quæ libris sacris habentur de illo conscripta, ejusque in Asiam apostolatum, quæ tanta provincia et fere orbis præcipua, pro tanti apostoli apostolico munere videri poterat præstantia ac solertia; in qua jam Paulus prima Evangelii semina jecerat, atque Ephesi Timotheum episcopum ordinaverat. Tacet merito Nicetas, quod tantis Prochorus refert, nec Græci Menæis deesse voluerunt, etsi brevius perstringentes, humano quodam timore recusasse Joannem eo proficisci, cujus rei causa a Petro reprehensus sit, Deique iram, ut naufragio multaretur, incurrerit. Quod Bellarmino non abs re displicet, velut non satis congruum tanto apostolo, estque primum quod nota dignum judicat in Prochoro. Mulier vero hæc sic æmula et procax, quam malus dæmon in Joannem adeo accenderit, ipsa plane est, quam ex eodem Prochoro, Joannem male habentem, cum is illi serviret cum Prochoro, Romanam nomine, eadem Menæa referunt, ex quibus Nicetas habuerit. Mihi certe inter apocrypha perinde numerandum subit, nulliusque fidei et stramineum habendum. Quanquam enim congerunt libri apocryphi non pauca vera, vel traditione majorum accepta, vel ex certioribus aliis monumentis collecta, cujusmodi in Πρωτοευαγγελίῳ Jacobi ἀδελφοθέου, in Actis Theclæ, aliisque occurrunt, ex iisdem ipsis nonnunquam fontibus, Patribus laudata: istud tamen cujus fidei, ut tantus apostolus, urbe jam Christianis moribus non parum instituta, et quæ Paulum doctorem ac Timotheum episcopum habuisset, servitutem sic vilem servire debuerit, ut saltem modici panis copiam haberet? Sublatum quidem passionis falce Timotheum legimus: at nulla tanta Ephesi C persecutio, quæ omne Christianum semen ea in urbe exstinxisset, antequam Joannes ad eam accederet: per quem fere tota Christo addicta est. Majores vero erant coryphæi, et in eis, ὁ Θεολόγος, ὁ Ἠγαπημένος, ὁ Ἐπιστήθιος, ac si quid magnum ac singulare in apostolis est, Joannes noster, ut sic in Asia atque Epheso, provinciam petens jam semicultam ac Ecclesias habentem, desolatus esse potuerit. Obstiterit femina primæ Joannis Ephesi prædicationi (ut est sexus ille organum diabolo accommodatissimum) Deique opus interturbarit, alio tamen modo se res habuerit, quam Prochorus descripsit: ac si habuit Nicetas, non parum nocuit historiæ sacræ, qui non exposuit, sed mulieris duntaxat sic apostolo diabolica suasione adversantis, meminerit.

Sanctam Mariam Joanni comitem Ephesum adD hæsisse censet Baron. an. 44, n. 29, seu potius ratum habet id Patres Ephesinos epist. synodica ad clerum Constantinopolitanum insinuare ac velle, cum ita refert: *Quare et Nestorius impiæ hæreseos instaurator, in Ephesiorum civitate, quam Joannes Theologus et sacra Deipara Virgo Maria quandoque incoluerunt, constitutus*, etc. Quæ versio est Theodori Pelt. S. J., etsi illius nomine non citat, in qua non satis partes agit fidi interpretis, dum suam conjecturam omni retro traditioni adversam inserit textui. Plane enim assererent Patres, si hæc illorum verba essent. Patrum verba sunt. Ὅθεν καὶ Νεστόριος, ὁ τῆς δυσσεβοῦς αἱρέσεως ἀνακαινιστὴς, φθάσας ἐν τῇ Ἐφεσίων, ἔνθα ὁ Θεολόγος Ἰωάννης καὶ ἡ Θεοτόκος ἡ ἁγία Μαρία. *In Ephesiorum civitatem veniens, in qua Joannes Theologus et Deipara Virgo.* Ubi margini ascriptum, quasi supplendo: *Aliqui subintelligunt,* « *aliquando habitaverunt;* » *alii:* « *ædes habent.* » Qui vel parum in Græcis vere

Digitized by Google

νομιζόμενον· ἔπειτα καὶ τῶν ἐκ τοῦ δήμου καὶ τῶν προεχόντων Ἐφέσου τοὺς πονηροτάτους. Καὶ γλώσσαις μὲν ὡς ξυρὸν ἠκονημέναις, γλώσσαις δολίαις θορυβῶν, ὡς ἥετο, καὶ φοβῶν· τραύμασι δὲ καὶ εἱρκταῖς καὶ πληγαῖς ἐκθλίβων καὶ ἀνιῶν· ὡς ἄν, εἴ γε δύναιτο, στερῆσαι καὶ τῆς ζωῆς· εἰ δ' οὖν, ἀλλὰ τῶν ἰδίων μετακινῆσαι τόπων.

A plebeculæ tum et procerum Ephesiorum nequissima capita. Ac quidem linguis velut novaculis acutis, linguisque dolosis, ut videbatur, turbabat atque terrebat; vulneribusque et carceribus et plagis exterebat, molestusque ingruebat et affligebat, ut si liceret, ipsam etiam vitam adimeret: sin vero, vel suis cum sedibus deturbaret.

Ἐπειδὴ οὖν τούτοις τὸν δίκαιον ἀδικεῖν ὁ ἄδικος ἐπέθετο, καθ' ἑαυτοῦ λοιπὸν τοῦτον ἐξεγείρει· μᾶλλον δὲ, τὴν ἐν αὐτῷ πανσθενῆ χεῖρα, δείλαιος, κατὰ τῆς ἰδίας ἐξαναστήσας κεφαλῆς· αὐτὸς μὲν ἐκτίλλεται (16), καὶ τῆς τυραννικῆς ἐξουσίας ἐνδίκως καθαιρεῖται· σειραῖς δὲ ταρταρούμενος ζόφου, πρὸς τὸν αὐτοῦ καταῤῥήγνυται πατέρα. Ἐντεῦθεν κατευθύνεται μὲν ὁ δίκαιος· ὁ δὲ τῶν δικαίων ὑψοῦται Θεός· καὶ ἀφαιρεῖται μὲν τῶν ἀνθρωπίνων διανοιῶν ἡ ἀχλύς· τὸ μέγα δὲ φῶς ἐξανατεῖλαν ἐν τῷ Ἰωάννῃ, πᾶσαν εὐθεῖαν ἐπισπᾶται ψυχήν.

Quandoquidem igitur iniquus ille virum justum hisce lædere satagebat, eum deinceps adversum se suscitat. Quinimo, potentissimam in eo in caput suum, miser ille exsuscitans dexteram, ipse quidem evellitur, ac tyrannica juste potestate dejicitur; infernique profundo catenis detrusus caliginis ad suum parentem præceps agitur[31]: inde justus dirigitur, ac justorum Deus exaltatur: atque auferitur quidem B caligo ab humanis mentibus; lux vero magna in Joanne exorta, rectum omnem attrahit animum.

Οὕτως ὁ τῆς ἀπωλείας τοῦ ἔθνους ἐπιστατῶν, οὐκ ἐν δυνάμει Θεοῦ μόνον, ἀλλὰ καὶ σοφίᾳ καὶ δικαιοσύνῃ τοῦ Ἀποστόλου κατακινηθείς, ἐῤῥίφη· οἱ ὑπ' αὐτοῦ δὲ πρώην ἀγόμενοι, ἄλλος ἐπ' ἄλλον καθάπερ κυμάτων ἐπανάστασις ἐπεγειρόμενοι· καὶ τῷ τοῦ μεγάλου φωτὸς Υἱῷ προσερχόμενοι, καὶ τοῖς τῆς ἀληθείας διδάγμασι καθαιρόμενοι καὶ πρωτελούμενοι, τὸν ζόφον μὲν τῆς ἀπάτης καὶ πλάνης ἀπεδύοντο· τὸ μέγα δὲ φῶς τῆς ἀληθογνωσίας διὰ λουτροῦ παλιγγενεσίας ἐνεδύοντο. Ἐστήκει δὲ κήρυξ διαπρύσιον τοῖς ἔθνεσι καὶ σωτήριον βροντὴν ἐνηχῶν, *Ἄνδρες*, λέγων, *ὅσων τὸ Πνεῦμα τὸ ἅγιον τῆς καρδίας ἐπελάβετο, δεῦτε πρός με, καὶ ἴδετε* C *ἔργα Θεοῦ καὶ ἀληθείας, καὶ τὴν ὄψιν τῆς διανοίας καταυγάσθητε· ἀκούσατε ῥημάτων σοφίας ἀληθινῆς, καὶ τὴν ἀκοὴν φωτιζόμενοι, σύνετε καὶ γνῶτε τὸν ὄντως ὄντα Θεόν.*

Sic qui gentis perniciem satagebat atque illius architectus erat, non in Dei virtute solum, verum etiam Apostoli sapientia et justitia excussus, projectus est. Quorum autem ille nuper ductor erat, alius post alium velut in turgentes fluctus concitati, magnæ lucis Filio admoti, ac veritatis doctrinis emundati velutque rudimento imbuti, erroris caliginem exuebant, magnamque veræ scientiæ lucem per lavacrum regenerationis induebant. Stabat vero præco, clarum gentibus ac salutare tonitruum insonans. *Viri*, aiebat, *quotquot Spiritus sanctus corda tetigit; venite ad me, et videte opera Dei ac veritatis. mentisque oculum illuminamini. Audite veræ sapientiæ verba, audituque illustramini: intelligite et scitote eum, qui vere Deus est.*

[31] I Petr. II, 4.

versati sunt, subintelligunt nihil (multo minus ausu, sic plagio simili, aliquid quam Græca ipsa habeant, textui ingerunt), sed sic vocatam Patribus ipsam majorem Ephesiorum ecclesiam a suis patronis et tutelaribus, intelligunt, quam ipsam ejusque titulum sibi præsidio adversus Nestorii blasphemiam, hunc ipsum titulum sanctæ Mariæ detrahentem, merito putaverunt. Ita certe ipse Cyrillus auctor est Apologet. ad Theodosium, *convenisse totius orbis episcopos, in ecclesiam quæ Sancta Maria dicitur, ut Deiparæ Virginis honorem in ecclesia ejus nomini dedicata, adversus calumniantium hæreticorum furorem tuerentur;* item epist. ad clerum populumque Alexandrinum: Ἴστε τοίνυν, ὅτι κατὰ τὴν ὀγδόην καὶ εἰκάδα τοῦ Παυνὶ μηνὸς, ἡ ἁγία σύνοδος γέγονεν ἐν τῇ Ἐφέσῳ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῆς πόλεως, ἥτις καλεῖται Μαρία Θεοτόκος. *Itaque scitote sacram synodum in magna Ephesiorum ecclesia, quæ dicitur Deipara Maria, vicesima octava mensis Pauni fuisse celebratam.* Ubi etiam non bene Peltanus suæ indulgens conjecturæ, *inchoatam* reddidit. Quod nec Græca volunt, nec res ipsa subjecta fert; cum de eo conventu sit sermo, in quo gradu motus Nestorius est; non in quo ejus inchoata causa, tametsi schismaticorum factione ac Nestorii fautorum, nundum omnia ad eam synodum spectantia fuerant peracta. Epiph. hæres. 78, n. 11, serio impugnans, qui συνεισάκτους καὶ ἀγαπητὰς haberent (sorores scilicet spiritales domi retinerent), seque ea re Joannis exemplo tuerentur, qui Domini jussu ad se eam accepisset, factum id tunc κατ' οἰκονομίαν docet, *certa quadam dispensatione*, sicque tunc Mariam ad se accepisse, ut non amplius apud eum morata sit. Καίτοι γε τοῦ Ἰωάννου περὶ τὴν Ἀσίαν ἐνστειλαμένου τὴν πορείαν· καὶ οὐδαμοῦ λέγει, ὅτι ἐπηγάγετο μεθ' ἑαυτοῦ τὴν ἁγίαν Παρθένον. *Ac cum Joannes interim in Asiam profectus sit, nusquam tamen beatam Virginem itineris comitem secum habuisse significat.* Ad quæ Baron.: *Cæterum complura tradita habentur sine scripto.* D Ita sane; sed hoc nusquam; nisi quantum illi facta fraus per interpretem, quem pene plagii notavi. Græci in Menæis, quos non necesse fuit a Peltano discere sensum verborum epistolæ synodi, 26 Sept., accepisse Joannem in cruce Deiparam in sua, aiunt, illique ministrasse μέχρι τῆς κοιμήσεως, *usque ad ejus dormitionem;* post quam dicunt sortitum Asiam provinciam: quæ sit ratio cur tardius illam adierit, curaturus Ecclesiam, quam jam Paulus fundaverat, ut est auctor Irenæus, quod forte unus ipse par in apostolis tantæ provinciæ videretur, cujus deinceps princeps foret, cunctasque in ea Ecclesias vel fundaret, vel regeret; jamque Asianam diœcesim quasi exarchi jure peculiarius subditam teneret.

(16) *Αὐτὸς μὲν ἐκτίλλεται.* Videntur hæc quoque tanta illa respicere Prochoro narrata, de profligatis dæmonibus locisque infestis per Joannem mundatis; quæ in eo ac Menæis videre licet, si cui animus est.

Digitized by Google

Cognoscite Deum Patrem omnipotentem, invisibilium omnium ac visibilium rerum creatorem. Cognoscite Deum Verbum ante sæcula supra omnem rationem ex illo natum, per quem omnia fecit [33]. *Cognoscite Spiritum sanctum ex Patre sine tempore ac indivise procedentem, omniumque cum Filio conditorem, ac qui per essentiam cuncta repleat. Intelligite Tria Deum unum, unamque naturam et potentiam et regnum; unumque Dominum in tribus pari dignitate personis adorate. Intelligite, missoque quem a parentibus accepistis, errore, ad veram lucem accedite.* Accedite et illuminamini, et facies vestræ non confundentur [33]. *Videte quia* Verbum caro factum est, et habitavit in nobis [34]. *Unigenitus Filius, qui est semper in sinu Patris, vere homo hominum causa ex sancta innuptaque Maria Virgine nascitur, ac per omnia, uno peccato excepto, similis nobis efficitur; concessaque per baptismum remissione peccatorum, ac per crucem ac resurrectionem a morte ac corruptione liberans, Patri reconciliavit. Hic et modo (quod illius opus proprium) posuit in nobis reconciliationis sermonem, hanc vobis salutem annuntiatum nos mittens.*

Recedite igitur ab omni dæmonum vanitate. Omnis idolorum cultus, omnis vitii ac improbitatis noxiam consuetudinem procul a vobis abjicite. Fidei lege, quæ est in Christo Jesu; lege Spiritus sanctitatis ejus, si vixeritis, ab iraque de cœlo superveniet impiis liberabimini, immortalisque gloriæ ac vitæ æternæ compotes efficiemini. Ne vero inanibus verbis a nobis deceptos vos existimetis, adducite mihi qui in vobis labe aliqua vitioque laborant ac curatione egent, ut me non in sermone tantum ad vos venisse, sed longe amplius in virtute appropinquare ad vos regnum Dei, videatis.

Statim ergo illic loci videre erat, solo Theologi verbo dæmonia ab obsessis corporibus fugere; erigi claudos, cæcis lumen, surdis auditum restitui, doceri balbos diserte loqui. Videre erat precibus mortuos exsuscitari, mundari leprosos; omnemque morbum ac omnem corporis labem, solo manus sanctæ contactu sanari: ac quidem omnem præstigiarum magicamque artem, necnon etiam dæmonum omne maleficium astutiamque, per Christi in eo potentiam destrui: omnem denique illuminantem atque purgantem initiationem, omnemque gratiam ac scientiam consecrantem ac deificantem in fidelium animis præstari. Totum enim Christum per Dominum Spiritum præstantissimus Spiritus dispensator iudutus, quæ hosti undequaque inaccessa essent ac impervia gerebat; rectumque omnem animum ac boni forma imbutum per Spiritum obsecrans, ad eam cujus doctor erat atque assertor, doctrinam componebat.

[33] Hebr. I, 2. [33] Psal. XXXIII, 6. [34] Joan. I, 14.

A *Γνῶτε Θεὸν Πατέρα παντοκράτορα, πάντων ὁρατῶν κτισμάτων καὶ ὁρατῶν ποιητήν. Γνῶτε Θεὸν Λόγον πρὸ τῶν αἰώνων ὑπὲρ λόγον γεννώμενον ἐξ αὐτοῦ, δι' οὗ πεποίηκε τὰ πάντα. Γνῶτε Πνεῦμα τὸ ἅγιον, τοῦ Πατρὸς ἀχρόνως ἀνεκφοιτήτως τε προϊὸν, καὶ τῷ Υἱῷ συνδημιουργοῦν τὰ πάντα, καὶ πάντα κατ' οὐσίαν πληροῦν. Σύνετε Θεὸν ἕνα τὰ τρία, καὶ φύσιν μίαν καὶ δύναμιν καὶ βασιλείαν· καὶ τὸν ἕνα Κύριον, ἐν ὁμοτίμοις προσώποις προσκυνεῖτε τρισίν. Σύνετε, καὶ τὴν πατροπαράδοτον πλάνησιν ἀφέντες, προσέλθετε τῷ ἀληθινῷ φωτί.* Προσέλθετε καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. *Ἴδετε, ὅτι ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· ὁ μονογενὴς Υἱὸς, ὁ ἐν τοῖς κόλποις ὢν ἀεὶ τοῦ Πατρὸς, ἄνθρωπος ἀληθῶς ὑπὲρ ἀνθρώπων ἐξ ἁγίας Παρθένου καὶ ἀπειρογάμου γίνεται Μαρίας, καὶ κατὰ πάντα, χωρὶς ἁμαρτίας, ἡμῖν ἐξομοιοῦται· καὶ ἄφεσιν ἁμαρτιῶν διὰ βαπτίσματος χαρισάμενος, διὰ σταυροῦ τε καὶ ἀναστάσεως, θανάτου καὶ φθορᾶς λυτρωσάμενος, κατήλλαξε τῷ Πατρί. Οὗτος καὶ νῦν ἐν ἡμῖν, τὸ ἴδιον ἔργον, τὸν τῆς καταλλαγῆς λόγον θέμενος, ἀπέστειλεν, τὴν σωτηρίαν ταύτην εὐαγγελιουμένους ὑμῖν.*

Num Baronii faciat satis expositio, ut pars exuviarum Thomæ ex India Edessam translata, pars in India manserit, quæ tot retro sæculis, iterum affulgente illis gentibus per Europæos Evangelio, D detecta sit, alii viderint : mihi omnino non facit, quod et caput Constantinopoli et corpus Edessæ, pari fere veneratione ac Romæ apostolorum Petri et Pauli, ut Chrysost. auctor est, et quod inventum in India corpus cum instrumentis ipsius martyrii, et quale veterum narratione habemus, non particulæ corporis, cum tamen (ut fides aliqua apocrypho Abdiæ habenda sit) statim post martyrium integrum e sepulcro furto ablatum fuerit, et Edessam asportatum, relicto tumulo prorsus vacuo, sicque reperto, ut illo libro narratur. Putem magis in eo contigisse, quod in Stephani protomartyris corpore, quod in Baptistæ capite Romano, Angeliaco, Ambianensi (ipso olim Constantinopolitano); qua de re, ad narrationem de inventione corporis ejusdem Stephani, et translatione Constantinopolini, Constantino imperatore et Metrophane episcopo : quod denique in Magdalena Vezeliacensi et nostra Sanmaximiana provinciæ Phocensis; recentiorique exemplo in S. Vincentii Ferrerii alio alioque corpore Venetiis in Britannia, ne quid dicam de Vincentio levita Valentino in Hispania adhuc exstante, et Novempopulaniam apud Castras translato : quo loco venerationem habebat sancti Patris Dominici ætate, ipso eodem illius pio cultore, habuitque apud meos Prædicatores, translata ad eos æde illi sacra ac basilica, donec Calviniana rabie erepto deposito ac disturbato, ejus fidi custodes FF. mei illius domus Prædicatores ad unum necati et in puteum projecti, martyres et ipsi consecrati sunt : novaque excitata basilica ac conventu, ex eodem puteo in eam illata nuper, pia fidelium fratrumque religione, ipsorum pignora; quibus fidem faceret, nedum ipsa vigens constansque traditio, sed et auctoris æqualis certa sinceraque narratio, faciente copiam integerrimo senatore annosa probitate (ipsaque avita in senatu Tolosano) cl. viro D. Mazenot. Qua tanta nostrorum aliorumque catholicorum in ea urbe strage, aiebat ille referre auctorem, oppidanos Calvinianos deterritos, malaque sibi omnia ominatos, nec vana conjectura, uti ille aliquot in eam rem adductis, quæ illis sinistra contigerunt, se conficere existimat. Ea in re tenenda Prætoris lex, ut ipse alibi monet Baron.: *Qui tenet, teneat*, omninoque cavendum ne istiusmodi obrepant, aliaque aliis subdantur sanctorum pignora, vel etiam ipsa non sancta : in quibus etsi non perit, nutat tamen vera religio ac pietas Christiana.

Digitized by Google

ἐμμένει μὲν ἄχρι τέλους, ἐλάττονος δὲ χάριτος ἢ δόξης τῶν κορυφαίων τινὸς, παρὰ τῷ παμβασιλεῖ καταξιοῦται· ὥσπερ δὲ τῆς κλήσεως, τῆς ἐκλογῆς, τῆς ἀκολουθήσεως, τῆς αὐτοπροσώπου θέας, τοῦ τε Θεοῦ Λόγου, καὶ τῶν δι' αὐτοῦ γεγενημένων, τῆς αὐτηκόου τῶν ὑψηλῶν μυστηρίων ἀκροάσεως, τῆς τῶν ζωοποιῶν παθημάτων κοινωνίας, τοῦ μυστικοῦ νιπτῆρος, τοῦ ἄρτου, τοῦ σταυροῦ, τῆς ταφῆς, τῆς ἀναστάσεως, τῆς μετὰ τὴν ἀνάστασιν ἐμφανίσεως, καὶ ἀναλήψεως τοῦ Υἱοῦ πρὸς τὸν Γεννήτορα, καὶ τῆς δι' αὐτοῦ μετὰ ταῦτα μεταλήψεως τοῦ Πνεύματος, ὁμοίως τοῖς πρωτοαποστόλοις μέτοχος ἦν· ναὶ δὴ καὶ τῆς ἐπὶ τὰ ἔθνη λαμπρᾶς ἀποστολῆς, τῶν τε σημείων καὶ τεράτων, καὶ τῆς τοῦ Εὐαγγελίου μεγαλοφωνίας.

Ὥσπερ οὖν ἐν τούτοις, οὐδὲν Ἀνδρέου καὶ Πέτρου, καὶ τῶν υἱῶν Ζεβεδαίου ἀπελείφθη Θωμᾶς, οὕτω καὶ τοῦ τέλους συστοίχου τοῖς πρώτοις ἐπιτετυχὼς, ἀκολούθως καὶ δόξης ἐκείνοις τῆς αὐτῆς, καὶ ἴσης παρὰ τῷ διδασκάλῳ καὶ Θεῷ τετυχήκει τιμῆς· εἰ μή τις αὐτοῦ τὴν μετὰ τὸν σταυρὸν, καὶ τὴν ἀνάστασιν ἀμφιβολίαν ἢ διψυχίαν, ὑφέσεως τρόπον ὑπολάβοι, κακῶς ὑπονοῶν, καὶ οὐκ ἐν συνέσει τὰ θεῖα διακρίνειν εἰδώς. Ὥσπερ γὰρ ὑπερβολῇ θερμότητος χρώμενος ὁ Πέτρος, ἀρνήσασθαι συνεχωρήθη, ὡς ἂν αὐτός τε μετριώτερος ἑαυτοῦ γένηται καὶ ἀσφαλέστερος· ἀσφαλείας δὲ καὶ τοῖς ἄλλοις ὑπόθεσις ἡ τριπλῆ τούτου μετὰ τὴν ἄρνησιν ὁμολογία καταστῇ· κοινὸν γὰρ ὥσπερ τὸ ἥττημα, οὕτω πάντων ἐγίνετο καὶ τὸ προτέρημα· οὕτω καὶ ὁ Δίδυμος, πλείονα τὴν θέρμην καὶ τὴν περὶ τὸν διδάσκαλον προθυμίαν ἔχων, περιπέπτωκεν ἀμφιβολίᾳ, καὶ μᾶλλον τῶν ἄλλων τοῖς λογισμοῖς διεκρίθη περὶ τὴν ἀνάστασιν, ὡς ἂν καὶ αὐτὸς ἑαυτοῦ πραΰτερος καταστῇ, καὶ διὰ τῆς ἐνστάσεως ἀκριβέστερον βεβαιωθεὶς, βεβαιοτέραν καὶ τοῖς ἄλλοις ἐμποιήσειε πίστιν.

Καὶ γὰρ ἔδει τυχὸν ἐκεῖ πρῶτον πολυπραγμονηθῆναι τὸ μυστήριον· καὶ δοκιμασθεῖσαν οὕτω τοῦ Εὐαγγελίου τὴν ἀλήθειαν, ἀναμφίλεκτον τοῖς ἔθνεσι παραδοθῆναι. Ἥρεμα μὲν οὖν διχόνοια καὶ τῶν λοιπῶν τὰς καρδίας διικνουμένη μαθητῶν, οὐκ εὐαγεῖς ἀνεκίνει λογισμούς· καὶ φαντασίαν εἶναι τὸ ὁρώμενον ὑπέβαλεν. Ἀλλ' οἱ μὲν δειλίᾳ τὴν ἀκριβολογίαν παρακλέπτοντες, ἠνείχοντο πυρπολεῖσθαί τε καὶ μερίζεσθαι τὸν νοῦν. Σὺ δὲ, ὦ γενναιότατε καὶ θερμότατε τῆς ἀληθείας ἐρευνητὰ, οὐ ψιλοῖς τῶν ἐπαγγελλόντων λόγοις παραδέξασθαι δεῖν ᾠήθης τὴν ἀνάστασιν· σφαλερὸν γάρ· οὐδ' ὄψει μόνῃ καταπιστεῦσαι τὸ μυστήριον· ὑποπτον γάρ, ὡς καὶ ἀγγέλων τινῶν εἰς εἶδος τοῦ ποθουμένου μορφοῦσθαι πολλάκις δυναμένων· ὥσπερ δὲ τὸν θάνατον καὶ τὴν ταφὴν τοῦ Ἰησοῦ, δι' αὐτῆς ὄψεως καὶ πείρας ἔγνως, οὕτω δὴ καὶ τὴν ἀνάστασιν ἀναντίῤῥητον ἑαυτῷ τε πρῶτον, καὶ πᾶσι κατασκευάσασθαι βουλόμενος, τὴν διὰ τῆς πείρας ἀπῄτησας πληροφορίαν· καὶ τοὺς ἐν χερσὶ καὶ ποσὶ τύπους τῶν ἥλων, καὶ τῆς πανολβίας πλευρᾶς τὴν νυγὴν, τοῦ παθόντος σώματος ὡς ἀληθῶς

A fert[43]; vel manet quidem usque in finem, minorem tamen gratiam aut claritatem nanciscitur apud summum omnium Regem, quam unus quis ex coryphæis? Quinimo sicut vocationis, electionis, comitatus, divini coram Deique ac Verbi, illique patratorum conspectus, ipsiusque ex ejus ore sublimium mysteriorum auditionis, vivificarum item societatis passionum, mystici pelvis, panis, crucis, sepulturæ, resurrectionis, illam secutæ apparitionis, Filii ad Patrem in cœlos receptionis, Spiritusque postea per eum impartitionis; sic plane etiam magnifici ad gentes apostolatus, signorumque ac prodigiorum; Evangelii denique claræ prædicationis, cum primis pariter summisque apostolis particeps

B fuit.

Quemadmodum igitur ea parte Thomas, nihil Andrea et Petro et filiis Zebedæi minus habuit, sic et finem primis illis consimilem natus; proinde etiam eamdem ac illi claritatem, paremque honorem apud magistrum Deumque promeruit. Nisi quis forte eo deteriorem minoremque putaverat, quod post crucem ac resurrectionem, dubius animique anceps exstiterit; male scilicet opinans, ac qui divina prudenter discernere et judicio expendere haudquaquam norit. Quemadmodum enim Petrus excellenti fervore negare permissus est, ut tum ipse modestior cautiorque redderetur, tumque ejus post negationem trina confessio, cautionis, ac remedii ratio reliquis foret (communis enim sicut clades, sic et

C universorum fuit victoria): ita quoque Didymus, majori fervore inque Magistrum alacritate pollens, in dubietatem incidit, ac plus reliquis de resurrectione anceps fuit, ut et ipse lenior benigniorque evaderet, animique contentiosioris pugna pleniut confirmatus, firmiorem perinde reliquis fidem in gereret.

Forte enim operæ pretium erat, ut illic primum mysterium curiosius exploraretur, inque eum modum probata Evangelii veritas, indubitata gentibus traderetur. Sane vero etiam reliquorum discipulorum animos sensim pervadens dubietas, haud pias in eis ac religiosas cogitationes movebat, spectrum que inane esse suggerebat, id quod oculis cernebatur: verum illi quidem, formidine accuratam

D fallente rationem, animo incendi, ac partibus se cari sustinebant[44]. Tu vero, generosissime ferventissimeque veritatis indagator, non nudis referentium vocibus recipiendam resurrectionem duxisti (quippe res fallax, nec tuta satis), nec solis obtutibus credendam mysterii fidem existimasti (nam et hoc suspectum, cum et angeli non raro desiderati formam induere possint), quin sicut Jesu mortem ac sepulturam ipso aspectu ac experimento usurpaveras, sic quoque resurrectionem, tum ipse tibi primum, tum reliquis omnibus incontestabilem reddere studens, ipso rei experimento illius tibi certo præstandam fidem flagitasti: vereque susci

[43] Joan. VI, 66. [44] Luc. XXIV, 36; Marc. XVI, 14.

Digitized by Google

tati ejus corporis, quod passum erat atque mortuum, certa indicia statuens, clavorum in manibus pedibusque apertas cicatrices; beatissimique lateris lanceæ fossionem, mox ac contrectasses, beatam *meus et Deus meus* [45].

A ἀναστάντος τεκμήρια τιθέμενος, τὴν μακαρίαν ἐκείνην μετὰ τὴν ψηλάφησιν εὐθὺς ἀνηρεύξω φωνήν· *Ὁ Κύριός μου*, ἀποκρινόμενος, *καὶ ὁ Θεός μου!* illam vocem eructasti, ac respondisti. *Dominus*

O sanctam vocem sancto Spiritu sanctissime prolatam! quæ scilicet apostolorum mentes constabilivit, dubietatem curavit, firma cunctos fide composuit. O brevem vocem, magnam in se virtutem habentem! quæ videlicet profligatis hæreticis, rectæ omnem fidei regulam illustret. *Dominus meus et Deus meus!* Non alius Dominus, atque alius Deus. Non alius qui palpatur, alius qui omnem tactum fugit; sed qui assumptæ carnis ratione comprehensus Dominus, is ipse Deus meus, natura deitatis omnino B absolutus et incomprehensus; qui personæ ratione singulariter; gemine, spectata natura videatur atque credatur. Sic Christum scire velut tessera divinus edicat Apostolus: ac sicut Petrus ante passionem et resurrectionem, ita hic quoque Christo jam suscitato, quod in illo unum est ac duplex prædicabat: quorum Dominus accuratam confessionem ratam habens, suam in ea firma basi constabilivit Ecclesiam.

Ὦ φωνῆς ἁγίας, ἁγίῳ Πνεύματι παναγίως φωνηθείσης, καὶ τὰς ἀποστολικὰς διανοίας στηριξάσης, καὶ θεραπευσάσης τὴν ἀμφιβολίαν, καὶ πρὸς βεβαίαν τοὺς πάντας κατορθωσάσης πίστιν! Ὦ φωνῆς βραχείας, μεγάλην ἐν αὐτῇ δύναμιν ἐχούσης, τῶν αἱρετικῶν μὲν ἀφανιστικήν, ὀρθοδοξίας δὲ πάσης οὖσαν φωτιστικήν! *Ὁ Κύριός μου, καὶ ὁ Θεός μου!* Οὐκ ἄλλος ὁ Κύριος, καὶ ἄλλος ὁ Θεός. Οὐκ ἄλλος ὁ ψηλαφώμενος, καὶ ἄλλος ὁ ἀναφής· ἀλλ' ὁ τῷ προσλήμματι ληπτὸς Κύριος, αὐτὸς οὗτός μου Θεὸς ἀκράτητος τῇ θεότητι καὶ ἄληπτος· μοναδικῶς τὴν ὑπόστασιν, δυϊκῶς τὴν φύσιν ὁρώμενος καὶ πιστευόμενος. Οὕτως εἰδέναι τὸν Χριστὸν ὁ θεῖος παρεγγυάσθω Θωμᾶς· καὶ ὥσπερ ὁ Πέτρος πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως, οὕτω μετὰ τὴν ἀνάστασιν οὗτος, τὸ ἑνοειδὲς καὶ διπλοῦν ἀνεκήρυττε τοῦ Χριστοῦ, ὧν τὸ τῆς ὁμολογίας ὁ Κύριος ἐπισφραγιζόμενος ἀκριβὲς, ἐπ' αὐτῷ τὴν ἰδίαν Ἐκκλησίαν ἀνεστηρίξατο.

Quod vero Spiritus sanctus a Patre per Filium (juxta quod olim promissum fuerat) effusus erat; plenique illius virtute discipuli, afflatuque repleti, gratiæ in seipsis parturiginem continere non valebant; ac nisi per universum sparsi orbem, aliusque aliam in eo complexus nationem, divina bonitate impartirent; nec Deo mittenti placita, nec Jesu benignitate atque præcepto digna, facturos se arbitrabantur: alii itaque alio missi apostoli, pro eo utique ac auctor ipse mittendorum decreverat; probatissimæ autem virtutis terque maximo (quo de agimus) Verbi discipulo, cum Parthorum, Medorumque atque his ulteriorum Æthiopum apostolatum nacto, ac quo in eos modo ac ratione invaderet (ad homines scilicet proficiscens aspectu truces animique moribus acerbiores), ac cum eis de pietate sermones misceret, haud satis succurreret: quin et ipsum fere illarum gentium oneris tæderet; omnis in promptu dubitatio et anxietas depulsa est. Ipse enim divinissimus Jesus, incomprehensus ille, nullis D terminis finitus, qui in cœlis Patri semper conjunctus est, atque in terris apud eos quos habet necessarios, semper indivise manet: hic corporis statura, indole vultusque specie viro assimilis, Mercatorem India profectum, recensque Hierosolymis exeuntem ac patriam cogitantem adit. Ad quem dominus cum accessisset (o dominatoris inclinationem! o servi probitatem!) velut servum, suum vendit discipu-

Ἐπεὶ δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Υἱοῦ πατρόθεν κατὰ τὴν ἀνέκαθεν ἐπαγγελίαν ἐξεχεῖτο· καὶ πλήρεις μὲν τῆς ἐκείνου δυνάμεως οἱ μαθηταὶ, πλήρεις δὲ γενόμενοι τῆς ἐνεργείας, οὐχ οἷοί τε ἦσαν τὴν ὠδῖνα τῆς χάριτος ἐν ἑαυτοῖς κατασχεῖν· ἀλλ' εἰ μὴ κατὰ τὴν οἰκουμένην διασπαρέντες ὅλην, καὶ ἄλλος ἄλλο τι μέρος τῶν ἐπ' αὐτῆς ἐθνῶν διαλαβόντες, τῆς θεαρχικῆς μεταδοῖεν ἀγαθότητος, οὔτε τῷ ἀποστέλλοντι Θεῷ φίλα, οὔτε τῆς Ἰησοῦ φιλανθρωπίας ἐπάξια πράξειν καὶ διαταγῆς ἠγοῦντο· ἄλλοι μὲν οὖν ἀλλαχῇ τῶν ἀποστόλων, καθὼς αὐτοὺς ὁ ἀποστέλλων διέστελλε δήπουθεν ἐξαπεστέλλοντο· τῷ δοκιμωτάτῳ δὲ τούτῳ καὶ τρισμεγίστῳ τοῦ Λόγου μαθητῇ, Πάρθων καὶ Μήδων, καὶ τῶν ἐπέκεινα τούτοις Αἰθιόπων τὴν ἀποστολὴν λαχόντι, καὶ πῶς ἂν αὐτοῖς ἐπίοι, καὶ τίνι τρόπῳ τοῖς ἀπευκτοῖς μὲν τὴν ὄψιν, χαλεπωτέροις δὲ τὸν τῆς ψυχῆς τρόπον ἐπιδεδημηκὼς, εἵς τε λόγους καὶ ὁμιλίας τὰς ὑπὲρ εὐσεβείας ἔλθοι· ἠρέμα δὲ καὶ πρὸς τὸ βάρος ἐκείνων δυσχεραίνοντι τῶν ἐθνῶν, ἐγγύθεν ἡ λύσις παρέστη τῶν ἠπορημένων. Αὐτὸς γὰρ ὁ θεαρχικώτατος Ἰησοῦς, ὁ ἀπερίληπτος, ὁ ἀπεριόριστος, ἄνω παρὰ τῷ Πατρὶ ὢν ἀδιαστάτως ἀεὶ, καὶ κάτω δὲ παρὰ τοῖς οἰκείοις ἀμερίστως μένων ἀεί· οὗτος ἀνδρὶ τὸ μέγεθος, τήν τε φύσιν καὶ τὴν μορφὴν ἐοικὼς, ἐμπόρῳ τινὶ προσεληλύθει, τῆς Ἰνδικῆς μὲν ὁρμωμένῳ, ἄρτι δὲ τῶν Ἱεροσολύμων ἐξιόντι, καὶ πρὸς τὴν ἰδίαν παλίνοστοῦντι γῆν, τούτῳ προσελθὼν (23) ὁ

[45] Joan. xx, 28.

(23) *Ἐμπόρῳ τινὶ... προσελθών.* Sumpta hæc ex Thomæ *Periodis*, libro olim reprobato ac plane apocrypho; cujus tamen fidem sic Græci non abnuunt, ut et quibusdam antiquis libris ecclesiasticis ascriptos habeant, et partem in Menæa retulerint, longa narratione hoc ipso titulo, Ἐκ τῶν αὐτοῦ Περιόδων, *Ex ejusdem Thomæ Periodis*: quæ perinde, paucis mutatis, Abdiæ Babylonii nomine vulgata sunt, magis etiam in illo impura. Synaxarium, quod antecedit, iisdem verbis habetur in magnis Menæis et Basilii imperatoris a card. Sirleto Latine redditis, et Henrici Canisii t. III edi-

Digitized by Google

Κύριος, (ὦ συγκαταβάσεως δεσπότου! ὦ εὐγνωμοσύνης οἰκέτου!) οἷα δοῦλον οἰκεῖον πιπράσκει τὸν A lum; venditoque se itineris præbet socium, eique occulte semper colloquitur, arcanisque divinis præ-

tis. Synaxarii verba sunt: Οὗτος Μήδοις καὶ Πάρθοις, Πέρσαις καὶ Ἰνδοῖς τὸν λόγον τοῦ Θεοῦ κηρύξας φρουρεῖται παρὰ Σμιδαίου βασιλέως, διὰ τὸ πιστεῦσαι καὶ βαπτισθῆναι ὑπ' αὐτοῦ Ὑαζάνην τὸν υἱὸν αὐτοῦ, καὶ τὴν γυναῖκα Τερτίαν, καὶ Μιγδονίαν, καὶ Νάρκαν. Διὸ καὶ παραδίδοται πέντε στρατιώταις, οἳ τοῦτον ἐπὶ τὸ ὄρος ἀναβιβάσαντες, λόγχαις κατέτρωσαν, καὶ οὕτω πρὸς Κύριον ἐξεδήμησεν. *Hic cum Medis, Parthis, Persis et Indis Dei verbum prædicasset, in custodiam conjicitur a rege Smidæo, propterea quod ejus opera crediderant et baptizati fuerant Vazanes ejus filius, et uxor nomine Tertia, et Migdonia et Narce. Quapropter quinque militibus traditur, qui ad montem quemdam ductum lanceis transverberarunt, atque ita migravit ad Dominum.* In excerpto illo ex Thomæ *Periodis*, mercator ille Tho- B mæ ductor in Indiam Azanes itidem dicitur, qui et ipse conjectus in carcerem cum apostolo, quasi deluso rege, dum exstruendam illi eximii decoris regiam profiteretur, erogatis in pauperes illius thesauris: quam tamen in cœlis regiam ille ex fratre ab apostolo suscitato sibi exstructam atque paratam didicerit; eoque miraculo cum fratre ad Christum conversus, ab eo τὸν ἀρραβῶνα τῆς ἀφθάρτου βασιλείας, *immortalis regni arrhabonem*, acceperit; apostolo ad alias urbes proficiscente, prædicandi Evangelii causa, ubi sic consummatus sit, ob conversam reguli alterius familiam, ut habet relatum Synaxarium, actaque illa Abdiana, in quibus uxor illa regis *Treptia* dicitur. Istud de mercatore Indo, cui se Thomas in Indiam comitem dederit, etsi habetur in apocrypho, indeque fide nutare videatur, ex eo non improbabile redditur, quod Indorum alter apostolus atque Japponum Franciscus Xaverius (ipse pene Thomas redivivus C et successor, ac pro humilitate, excolenda ea Domini vinea, vicarius, quem tanti ex suis nostrisque et aliis æmulati sint, religiosi omnes et Mendicantes, strenui vere operarii, non fastu dominantes in cleris, ut quibus ad jactantiæ supercilium est vocari pontifices, et qui nolint aut desiderent esse pontifices, secus ac Yvo Carnot. *serm. in cathedr. sancti Petri* admonet; nec satis attendant sub monachi toga, in inferioribus domus Domini mansiunculis, quorum labia custodiunt scientiam, angelos scilicet Domini exercituum, reliquos sacerdotes, ipsos quidem juxta destinationis momenta minime pontifices, sed tamen *Petri consacerdotes*, inquit idem Yvo, ipse in regulari toga egregius ac strenuus pontifex), eodem spiritu eadem pene molitione tentavit, ut Meacum, Japponum fere metropolim servi habitu ac pedisequi adiret. De qua re Tursel. in ejusdem Francisci Vita: *Franciscus, sive ut expeditum inter Barbaros haberet iter, sive ut certum aliquem talis viæ ducem haberet, equili* D *indigenæ Meacum petenti, famulum semet adjunxit, servitutem quoque pro Christo sibi decoram ratus. Domini ergo equitantis sarcinulam, præter suum missæ instrumentum, cursitans gestabat humeris. Herus quippe, cursus magis quam itineris modo, concitabat equum per obnoxia latronibus loca. Et Franciscus pedibus ferme ibat nudis, quod rivi amnesque vado transeundi se passim offerrent. Itaque sæpenumero pedibus ex nivis et algoris injuria intumescentibus graviter laborabat: crebro etiam cursu et sarcinarum gestatione fatigatus, glacie aut asperitate viæ fallente vestigia, corruebat. Quæ ille omnia, non æquo solum, sed etiam intento in Deum et a sensibus alienato superabat animo. Quippe tanta vis erat cælestis contemplationis, ut victis dulcedine sensibus, subinde in vepres indueret se, ad lapides offensaret pedes lacerareturque, sine ullo prorsus sensu doloris;* ac quæ in eam rem prosequitur alia, pene incredi-

biliora, quam quæ habet Thomæ illa cum mercatore profectio, quem in via sibi addixerit, Christianisque moribus imbuerit, ac cujus ope et opibus longam eam viam solatus sit. Quod ita se Christus ut apostolum venderet, conspicuum fecerit, ad altiorem spectet prophetiæ gradum; nec aliud gessit exteriori illa specie, quam quod interiori instinctu in Francisco, ipso eodem auctore, post tot demum sæcula actum est.

Gentes, ad quas Thomas prædicator missus est, easdem refert Nicetas, quas Hippolyti Synopsis: addit tamen Æthiopas Parthis Medisque ulteriores; abusus forte Æthiopum nomine pro ipsis Indis. Nam non videtur velle Æthiopas Ægypto superiores et Afros; tametsi illi quoque sibi Thomam apostolum vindicant, eique peculiari religioni tenentur. Æthiopes etiam vicini terræ promissæ, id est Madianitæ, ex quibus orta Mosis uxor, inde dicta Æthiopissa, non videntur Parthis Medisque ulteriores, ut ita Nicetas designare voluerit. Forte etiam Chrysostomus, cum dealbatos Thomæ prædicationibus Æthiopas scribit, *in Act. apost.*, Indos Orientales intellexit, etsi ipsis Æthiopibus, ut sibi Thomam apostolum raperent, occasio aliqua fuit. Græci in Menæis aperte satis Indos intelligunt, nec alii apud eos Æthiopes, quorum Thomas animos dealbaverit. Sic præter alia ode 1 et stroph. 1: Ἀρετῆς κάλλει διαπρέπων, αὐτόπτα, καὶ θαύμασι, τῶν Ἰνδιῶν τὸ δυσειδὲς φωτὶ τῷ θείῳ κατηύγασας πίστει, καὶ ἐφαίδρυνας τούτων τὴν ζόφωσιν. *Virtutis pulchritudine decorus ac miraculis, qui ipse Deum oculis vidisti, deformes Indos divina luce (fide) collustrasti, eorumque caliginem perpurgasti;* obscuram scilicet et fucatam eorum animo cutem. Nam et Lucianus de Æthiopibus, ἀνδράσι μελαντέροις καὶ τὴν ὄψιν ἐζοφωμένοις, *obscura forma*, ut Ovid. in *Metamorph.*, quod ipsum Indis cum Æthiopibus commune, etsi non adeo satura illorum nigredo; tanta tamen, ut respectu Europæorum fusci audiant et ζοφεροί. Maneat ergo Thomæ sua India, et in ea sui Æthiopes, ipsi scilicet Indi; Matthæo potius proprie magis dicti Æthiopes, partimque etiam illius fratri Jacobo Alphæi, qui ipse unus ex duodecim, Ægyptum partesque illi superiores Evangelio illustravit, ut certiora de illo habent monumenta; non nudus episcopus Jerosolymis templo assiduus consenuit, ut existimant, qui male volunt esse ipsum Jacobum fratrem Domini. Sophronius aliis nationibus, quibus apostolum Thomam prædicasse commemorat, etiam Γερμανοὺς addit, sicque etiam Guilliel. Lindanus Rurem. episcopus existimat, traditque exstare ejus rei monumenta S. Thomæ apostoli nomine complures ecclesias in extremis ipsis Germaniæ oris, et pene usque ad polum arcticum; quæ tamen ratio ac traditio nullo modo rem mihi conficit. Num enim quod Burdigalensis mea metropolis Andreæ nomine sacra, indicio sit prædicasse Andream Burdigalæ; vel Stephanum in Aquitania, cujus pene nomine in ea sacræ reliquæ antiquæ cathedrales ecclesiæ, Tolosana, Aginnensis, Lemovicensis, etc.? Prædicarunt certe, qui vel talium discipuli fuerant, vel eis peculiari religione obstricti ac devoti: sicque se res in Germania habuerit, quod ad Thomam attinet; itemque in Æthiopia, quæ est Africæ: ne dicamus Thomam unum plus terrarum peragrasse ac fidei præconio implesse, quam reliqui omnes apostoli; cum certum sit Pauli oraculum, eum plus omnibus laborasse implendo Evangelium ab Jerosolymis usque in Illyricum per circuitum. Quod ita apud Sophronium est de Germanis, nullius præterea antiquorum testimonio nititur. Quod apud eumdem est *Magis*, qui et ipsi Mediæ ponuntur populi, apud Hippo-

Digitized by Google

dicationibus animum ac fiduciam addit. Quin et in cunctis illi viis inspectabli ratione comes, ab omnique periculo ac adverso casu liberans; ubi quidem divina tractanda forent, divinæque sapientiæ verbis ad pietatem adhortandi auditores essent, vitæ sermonem largo in eo fonte effundebat; ubi autem declaranda prodigiorum virtus, omni res miraculo majores ad spectatorum tum stuporem tum fidem præstare tribuebat.

Quem in modum magnus Thomas ad Indos abductus est. Indeque Æthiopum ipsis regibus, cunctisque illius terræ satrapis ac viris principibus, tanquam mirabilium operum patrator illustris effi-citur [46]. Ac sicut ipse Jesus Christus factus obediens Patri, servi formam accepit, seque ipsum dignatione humilians, atque ad mortem usque prodita subjectione, Patris gratia exaltatus est, supremumque omnium nomen, qua ratione homo est, consecutus, in dextera majestatis sedet [47]. Sic verus discipulus, ipseque filii dignitatis compos, secum animo Domini reputans humilitatem, servi illam dejectionem habitumque non indigne tulit. Non moleste habuit quod ab impiis emeretur: nempe non mœstitiam, sed jucunditatem; non ignominiam, sed honorem; non probrum aut dolorem, sed potius gloriam ac lætitiam ducens temporaneam servitutem : eaque palam æmulari se magistrum ac diligere ostendens, nedum solus ipse veram libertatem filiique decus altius consequebatur, verum etiam innumeros infidelitatis peccatique tenebris obnoxios liberabat, atque gratiæ spiritu ac baptismi aqua mystice regeneratos, immaculatam prolem plenosque lucis, veræ illos magnæque Luci admovebat.

Cuncta vero ter beatissimo doctori egregie præstita, omnemque illius sermonum atque operum circulum, quibus Parthiam omnem et Hyrcaniam et Bactrianam evangelizans Christo adduxit, conari sigillatim verbis exsequi et enarrare, idem merito sit, ac tentare pluviæ guttas numerare. Ut igitur quæ sunt media cuncta contraham, sacri nimirum præconis ad Indiæ regem admissionem, regiæ exstruendæ pollicitationem, æris regii in tenues personas insumptionem, creata inde pericula, minas, verbera, carceres, ab ærumnis omnibus propitio Numine benignioreque providentia liberationem ac, ne orationem longius protraham, abyssum enarrans miraculorum, quam multis ægrotis sanitatem tribuerit, quantis cæcis visum, surdisque

A μαθητὴν, καὶ τῷ πεπραμένῳ συνέρχεται, καὶ κρυφίως ἀεὶ προσλαλεῖ, καὶ μυστικαῖς ὁμιλίαις παρακαλεῖ, καὶ θεορρήμοσύναις ἀῤῥήτοις παρασκευάζει θαῤῥεῖν. Καὶ μὴν καὶ ἐν πάσαις αὐτῷ ταῖς ὁδοῖς ἀοράτως ἐφεπόμενος, καὶ παντὸς κινδύνου καὶ παντὸς συμπτώματος ἀπολυτρούμενος· καὶ οὗ μὲν θεολογεῖν χρεὼν, καὶ ῥήμασι θεοσοφίας τοὺς ἀκούοντας εἰς εὐσέβειαν παρακαλεῖν, λόγον ἐν αὐτῷ πηγάζων ζωῆς· οὗ δὲ καὶ τεράτων ἐνέργειαν ἐκφαίνειν ἔδει, παρὼν τὰ θαυμασιώτατα πρὸς ἔκπληξίν τε τῶν ὁρώντων, καὶ πίστιν χαρίζεται δρᾷν.

Οὕτως εἰς Ἰνδοὺς ὁ μέγας ἀπήχθη Θωμᾶς. Ἐντεῦθεν καὶ τοῖς τῶν Αἰθιόπων βασιλεῦσιν ὡς θαυμασίων ἔργων ἐργάτης, καὶ πᾶσι τοῖς κρατοῦσι τῆς γῆς ἐκείνης, ἐπίσημος καθίσταται· καὶ ὥσπερ ὁ B Χριστὸς αὐτὸς Ἰησοῦς, ὑπήκοος τῷ αὐτοῦ γενόμενος Γεννήτορι, μορφὴν εἴληφε δουλικὴν, καὶ δι' οἰκονομίαν ἑαυτὸν τεταπεινωκὼς, καὶ μέχρι θανάτου τὴν ὑποταγὴν δειξάμενος, ὑπερύψωται διὰ τοῦ Πατρὸς, καὶ τοῦ ὑπερτάτου πάντων ὀνόματος ᾗ ἄνθρωπος ἠξιωμένος, ἐν δεξιᾷ κεκάθικε τῆς μεγαλοσύνης· οὕτως ὁ γνήσιος μαθητὴς, καὶ τῆς υἱοῦ τάξεως ἐπήβολος, πρὸς τὴν Δεσποτικὴν ταπείνωσιν ἀφορῶν, οὐ τὸ πρόσχημα τῆς δουλείας ἐδυσχέρανεν· οὐκ ἀπεδυσπέτησεν ὑπὲρ ἀσεβῶν ἀπεμπωλούμενος· οὐ δυσθυμίαν, ἀλλὰ προθυμίαν· οὐκ ἀτιμίαν, ἀλλὰ τιμήν· οὐδ' αἰσχύνην ἢ λύπην, δόξαν δὲ καὶ εὐφροσύνην τὴν πρόσκαιρον δούλωσιν ἡγούμενος, καὶ ταύτῃ σαφῆ τὴν πρὸς τὸν διδάσκαλον μίμησιν καὶ ἀγάπησιν ἐπιδειξάμενος, οὐ μόνος αὐτὸς τῆς ἀληθοῦς C ἐλευθερίας καὶ ὑψηλοτέρας υἱότητος κατηξιοῦτο· ἀλλὰ καὶ μυρίους ὅσους τῷ σκότῳ τῆς ἀπιστίας καὶ ἁμαρτίας καταδεδουλωμένους ἠλευθέρου· καὶ τῷ τῆς χάριτος πνεύματι, καὶ τῷ τοῦ βαπτίσματος ὕδατι μυστικῶς ἀναγεννῶν, ἄμωμα τέκνα καὶ φωτὸς πλήρεις τούτους, τῷ ἀληθινῷ καὶ μεγάλῳ παρίστησι φωτί.

Πάντα μὲν οὖν καθ' ἓν διεξιέναι πειρᾶσθαι λόγῳ, ὅσα τῷ τρισμακαριωτάτῳ κατώρθωται μυσταγωγῷ· καὶ πᾶσαν δὲ τῶν τε λόγων αὐτοῦ καὶ ἔργων τὴν περίοδον, οἷς Παρθίαν τε πᾶσαν καὶ Ὑρκανίαν καὶ Βακτριανὴν εὐαγγελιζόμενος προσήγαγε τῷ Χριστῷ, ταυτὸν ἂν εἴη καὶ ὑετοῦ σταγόνας ἐπιχειρεῖν ἀριθμεῖν. Ἵν' οὖν τὰ ἐν μέσῳ συνέλω πάντα, τὴν πρὸς τὸν βασιλέα τῆς Ἰνδικῆς τοῦ ἱεροῦ κήρυκος εἰσαγωγὴν, τῆς οἰκοδομῆς τῶν βασιλείων τὴν ὑπόσχεσιν, τὴν εἰς τοὺς μετρίους τῶν βασιλικῶν χρημάτων ἀνάλωσιν, τοὺς διὰ ταῦτα κινδύνους, τὰς ἀπειλὰς, τὰς μάστιγας, τὰς εἱρκτὰς, καὶ τὴν διὰ προνοίας κρείττονος τῶν δυσχερῶν ἁπάντων ἀπαλλαγήν· καὶ ἵνα μὴ μακρὸν ἀποτείναιμι λόγον, ἄβυσσον ἐξηγούμενος θαυμάτων· ὅσοις ἀῤῥωστοῦσι παρέσχε τὴν

[46] Philipp. II, 6. [47] Hebr. I, 3.

lytum est *Margis:* melius forte *Mardis*, qui sunt Hyrcaniæ populi apud Strabonem, Suidam, Stephanum : sunt etiam Persæ populi apud Herodotum. Brachmanes, quos addunt novæ Romanæ tabulæ, non tam populi sunt et natio aliqua, quam philosophi Indiæ citerioris, qui sic adhuc nostratibus audiunt, teste Maphæo, ac si quis Druidibus dicat, pro Gallis. Ac, num Sophronius etiam, voce illa *Magis*, Persarum sapientes (id est philosophos) intellexit? Populum tamen Persidis assignant, quorum urbs Plinio et Solino Pasagorda dicitur.

Digitized by Google

ἴασιν, ὅσοις δὲ τυφλοῖς ὅρασιν, καὶ κωφοῖς ἀποκαθίστη τὴν ἀκοήν· καὶ ὅσους μὲν παρειμένους ἀνωρθώσατο, ὅσους δὲ λελωβημένοις τὸ σῶμα, καὶ καθ' ὁντιν' οὖν πεπηρωμένοις τρόπον, ἢ συμπτώματι φύσεως κεκακωμένοις, ἢ πνεύματος ἀκαθάρτου βασανιζομένοις ἐπηρείᾳ, τὴν ἄπονόν τε καὶ ἄμισθον ἰατρείαν τῷ τοῦ Ἰησοῦ ὀνόματι δεδώρηται. Ἵν' οὖν ταῦτα παρῶμεν ἱστορίας ἔργον, καὶ οὐ τοῦ παρόντος ὄντα σκοποῦ· ἵνα δὲ καὶ τὸ πέλαγος τῆς ἀποστολικῆς συνέλωμεν θεοσοφίας, καὶ ὅπως τὸν Λόγον ἐθεολόγει τῆς ζωῆς, ἐν ἀρχῇ ὄντα, πρὸς τὸν Πατέρα ἀεὶ ὄντα, καὶ σάρκα γενόμενον ὑπὲρ ἡμῶν, καὶ ὑπὲρ ἡμῶν σταυρῷ καὶ θανάτῳ, καὶ τριημέρῳ προσωμιληκότα ταφῇ· εἶτα, ἀναστάντα μὲν ἐν νεκρῶν, καὶ ἀπὸ γῆς ἀναληφθέντα εἰς οὐρανόν· ἥξοντα δὲ μετὰ τῆς αὐτοῦ δόξης αὖθις ἐκεῖθεν, καὶ προσάξοντα σύμπαν τὸ πλάσμα κριθησόμενον καὶ λόγον ὑφέξον τῶν βεβιωμένων· καὶ ὅτι τούτῳ πιστεύοντας, ὕδατι καὶ Πνεύματι καθαίρεσθαι δεῖν, καὶ πάσης πλάνης δαίμονος, καὶ πάσης βίου κακίας καὶ πονηρίας ἀπαλλαττομένους, μόνης τῆς βασιλείας Θεοῦ καὶ τῆς δικαιοσύνης ἐρᾶν ἐν Χριστῷ Ἰησοῦ. Ἵν' οὖν τὴν ἄβυσσον ταύτην τῶν θεολογιῶν καὶ τῶν πράξεων τοῦ Ἀποστόλου ταῖς ἱστορίαις καταλίπωμεν, τῷ τέλει τοῦ βίου, τὸ τέλος ἐπιβάλωμεν τοῦ λόγου.

auditum restituerit, quantos solutis membris erexerit, quantis leprosis, aliove modo corpore oblæsis, aut naturæ vitio laborantibus, vel spiritu immundo vexatis, sine labore ullave mercede, Jesu invocato nomine sanitatem donaverit. Hæc, inquam, ut omittamus, qui scilicet historici pensi, non hujus nostri instituti sunt. Ut denique etiam apostolicæ pelagus sapientiæ contrahamus, ac quomodo Verbum vitæ divine prædicaret, quod erat in principio, et erat semper apud Patrem, ac pro nobis caro factum est, et propter nos cruci affixum mortuumque ac triduo sepultum [48]; tumque surrexit a mortuis, ac a terra in cœlum receptum est; indeque rursus veniens cum majestate sua cunctos ad judicium et rationes eorum, quæ per vitam egerunt, coget: quodque ejus fidelibus aqua ac Spiritu emundatis, omnique dæmonis errore ac vitæ nequitia et malitia liberatis, Dei duntaxat regnum et iustitia ejus in Christo Jesu amanda sint. Tantam igitur divinarum doctrinarum actionumque Apostoli abyssum ut historiis relinquamus, vitæ illius fine, orationi finem imponamus

Ἐπεὶ γὰρ τὸν θεῖον ὁ μακαριώτατος δρόμον ἐξανύων, καὶ τοῖς εἰρημένοις ἔθνεσι πᾶσιν, οἷα σπόρον οὐράνιον τὸν τοῦ Θεοῦ κατασπείρας λόγον, ἀναριθμήτους μὲν πεπιστευκότας δι' αὐτοῦ καρποφορεῖ τῷ Χριστῷ, καθαρτηρίῳ δὲ τῆς παλιγγενεσίας ἀποσμήχει λουτρῷ· παντὶ δὲ λόγῳ σοφίας καὶ χάριτος φωταγωγῶν καὶ τελετουργῶν, τοὺς μὲν ποιμένας καθίστη καὶ διδασκάλους, ὅσοις θερμότητι πίστεως καὶ εὐθύτητι ψυχῆς μᾶλλον εὐδοκεῖν τὸν Θεόν· τοὺς δὲ ποιμαίνεσθαι καὶ ἄρχεσθαι, κατὰ τὴν ἁγίοις πρέπουσαν εὐθυμοσύνην καὶ τάξιν ἱερῶς διαταττόμενος, ἐκκλησίας καλλίστας καὶ πλείστας ἀνεστήσατο τῷ Χριστῷ· ἔδει τοῦτον ἔσχατον ὑπὲρ ἁπάντων κατὰ τὴν τοῦ διδασκάλου μίμησιν θεῖναι τὴν ψυχήν· τοῦτο γὰρ εἶναι τῆς τελείας ἀγάπης τὸ τεκμήριον· διὸ καὶ ὑπὸ τῶν ἐμμενόντων ἔτι τῇ πλάνῃ σαφῶς ἐπιβουλεύεται· καὶ λόγχαις τὰς πλευρὰς ὁ θαυμασιώτατος ἐκκεντηθεὶς, τὴν ἁγίαν ψυχὴν καὶ μακαρίαν, καὶ ὄντως Χριστοειδῆ καὶ Χριστοφιλῆ, τῷ ὑπὲρ αὐτοῦ σταυρωθέντι καὶ λογχευθέντι παρατίθεται

Quod enim vir beatissimus divinum cursum consummans, hisque omnibus, quas dixi, gentibus, velut cœlestem sementem, Dei sermonem disseminans, quantos nec numerare quis possit fideles fecunda messe Christo offerebat, ac lustrali regenerationis lavacro, sordibus detergebat; omnique sapientiæ atque gratiæ sermone illuminans ac perficiens, alios pastores doctoresque constituebat (quotquot nimirum fervore fidei animique rectitudine Deo acceptiores noverat), aliis ut pascerentur ac subditi essent, juxta concinnam illam dispositionem, aptumque ordinem qui sanctos decet, sacratissime statuens, Ecclesias pulcherrimas ac longe plurimas Christo excitaverat; par erat, ut quod supremum est, pro omnibus, magistri exemplo, animam poneret. Hoc enim perfectæ dilectionis certum indicium [49]. Quamobrem etiam, eorum qui adhuc errorem colebant eoque obstinatiores erant, insidiis palam appetitur; lanceisque latera transverberatus vir summe mirabilis, sanctam beatamque animam, vereque Christo similem ac Christi amantem, ei qui ipsius causa cruci affixus lanceaque transverberatus fuerat, tradit.

Οὐδὲ γὰρ εἶναι δίκαιον, τὸν ὅλον ἔχοντα τὸν Χριστὸν ἐν ἑαυτῷ, καὶ τούτῳ θαυματουργίαις ὑπερφυεστάταις, διδαχαῖς θεολογικωτάταις καὶ πᾶσι τῆς ἀρετῆς τοῖς τρόποις ἐξωμοιωμένον, μὴ καὶ κατὰ τὸ πάθος κοινωνεῖν. Καὶ ὦ τῆς προνοίας! ὦ τῆς οἰκονομικῆς ἐκείνης ἀμφιβολίας τοῦ Θωμᾶ καὶ ψηλαφήσεως, ἢ τὸ Χριστομίμητον αὐτῷ πάθος ἠρέμα παρεσήμανεν! Ὅτι γὰρ τὸν τύπον τῆς λόγχης καὶ τῆς Δεσποτικῆς ἅψασθαι τότε κατηξιώθη πλευρᾶς, ὥσπερ τινὰ μισθὸν τῆς πανολβίας ἐκείνης ἁφῆς, τὴν ὑπὲρ

Non enim decebat, ut qui totum in se Christum haberet, eique præmagnificis patratis miraculis, doctrinisque divinissimis, ac modis omnibus virtutis similis enituerat, non paris etiam passionis socius exsisteret: Atque, o providentiam! o Thomæ illam certa consilii ratione dubietatem ac contrectationem, quæ illi similem Christo passionem tantisper designaret! Quod enim lanceæ circatricem ac Domini latus tangere tunc meruerat, quasi beatissimi illius contactus mercedem quamdam, lateris

[48] Joan. I, 1. [49] Joan. XV, 13.

Digitized by Google

eam transverberationem, in ejus quem palpaverat gratiam, postea sustinuit; suaque in fine Dominico vulneri aptata passione, eique modis omnibus factus similis, ad eamdem dubio procul claritatem ac regnum sempiternum evasit.

Latus hoc exhorruerunt dæmones, eosque apprehendit timor et tremor; quodque necis avida incensi æmulatione, lubentissimeque per ministros ipsorum dignos sævitia ingruentes pupugerant, intelligentium mox divinarumque Potestatum studiis coli animadvertentes, in chaos atque Tartarum planctu lugubri diffugerunt [80]. Latus hoc reveriti sunt angeli, ut Jesu lateris typum et exemplum; indeque diffluentes cruoris stillas, velut sacrum Domino libamen offerunt. Laudarunt archangeli ac honore prosecuti sunt; quin illius ictu recepta sanctissima Anima, læti plauserunt. Glorificaverunt Principatus, Potestates exaltaverunt, Virtutes magnificarunt, Dominationes humanissime acceperunt, sanctissimique Cherubin ac Seraphin suavissima quadam laude divinissimoque cantico, Domino Sabaoth lætantem, eximieque Regi gloriæ exsultantem, præsentarunt.

Ipsum hoc latus adorat Ecclesia, ejusque guttis pullulans lætatur. O latus, tuo ipsius vulnere eum vulnerans, qui ictum infixit; passionisque imitatione eum glorificans, qui tui causa lancea transverberatus fuit! Latus, non veteri Adamo factum transgressionis causa, sed novo justitiæ materia!

O lancea! exteriori specie necem inferens; spiritali autem intelligentia ipsum qui sublatus est, ducens ad vitam æternam, eique satellitio obsequens! quo etiam fit, ut indignis acerba videaris, illi autem qui Verbi transverberati causa transverberari meruit, melle dulcior sis. Lancea scilicet, Animæ Dei æmulæ januam fabricata, qua ex corpore excederet, eique depulso gladio igneo, pandens paradisi januam, citraque omne impedimentum inter medios Cherubin inducens, ac ei qui sedet super Cherubin, nullis verbis explicabili fiducia ac exsultatione sistens [81].

Quamobrem saluto te ac compello, Animam scilicet lancea stipatam, ac cum gloria ac claritate Christo oblatam. Ave, Verbi eloquentissime discipule, ejusque operum imitator strenuissime; Evangeliique ferventissime adimpletione, ac peragendo quod in mandatis sit probatissime. Salve sis, quod cum magistro mori percupiisti; nec percupiisti solum, sed et condiscipulos magna ad hoc voce cohortatus es et impulisti [82]: nec id verbis duntaxat, sed multis pro illo perfunctus laboribus ac periculis, quo alacritas animi vocabat, postmodum reipsa effecisti.

Salve sis, quod et resurrectionem præ cæteris curiosius inquiris; non ipse tibi magis, quam con-

A τοῦ ψηλαφηθέντος ἐπὶ τῆς πλευρᾶς ἐκκέντησιν ὕστερον ὑπέσχεν, καὶ τῷ τοῦ Κυρίου πάθει τὸ ἴδιον ἐπὶ τέλει προσηρμοκὼς, καί οἱ πάντα τρόπον ἐξωμοιωμένος, εἰς τὴν αὐτὴν ὁμολογουμένως δόξαν καὶ ἀΐδιον ἀνελήφθη βασιλείαν.

Ταύτην ἔφριξαν δαίμονες τὴν πλευράν, καὶ φόβος καὶ τρόμος ἐπελάβετο αὐτούς· καὶ ἦν ζήλῳ φονώδει πυρπολούμενοι, καὶ διὰ τῶν ἀξίων αὐτοῖς ὑπουργῶν ὡς ἥδιστα καταδραμόντες ἐξεκέντησαν, ταύτην εὐθὺς ὑπὸ νοερῶν καὶ θείων Δυνάμεων περιεπομένην καθορῶντες, εἰς χάος καὶ Τάρταρον ἀπεφοίτησαν ὀλοφυρόμενοι. Ταύτην ἠδέσθησαν ἄγγελοι, ὡς ἀντίτυπον τῆς πλευρᾶς τοῦ Ἰησοῦ· καὶ τὰς ἀπορρεούσας αὐτῆς ῥανίδας τοῦ αἵματος, οἷα σπονδὴν ἱερὰν ἀναφέρουσι Κυρίῳ. Ταύτην ἀρχάγγελοι ἥνεσαν καὶ ἐτίμησαν· μᾶλλον δὲ, διὰ τῆς τρώσεως ταύτης, τὴν παναγίαν ψυχὴν ἐκρότησαν ἀναλαβόντες. Ἀρχαὶ δὲ, ἐδόξασασαν· Ἐξουσίαι δὲ, ὕψωσαν· Δυνάμεις δὲ, ἐμεγάλυναν· καὶ αἱ Κυριότητες μὲν ἐδεξιώσαντο· οἱ παναγέστατοι δὲ Χερουβὶμ καὶ Σεραφὶμ, μετά τινος ἐμμελοῦς αἰνέσεως καὶ θεοπρεπεστάτης ὑμνῳδίας, τῷ Κυρίῳ Σαβαὼθ εὐφραινομένην, τῷ τῆς δόξης παρέστησαν ὑπερφυῶς ἀγαλλιωμένην βασιλεῖ.

Ταύτην καὶ ἡ Ἐκκλησία προσκυνεῖ τὴν πλευράν, καὶ ἐν ταῖς σταγόσιν αὐτῆς εὐφραίνεται ἀνατέλλουσα. Ὦ πλευρὰ, τῷ οἰκείῳ τραύματι τραυματίζουσα τὸν τετρωκότα· καὶ τῷ τοῦ πάθους μιμήματι, δοξάζουσα τὸν λελογχευμένον ὑπὲρ σοῦ! Πλευρὰ, οὐκ ἀφορμὴ παραβάσεως τῷ παλαιῷ Ἀδὰμ, ἀλλὰ δικαιοσύνης ὑπόθεσις τῷ καινῷ γεγενημένη!

Ὦ λόγχη! τὸ ὁρώμενον μὲν, θάνατον ἐργαζομένη· τὸ νοούμενον δὲ, τὸν θανόντα πρὸς τὴν αἰώνιον ὁδοποιοῦσα καὶ δορυφοροῦσα ζωήν· οἷς καὶ πικρὰ μὲν δοκεῖς τοῖς ἀναξίοις· ἡδίων δὲ μέλιτος, τῷ ὑπὲρ τοῦ νυγέντος κεντηθῆναι κατηξιωμένῳ Λόγου. Λόγχη, θύραν μὲν τῆς ἀπὸ τοῦ σώματος ἐξόδου τῇ θεομιμήτῳ τεκταινομένη ψυχῇ· τὴν θύραν δὲ ταύτῃ τοῦ παραδείσου διανοίγουσα, καὶ τὴν φλογίνην ῥομφαίαν ἐκκρούσασα· καὶ διὰ τῶν Χερουβὶμ ἀκωλύτως εἰσάγουσα, καὶ τῷ ἐπὶ τῶν Χερουβὶμ μετὰ παῤῥησίας ἀφράστου καὶ ἀγαλλιάσεως προσάγουσα.

Τοιγαροῦν προσαγορεύω σε, τὴν διὰ τῆς λόγχης δορυφορουμένην, καὶ μετὰ δόξης τῷ Χριστῷ προσαναφερομένην ψυχήν. Χαῖρε, τοῦ Λόγου λογιώτατε μαθητὰ, καὶ τῶν ἔργων αὐτοῦ πρακτικώτατε μιμητά· καὶ τοῦ Εὐαγγελίου θερμότατε πληρωτὰ, καὶ τῆς ἐντολῆς δοκιμώτατε τελειωτά. Χαῖρε, ὅτι ἐπεθύμησας τῷ διδασκάλῳ συναποθανεῖν· καὶ οὐκ ἐπεθύμησας μόνον, ἀλλὰ καὶ τοὺς μαθητὰς εἰς τοῦτο μεγαλοφώνως προέτρεψας καὶ παρώτρυνας· καὶ οὐ λόγοις μόνον, ἀλλὰ μετὰ πολλοὺς ὑπὲρ ἐκείνου πόνους καὶ κινδύνους, ὕστερον καὶ τοῖς ἔργοις ἐκτετέλεκας τὴν προθυμίαν.

Χαῖρε, ὅτι καὶ τὴν ἀνάστασιν ὑπὲρ τοὺς ἄλλους πολυπραγμονεῖς· οὐ μᾶλλον ἑαυτῷ, ἢ τοῖς συμμα

[80] Psal. XLVII, 7. [81] Gen. III, 24; Psal. LXXIX, 98. [82] Joan. XI, 16.

Digitized by Google

θηταῖς· οὐδὲ τούτοις μᾶλλον, ἢ πᾶσιν ἔθνεσιν, τὸ μέγα τουτο μυστήριον τῇ πολυπραγμοσύνῃ βεβαιούμενος· καὶ τὴν ὑπόνοιαν τῆς φαντασίας διορθούμενος, καὶ τῶν Ἰουδαίων τὴν ἀπείθειαν ἐπιῤῥαπίζων, καὶ τὴν τῶν αἱρετικῶν ἐπικόπτων φρενοβλάβειαν, καὶ πᾶσι τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν ἀναμφιλεκτον ὁδοποιῶν.

Χαῖρε, ὅτι μεγαλοφυῆς ψυχῆς, καὶ περιουσίᾳ πνεύματος δυνάμεως, τοῖς μέλασι μὲν τὸ σῶμα, μελανοτέροις δὲ ζόφου τὴν ψυχὴν προσεγγίσαι κατετόλμησας· καὶ τούτοις, τὸ σῶμα μὲν οὐκ ἐλεύκανας· διατί γάρ; ἡλίου δὲ λευκοτέραν ἢ φωτοειδεστέραν ἀπέφηνας τὴν ψυχήν· ἧς δῆλον ὅτι μόνης χρεία τῷ Σωτῆρι. Οὐ γὰρ σωμάτων εὐπρεπείας (φθαρτὰ γάρ), ἀλλὰ ψυχῶν ὡραιότητος (ἄφθαρτος γάρ), ὁ φιλόψυχος νυμφίος ἐρᾷ. Ὧν αὐτὸς, ὦ νυμφοστόλε καὶ ἁρμοστὰ τοῦ Λόγου, τῇ μαχαίρᾳ τοῦ Πνεύματος τὴν ψυχικὴν ἀμορφίαν καὶ μελανίαν ἀποξύσας, ταῖς ἀκτῖσι δὲ σῆς χάριτος περιαυγάσας· καὶ οἷα δευσοποιῷ βαφῇ τῇ πίστει Χριστοῦ καὶ τῇ ἀγάπῃ καταχρώσας, καὶ νοερῶς καταλευκάνας, εὐπρέπειάν τινα τούτοις, καὶ διὰ τῶν ἀρετῶν μυστικὴν ἐνεμόρφωσας καλλονήν· καὶ τοσοῦτον αὐτοῖς τὴν νοερὰν εὐμορφίαν ἐφιλοτιμήσω ταῖς διὰ τοῦ Πνεύματος ἐπιμελείαις, ὡς καὶ εἰς Ἐκκλησίας ἀμώμους, ἁγίας καὶ ἁγαπητὰς καταστῆναι Χριστῷ.

Χαῖρέ μοι, καὶ σκίρτα, καὶ χόρευε, τρισμακαριώτατε Θωμᾶ, τῶν ἁγίων τὸ ἐγκαλλώπισμα, τῶν ἀποστόλων τὸ γλύκασμα, τὸ ὡράϊσμα τῶν οὐρανίων νόων, τὸ τῆς Ἐκκλησίας περιπόθητον ἄκουσμα, περιπυστον λάλημα. Χαῖρε, τοῦ Κυρίου Πνεύματος τὸ παναγέστατον σκήνωμα, τοῦ Χριστοῦ Ἰησοῦ τὸ φύτευμα, καὶ τῆς βασιλείας διάδημα· τοῦ Θεοῦ καὶ Πατρὸς τὸ εὐλογημένον καὶ σπέρμα καὶ τέκνον, καὶ ὅλης κληρονόμον τῆς ἀγαθότητος· ἧς καὶ ἡμᾶς, ὦ τῆς ἀξιαρχικῆς Τριάδος ἁγιοπρεπέστατον ἁγιαστήριον, μετόχους κατασκευασάμενος, καὶ κοινωνοὺς παραλαβὼν, σὺν σοὶ δοξάζειν καὶ αἰνεῖν καταξίωσον τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A discipulis; ac nec his magis, quam gentibus universis, curiosa indagine magnum hoc mysterium astruis, spectrique suspicionem ac inanis visi amoliris; Judæorumque incredulitatem convellis, ac hæreticorum dementiam exscindis; cunctisque demum rectam ac inculpatam fidem omni dubio eximis.

Salve sis, quod magnifica animi indole ac spiritus fortitudinis abundantia, nigros corpore, animique caligine nigriores accedere ausus est. Atque his quidem corpus candore non mutasti (quid enim intererat?), at sole candidiorem lucidioremque animam reddidisti; qua nimirum una Salvator opus habet. Non enim Sponsus ille animorum amans, corporum deperit venustatem (quippe cum illa corruptioni obnoxia sint), sed animorum decorem, quippe qui ab illa immunes ac liberi sint. Horum tu, Verbi auspex ac pronube! sic animis concretam deformitatem ac nigredinem gladio Spiritus abradens, gratiæque radiis collustrans, ac velut indelebili tinctura Christi fide ac dilectione alte imbuens, menteque dealbans ac candorem concilians, quamdam eis venustatem, ac mysticam virtutum cultu consistentem pulchritudinem informasti: tantumque eis animi decorem ac florem, Spiritus curis accurasti, ut et Ecclesiæ immaculatæ, sanctæ, Christoque charissimæ conflarentur.

Salve sis, exsulta et choros ducito, ter beatissime Thoma, sanctorum gloria, apostolorum suavissimæ deliciæ, cœlestium mentium præclarum decus, Ecclesiæ desideratissima auditio, clara celebrisque narratio ac sermo. Salve sis, Domini Spiritus purissimum tabernaculum, Christi Jesu plantatio ac regni diadema: Dei ac Patris benedictum tum semen, tum filius ac proles, omnisque bonitatis hæres: cujus nos quoque, o primævæ sanctitatis Trinitatis locupletissimum sanctuarium! participes faciens ac consortes assumens, dignare tecum glorificare atque laudare, Patrem et Filium et Spiritum sanctum, nunc et semper, et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ Η'.

Εἰς τὸν ἅγιον καὶ πανεύφημον ἀπόστολον Ἰάκωβον τὸν τοῦ Ἁλφαίου (24).

Χθὲς καὶ πρώην ὁ μακαριώτατος τῶν ἀποστόλων Θωμᾶς, τῶν αὐτοῦ παθημάτων καὶ τῆς ἀναλύσεως

ORATIO VIII.

Laudatio sancti ac celebratissimi Jacobi Alphæi apostoli.

Heri nudiusque tertius apostolorum beatissimus Thomas, suarum passionum ac migrationis oblata

(24) Diu est ex quo mihi visus, dulcissimam mihi rem ac nomen serio vindicasse, Jacobum Alphæi apostolum primi ordinis unumque e duodecim, expuncto ex eorum albo, qui unus e septuaginta duobus et fere in eis, antistitisque munere princeps Jacobus Josephi filius (ut vocat Nicetas more majorum, exque veterum communi sententia) qui et Θεάδελφος (ut iidem vocant, aliis ἀδελφόθεος) primus eorum qui ab apostolis ordinati sunt, non qui a Christo, ut scite Anast. Biblioth. in notis ad Acta VIII synodi, act. 1, consentanee Anacleto, qui in ejus ordinatione traditam reliquis formam ordinationis episcopi, ut nonnisi a tribus fiat ordinantibus, Petro, Jacobo et Joanne, tradit: quidquid ad eum ventose Lorin. in Act. apostolorum, *Græcos non moror*. Esset actum agere, plura conferre ad ea quæ mihi producta sunt in Hippolyti Synopsi, n. 9, quæ mihi rata volo, debuissentque æmuli elevare, aut contrariis momentis veterumque auctoritatibus convellere, meque illorum sententiæ veritatem historica vere fide docere, non meam παῤῥησίαν cavillari, et quod *imprudenter nimis* dictum audire non potui, quod præcipui nostri antistites, quod Ecclesiæ totæ, Græca, Syra, Æthiopica, antiqua traditione accepta, ac quam maxime Evangelio consentanea, dixissent, ac nunc etiam celebrarent. Imprudenter dictam vocem, latamque temere censuram, exagitavi, qua sibi parcendum vir modestissimus voluisset, si a me prolata momenta ac monumenta, ipsa animo

Digitized by Google

memoria, nos splendide accepit, suavissimo nos epulo ac delectatione adimplens spiritali. Hodie vero, alia actio est, ac convivium aliud mysticum; aliusque nobis auspex atque incœptor indictus est sacræ solemnitatis, nihil illius magnificentiæ impar ac splendori. Quippe illius frater est; haud quidem natura, sed fide; non carne, sed spiritu, uno Dei Spiritu, eodem Domini Verbo, eodemque Patre qui in cœlis est, uno eodemque modo renatus, ita nimirum ut ambo in unum corpus exsistant [53], unumque spiritum; qui videlicet ipse quoque perinde ac venerabilis Didymus eodem modo ad fidei unitatem et agnitionis Filii Dei occurrerit [53'].

A πρετεινόμενος τὴν μνήμην, λαμπρῶς ἐδεξιώσατο, ἡδίστης ἡμᾶς ἐστιάσεως καὶ τερπνότητος ἀναπλήσας πνευματικῆς. Σήμερον δὲ πρᾶξις ἄλλη καὶ ἄλλο συμπόσιον μυστικόν· καὶ ἄλλος ἡμῖν ἔξαρχος τῆς ἱερᾶς κεκήρυκται πανηγύρεως, οὐδὲν ἐκείνου τῆς μεγαλοπρεπείας λειπόμενος. Ἀδελφὸς γὰρ ἐκείνου· τὴν φύσιν μὲν οὔ· τὴν πίστιν δέ· ἀδελφὸς οὐ τῇ σαρκὶ, τῷ πνεύματι δέ· ἑνὶ τῷ τοῦ Θεοῦ Πνεύματι, τῷ αὐτῷ Λόγῳ Κυρίου, τῷ αὐτῷ Πατρὶ τῷ ἐν τοῖς οὐρανοῖς, καθ' ἕνα καὶ τὸν αὐτὸν ἀναγεννώμενος τρόπον, ὡς εἰς ἓν σῶμα καὶ ἓν πνεῦμα τοὺς ἀμφοτέρους καθεστάναι, καθ' ἕνα τρόπον εἰς τὴν τῆς πίστεως ἑνότητα, καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ τὴν τελειότητα ὡσαύτως τῷ σεπτῷ Διδύμῳ καὶ οὗτος κατηντηκώς.

Vultis ejus nomen audire, qui hujusce diei solemnia præbet? At quis nesciat Jacobum esse, qui sacræ hodie solemnitatis ac sanctorum lætitiæ auspex exsistat? Jacobus nimirum, non qui Zebedæi filius nuncupatur: non qui Josephi, qui et Dei fratris cognomen adeptus est; sed qui Alphæi nomine

B Βούλεσθε καὶ τὴν προσηγορίαν τοῦ χορηγοῦ ταύτης ἀκοῦσαι τῆς ἑορτῆς; Καὶ τίς οὐκ οἶδεν ὡς Ἰάκωβος σήμερον τῆς ἱερᾶς πανηγύρεως, καὶ τῆς τῶν ἁγίων φιλοφροσύνης καθηγεῖται; Ἰάκωβος οὐχ ὁ τοῦ Ζεβεδαίου λεγόμενος υἱός· οὐχ ὁ τοῦ Ἰωσὴφ, ὃν καὶ Θεάδελφον ἐπωνομάσθαι· ἀλλ' ὁ τοῦ Ἀλφαίου παρὰ

[53] Gen. II, 24. [53'] Ephes. IV, 13.

succurrissent, nec πρόληψις ex Hieronymi semel hausta opinione (cui nec ille constans hæsit), vel ex ipsis Romanis recentioribus tabulis, judicio obstasset. Putavit Chrysost. hom. 33 in x Matthæi Jacobum et Matthæum fratres ex evangelicis ipsis verbis, nulla vi eis facta, se perspicue habere, quod Alphæi ambo cognomine ab aliis omnibus diserte distincti. Ita nimirum solemne Hebræis, ipsique Scripturæ, ut loco cognominis, parentis nomen in obliquo ponant. *Levi* ergo *Alphæi* (qui et Matthæus tribus evangelistis in catalogo apostolorum, ipsique Matthæo in eadem suæ vocationis historia), Marc. II, 14; *Jacobi Alphæi*, Matth. X, 3; Marc. III, 18; Luc. VI, 15; sicque Græci in Menæis, quod sancte in aliis solent (ut est auctor S. Th. Joan. I), maximum doctorem suum exponendis sacris Scripturis, secuti Chrysostomum. Velim mihi hunc nodum solvi, quod maximum est (etsi non unum), ut non possim in contrariam sententiam adduci. Perion. in Matthæi Vita, quod scribit, pene initio, *Alphæi, ut ait Lucas, filius*, falsus memoria est. *Marcus* dicere debuit, qui unus sic, *Levi Alphæi* dixit. Existimavit tamen ea forma loquendi, illius partem significari. Quidni ergo in Jacobo Alphæi? Aut unde iste Alphæus non idem ubique in sacris Evangeliis, estque necesse tantam in eis ὁμωνυμίαν admitti? Abdias, si qua auctori fides, libr. VI, Judam Thaddæum Alphæi filium facit, Jacobi fratris Domini uterinum fratrem, quem Josephus ex Maria Cleophæ sustulerit, eoque nomine pecularius omnibus Domini frater appellatus sit; cum et alii illius fratres audirent, peculiari illa affinitate familiæ Josephi. At nihil hæc ad Matthæum seu Levi Alphæi, qui nec per somnium Domini frater aut Josephi filius audivit unquam, uti nec Jacobus Alphæi, quotiescunque ita dictus in Evangeliis, aut Act. libro occurrit. De Matthæo idem Abdias, l. VII: *Matthæus cognomento Levi et Alphæi filius;* haud dubie alium Alphæum dicens, qui pater Levi, et qui Judæ ex Maria Cleophæ, nisi illum quoque, et qui Jacobus Alphæi dictus est, velit ex alia ante uxore suscepisse. Quo ipso modo illi alius Jacobus Alphæi, alius Jacobus frater Domini, quem Alphæi solit, sed magis Josephi. Major fides illorum, quæ tanta produxi, Hegesip., Greg. Nyss., Epiph., Chrys., etc. Non pigebit ex Menæis unam aut alteram strophem apponere, quod præsertim Canon certo auctore editus est, nempe Theophane, qui et ipse suum habeat auctoritatis pondus, dum veri apostoli gesta laudat ac passionem, quæ prorsus abhorrent ab iis quæ de Jacobo fratre Domini explorata habemus ex ecclesiastica historia; in qua, cum tanta perscripta sint, nec verbum exstat, quo vel Jerosolymis, vel ipso templo exiisse memoretur, ad prædicationis aliaque apostolorum propria obeunda munia. Κάθισμα. Τὴν σοφίαν τὴν ὄντως παιδαγωγὸν ἐσχηκώς σε μυοῦσαν τὰ ὑπὲρ νοῦν, σοφίαν ἐμώρανας τῶν Ἑλλήνων, θεόπνευστε, καὶ ἐθνῶν ἐγένου φωστὴρ καὶ διδάσκαλος, εὐσεβείας λόγοις ῥυθμίζων τοὺς ἄφρονας· *Qui eam quæ vere est, sapientiam pædagogum nactus esses, ea secretius docentem quæ mentis intelligentiam superant, Græcorum sapientiam, vir a Deo afflate, stultam ostendisti, gentiumque lumen atque magister exstitisti, pietatis sermonibus atque doctrinis insipientes componens.* Οἶκος. Τὸν οὐρανόθεν τοῦ Λόγου μυηθέντα τὴν γνῶσιν, καὶ τρανῶς τοῖς ἐν γῇ τὸ Εὐαγγέλιον κηρύξαντα, τὸν μέγαν προηρημένος τοῦ Ἀλφαίου τὸν γόνον ἀνευφημῆσαι, σὲ δυσωπῶ καταπέμψαι μοι χάριν, Ἰησοῦ Χριστὲ, ὁ πλήσας Πνεύματος θείου τὸν σοφὸν μαθητήν σου, καὶ κήρυκα τοῦτον πᾶσι τοῖς πέρασι δωρησάμενος. *Qui verbi scientiam cœlitus edoctus, clare in terra Evangelium prædicavit, magnum Alphæi filium cui laudibus celebrare animo constitutum sit, obsecro ut mihi gratiam, Jesu Christe, affluenter mittas, qui sapientem discipulum tuum divino Spiritu replesti, ac cunctis terminis terræ præconem donasti.* Ode 8, 1: Ἱερομύστης τὰ οὐράνια μεμυημένος, μάκαρ ὄντως, μυστήρια, διελήλυθας τὴν σύμπασαν οἰκουμένην, κηρύττων μεγαλοφώνως λόγον τῆς τοῦ Χριστοῦ πίστεως. *Mysta sacer, cœlestia, vir vere beatus, doctus mysteria, omnem terrarum orbem peragrasti, alto vocis præconio, Christi fidei doctrinam prædicans.* De Jacobo fratre Domini, quod iisdem pene verbis dicunt, in Vesper.: Πάντα περιήχησε τῆς οἰκουμένης τὰ πέρατα τῶν ῥημάτων ὁ φθόγγος σου, δι' ὧν φωτιζόμεθα ἀρετῆς ἐνθέου πρὸς πᾶσαν ἰδέαν. *Omnes fines orbis terrarum circumsonuit sonus verborum tuorum, quibus ad divinæ virtutis genus omne illustramur,* ad ipsius epistolam spectat, ex cujus verbis ac documentis, idem ipse Theophanes ejus Officii canonem magna ex parte conflavit.

Digitized by Google

τοῖς ἱεροῖς ἀνακηρυττόμενος Εὐαγγελίοις. Οὗτος ἡμᾶς A
νῦν ἐπὶ τὴν αὐτοῦ μνήμην ξεναγῶν, καὶ τοὺς συ-
χνοὺς ὑπὲρ τοῦ διδασκάλου πόνους, καὶ τοὺς ἱεροὺς
ἀγῶνας, καὶ τὸν ὑπὲρ τοῦ ἐσταυρωμένου προβαλ-
λόμενος σταυρὸν, λαμπροτάτην ψυχαῖς εὐωχίαν καὶ
πολυτελεστάτην συγκροτεῖ· καὶ οὐ τοὺς κάτω μό-
νον ἀνθρώπους πρὸς τὴν κατ' αὐτὸν χαρμοσύνην
συγκαλεῖ, πολλῷ δὲ μᾶλλον τὰς ὅλας χοροστασίας
τῶν ἁγίων· καὶ οὐ τούτων μόνον, ἀλλὰ καὶ τὰς
ὑπερκοσμίους ταξιαρχίας πάσας τῶν ἱερῶν καὶ νοε-
ρῶν νόων· καὶ μὴν καὶ αὐτὸν τὸν τῶν ὅλων Δεσπό-
την ὑπερκοσμίως ἐπευδοκοῦντα τοῖς τελουμένοις
συνεπάγεται. Οὕτως οὐδὲν τῆς ἀποστολικῆς τελειό-
τητος περιφανέστερον, καὶ οὐδὲν οὕτως εὐφραίνει κα-
λὸν τοὺς οὐρανοὺς ὁμοῦ καὶ τὴν γῆν, ὡς ἑνὸς τῶν δώ-
δεκα τοῦ Θεοῦ τέκνων ἱερῶν ἐκτελουμένη μνήμη. B

Bartholomæi sententia, quam citat, ex Dionysio petita, 1 De *Myst. Theol.*, ubi sunt paulo alia verba, nempe Θεολογίαν πολλὴν εἶναι καὶ ἐλαχίστην· καὶ τὸ Εὐαγγέλιον πλατὺ καὶ μέγα, καὶ αὖθις συντετμημένον · *Theologiam et copiosam esse, et summe exiguam ; Evangeliumque et amplum et magnum, ac rursus concisum.* Ubi in Maximi scholio error irrepsit, emendandus ex ipsa serie et ex Pachimere. Probat Maximus esse genuinum opus Areopagitæ, ex simplicitate, qua in superioribus citavit auctoritates, χρήσεις, quorumdam qui cum apostolis vixerunt ; et νῦν παραπλησίως τοῦ θείου Βαρθολομαίου χρῆσιν ἄγει, ὡς δηλοῖ τὸ, *φησίν*. Εἰ ἀγράφως ἦν διδάξας, εἰρήκει ἄν, Ἔφη. Ubi Cord. : *Modo similiter D. Bartholomæi sententiam adducit, uti verbum* Ait *declarat. Nam si absque scripto id tradidisset, utique dixisset*, Dixit. Quasi nimirum velit Maximus, Bartholomæum aliquid scripsisse, atque id sibi videatur ex Dionysio ipso colligere. Nec aliter Lansel. : quod ita sensisse, vel inde voluisse colligere Maximum virum sapientissimum, perridiculum est; unde Pachim. non magis Dionysii, quam ipsius Maximi fidissimus paraphrastes : Μετὰ ταῦτα, καὶ ἀγράφως παραδοθεῖσαν χρῆσιν τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου τίθησι, πολλὴν καὶ ἐλαχίστην τὴν θεολογίαν λέγοντος. *Deinde traditionem quamdam non scriptam sancti Bartholomæi apostoli ponit, multam esse theologiam*, etc. Sic ergo et Max. : Χρῆσιν ἄγραφον ἄγει, ὡς δηλοῖ τὸ, *φησίν*. Εἰ γὰρ ἐγγράφως ἦν διδάξας, εἰρήκει ἄν, Ἔφη. *Sententiam non scriptam adducit, uti verbum*, Ait, *declarat: Nam si scripto id tradidisset, utique dixisset*, Dixit. Est id quidem subtilius quam verius, aliquid tamen momenti habens ad conjecturam ; ut quod viva voce, qnasi de præsenti, et rumor volans significetur ; quod vero scriptum est, de præterito, quasi ratum, eo quod libris et chartæ seu tabulis insertum est. Promiscue tamen τὸ, φησὶ, et ἔφη usurpantur, citandis vel Scripturis, vel aliorum etiam non scriptis sententiis. Vel certe quod magis putem, et ne sic leviter existimemus lusisse Maximum, pro ἔφη (in quo vix aliquid discriminis est a voce φησί) scripserit γράφει, in quo subtiliter venatur mentem Dionysii. Nempe si sententiam scriptam Bartholomæi citasset, dicturus erat γράφει, *scribit*, ut in ejusmodi solet, non φησὶν, *ait*. Argumento est *De divin. nom.* c. 4, § 12, ubi Γράφει δὲ καὶ ὁ θεῖος Ἰγνάτιος, « Ὁ ἐμὸς ἔρως ἐσταύρωται. » *Scribit divinus Ignatius : « Amor meus crucifixus est;»* quod agnoscit Maximus non posse intelligi, nisi de scripta sententia ; sed vel subdititium putat, et ex margine in textu illatum, a quo nullo hiatu abesse possit : vel aliis scripsisse Ignatium quam Romanis, aliisque epistolis ab iis quas proxime martyrium facturus pluribus scripsit. Ut quasi solemne hoc effatum habuerit, ac pro re nata, verus Joannis amorisque discipulus, et ore et scripto usurpaverit. Hæc pro mea in Maximum observantia, quandiu levissimi æris penuria non satis mihi licet votis illi defungi, ac quod cœpta adultaque editio, ad umbilicum mature satis perducere : tanta nostri tatum in rem litterariam sacramque munera!

Digitized by Google

μενοι κεφαλὴν, μετρίως ἂν οὕτως, οἶμαι, παραμυθησαίμεθα τὸν πόθον. Οὐδενὶ γὰρ οὕτω ὁ θεῖος τῶν θείων ἔρως, ὡς ἐπαίνῳ τῶν ἐπιθυμημένων καὶ παρακαλεῖται καὶ παραμυθεῖται.

Δεῦρο δὴ οὖν, ὦ σεβασμιώτατέ καὶ λαμπρότατε· δεῦρό μοι, πάρεσο πνεύματι, ὡς πνεῦμα καθαρώτατον καὶ παναγέστατον ὤν, καὶ τοῦ ἁγίου καὶ θεαρχικοῦ Πνεύματος γέννημα καὶ ὁμοίωμα. Ἔμπνευσον νοῦν, ἔμπνευσον λόγον· νοῦν, θεωρητικὸν τῆς σῆς ἁγιοπρεπείας καὶ θεότητος· λόγον, τῆς ὑμετέρας ἐκφαντορικὸν θαυμασιότητος, ἵν' ἀμφότερα καὶ νοῦς καὶ λόγος ἡμῖν ἀγιάζηται καὶ λαμπρύνηται, τὰ σὰ θαυμάσια καὶ διανοουμένοις καὶ διηγουμένοις· ἐπεὶ καὶ τὸ ἐπὶ μνήμης μόνον λαβεῖν, ἁγιασμός τε καὶ φωτισμὸς, οὐχ ἧττον ἡμῖν τοῖς μόνῳ κατοπτριζομένοις τῷ πνεύματι, ἢ τοῖς πρὶν μετὰ τοῦ ἱεροῦ σκήνους ὁρῶσιν ἀναστρεφόμενον ἐπὶ γῆς.

Καὶ γὰρ νηπιόθεν ὅλος ἀφιερωμένος τῷ Θεῷ, καὶ σχήματι εὐλαβείας καὶ πράγματι θεοσεβείας καὶ τοῦ νόμου μελέτῃ καὶ τῶν ἐντολῶν φυλακῇ, πρὸς τὴν τελειοτέραν προπαρασκευαζόμενος θεογνωσίαν· οἶδεν γὰρ Κύριος ἀπὸ γαστρὸς ἁγιάζειν τοὺς οἰκείους, καὶ ἅμα τῇ πρώτῃ συνεισέναι πλάσει καὶ ἀοράτως ἐφέπεσθαι, καὶ πρὸς ἑαυτὸν κατευθύνειν καὶ ποδηγεῖν, ἐπειδὴ ὁ τῆς πίστεως ἀρχηγὸς καὶ τελειωτὴς ἐπεφάνη Χριστὸς, καὶ πᾶσαν μὲν τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν ἐπεφοίτα, τὴν τῶν οὐρανῶν βασιλείαν εὐαγγελιζόμενος· καὶ θαυμασίοις μὲν λόγοις, θαυμασιωτέροις δὲ ἔργοις, τὴν τῶν Εὐαγγελίων ἀλήθειαν πιστούμενος, τὰ ἀπολωλότα πρόβατα πρὸς ἑαυτὸν ἐπισυνῆγε τοῦ Ἰσραήλ· τότε δὴ, τότε καὶ τὸν ἀληθινὸν τοῦτον Ἰσραηλίτην ἐκάλεσεν Βαρθολομαῖον.

Τί οὖν οὗτος; Ἆρ' ἀπηνήνατο τὸν κεκληκότα; ἢ πιστεύει μὲν, οὐχ ἕπεται δέ; ἢ ἕπεται μὲν, ἄχρι καιροῦ δέ; ἢ μέχρι μὲν τέλους, ὡς εἷς δὲ τοῦ πλήθους καὶ τῶν πιστῶν; ἢ τοῖς μαθηταῖς μὲν συνηριθμεῖτο, τῆς δευτέρας δὲ τάξεως παρὰ τῷ διδασκάλῳ καθεστῶσιν; Οὐδαμῶς. Ὁμοῦ δὲ τὸν ποιμένα τὸν καλὸν εἶδεν, καὶ οὗτος αὐτὸν κατὰ τὸ βάθος ἐκέγνω διανοίας, ἐπεγνώσθη τε παρ' αὐτοῦ, ὡς τῆς ἀνωτάτω καὶ πρώτης ἐκλογῆς κατηξιῶσθαι, καὶ τοῖς κορυφαίοις τῶν ἀποστόλων συντετάχθαι, καὶ τὴν ἱερὰν. καὶ τιμίαν δυοδεκάδα συμπληροῦν· ἐντεῦθεν ὅλην ἀπανηνάμενος τὴν κτῆσιν τῶν ἐπὶ γῆς, πατρίδα, γονεῖς, συγγενεῖς, φίλους, πᾶν ὅ τι καλὸν ἀνθρώποις καὶ περισπούδαστον· ἔτι δὲ καὶ τὴν αὐτοῦ ψυχὴν ὁ θαυμάσιος ἀπηρνημένος· πᾶσαν τοῦ σώματος ἐπιθυμίαν, καὶ πᾶσαν θέλησιν τῆς ἰδίας καρδίας ἀπερρίψατο, ἵνα τῆς Ἰησοῦ φιλίας, καὶ τελειοτέρας γνώσεως ἐν μετουσίᾳ καταστῇ.

Ἐντεῦθεν κατὰ σκοπὸν διώκων καὶ καταλαμβάνων, ἅτε πνεύματι ζῶν ἀκραιφνῶς, καὶ πνεύματι

A labimur. Nulla enim adeo re divinus divinorum amor, ac eorum laude qui amori habentur, lenimen atque solamen nanciscitur.

Adesto igitur, o venerabilissime ac clarissime; adesto, præsto sis spiritu, ut qui purissimus ac sanctissimus spiritus sis, sanctique ac divini Spiritus soboles ac simulacrum. Aspira sensum, aspira orationem: sensum mentisque intelligentiam, ad sanctitatis ac deitatis tuæ contemplandam magnificentiam; orationem, ad mirabilem oris sermone explanandam vestram præstantiam; quo scilicet utrumque (sensus pariter atque mens, et oratio) cogitantibus nobis ac loquentibus tua mirabilia, sanctificetur ac splendescat: quippe cum vel ipsa B duntaxat animo assumpta tui memoria, sanctificationem præstet ac illuminationem, tum nobis qui solo spiritu velut in speculo relucentem formam contuemur, tum iis qui olim cum sancto corpusculo versantem in terra viderunt.

A puero namque totus Deo consecratus, pietatisque forma ac indole; et vera religione et legis meditatione et mandatorum observantia, ad perfectiorem Dei scientiam fidemque institutus cum esset (novit enim Dominus ex utero qui sui sint ac necessarii, ex utero sanctificare, atque a prima statim formatione illis illabi, seque eis inaspecta ratione comitem præstare, atque ad seipsum dirigere et ducere), quod fidei auctor et consummator Christus apparuerat [90], omnemque Judæam et Galilæam, evangelizando regnum cœlorum peragrabat, C admirandisque sermonibus majoremque admirationem facientibus operibus Evangelio fidem astruens, oves quæ perierant Israelis ad se congregabat [90*]; tunc plane, tunc quoque verum hunc Israelitam Bartholomæum vocavit [91].

Quid igitur ille? Num vocantem respuit? aut credit quidem, non tamen sequitur? aut sequitur quidem, verum ad tempus; aut in finem usque, velut tamen unus e vulgo ac turba fidelium? aut relatus quidem est in discipulorum album, verum illorum qui secundi ordinis erant apud magistrum [91*]? Nequaquam; quin simul atque bonum pastorem vidit, sicque eum alta mente cognovit et D ab eo agnitus est, ut supremæ primæque electionis dignus haberetur, ac inter apostolorum principes accenseretur, sacrumque ac venerabilem duodecim chorum compleret; exinde omni terrena spreta substantia, patria, parentibus, cognatis, amicis; quidquid hominibus pulchrum videtur ac studiis prosequendum; ad hæc vero etiam abnegata vir admirandus anima sua, omnem corporis libidinem, omnemque cordis proprii voluntatem projecit, ut Jesu amicitiæ, ac scientiæ perfectioris particeps fieret [92].

Inde juxta destinatum persequens ac comprehendens, velut qui sincere spiritu viveret, spiritu in-

[90] Hebr. XII, 2. [90*] Matth. XV, 24. [91] Joan. I, 47. [91*] Joan. X, 11. [92] Philipp. III, 14.

Digitized by Google

cederet et ambularet, Dei quidem amicus ac filius adoptione, gratiæ vero dono Unigeniti frater constituitur. Qui autem Christo non domesticus foret et contubernalis ac commensalis, viæque ac institutionis socius? fandorum omnium ac nefandorum mysteriorum, omniumque Dei operum ac sermonum, quæ Patri luminum placuit ut mortalibus aperiret, conscius.

Beatos igitur prædico tuos oculos, o Verbi ipse iis spectator et mysta divineque discipule, quod inaccessi decoris supercœlestis pulchritudinis speciosi forma præ filiis hominum [93], aspectu potitus es. Beatas prædico aures, quod Dei oris vocibus ac Christi mystico auditu alloquioque impletus es. Circumfundor spiritu beatissimis tuis labiis orique; osculor et genas et linguam, velut divinissimum illum haud raro osculata, ac quæ illius impleri dulcedine imbuique sanctitate meruerunt. Beatum prædico tuum gustum olfactumque et tactum; priorem quidem, quod ejusdem ac Verbum mensæ particeps fueris eosdemque sales perceperis; nec dici potest quoties eodem cum Servatore sensibili pariter ac spiritali saturatus epulo sis. Alterum, quod intemeratis unguentis; ac spiritali summi omnium Regis scientiæ fragrantia impletus sis. Tactum denique, quod sæpius intemeratissimum corpus intemerate contrectaveris, tremendumque Cherubim ac Seraphim etiam atque etiam venerandum, tuis ipse manibus ministrans, ut par est, propior factus apprehenderis, cunctisque penitus sensibus, accessu ad eum qui omnem excedit sensum, eoque familiarius utens, sanctificatus sis.

Adhuc autem magis æmulor ac beatum prædico, quod mente non concideris, nec in tentationibus animo diffisus sis aut cogitatione vacillaveris; sed immotus cum magistro manes, parique opprobrio subjiceris, atque condemnato socius condemnationis exsistis: patienti compateris, eique condoles qui in dolore agit. Etenim cum crucifixo pene cruci mente crucifixus es, et cum moriente mortuus, et cum sepulto animi voluntate sepultus: quo et factum est, ut et cum resurgente resurgeres et convivificareris. Atque ejus tecum testamentum, contubernalem cum principibus in regno cœlorum; sed et plane pari eis solii dignitate sublimem in regenerationem fore assumendum.

Quemadmodum igitur Jesu tum passionis, tum resurrectionis, tum ejus in cœlum recepti, una cum primis ipse oculis spectator sociusque fuisti, sic quoque cum eis pari munere vitali Spiritus dono adimpletus es. Etenim cum prius Verbo Domini velut spiritale cœlum ac mundo superius firmatus esses [94]; eaque victus ratione quæ sanctos deceat purgatus, atque claris animo repræsentationibus eximie illustratus, divinioribusque mente illustrationibus supersubstantialiter deificatus, velutque sublimis quidam thronus gloriæ ac sanctitatis

[93] Psal. XLIV, 5. [94] Psal. XXXII, 6.

A λοιχῶν καὶ περιπατῶν, φίλος μὲν Θεοῦ καὶ θέσει υἱὸς, ἀδελφὸς δὲ τῇ χάριτι καθειστήκει τοῦ Μονογενοῦς· καὶ πῶς οὐκ ἂν ὁμοδίαιτος ὑπῆρχε Χριστῷ καὶ ὁμόροφος, σύσσιτος, συνόμιλος, τῆς αὐτῆς ὁδοῦ καὶ ἀγωγῆς τῆς αὐτῆς· κοινωνὸς πάντων ῥητέων καὶ ἀπορρήτων μυστηρίων· κοινωνὸς ἔργων Θεοῦ καὶ λόγων, ὧν εὐδόκησεν ἐκφᾶναι τοῖς βροτοῖς ὁ τῶν φώτων Πατήρ;

Τοίνυν μακαρίζω σου τὴν ὅρασιν, ὦ αὐτόπτα τοῦ Λόγου καὶ μύστα, καὶ θεηγόρε μαθητά, ὅτι τοῦ ἀπροσίτου κάλλους τῆς ὑπερουρανίας ἀγλαΐας, τοῦ ὡραίου κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τῇ θέᾳ κατετρύφησας. Μακαρίζω σου τὴν ἀκοὴν, ὅτι φωνῶν στόματος Θεοῦ, καὶ μυστικῆς ἀκροάσεως καὶ ὁμιλίας ἀμέσως ἐνεπλήσθης Χριστοῦ. Περιπτύσσομαί σου B τῷ πνεύματι τὰ μακαριώτατα χείλη καὶ στόμα· ἀσπάζομαι καὶ τὰς σιαγόνας καὶ τὴν γλῶσσαν, ὡς τὸν θεαρχικώτατον πλεονάκις ἀσπασάμενα, καὶ τῆς ἐκείνου τερπνότητος ἐμπεπλησμένα, καὶ τῆς ἁγιότητος ἠξιωμένα. Μακαρίζω σου τὴν γεῦσιν καὶ τὴν ὄσφρησιν καὶ τὴν ἁφήν· τὸν μὲν, ὅτι τραπέζης τῷ Λόγῳ κεκοινώνηκας τῆς αὐτῆς, καὶ ἀλῶν τῶν αὐτῶν· αἰσθητῆς τε καὶ νοητῆς ἑστιατορίας, οὐκ ἔστιν ὁσάκις εἰπεῖν, τῆς αὐτῆς ἐνεφορήθης τῷ Σωτῆρι· τὴν δὲ, ὅτι τῶν ἀχράντων μύρων καὶ τῆς νοητῆς εὐωδίας τῆς γνώσεως τοῦ Παμβασιλέως ὑπερενεπλήσθης· τὴν ἁφὴν δὲ, ὅτι πλεονάκις τοῦ παναχράντου σώματος ἀχράντως ἥψω· καὶ τὸ φρικτὸν μὲν τοῖς Χερουβεὶμ, αἰδέσιμον δὲ σφόδρα τοῖς Σεραφὶμ, ταῖς ἰδίαις C χερσὶν ὑπηρετούμενος, κατὰ τὸ εἰκὸς, ἐγγίζων ἐπελάδου· καὶ ὅλας δι' ὅλου τὰς αἰσθήσεις, τῷ ὑπὲρ πᾶσαν αἴσθησιν πελάζων, καὶ σώματι συναναστρεφόμενος, καθηγιάσθης.

Ἔτι δὲ μᾶλλον ζηλῶ καὶ μακαρίζω σε, ὅτι οὐκ ὤκλασας τὸν νοῦν, οὐ τὴν ψυχὴν διεκρίθης ἐν τοῖς πειρασμοῖς, οὐδὲ τὴν διάνοιαν ἐδίστασας· ἀλλ' ἀπερίτρεπτος μετὰ τοῦ διδασκάλου μένεις, καὶ τὸν ἴσον ὀνειδισμὸν ὑφέξεις· καὶ κατακρινομένῳ τῆς κατακρίσεως κοινωνεῖς· καὶ πάσχοντι συμπαθεῖς· καὶ ἀλγυνομένῳ συναλγεῖς. Καὶ γὰρ σταυρουμένῳ τρόπον τινὰ τῇ διανοίᾳ συνεσταύρωσαι· καὶ θανόντι συναπέθανες· καί γε προθέσει ψυχῆς συνετάφης θαπτομένῳ· ὅθεν καὶ ἀνισταμένῳ συνανέστης καὶ συνέζησας. Καὶ ἡ διαθήκη τούτου μετὰ σοῦ, συν- D έστιον μετὰ τῶν κορυφαίων εἰς τὴν τῶν οὐρανῶν βασιλείαν· ναὶ δὴ καὶ συγκάθεδρον ἅμα τούτοις, ἐν τῇ παλιγγενεσίᾳ προσληφθήσεσθαι.

Ὥσπερ οὖν τοῦ τε πάθους Ἰησοῦ καὶ τῆς ἀναστάσεως καὶ ἀναλήψεως, ἅμα τοῖς πρώτοις αὐτόπτης ἐγένου καὶ κοινωνὸς, οὕτω μετ' αὐτῶν ὁμοίως καὶ τῆς ζωαρχικῆς τοῦ Παρακλήτου πεπλήρωσαι δωρεᾶς. Καὶ γὰρ τῷ Λόγῳ Κυρίου πρότερον οἷα δὴ νοερὸς καὶ ὑπερκόσμιος στερεωθεὶς οὐρανὸς, καὶ τὸ σῶμα διαίτῃ ἁγιοπρεπεῖ καθαρθεὶς, καὶ τὴν ψυχὴν καθαραῖς ἐμφάσεσιν ὑπερφυῶς φωτισθεὶς, καὶ τὸν νοῦν θειοτέραις ἐλλάμψεσι ὑπερουσίως θεωθεὶς· καί οἷά τινα θρόνον δόξης ὑπερφερῆ, καὶ ἁγιότητος κατάπαυσιν τὸν ἐντὸς ἄνθρωπον κατασκευασθεὶς, οὕτω

Digitized by Google

δὴ τὸ Πνεῦμα τὸ ἅγιον οὐρανόθεν κατιὸν ἐν εἴδει πυρίνων ὑπεδέξω γλωσσῶν· καὶ σὲ ὅλον δι' ὅλου πεπληρωκὸς, καὶ τῶν θεουργικῶν αὐτοῦ χαρισμάτων ὑπερβαλλόντως μεταδεδωκὸς, καὶ ἐν σοὶ καθεσθέν τε καὶ ἱδρυθὲν, ὄργανόν τε τῆς οἰκείας δυνάμεως ἐναρμόνιον, καὶ θεολόγον στόμα καὶ γλῶσσαν ἑαυτοῦ θεορρήμονα κατηρτισμένον· καὶ ὥσπερ τι σκεῦος ἱερόν τε καὶ τίμιον ἐξ ἔθνους εἰς ἔθνος μετάγον καὶ μετατιθὲν, τὸν τῆς οἰκονομίας λόγον, τὴν Ἰησοῦ σωτηριώδη σάρκωσιν καὶ ἀνάστασιν καὶ βασιλείαν, μεγαλοφωνότατα τοῖς πᾶσιν ἐνεφθέγξατο διὰ σοῦ.

A requies interiori homine constructus, sic quoque Spiritum sanctum in linguarum ignearum specie e cœlo descendentem suscepisti [95], qui totum omnino implens, deificisque suis donis excellenter impartiens, atque in te sedens ac consistens, aptumque virtutis suæ organum efficiens, atque os Deum loquens linguamque divinis sermonibus disertam concinnans; velutque sacrum quoddam vas ac pretiosum de gente ad gentem traducens transferensque, dispensationis doctrinam (salutarem Jesu incarnationem et resurrectionem et in cœlos receptionem regnumque) sublimi cunctis præconio tua opera prædicavit.

Τίς οὖν τὴν πηγαίαν τοῦ ἐν σοὶ Πνεύματος δύναμιν ὑμνήσειεν; Τίς δὲ τὴν πλημμύραν τῆς θεολογίας ἀνατάξαιτο; Τίς μὲν τὴν παρεπομένην ἀρετὴν καὶ κοσμιότητα; Τίς δὲ τὴν ἐν τῷ κεκρυμμένῳ τῆς σῆς διανοίας ἀξιοπρεπῶς αἰνέσαι τελειότητα; Τίς τῶν λόγων τὸ ὑψηλόν; Τίς τῶν ἔργων τὸ ὑπερφερές; Τίς τὸ προσηνὲς τοῦ ἤθους καὶ μείλιχον καὶ Χριστοειδές; Τίς δὲ τὸ τοῦ πνεύματος ἀπρόσιτον καὶ φοβερὸν καὶ θεοειδές;

B Quis igitur quæ fontis instar manet divini in te Spiritus virtutem satis laudaverit? Quis vero inundantes divinos sermones conscripserit? Quis virtutem illis comitem ac gravitatem? Quis vero animi tui sinu occultam perfectionem digne celebraverit? Quis sermonum altitudinem? Quis eminentiam operum? Quis morum lenitatem et suavitatem, Christique æmulam bonitatem? Quis inaccessam tremendamque ac Deum referentem spiritus præstantiam?

Πῶς δ' ἂν τις εἰδείη τὴν ἀπὸ τῶν Ἱεροσολύμων καὶ τῆς Ἰουδαίας ἔξοδον ἐπὶ τὰ ἔθνη, τοῦ τῆς θείας εἰρήνης εὐαγγελιστοῦ, καὶ τὰς ἐπὶ πᾶσαν χώραν καὶ πόλιν ἀναστασίας ὑπὲρ τοῦ Εὐαγγελίου καὶ περιφοράς; Τίς τὰς περιόδους ἀριθμήσαι, τὰς ὁδοιπορίας, τοὺς κινδύνους, τοὺς κόπους, τὰς φυγὰς, τὰς πληγὰς, τὰς φυλακὰς, τοὺς ῥαβδισμοὺς, τοὺς λιθασμοὺς, τοὺς ὀνειδισμούς; Τίς τὰς ἐπὶ τῶν ἀρχῶν ἀναγωγὰς, τὰς ἐπὶ τῶν ἐξουσιῶν ἐνοχὰς, τὰς κατὰ τῆς ὁδοῦ τῶν πιστῶν διαβολὰς, τὰς λοιδορίας, τὰς κακώσεις, τὰς πυρώσεις, τὰς αἰκίας, τὰς μάστιγας, τοὺς ἐλκυσμούς τε καὶ σπαραγμούς;

C Quis apud præsides accusationes, sub potestatum audientia noxas ac crimina; appetitam insidiis ac maledictis fidelium viam, ærumnas, ustulationes, dehonestamenta, verbera, discerptiones ac dilaniationes?

Ὅσα καὶ οἷα μετὰ Φιλίππου κατὰ τὴν Ἱεράπολιν ἀνέτλη, καὶ τὴν ἐπὶ τοῦ σταυροῦ πρώτην ἀνάρτησιν· καὶ πᾶσαν ἐκεῖ τῶν ἀπίστων τὴν ἐπισύστασιν καὶ καταδρομὴν, καὶ πᾶσαν ὀδύνην καὶ πόνον καὶ ταλαιπωρίαν; Ποῖος δὲ νοῦς ἐννοηθείη, ποῖος δὲ λόγος τῶν ἀντιλήψεων Χριστοῦ τὸ πλῆθος, τῶν οὐρανίων ἐλλάμψεων, τῶν φωτισμῶν, τῶν στηριγμῶν τὴν ἄβυσσον ἐκφράσαι; Τίς ἱκανὸς τῆς θεωρίας τὸ μέγεθος, τῆς θεολογίας τὸ ὕψος, καὶ τίς τὸ ἄπλετον πλάτος τῆς θεοσοφίας ἐξιχνιάσαι τοῦ Βαρθολομαίου; Ὁ γὰρ οὐσιωδῶς αὐτὴν τοῦ Θεοῦ τὴν Σοφίαν, τὴν ἄπειρον, τὴν τελείαν, τὴν θεαρχικωτάτην ἐγκάρδιον ἐνιδρυμένην ἔχων, *πάντα μὲν ἐρευνᾷ τῷ Πνεύματι, καὶ τὰ βάθη τοῦ Θεοῦ*· ὑπ' οὐδενὸς δὲ τῶν ἐπὶ γῆς κατανοεῖται. Καὶ αὐτὸς μὲν *ἀνακρίνει πάντα*· πνευματικὸς γάρ· *ἀνακρίνεται δὲ ὑπ' οὐδενός*· νοῒ γὰρ ἄγεται Χριστοῦ. Καὶ, *Τίς ἔγνω νοῦν Κυρίου*, ὃς συμβιβάζει αὐτόν;

D Quanta nimirum et qualia Philippo socius Hierapoli perpessus sit, primamque in cruce suspensionem; omnemque ibi tumultuantium infidelium coitionem ac grassationem, omnemque cruciatum et laborem atque ærumnam? Quænam vero mens intellexerit, quæve oratio auxiliorum Christi copiam, cœlestiumque illustrationum et coruscationum ac fulcimentorum abyssum enarraverit? Quis contemplationis magnitudinem ac theologiæ celsitatem; quisve Bartholomæi divinæ sapientiæ immensam latitudinem pervestigaverit? Qui enim ipsam substantialiter Dei Sapientiam (infinitam illam, perfectam, divinissimam) in corde manentem inque illo fixam habeat, *omnia Spiritu scrutatur, etiam profunda Dei*, tametsi a nullo terrenorum intelligitur. Ac quidem ipse *omnia dijudicat, a nemine autem dijudicatur*. Quippe qui agatur Christi mente; ac, *Quis Domini mentem* ipsum instruentem ac præmonentem *cognovit* [96]?

Τίς δὲ τῶν δι' αὐτοῦ γενομένων τεράτων ἀναγράψαι τὰς μεγαλουργίας, ὅσα δακτύλῳ Θεοῦ δρῶν, πρὸς ἐπιστροφὴν καὶ γνῶσιν Θεοῦ τοὺς ἀπηλλοτριω-

Quis per eum facta magnifica portenta litteris exsequatur; quanta Dei digito præstans, eos qui aversis animis erant, ad conversionem Deique

[95] Act. II, 3. [96] I Cor. II, 10, 15, 18.

Digitized by Google

fidem permovebat? Ad Arabes enim quos Eudæmonas vocant (id est felices) vir beatissimus profectus; nec id modo, verum etiam Indis postea et orientalibus Æthiopibus Dei sermo lumenque scientiæ ac vitæ æternæ doctrina informatioque, missus, ipsa quorumque lingua magnifice Christum annuntiavit, omnemque adversus homines depellens infestam dæmonum vim ac grassationem, atque omnem morbum, omnemque languorem in Jesu nomine curans; nec paucos mortuos ejusdem nominis potentia, vita donans, innumeros quotidie credentes fidei rudimenta edoctos Christo adjungebat: regenerationisque lavacro emundans, ac deifico Spiritu eorum detergens corda, quos in illis digniores majoremque gratiam consecutos noverat, in episcopos et sacerdotes, omni prosequendus admiratione sacrorum antistes consecrabat; cunctisque sacris ritibus legibusque perornans, ac Scripturarum doctrina mysteriorumque traditione, quantum capiebant, illis proposita, immaculatas Christo Ecclesias per oppida et civitates obiens lustransque excitabat.

Ejuscemodi Bartholomæi præclare gesta; talis magni Ecclesiæ præconis præstantia: inque eum modum annos longe plures apud immanissimas versatus gentes, nedum nihil ipse illarum contraxit feritatis, sed sua illas humanitate impartivit; nec omnino ignorantia aut nequitiæ illorum vel minima labe suam ipse vitam ac disciplinam aspersit; quinimo excellentia bonitatis divinæque imitationis, illorum impietatis ac morositatis partem plurimam dissolvit; velut sol emissis e cœlo in cœnum radiis, ac qui non ipse sordescat, sed magis fetorem dissolvat, aboleatque ac minuat.

Quia vero cursu præclare consummato ac fide servata [97], quantos nec numerus capiat, ad Dominum converterat, multisque salutis via exstiterat; jam quoque finem digne laboribus respondentem nancisci cupiebat; pingui nimirum senectute corpore fatiscens [97*], atque ad Christum emigrare, Deique requie frui insatiabili desiderio sitiens [98]. Neque vero Dominus justi desiderium istud contempsit: nec exaudivit quidem, minus tamen quam pro votorum illius ratione tribuit: sed sicut in omnibus ex Christi compositus rationibus vir Deo beatissimus cum esset, sic Christi pietate ac moribus vitam instituerat, ut Christus alter recte contuentibus et esset et disciplina omni præferret, ita finem quoque ejusmodi subsequi necesse erat, qui toti vitæ congrueret.

Quænam vero consummationis causa, ac videamus quam illa religiosa exque Christiana pietate. Contigit sacrum Theologum, in quadam urbe majoris Armeniæ (Urbanopolim vocant) versari. In ea magnificis divinisque ex more prædicationibus Deum celebrans; deosque omnes ac omnes dæmones de-

A μένους ἐδυσώπει; Ἄραψι γὰρ τοῖς καλουμένοις Εὐδαίμοσιν ὁ μακαριώτατος ἐπιδεδημηκὼς· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῖς Ἰνδοῖς μετὰ ταῦτα, καὶ τοῖς ἑῴοις Αἰθίοψιν, λόγος Θεοῦ, καὶ φῶς γνώσεως καὶ ζωῆς αἰωνίου διδασκαλία καὶ ὑποτύπωσις ἀποσταλεὶς, ταῖς αὐτῶν διαλέκτοις μεγαλοφώνως εὐηγγελίσατο τὸν Χριστόν. Καὶ πᾶσαν μὲν δαιμόνιον ἀποδιώκων κατ' ἀνθρώπων ἐπιφοράν· πᾶσαν δὲ νόσον, καὶ πᾶσαν μαλακίαν ἐν ὀνόματι θεραπεύων τοῦ Ἰησοῦ· καὶ νεκροὺς δὲ οὐκ ὀλίγους τῇ αὐτῇ τοῦ ὀνόματος δυνάμει χαρισάμενος τὴν ζωὴν, μυρίους ὅσους ἡμέραν καθ' ἡμέραν πιστεύοντας κατηχῶν προσῆγε Χριστῷ· οὓς τῷ τῆς παλιγγενεσίας ἀνακαθαίρων λουτρῷ, καὶ τῷ Πνεύματι τούτων τὰς καρδίας ἀποσμήχων θεουργικῷ, τοὺς ἀξιωτέρους ἐν αὐτοῖς καὶ τελειοτέρας
B χάριτος ἠξιωμένους, εἰς ἀρχιερέας τε καὶ ἱερέας, ὁ θαυμασιώτατος ἱεροτελεστὴς ἐτελετούργει· καὶ πάσαις θεσμοθεσίαις κατακοσμῶν ἱεραῖς, καὶ τῶν λογίων τὴν μύησιν καὶ τῶν μυστηρίων τὴν παράδοσιν, καθὼς ἐχώρουν, παρατιθέμενος αὐτοῖς, Ἐκκλησίας ἀμώμους κατὰ χώρας καὶ πόλεις διερχόμενος ἀνίστη Χριστῷ.

Τοιαῦτα τοῦ Βαρθολομαίου τὰ κατορθώματα· τοιαῦτα τοῦ μεγάλου τῆς Ἐκκλησίας κήρυκος τὰ προτερήματα· καὶ οὕτως ἐν χρόνοις πλείοσι τοῖς ἀπηνεστάτοις ἐπιχωριάζων ἔθνεσιν, οὐκ αὐτός τι μετέσχε τῆς αὐτῶν θηριωδίας, ἀλλὰ τῆς οἰκείας μετέδωκε φιλανθρωπίας· οὐδὲ τῆς ἀγνοίας ὅλως ἢ τῆς κακίας ἐκείνων κἂν τὸν βραχύτατον σπίλον τῇ
C κατ' αὐτὸν πολιτείᾳ προσετρίψατο· μᾶλλον μὲν οὖν, ὑπερβολῇ χρηστότητος καὶ θεομιμησίας τὸ πλεῖστον τῆς ἀσεβείας ἐκείνων καὶ σκαιότητος διέλυσεν, ὥσπερ ἥλιος κατὰ βορβόρου τὰς ἀκτῖνας ἄνωθεν ἰείς· καὶ οὐκ αὐτὸς ῥυπαινόμενος, ἐκτήκων δὲ μᾶλλον τὴν δυσωδίαν, καὶ ἀφανίζων καὶ μειῶν.

Ἐπεὶ δὲ τὸν δρόμον ἄριστα τετελεκὼς καὶ τὴν πίστιν τετηρηκὼς, ἀναριθμήτους μὲν ἐπέστρεψεν ἐπὶ τὸν Κύριον, πολλοῖς δὲ σωτηρίας γέγονεν ὁδὸς, ἐπεθύμει λοιπὸν καὶ τὸ τέλος ἄξιον ἀπενέγκασθαι τῶν πόνων, ἤδη γήρει πίονι τὸ σῶμα πεπονηκὼς, καὶ τῆς πρὸς τὸν Χριστὸν ἀναλύσεως, καὶ τῆς τοῦ Θεοῦ καταπαύσεως, ἁπληρώτως ἐφιέμενος. Καὶ οὐκ ἠμέλησεν ὁ Κύριος τῆς ἐπιθυμίας τοῦ δικαίου· οὐδ' εἰσήκουσε μὲν, ἔλαττον δὲ ἢ κατὰ τὴν αὐτοῦ παρ-
D έσχετο προσευχήν· ὥσπερ δὲ τὰ πάντα Χριστοειδὴς ὁ θεομακαριστότατος ἀνὴρ ὢν, Χριστοπρεπῶς οὕτως ἐβίωσεν, ὡς ἄλλον ἐκεῖνον τοῖς ὀρθῶς ὁρῶσι καὶ εἶναι καὶ πολιτεύεσθαι, οὕτως ἔδει καὶ τέλος ἀνάλογον ὅλῳ τῷ βίῳ παρακολουθῆσαι.

Τίς οὖν ἡ τελειώσεως ἀφορμή· καὶ εἰδῶμεν ὡς Χριστοπρεπής· πόλει γάρ τινι τῆς μεγάλης Ἀρμενίας ὁ ἱερὸς ἐπετέλει Θεολόγος ἐνδημῶν. Οὐρβανόπολιν δὲ ταύτην εἶναι· ἐν ᾗ μεγαληγόρως ἢ θεηγόρως, ὡς ἔθος αὐτῷ, θεολογῶν τὸν Θεόν· καὶ πάντας μὲν θεοὺς, πάντας δὲ δαίμονας ἐξουδενῶν, μόνον δὲ

[97] II Tim. IV, 7. [97*] Psal. LXXV, 15; Gen. XV, 15. [98] Phil. I, 23.

Digitized by Google

σέβεσθαι παρεγγυώμενος τὸν Ἰησοῦν, μόνον ἠξίου τοῦτον εἰδέναι Θεὸν ἀληθῆ· *Θεὸν τέλειον, μόνον ἅγιον, ἄχρονον, αἰώνιον, ἀκατάληπτον, φῶς ἀΐδιον ἐξ ἀϊδίου γεννώμενον, εἶτ' οὖν ἀπαυγαζόμενον Θεοῦ τοῦ Πατρός· φῶς ἄναρχον, καὶ συνάναρχον τῆς ἀῤῥάστως καὶ ὑπὲρ λόγον πάντα καὶ νοῦν ἀπαυγαζούσης ἀρχῆς.*

Οὗτος, τὸ ἡμέτερον ὅλον προσειληφὼς, καὶ ἄνθρωπος ὁμοίως ἡμῖν ἐκ Παρθένου ἁγίας καὶ σεμνῆς, ὡς ἡ καθ' ἡμᾶς ἀλήθεια, γεγονὼς, καὶ ἐπὶ τριετῆ χρόνον ἐν λόγοις θεοπρεπεστάτοις καὶ ἔργοις ὑπερφυεστάτοις ἡμῖν συναναστραφείς, εἶτα σταυρῷ δι' οἰκονομίαν καὶ θανάτῳ προσομιληκὼς· εἶτα τριήμερος ἀναστὰς καὶ ἀναληφθείς, ἡμῶν πρὸς αὐτὸν βλεπόντων, εἰς τὸν οὐρανὸν, ἐν δεξιᾷ κεκάθικε τοῦ Θεοῦ· ὃς καὶ ἔρχεται κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἐξ αὐτοῦ καὶ ἡμεῖς, φησὶν, ἀποσταλέντες, παραινοῦμεν καὶ παρακαλοῦμεν ὑμᾶς, ἀδελφοὶ, πιστεύσατε καὶ βαπτισθητε ἐν τῷ ὀνόματι αὐτοῦ· καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος λαβόντες, κληρονόμοι ζωῆς αἰωνίου καὶ βασιλείας ἀφθάρτου γενήσεσθε, ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Τοιαῦτα τοῦ ἱεροῦ Βαρθολομαίου, καὶ πολλῷ πλείω καὶ θειότερα τοῖς παρεστῶσι τῶν ὄχλων κατὰ τὴν ἐκείνων διάλεκτον προσηνεῖ καὶ ἠπίῳ τῷ φθέγματι βοῶντος, καὶ τινῶν μὲν πειθομένων, καὶ τῷ λόγῳ τῆς ἀληθείας τιθεμένων, τινῶν δὲ σκληρυνομένων, καὶ δαιμονιώδει κατ' αὐτοῦ ζήλῳ κινουμένων, ἐξαπίνης οἱ πονηρότατοι τὸν θεοπρεπέστατον συναρπάζουσιν πρεσβύτην, καὶ ἀναχραγόντες τοῖς πρώτοις κατ' αὐτοῦ τῆς πόλεως ἐμφανίζουσιν. Οἵ γε τοῦτον ἰταμῶς ἄγαν ἀνακρίναντες, καὶ τὸν πρεσβευόμενον λόγον ἐπακούσαντες· ὅτι τε Θεὸς ὢν προαιώνιος, ἄνθρωπος γέγονεν ἐγχρόνιος· καὶ ὅτι ἐσταύρωται, καὶ ὅτι τριήμερος ἐκ τῶν νεκρῶν ἀνέστη· καὶ ὅτι ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, καὶ ὅτι ἔρχεται πάλιν κρῖναι ζῶντας καὶ νεκρούς. Ὡς οὖν οὕτως ἤκουσαν οἱ δυσσεβεῖς, τῷ καινοπρεπεῖ τοῦ ῥήματος ἐμβροντηθέντες, καὶ πρὸς τὸν ἐσταυρωμένον δυσχεράναντες, αὐτίκα δὴ τὸν αὐτοῦ κήρυκα μαστιγοῦσι, καὶ ἀνασταυροῦσιν, ἄξιον ἐπιφωνοῦντες τὸν τοῦ ἐσταυρωμένου μύστην σταυρὸν τὴν ζημίαν ὑποσχεῖν.

Καὶ ὃς εὐθύμως προσῄει τῷ ξύλῳ, μετὰ πλείστης δσης προσηλοῦτο χαρᾶς· ἐντεῦθεν ἄγγελοι μὲν οὐρανόθεν ἐπ' αὐτὸν καταβαίνοντες καὶ ἀναβαίνοντες, ὑπερφυεστάτην ἀνάβασιν ὡδοποίουν. Διηνέῳκτο δὲ ὁ οὐρανὸς ἄνωθεν αὐτῷ, καὶ πᾶσαι δὲ τῶν οὐρανίων Δυνάμεων ἱεραρχίαι, πρὸς ὑποδοχὴν καὶ δεξίωσιν τῷ φιλτάτῳ τοῦ Κυρίου παρεσκευάζοντο μαθητῇ. Ὁ δὲ χαριστήριον ὁμοῦ καὶ ἱκέσιον πρότερον, ὥσπερ εὐῶδες θυμίαμα προαναπέμψας τὴν ἐξομολόγησιν τῷ Πατρί· Ἔπειτα, προσηνῶς μὲν καὶ ἀσμένως τῶν ἐνδέσμων ῥηγνύμενος τῆς σαρκὸς, Πνεύματι δὲ Θεοῦ

[98*] Joan. I, 51.

A spuens, unumque Jesum colendum admonens; eum solum ut verum Deum agnoscerent instabat; nempe: *Deum perfectum, solum sanctum, principii expertem, æternum, incomprehensum, lumen æternum ex æterno natum lumine; id est, manantem ex Deo Patre splendorem, lumen principii expers ac coexpers principii, principio, quo auctore nulla vi verborum explicabili ratione, supraque omnem rationem et effulget.*

Hic, quidquid nostræ concretionis est assumens, similique nobis ratione ex sancta ac castissima Virgine factus homo, uti fidei nostræ veritas docet, triumque annorum spatio divinissimis sermonibus præmagnificisque ac stupendis operibus nobiscum conversatus, tumque propensiore consilio cruce ac morte perfunctus, postmodumque triduanus suscitatus, atque in cœlum, nobis in eum contuentibus, receptus, in dextera Dei sedit: qui etiam venturus est judicatum orbem terræ in justitia, et ut reddat unicuique juxta opera sua. Ejus, inquit, *nos quoque nutu missi, hortamur vos et obsecramus, fratres, ut credatis et baptizemini in nomine ejus; donumque Spiritus sancti accipientes, hæredes vitæ æternæ regnique incorruptibilis efficiemini, in Christo Jesu. Amen.*

B

Talia atque his longe plura divinioraque cum miti lenique alloquio sacratissimus Bartholomæus astantibus turbis, ipsa earum lingua, declamaret, atque alii quidem crederent, assensumque veritatis doctrinæ præberent; alii vero exacerbarentur, ac dæmoniaca adversus eum æmulatione incitarentur, facta repente coitione, scelestissimi divinissimum senem corripiunt, sublatoque clamore primoribus eum civitatis accusant. Hi severe admodum instituto causæ examine, auditaque ejus prædicationis doctrina, ac, quod Deus cum esset prææternus, homo in tempore factus est; quod cruci affixus, quod triduanus a mortuis suscitatus, quod in cœlum receptus, ac rursum venturus judicatum vivos et mortuos. Cum hæc igitur impii perorantem audissent, verbi novitate attoniti, adversusque crucifixum, indignatione accensi illius confestim præconem verberibus cæsum in crucem agunt; æquum scilicet pronuntiantes, ut crucifixi discipulus crucis pœna multaretur.

C

D

Ille porro alacri animo lignum adiens, maximo gaudio illi confixus est. Hinc angeli e cœlo in eum descendentes et ascendentes [98*], augustissimum illi ascensum præstruebant. Apertum ei superne cœlum, omnesque cœlestium Potestatum ordines, ad suscipiendum charissimum Domino discipulum ejusque pompam parati erant. Hinc ille, gratiarum prius actionis ac supplicationis, fragrantissimi instar thymiamatis, confessione ad Patrem directa, tumque leniter ac placide abruptus carnis vinculis, Deique Spiritui e terra in cœlum assumenti devin

Digitized by Google

ctus atque compactus, sic e corpore perfecte evolat et ad Deum cum claritate commigrat : atque ut vere filius ad Patrem cœlo celsiorem inenarrabili exsultatione deductus, hæreditatem incontaminatam atque longævam, divinissimamque jucunditatem, atque supremum ac primum cum Petro et Paulo apud summum omnium Regem honorem consequitur.

A συνδεδμενος καὶ συναρμολογούμενος, τῷ τοῦτον ἀναλαμβανομένῳ πρὸς τὸν οὐρανὸν ἀπὸ γῆς, οὕτω τελέως ἀφίπταται μὲν τοῦ σώματος, ἐνδημεῖ δὲ μετὰ δόξης πρὸς τὸν Θεόν· καὶ ὡς ἀληθῶς τέκνον τῷ ὑπερουρανίῳ Πατρὶ ἀνεκλαλήτῳ προσεληλυθὼς ἀγαλλιάματι, τῆς ἀμιάντου κληρονομίας καὶ μακραίωνος, τῆς θεοτελεστάτης τερπνότητος, καὶ τῆς ἀνωτάτω καὶ πρώτης μετὰ Πέτρου καὶ Παύλου παρὰ τῷ Παμβασιλεῖ καταξιοῦται τιμῆς.

Idcirco saluto te, charissimum Deo ac sanctissimum caput. Salve, lapis pretiosus, unus ex duodecim, summo angulari dignus lapide; pretioso dignus margarito, velut illi immediate cohærens, eique aptatus atque contextus, et cœdificatus, in habitaculum Dei in Spiritu.

Προσαγορεύω σε τοιγαροῦν, τὴν τιμιωτάτην τῷ Θεῷ καὶ παναγεστάτην κεφαλήν. Χαῖρε, ὁ λίθος ὁ τίμιος, ὁ εἷς τῶν δώδεκα, ὁ ἄξιος τοῦ ἀκρογωνιαίου, ἄξιος τοῦ πολυτίμου μαργαρίτου, ὡς αὐτῷ προσεχῶς ἠγγικὼς καὶ συναραρὼς καὶ συνυφασμένος καὶ συνῳκοδομημένος, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν B Πνεύματι.

Salve, stella lucidissima ac spectabilis, pulcherrimaque ac late conspicua, qui undecim consertus, instarque stellæ [99], plexæ illi coronæ gloriæ inditus ac appositus es, quam cœlestis sponsus, ut sacratissimum habet eloquium, aptavit capiti sponsæ.

Χαῖρε, ἀστὴρ φωτοφανέστατε καὶ περίοπτε, περικαλλέστατε καὶ περίβλεπτε· ὁ τοῖς ἕνδεκα συνηρμοσμένος, καὶ εἰς τὸν στέφανον τὸν πλακέντα τῆς δόξης συγκαταστεριζόμενος καὶ συνταττόμενος, ὃν ὁ οὐράνιος νυμφίος, κατὰ τὸ μυστικώτατον λόγιον, τῇ τῆς νύμφης ἐφήρμοσε κεφαλῇ.

Salve, Angelorum jucunditas, Archangelorum cura, Principatuum odoris fragrantia; ac quidem Potestatum splendor, Dominationum vero augustum decus : qui Thronis consideas; Cherubim sodalis, ac Seraphim contubernalis exsistas.

Χαῖρε, τῶν Ἀγγέλων ἡ θυμηδία, τῶν Ἀρχαγγέλων ἡ θεραπεία, τῶν Ἀρχῶν ἡ εὐωδία· καὶ τῶν Ἐξουσιῶν μὲν ἡ λαμπρότης, τῶν Κυριοτήτων δὲ ἡ κοσμιότης· ὁ τῶν Θρόνων σύνθρονος, καὶ τῶν Χερουβεὶμ συνόμιλος, καὶ ὁμοδίαιτος τῶν Σεραφείμ.

Salve, apostolorum gloria, martyrum illuminatio, sanctorumque omnium sanctificatio et jucunditas; res Deo digna, nomenque prorsus desiderabile; C digne divineque pro nominis ratione Bartholomæus nuncupatus; vere *filius suspendens aquas :* id enim nomen sonat, si quis interpretetur.

Χαῖρε, τῶν Ἀποστόλων ὁ καλλωπισμός· τῶν Μαρτύρων ὁ φωτισμός, καὶ πάντων Ἁγίων ἁγιασμὸς καὶ ἁγλαϊσμός· τὸ ἀξιόθεον πρᾶγμα, τὸ ἀξιοπόθητον ὄνομα· ὁ ἀξιώνυμος καὶ θεώνυμος Βαρθολομαῖος· *Ὁ ἀληθῶς ὕδατα κρεμάσας υἱός*· τοῦτο γὰρ ἡ σημασία τοῦ ὀνόματος.

Salve ac gaude, quod et ipse Dei imitatione sicut Dei Filius verbo aquas sublimes aëre librat [99*], levatque e terra, quibus etiam juxta Scripturam, *tegit cœnacula ejus* [1] : sic quoque tu, aquas multas (humiles scilicet animos tua opera credentium Christo) prædicatione tua sustollis; spiritalioresque a terreno penitus sensu suspendens, ac in Deum perfectius elevans, in illis qui secundi ordinis sunt, ac cœnaculorum rationem habent, animos fidelium tegis.

Χαῖρε, ὅτι θεομιμήτως καὶ αὐτὸς, καθάπερ ὁ τοῦ Θεοῦ Υἱὸς, λόγῳ τὰ ὕδατα διαίρια μετεωρίζει καὶ κουφίζει τῆς γῆς, *οἷς καὶ τὰ ὑπερῷα αὐτοῦ*, κατὰ τὴν ἱερὰν, *στεγάζει*, Γραφήν· οὕτω καὶ αὐτὸς ὕδατα πολλὰ, τὰς χαμερπεῖς διανοίας τῶν διὰ σοῦ Χριστῷ πιστευόντων, τῷ Εὐαγγελίῳ σου μετεωρίζεις· καὶ τοῦ γηΐνου φρονήματος τοὺς πνευματικωτέρους παντάπασι κρεμάσας, καὶ τελεώτερον ἐπάρας πρὸς τὸν Θεὸν, ἐν αὐτοῖς τὰς δευτέρας τάξεως οὔσας, καὶ ὑπερῴων λόγον ἐπεχούσας, τῶν πιστῶν σκεπάζεις D ψυχάς.

Salve sis, beate, inclyte ac divine, qui magnum et parvum, multum et paucum salutare Evangelium prædicasti ac docuisti : magnum quidem, quod omnem mentis ratione utentis atque indolis comprehensionem excedat; parvum vero, ob inclinationem atque ad terrigenas demissionem, ac cum eis similitudinem, ejus qui cœlis celsior exsistit. Vel magnum quidem, ob Deitatis majestatem; parvum autem, ob extremam humanæ naturæ exilitatem : quorum nova mistio et concretio, Evangelii caput summaque est. Ac multum quidem, quod multam in se ac immensam intelligentiæ ac sapientiæ abditam

Χαῖρε, μάκαρ, ἀοίδιμε καὶ θεσπέσιε· ὁ μέγα καὶ μικρὸν, πολὺ καὶ ὀλίγον τὸ σωτήριον θεολογήσας Εὐαγγέλιον. Μέγα μὲν, τῷ πάσης λογικῆς διανοίας καὶ φύσεως ὑπεραναβεβηκέναι τὴν κατάληψιν· μικρὸν δὲ, διὰ τὴν συγκατάβασιν καὶ τὴν πρὸς τοὺς γηγενεῖς τοῦ ὑπερουρανίου ταπεινότητα καὶ ὁμοιότητα. Ἢ, μέγα μὲν, διὰ τὸ τῆς θεότητος μεγαλοπρεπές· μικρὸν δὲ, διὰ τὸ μικροπρεπὲς τῆς ἀνθρωπίνης ἐσχατιᾶς, ὧν ἡ καινὴ μίξις καὶ κρᾶσις, τὸ κεφάλαιον τοῦ Εὐαγγελίου χρηματίζει· καὶ πολὺ μὲν, τῷ πολὺν ἐν ἑαυτῷ καὶ ἀμέτρητον ἔχειν συνέσεως καὶ σοφίας ἐν ἀπορρήτοις βυθόν· ὀλίγον δὲ πάλιν,

[99] Apoc. XII, 1. [99*] Job XXVI, 8. [1] Psal. CIII, 3.

Digitized by Google

ὡς ὀλίγην αὐτὸ καὶ σύντομον συγκεφαλαιούμενον θεολογίαν.

Χαῖρε, καὶ κατατέρπου, λαμπρότατε καὶ βασιλικώτατε τοῦ Θεοῦ παῖ, ὅτι σοι θρόνος ἐν οὐρανοῖς παρὰ τῷ Βασιλεῖ τῆς δόξης ἡτοιμάσθη Χριστῷ· ἐν ᾧ καὶ καθιεῖς μετὰ τῶν πρεσβυτάτων τοῦ Λόγου καὶ κορυφαίων ὀπαδῶν, κρίνων, ὡς ἡ θεία τῆς ἀληθείας ὑπόσχεσις, τὸν Ἰσραήλ.

Χαῖρε, ἀλλὰ καὶ ἡμᾶς θειοτέραις ἐπισκεπτόμενος ἐπιδημίαις, πάσης θλίψεως καὶ καταιγίδος ῥῦσαι, καὶ ὀδύνης καρδίας καὶ πειρασμῶν· καὶ ἀπὸ προσώπου μὲν ἐχθροῦ πύργος ἡμῖν ἰσχύος γενοῦ· γενοῦ δὲ μεσίτης καὶ διαλλακτὴς ἀγαθὸς πρὸς Χριστὸν, ἀκαταισχύντους αὐτῷ προσάγων, καὶ προσοικειῶν τῷ Παμβασιλεῖ· εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A contineat altitudinem; paucum vero rursus, quippe quod paucam ac compendio brevem summa colligat de divinis doctrinam.

Gaude ac lætare, clarissime regalissimeque Dei fili! quod tibi sedes in cœlis apud Regem gloriæ Christum parata est, in qua etiam cum antiquissimis ac primariis Verbi discipulis, pro eo ac divina vere cautum promissione est, Israelis judex sessurus es[2].

Salve sis, verum nos quoque divinioribus invisens conspectibus, ab omni ærumna et turbine libera, cordisque dolore et tentationibus: ac esto nobis turris fortitudinis a facie inimici[3]: esto et sequester ac bonus cum Christo pacator, qui nos illi inconfusos adducas, summoque omnium Regi B concilies; in gloriam Patris et Filii et Spiritus sancti, nunc et semper, et in sæcula sæculorum. Amen.

Translationem sacri pignoris Bartholomæi in Liparim insulam, Latini pariter ac Græci concorditer memorant. Significat Gregorius diu post ejus martyrium contigisse, cum infideles illarum regionum potirentur, qui sic fidelium devotioni obtundere, et sancti apostoli cultum abolere pertentarint; cum Deus majori cultu habendas ejus exuvias ad partes Occiduas, ac postremo Romam sacerdotii arcem destinaret. Nostra breviter, at graviter Tiliana Menæa II Junii: Σταυρῷ παραδοθεὶς ἐν Ἀρβανουπόλει τελειοῦται ἐνδόξως, καὶ ἐν μολυβδίνῳ λάρνακι τεθεὶς τῇ θαλάσσῃ ἐναπορρίπτεται. Ὑπὸ δὲ θείας προνοίας μέχρι Σικελίας, ἐν Λιπάρῃ τινὶ νήσῳ κομισθεὶς καὶ φανερωθεὶς, ἐκεῖσε θάπτεται· *Cruci traditus Arbanopoli gloriose consummatur; inque urna plumbea positus, in mare projicitur. Dei tamen providentia usque in Siciliam, in insulam quamdam Liparam delatus atque manifestatus, ibi sepelitur.* Verum edita 25 Augusti sic cuncta fuse narrant.

Ἡ ἐπάνοδος τοῦ λειψάνου τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου. C *Reversio reliquiarum sancti apostoli Bartholomæi.*

Ὡς *θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ!* Εὔκαιρόν ἐστι, κἀμοὶ νῦν ἀναβοῆσαι, διηγήσασθαι προαιρουμένῳ ἐξαίσιόν τι καὶ φρικῶδες τερατούργημα. Ὁ γὰρ ἅγιος ἀπόστολος Βαρθολομαῖος ἐν διαφόροις τόποις τὸ τοῦ Κυρίου ὄνομα φανερὸν τοῖς ἀνθρώποις ἀνακηρύξας, σταυροῦται ἐν τῇ μεγάλῃ Ἀρμενίᾳ τῆς Ἀνατολῆς (44)· τοῦτον καταθέντες ἐν λάρνακι λιθίνῃ (45) ἐν τῷ τέλει αὐτοῦ πιστοὶ εὑρεθέντες, ἀπέθεντο ἐν Οὐρβανουπόλει. Ὡς δὲ ἡ λάρναξ ἐκείνη ἀεννάους τὰς ἰάσεις βλυστάνουσα ἦν, προσέτρεχον οἱ λαοὶ, καὶ ἀπηλλάσσοντο τῶν ἐνοχλούντων

Quam *mirabilis Deus in sanctis suis*[4]! nunc quoque ipse opportune clamavero, qui stupendum quidpiam atque tremendum prodigium narraturus sim. Sanctus enim apostolus Bartholomæus, cum nomen Domini in diversis locis prædicatione sua mortalibus notum reddidisset, in majori Armenia, quæ plagæ orientalis est, cruci affigitur. Qui autem ejus consummationi adesse fideles inventi sunt, depositum in arca lapidea, Urbanopoli condiderunt. Cumque arca illa, seu urna, jugi sanitatis vena scaturiret, concurrentes populi, morborum mole-

[2] Matth. XIX, 28. [3] Psal. LX, 4. [4] Psal. LXVII, 39.

(44) *Τῆς Ανατολῆς.* Hoc ipsum forte voluit D Œcumenius sua Synopsi, ubi editum, τῆς Ἰνδικῆς; tametsi etiam Studita Armeniam Indiæ videtur dicere, cum sic ait: *Deinde Indiæ evangelizans, ad ultimum in Armenia Majori, quæ ejusdem est provinciæ.* Nota regio ἡ Ἀνατολή, ipsa vasta, et unde sic dicta Græcis, quod scilicet ad orientem esset Constantinopoli; quæ et latius accepta ipsam Armeniam complectatur. Auctor perinde cruce sublatum refert apostolum. Unus ex Græcis Studita, *Decoriatus ab impiis in modum follis, capite plexus est;* cujus phrasim essent imitati, *qui a Barbaris vivum excoriatum, et jussu Astyagis capite truncatum,* dixerunt. Sic nempe utrumque Persæ nectebant supplicium, alterumque alteri præibat, velut fere apud Romanos, prius rei virgis aut fustibus cædebantur, quam morte plecterentur. Præivisse item crucem, ut sic omnia concilientur, non facile acquiescam Lipomano; sed aliam aliamque traditionem, quod attinet ad supplicii genus, esse sentio. Nisi forte tanta rabies fuit, ut sic crucifixum capite in terram verso e cruce seminecem extraxerint, aliaque Persico more illi tormenta irrogarint: quod tamen auctores utriusque sententiæ ne hilum quidem insinuant, ut quasi ex illis legitime satis possimus conjicere.

(45) *Ἐν λάρνακι λιθίνῃ.* Sic quoque Joseph et Studita; cum noster Menæorum codex, sic expressum μολυβδίνην habeat, id est *plumbeam.* Ac, num, quod fere usus habet, in arca lapidea, urna plumbea erat, ac utrumque in mare projecerunt inofficiosi homines, ne qua apostoli memoria, etiam vacuo tumulo, apud eos exstaret, et qua confoveri posset populi in eum devotio? Mea hæc conjectura; alii divinent; vel quod plurium est, admittant.

Digitized by Google

stia liberabantur. Videntes itaque diaboli ministri, furore in urnam illam incendebantur; ac quandoque deliberatione habita, urnam in qua erat sancti apostoli corpus, cum quatuor aliis sanctorum martyrum urnis, in mare projeceruht. Id vero omne contigit, ut et tantus maris tractus, quantum emensi sunt, per illos sanctificaretur, ac loca per quæ illos divisit divina gratia, benedicerentur.

Magnos enim Ponti sinus subnavigans apostolus, altisque Hellesponti superatis angustiis, Ægeum mare et Adriaticum petiit, relictaque a sinistris illustri ac maxima Siciliæ insula, una comites habens qui in aliis urnis præclara victoria inclyti martyres erant, Pappianum, Lucianum, Gregorium et Acacium, ad insulam, quam Liparam vocant, appulsus est. Quam mirabilia opera tua, Domine[a]! Ecquænam oratio laudandis illis sufficiat? Ac quidem præclari victores martyres, velut rege quodam, ubi eum conquiescere voluerant, magno derelicto apostolo, statim reversi sunt, quo loco divinæ providentiæ visum erat, singulis illis hospitium sedesque ascribere : Pappianus quidem in urbem Siciliæ Amyllam; Lucianus vero, Mesanam; Gregorius, Columnam Calabriæ urbem; Acatius Asealum civitatem sic dictam.

Tum apostolus adventum suum Agathoni intimat. Statimque episcopus matura diligentia, ubi magnum horrendumque prodigium vidit, stupore plenus : *Unde*, inquit, *tibi, Lipara, tantus hic ingensque thesaurus advenit? Plane eximie magnificata es et clarificata. Choros age, sali atque exsulta. Suscipe tuis manibus, et ad eum clama : Fauste venisti, apostole Domini.* Hæc aliaque non pauca prolocutus episcopus, laudesque apostoli atque insulæ prosecutus, dicendi finem fecit.

Quodque deponenda urna loco illustri, quo scilicet loco divinum delubrum ad gloriam celebratissimi apostoli excitandum erat; trahentibus multis, nihil illa obsequebatur, donec revelatione divina beatus Agatho adducto vitularum jugo, ac funiculis alligatis, ingentis molis arcam illam, inhabitantis potentia facile traxit, quo apostoli voluntas delegerat.

Ingens porro miraculum miraculis comes secutum, ac cui forsan plures eorum quibus ignota divina prodigia sunt, fidem abnegabunt. Exiguæ mo-

παθῶν. Ταῦτα οὖν βλέποντες οἱ τοῦ διαβόλου ὑπουργοὶ, ἐμαίνοντο κατὰ τῆς λάρνακος ἐκείνης· καὶ σκεψάμενοί ποτε, ἀπέῤῥιψαν ταύτην, συνέχουσαν καὶ τὸ ἅγιον σῶμα τοῦ ἀποστόλου ἐν τῇ θαλάσσῃ, σὺν ἑτέραις λάρναξιν ἁγίων μαρτύρων τέσσαρσι. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα καὶ ἡ τοσαύτη θάλασσα ἣν διῆλθον, ἁγιασθῇ δι' αὐτῶν· καὶ οἱ τόποι καθ' οὓς ἡ θεία χάρις αὐτοὺς διεμέρισεν, εὐλογηθῶσι.

Τοὺς γὰρ μεγάλους τοῦ Πόντου ὑποπλεύσας κόλπους ὁ ἀπόστολος, καὶ τὰ στενὰ τοῦ Ἑλλησπόντου παραδραμὼν βάθη, τὸ Αἰγαῖόν τε καὶ τὸ τοῦ Ἀδρίου κατέλαβε πέλαγος· καὶ τὴν τῶν Σικελῶν περιφανῆ τε καὶ μεγίστην ἐν εὐωνύμοις καταλιπὼν νῆσον, ἔχων συνεπομένους αὐτῷ καὶ τοὺς ἐν ταῖς ἑτέραις λάρναξι καλλινίκους μάρτυρας, Παππιανὸν, Λουκιανὸν, Γρηγόριον καὶ Ἀκάκιον, νήσῳ τῇ οὕτω καλουμένῃ Λιπάρᾳ, προσωρμίσθη. Ὡς θαυμάσια τὰ ἔργα σου, Κύριε! καὶ τίς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου; Καὶ οἱ μὲν καλλίνικοι μάρτυρες, οἷά τινα βασιλέα ἐν ᾧ ἂν ἠρετίσαντο ἀναπαύσασθαι τὸν μέγαν καταλιπόντες ἀπόστολον, αὐτίκα ἀνθυπενόστησαν, ἔνθα ἂν ἕκαστον ἡ θεία κατασκηνῶσαι εὐδόκησε πρόνοια· Παππιανὸν (46) μὲν εἰς Ἀμυλλαν πόλιν Σικελίας· Λουκιανὸν δὲ ἐν Μεσήνῃ· Γρηγόριον ἐν Κολύμνῃ πόλει Καλαβρίας, καὶ Ἀκάκιον εἰς Ἀσκάλους πόλιν οὕτω καλουμένην.

Τότε Ἀγάθωνι τῷ θείῳ ἑαυτὸν καταμηνύει ὁ ἀπόστολος. Καὶ παρευθὺς ὁ ἐπίσκοπος σπεύσας, τὸ μέγα καὶ φρικῶδες ὡς εἶδε τεράστιον, θάμβους πλησθεὶς, *Πόθεν σοι οὗτος, ὦ Λιπάρα, ἀπεφθέγγετο, ὁ πολὺς προσεγένετο πλοῦτος; Ὄντως ἐμεγαλύνθης ὑπερβαλλόντως καὶ ἐδοξάσθης. Χόρευσον, σκίρτησον. Ὑπόδεξαι χερσὶν οἰκείαις καὶ βόησον πρὸς αὐτὸν, Καλῶς παραγέγονας, ὁ τοῦ Κυρίου ἀπόστολος.* Ταῦτα καὶ ἕτερα οὐκ ὀλίγα ὁ ἐπίσκοπος εἰπὼν, καὶ ἐγκωμιάσας τόν τε ἀπόστολον καὶ τὴν νῆσον, κατέπαυσε τὸν λόγον.

Ἐπεὶ δὲ ἔδει ἀποκαταστῆναι τὴν λάρνακα καὶ ἐν τόπῳ ἐπισήμῳ, ἐν ᾧ καὶ θεῖος σηκὸς ἔμελλεν ἀνεγείρεσθαι εἰς δόξαν τοῦ πανευφήμου ἀποστόλου, ὡς μὲν ἕλκοντες πολλοὶ, ὑπῆκουε δὲ οὐδαμῶς, ἕως ἀποκαλύψει θείᾳ ὁ μακάριος Ἀγάθων ζεῦγος ἀγαγὼν δαμάλεων, καὶ λεπτοῖς ἀποδήσας καλωδίοις, τὴν παμμεγέθη ἐκείνην λάρνακα, τῇ τοῦ ἐνοικοῦντος δυνάμει, εὐκόλως ἕλξε, ὅπου τὸ τοῦ ἀποστόλου ὑπῆρξε θέλημα.

Θαῦμά τι δὲ θαύμασι συνείπετο μέγιστον, καὶ πολλοῖς ἴσως τῶν ἀμυήτων τῶν θείων τερατουργιῶν ἄπιστον. Νησίδιον γὰρ Βουρκάνος (47) ὀνομαζόμενον,

[a] Eccli. II, 4.

(46) *Παππιανόν*. Anastasius in Studita *Papinum* vocat; apud quem etiam nomina urbium minus corrupta sunt : de quibus videnda nostra. *Bibl. PP. concionat.*

(47) *Βουρκάνος*. Anast. in Studita, *Vulcanus;* faveteque allatæ jam mihi conjecturæ, permutationis litterarum ex soni affinitate, ubi sic crassioribus auribus Græci audiunt in nominibus propriis. Miraculum vere stupendum, cujus tamen Joseph non meminit, qui videatur Studita antiquior, et qui jam nomen haberet Metaphrastis ætate. Certe ejusmodi est, cui non facile arrogent fidem nedum ἀμύητοι τῶν θείων τερατουργιῶν, ut auctor scribit, sed nec qui divinam in prodigiis virtutem sancte venerantur. Potest hæc hisque majora illa præstare, sed facile etiam est in ejusmodi vulgi obrepere. Vulcaniæ ejusmodi insulæ, in quibus pars magna sulphur est et materia combustibilis, magna habent symptomata, ex ipsa rerum natura et absque miraculo : in quibus non injucunda lectu, quæ nuper in

Digitized by Google

καὶ πηγὴν ἔχον νυκτὸς καὶ ἡμέρας ἀναβράζουσαν, ὡς μόνον τὴν τοῦ ἀποστόλου παρουσίαν ἤσθετο, ἐπειδὴ τῇ ἐγγύτητι τὴν Λιπάραν κατέβλαπτε, θείᾳ δυνάμει εὐθέως ἀποσυρὲν, ἑπτὰ σταδίους μακρὰν ᾤχετο, τοῦ παρασυρμοῦ ὥσπερ ποταμίου ῥεύματος μέχρι τῆς σήμερον τὸ θαῦμα ἀνακηρύττοντος. Ὦ παραδόξων θαυμασίων! ὦ ὑπερβαλλόντων τερατουργημάτων! ποῦ τοιαῦτα ἐν πάσῃ τῇ ὑφ' ἥλιον διέγνωσται; Ἐπειδὴ δὲ ἀνήγειρε καὶ περικαλλῆ ναὸν ὁ ἐπίσκοπος τῷ ἀποστόλῳ, καὶ ἐν αὐτῷ ὡς πολύτιμον θησαυρὸν τὸ μακάριον ἐκεῖνο καὶ σεβάσμιον κατέθετο λείψανον σὺν τῇ λάρνακι, τίς δύναται ἐξειπεῖν τὰ ἐκεῖσε ὁσημέραι γινόμενα θαύματα;

Ἐτῶν οὖν πλείστων παραδραμόντων, ἐν ἐσχάτοις καιροῖς, ἐν ταῖς ἡμέραις Θεοφίλου τοῦ βασιλέως (48), τοῦ φρουρίου ἐν ᾧ ἅγιος ἀπόστολος κατέκειτο διὰ τὸ πληθυνθῆναι τὰς ἀνομίας ἡμῶν ὑπὸ τῶν Ἀγαρηνῶν συλληφθέντος, καὶ πάσης τῆς νήσου Λιπάρας ἀοικήτου διαμεινάσης, ὁ τῆς πόλεως Βενένδου ἄρχων τὰ ἀποστολικὰ θαύματα ἀναμαθὼν, πίστει ζεούσῃ πρὸς τὸν ἅγιον κινηθεὶς, ἐκ τῆς Ἀμαλφινῶν πόλεως ἄνδρας τινὰς ναυσιπόρους προσκαλεσάμενος, καὶ τούτοις χρήματα ἱκανὰ δοῦναι ἐπαγγειλάμενος, ἠξίωσεν ἀπελθεῖν, καὶ τὸν πολύτιμον ἐκεῖνον πρὸς αὐτὸν ἀνακομίσαι θησαυρόν. Ὃ καὶ ἐγένετο.

Ὁ γοῦν ῥηθεὶς ἄρχων ἐκ πολλοῦ διαστήματος τῆς θαλάσσης ὤν, τόν τε τοῦ τόπου ἐπίσκοπον καὶ πολλοὺς ἄλλους τοῦ τε κλήρου καὶ τοῦ πλείστου λαοῦ συγκινήσας, πρὸς ὑπαντὴν ἐξῆλθεν τοῦ ἀποστόλου· οὗ καὶ τὸ ἅγιον λείψανον ἐν τῇ πόλει Βενένδου ἀγαγὼν, ἐν σεβασμίῳ τόπῳ κατέθετο. Ἔνθα καὶ ἰάσεις ἐπιτελῶν ὁ μέγας ἀπόστολος, πᾶσι τοῖς ἐκεῖσε ἐδείκνυτο, εἰς δόξαν τοῦ ὑπεραγάθου Θεοῦ ἡμῶν.

lis insula est; Vulcanum vocant, in qua fons ignis ebulliens nocte dieque. Hæc, ubi duntaxat apostoli sensit adventum, quod vicinitate Liparam oblædebat, divina potentia statim retracta, septem procul stadiis recessit; quod miraculum tractus velut recedentis fluvii in hunc usque diem prædicat ac prodit. O inaudita stupendaque miracula! o modum omnem excedentia prodigia! Ubi talia in universa quæ sub sole est cognita? Postquam vero etiam episcopus elegantem ædem apostolo excitaverat, atque in illa quasi pretiosum thesaurum, beatum illud ac venerabile pignus cum urna deposuerat, quis referre possit quanta ibi quotidie fierent miracula?

Longa itaque annorum decursa serie, extremis temporibus, in diebus Theophili imperatoris, capto ab Agarenis, ob plura nostra scelera, in quo sanctus apostolus jacebat, præsidio, omnique Lipara insula manente desolata, Beneventanæ urbis regulus, apostoli perceptis miraculis, ferventi erga sanctum fide excitatus, Amalphitanæ urbis nautis aliquot convocatis, ac quantas par erat pecunias dare pollicitus, ire jussit, ac pretiosum illum thesaurum ad se deferre. Quod et contigit.

Quem dicebam itaque regulus longo procul a mari intervallo, accitoque loci episcopo multisque aliis, tum ex clero tum ex vulgi plebe in occursum apostoli exivit; adductumque Beneventum sacrum pignus, in venerabili æde deposuit: ubi etiam oppidanis omnibus sanctitates præstans clarescebat magnus apostolus, in Dei nostri gloriam, qui omnem boni rationem excedit.

ΛΟΓΟΣ ΙΑ'.

Εἰς τὸν ἅγιον καὶ πανεύφημον ἀπόστολον καὶ εὐαγγελιστὴν Ματθαῖον (49).

Ματθαίου δὲ μνήμης τί ἂν γένοιτο χαριέστερον; Διʼ ὅτι οὐ ψιλὸν ἡμῖν τὸν ἀπόστολον, κατὰ τοὺς ἄλ-

ORATIO XI.

Laudatio sancti celebratissimique apostoli et evangelistæ Matthæi.

Matthæi memoria quidnam fuerit gratius? quod scilicet non nudum nobis apostolum, sicut reliquos,

Relatione insulæ sanctæ Irenæ prope Cretam habentur scripta.

(48) *Ἐν ταῖς ἡμέραις Θεοφίλου τοῦ βασιλέως.* Appendix Anastasiana perinde refert, etsi Theophili non meminit; pauloque aliter rem narrat; nempe factam revelationem cuidam monacho Græco ut dispersa ossa colligeret signo divini luminis agnita; quæ ipsa ejus rei fama, sive etiam miraculorum quæ olim percrebuerant in sancti apostoli tumulo, in causa fuerit, ut ita Beneventanus regulus seu magistratus, per conductos Amalphitanos nautas sacrum pignus sibi rapiendum putaverit, ipso forsitan Græco monacho annuente, et cum a suis Græcis nihil jam opis exspectaret. Sicque alia aliam juvet narratio, non quidquam officiat.

(50) Simonem Cananitem, Lucas, Hebraicam vocem interpretatus, Zelotem vocat, Luc, VI, 15, et Act. I, 13 ; quo cognomine distinguunt evangelistæ a Simone Petro. Fœdo errore Synax. nostrum Tilian. εἷς τῶν ο' ὤν· *cum esset unus de septuaginta*, voluit scribere τῶν ιβ', *unus de duodecim*, nec enim aliter de illo loquitur quam Menæa edita : cunctaque apostolum primi ordinis officio sonant; nec de eo cuiquam aliud, sic clara Evangelii luce, in mentem venit, aut venire potuit. Græci in Menæis editis eumdem faciunt cum Nathanaele, qui legitur Joan. I a Philippo adductus ad Jesum. Volunt etiam edita fuisse sponsum, quando Jesus vocatus ad nuptias, aquam in vinum vertit; quo miraculo inter familiares discipulos, illi adhæserit. Sed hæc minus certa, carentque majorum auctoritate. Nec liquet Nathanaelem inter apostolos fuisse cooptatum ; etsi alii, minori fundamento, eum ipsum Bartholomæum putent : sponsum vero, Joannem evangelistam. Falluntur etiam, qui quasi ab oppido Cana, Cananitem dictum volunt, et non potius a קנא, quod sic bene Lucas, ζηλωτὴς interpretatus sit; quomodo et LXX eam vocem reddiderunt Exod. XX, 5, et alibi. Ac vel hinc ruit commentum illud de Simonis nuptiis in Cana Galilææ, quasi domi et in propria urbe earum convivium dederit. Drusius existimat, aliunde forte dictum Cananitem, aliunde Zelotem; et primum quidem a patria (Cana scilicet), alterum ab alio quopiam. Verius tamen apparet idem esse nomen, undecunque Simoni hæserit, sive erat ex illorum numero qui ζηλωτοὶ vocabantur, de quibus Theophyl. in Acta, Suidas et alii ; qui alio modo *Essæi* dicebantur ; sive istud a familia cognomen habuit, vel potius a virtute ejusque præstantia illud nactus est, uti in Petro et filiis Zebedæi se res habuit, quos sic Dominus certa mysterii ratione novo nomine auxit, ut scite Nicetas exponit : ob fidei scilicet firmam immobilemque constantiam, et ob magnificentiam prædicationis. Excelluisse verbi præconio vereque Evangelii tonitruum exstitisse Jacobum argumento est, ipsa illius maturata passio, ac qua apostolis reliquis, Herodis Agrippæ et Judæorum æmulatione, velut prædicationis munere atque vi cunctis antistes, præivit : quæ certe singularis laus est nostri Simonis, sic Luca interprete, quartum in apostolis esse, quem Dominus sic novo titulo atque nomine auxerit.

τες φωτίζωνται, καὶ πάντες παιδεύωνται καὶ πρὸς θεοσέβειαν παρακαλῶνται.

Χαῖρε, ὅτι καὶ τῶν μετὰ σὲ εὐαγγελιστῶν ἀρχέτυπον γέγονας ἀγαθόν· καὶ ὁ ἐκ σοῦ ζῆλος κἀκείνους πρὸς τὴν ἱερὰν τοῦ Εὐαγγελίου κεκίνηκε γραφὴν, καὶ πρὸς οἰκοδομὴν τῶν ὅλων ἠρέθισεν Ἐκκλησιῶν.

Χαῖρε καὶ ἀγαλλία, φίλε Θεοῦ πιστότατε, ὑπηρέτα τοῦ Λόγου δοκιμώτατε, καὶ τοῦ Παρακλήτου μυστικώτατε γραμματεῦ· καὶ μεμνημένος τῶν μεμνημένων σου, καὶ τοὺς εὐλογοῦντάς σε εὐλογῶν, καὶ ἁγιάζων τοὺς ἁγιάζοντας, ὁδηγήσαις ἡμᾶς, ὦ μακάριε, καὶ κατευθύναις ἐν Χριστῷ Ἰησοῦ· καὶ ἀμώμους τῷ Παρακλήτῳ παραστήσαις, τῇ μοναρχικῇ καὶ ἀγιαρχικῇ καὶ ζωαρχικῇ Τριάδι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΒ'.

Εἰς τὸν ἅγιον καὶ πανεύφημον ἀπόστολον Σίμωνα τὸν Ζηλωτὴν (50).

Τί φαιδρὰ σήμερον ἡ ἡμέρα, καὶ εὔσημος ἑορτὴ, καὶ θυμηδίας μεστή· καὶ γὰρ πᾶσαι μὲν ἡμέραι,

Nusquam Nicetas aut Græcorum Menæa vel Nicephor. Dominicæ affinitatis seu cognationis, in eo meminerunt : proinde alium censent, nedum a Juda Thaddæo vel Lebbæo ; sed etiam a Simone Cleopha, vel, ut alii, Simeone, qui Jacobo fratri in sede Hierosolymitana successit, ac crucis supplicio, Trajano imperatore, cum centum viginti annorum esset, Davidici generis invidia sublatus est, ut ex Hegesippo refert Eusebius l. III, c. 11 et 32. Abdias tamen, germanum fratrem facit, cum Juda, qui et Thaddæus, et cum Jacobo ; vultque omnes ex Cana Galilææ oriundos, parentibus Alphæo et Maria Cleophæ filia : solum vero Jacobum, Josepho patre natum, eamque ob rem fratrem Domini peculiarius vocitatum : quæ multa implicant, aliis non satis consona, aut pluribus recepta : quamvis fere nostrates, quidquid de Simone, ejusque præcipue in Perside exitu dixerunt, ex cœnoso hoc fonte accepisse noscantur. Orig. Matth. XIII, 55, ubi de fratribus Domini sic nuncupatis, *Et fratres illius Jacobus et Jose et Simon et Judas*, laudata Judæ epistola *paucorum quidem versuum, sed plena efficacibus verbis gratiæ cœlestis* (quod illius grave testimonium est), de Josete et Simone subdit, *nihil se compertum habere :* sive alias ipsum Simonem Cananitem seu Zelotem existimavit, sive, quod Hegesippus prodidit, longe ab eo diversum putavit; nec apostolum ex duodecim, sed communem discipulum. Rosweidi vetus martyrologium Romanum, quo brevius ac simplicius, hoc verius : V Kal. Novembr. *Simonis et Thaddæi apostolorum.* Voluitque Corbeiense Dacherii eadem simplicitate, etsi in eo aliquid luxatum est, dum *Zelotis* cognomen, non Simoni, sed Judæ ascribit : ac si duo cognomina, Cananæus et Zelotes, alterumque Simonis sit, et Judæ alterum ; *Et alibi sanctorum apostolorum Simonis Cananæi, et Judæ Zelotis.* Quod *alibi* dicit, nec certum locum assignat, ut illi moris est, indicat ejus auctor ignotum habuisse, quo loco fuerint consummati, ac vel non legisse Abdiam, vel illius commentum de apostolorum simul in Perside martyrio, quale narrat, respuisse ; quod sic avide hauserunt Ado Romanæque tabulæ, nedum recentiores, sed et paulo antiquiores, sæpius Lugd., Parisiis, etc., ante novam recensionem, recusæ. Et sane consensit gentium illarum traditio, qui sibi Judam Thaddæum seu Lebbæum vindicant apostolum, ejusque

Digitized by Google

ἑορταὶ Κυρίου, καὶ πᾶσαι πλήρεις ἀγαλλιάσεως; καὶ πνευματικῆς χαρᾶς αἴτιαι, τοῖς Πνεύματι Θεοῦ ἀγομένοις· πάσαις γὰρ ἡ σοφία τὰς τῶν ἁγίων αὐτῆς ἐπιμερισμένη μνήμας, καὶ τούτοις ὥσπερ ἄστρων ἐπιτελεῖς τὸν ὅλον τοῦ ἐνιαυτοῦ στέφανον εὐλογοῦσα καὶ κατακοσμοῦσα, πάσῃ; ὅσαι ἡμέραι τερπνότητος, καὶ χαρμοσύνης τὰς τῶν εὐσεβῶν ἀναπίμπλησι ψυχάς· μάλιστα δὲ τῶν ἡμερῶν αὗται φαιδραὶ, καὶ χαρίεσσαν ἐνιεῖσαι τοῖς φιλοθέοις τὴν τερπωλήν, καθ' ἃς τῶν ὑψηλῶν ἀποστόλων ἕκαστος τὴν γῆν ἀφεὶς, ἀνέπτη πρὸς τὸν οὐρανόν· καὶ τῶν ὑπὲρ τοῦ διδασκάλου πόνων ἀπαλλαγεὶς καὶ τοῦ θανάτου, πρὸς τὴν ἀνώδυνον καὶ τὴν μακαρίαν ἐν αὐτῷ μετέστη ζωήν.

Ὥσπερ γὰρ οἱ κατ' οὐρανὸν ἀστέρες, πάντες μὲν λαμπροὶ τὴν φύσιν καὶ διαυγεῖς, οὐ πάντες δὲ ὁμοίως φωτὶ λάμπουσιν· *Ἀστὴρ γάρ*, φησὶν, *ἀστέρος διαφέρει ἐν δόξῃ*· οὕτω δὴ καὶ αἱ ἡμέραι πᾶσαι μὲν ἐπίσημοι καὶ εὐφρόσυνοι, διὰ τοὺς μνημονευομένους ἐν αὐταῖς ἁγίους· οὐ τῆς ἴσης δὲ πᾶσαι χάριτός εἰσι μεταδοτικαί. Κατὰ τοσοῦτον δὲ τῶν ἄλλων αἱ τῶν δώδεκα μνῆμαι τοῦ Χριστοῦ μαθητῶν, τῷ τε μεγέθει τῆς δόξης καὶ τῇ τῆς λαμπρότητος ὑπερβαλλούσῃ περιουσίᾳ, καθόσον καὶ αὐτοὶ τῶν ὅλων ἁγίων τῇ μεγαλειότητι τῆς ἁγιότητος ὑπερανέβησαν.

Οὐκοῦν ἀγαλλιασώμεθα σήμερον καὶ εὐφρανθῶμεν, καὶ τῆς ἀποστολικῆς μνήμης καὶ χάριτος κατατρυφῶντες, τῆς ἡμέρας πνευματικὴν ἑορτὴν συστησώμεθα καὶ δημοτελῆ· καὶ πᾶσαν μὲν ἐργασίαν σωματικὴν, πᾶσαν δὲ μέριμναν καὶ βιωτικὴν ἀφέμενοι φροντίδα σχολάσωμεν καὶ γνῶμεν τίς ὁ τῆς ἡμέρας ταύτης φωστὴρ καὶ τῆς θαυμασίας χάριτος ἀρχηγός· γνῶμεν τίς ὁ τῆς ἑορτῆς ἔξαρχος, καὶ ἐν τινι σήμερον ὁ τῆς δόξης εὐδόκησεν ἐνδοξασθῆναι Θεός.

Βούλεσθε ἀνακηρύξω τὸν ἡμᾶς ἐπὶ τὴν αὐτοῦ ξεναγωγοῦντα μνήμην; ἣ πᾶσι καταφανὲς, ὅτι Σίμων ὁ μέγας ἀπόστολος, ὑπόθεσιν ἑαυτὸν λαμπροτάτης πανηγύρεως ταῖς Ἐκκλησίαις παρασχόμενος, τῆς πνευματικῆς ἡμῖν εὐφροσύνης καθηγεῖται καὶ χαρμονῆς. Σίμων, ὁ τῆς ὑψηλῆς δωδεκάδος τῶν μαθητῶν εἷς. Ὁ πᾶσαν μὲν τῶν κορυφαίων ἀρετὴν, πᾶσαν δὲ χάριν τοῦ Πνεύματος ὁμοίως ἐκείνοις καὶ

A sta Domini; omnesque exultationis pleni, ac spiritalis gaudii causa, his qui aguntur Spiritu Dei [12]. Cunctis enim sanctorum suorum memorias dispertita sapientia, iisque velut astris orientibus omnem anni benedicens et perornans coronam, omni quotidie voluptate et gaudio piorum animos adimplet [13]. Inter reliquos tamen dies illi maxime læti, ac qui gratam religiosis animis jucunditatem injiciant, per quos sublimium quisque apostolorum dimissa terra, in cœlum evolavit; laboribusque magistri causa desudandis ac morte liberatus, ad doloris nesciam atque beatam in illo vitam commigravit.

Quemadmodum enim quæ cœli axem ornant, cunctæ quidem natura splendidæ ac pellucidæ B stellæ; non omnes tamen pari fulgent radiorum jubare; *stella enim*, inquit, *differt a stella in claritate* [14]; sic etiam omnes quidem dies insignes et læti, ob sanctorum illis consignatas memorias: at non ita comparatum, ut eadem omnes impartiant gratia. Tantum autem duodecim Christi discipulorum memoriæ, tum claritatis magnitudine, tum splendoris abundantia præstant, quantum et illi sanctos reliquos sanctitatis magnificentia superarunt.

Igitur exsultemus hodie et lætemur, apostolicæque memoriæ atque gratiæ munere perfruentes, spiritalem populique omnis conventu celebrem diei festivitatem constituamus: omnique corporali opere omnique sæculi sollicitudine curaque posthabitis, C vacemus ac intelligamus, quodnam hujus diei sidus ac admirandæ gratiæ auctor. Intelligamus quis solemnitatis auspex, ac in quonam hodie Deus gloriæ voluit glorificari.

Vultis prædicem, quis non recolenda sua memoria hospitio excipit? Annon omnibus liquet, magnum Simonem apostolum esse, qui seipsum splendidissimæ solemnitatis argumentum Ecclesiis præbens, spiritalis nobis lætitiæ atque gaudii auctor et auspex exsistit? Nempe Simon unus e sublimi duodecim choro; qui omni quidem coryphæorum virtute, omnique Spiritus gratia consimili illis ra-

[12] Rom. VIII, 14. [13] Psal. LXIV, 12. [14] I Cor. XV, 41.

hactenus exuviis gloriantur, non sic Simonis, quod D et Patrum nostrorum Majoris Armeniæ domi commorantium testimonio mihi confirmatum est. Quæ monumenta habeant Britannicæ Ecclesiæ, Simonis apud eos apostolatus et consummationis, sive illius crucis, quæ sic Græcorum traditioni respondeant, me latet. Et certe bene est, quod tanto Græci consensu Simonem Occidentis apostolum scribunt, ejusque res ac itinera, nihil fere minora quam Thomæ per Orientem ad Indiam usque, Nicetas exornat. Utque peragrata Cyrene et Africa in Britanniam venerit, tantaque in ea apostolica virtute patrarit, haud putandus non salutasse Gallias, nihilque illis contulisse; aut eas solas, quæ nobilissima portio erant imperii Romani, primorum apostolorum vestigia non meruisse. Undecunque vero orta Græcorum hæc traditio, liquet antiquis ignota fuisse; nec ejus quidquam Bedæ compertum fuisse, qui etiam minus accuratus Act. I, in Jacobo, Simone et Juda; de quo plura, ac de illius retractatione, ad nostram S. Hippolyti Synopsim; ex qua Sophron. aliique sua hauserint de Simone Cananita filio Cleophæ, qui successit Jacobo in episcopatu Hierosolymitano, ibique sepultus est, martyrio functus sub Trajano; quod plane straminеum est, et ecclesiasticæ historiæ adversum, serioque Adoni improbatum. Ignota etiam Africanis illa Simonis in Africa peregrinatio et prædicatio, nulliusque veterum testimonio prodita, cum Donatistæ post apostolos accepisse fidem Afros contenderent; nec Augustinus aliud posset opponere, quam Roma illos accepisse episcopos. Vide Bar. an. 44, 38.

Digitized by Google

tione, nulloque discrimine polleat; qui tamen ab una cum primis celebretur ac innotescat, qua reliquis abundantius fulsit; Simon cognomento Zelotes, pari nimirum primis pietate in Dominum nobilitatus, qui tamen majori reliquis fervore ornatus, rite Zelotes (id est, æmulator) audiat. Id enim est zelus seu æmulatio, nempe fervor cum ratione sanoque consilio honoris Dei causa accensus, ac fidei tutamen certumque præsidium præstans. Hic nos hodie claro præconio lenique ac placido ad mysticas invitat epulas: seque ipse tanquam opiparam ac splendidam mensam apponens, suamque crucem, ac quibus crucifixi causa functus est, cruciamenta recteque facta ac virtutes velut immortales dapes offerens, convivas suos quam lautissime accipit ac habet.

Quis non igitur præsto ad solemnitatem occurrat? Quis ita segnis, ita negligens ac morosus; quisve sic mollis animique solutus, ut delicias ejusmodi, ut tantam jucunditatem talemque convivatorem contempserit? qui [nempe filius hominis cum esset, ac bonam animam sortitus fuisset, usque adeo tantaque diligentia seipsum excoluit, legisque documentis ac gratiæ placitis absolvit, ut Dei filius efficeretur ac existimaretur [15].

Vultis et disciplinæ modum, quo ad Patrem suum provectus est, discere? Præsto sum ut paucis referam: ac quæso aurem solertem atque animum accommodate. Ille nimirum morigero auditu ac fideli mente divina edoctus, intelligensque Domini oracula, atque hæc a puero in animum congerens, hactenus quidem ceu rudimento lege instituebatur; carnalibusque justificationibus ac litteræ imperfectioni navans operam, inque illis exercens, ad gratiæ perfectionem præparabatur.

Quia vero qui litteram abrogaret et spiritum consummaret, venerat: ac lucernæ quidem lucendi tempus excesserat, justitiæ autem Sol illuxerat; atque noctis se mœstitia subducente, jam oriens summos montium vertices illustrabat; non amplius figuris umbrisque distineri sustinuit: non ut deiceps pædagogo affixus illique assiduus esset, operæ pretium duxit: sed gravi illo jugo humeris excusso, jugum magistri suave imposuit; spretoque circumcisionis modesto onere, leve gratiæ onus elegit; ac relicto Mose, vocantem Jesum secutus est: qui nimirum suæ illi gratiæ radios affundens, propriæque gloriæ ac majestatis sensum immittens, atque sursum ducente spiritaliorique amore subvehens, ac indubia confirmans fide, regnique prædicati spe desiderioque contendens, sibi totum addixisset ac devinxisset, subtilissimæ mentis elevationibus abstrusissimisque contemplationibus sibi cum concilians aptansque.

Duplici vero jam ratione, vir beatissimus illi animum attendens, ac corpore quidem, quodque

A ἀπαραλλάκτως καταπλουτῶν, ἀπὸ μιᾶς δὲ ἣν ἐκεῖνος τῶν πάντων περισσοτέρως κατωρθώσατο γνωριζόμενος. Σίμων ὁ καλούμενος Ζηλωτής· ἐπίσης μὲν τοῖς πρώτοις τῇ εἰς τὸν Κύριον εὐσεβείᾳ σεμνυνόμενος· πλείονι δὲ τῶν ἄλλων θερμότητι κοσμούμενος, εὐστόχως κέκληται Ζηλωτής· τοῦτο γὰρ ζῆλος, θερμότης κατὰ εὐλογιστίας ὑπὲρ τῆς τοῦ Θεοῦ τιμῆς ἀναπτομένη, καὶ τῇ πίστει τὸ ἀσφαλὲς παρεχομένη. Οὗτος ἡμᾶς σήμερον διαπρυσίῳ κηρύγματι καὶ ἡσυχίῳ πρὸς μυστικὴν πανδαισίαν συγκαλεῖ· ἑαυτὸν δὲ πολυτελῆ καὶ νοερὰν τράπεζαν προτιθείς· τὸν αὐτοῦ δὲ σταυρὸν, καὶ τὰ ὑπὲρ τοῦ ἐσταυρωμένον παθήματα καὶ ἀνδραγαθήματα ὥσπερ ἀκήρατα προβαλλόμενος ἐδέσματα, ἐν τούτοις τοὺς αὐτοῦ δαιτυμόνας λαμπρῶς ὅτι μάλιστα δεξιοῦται καὶ φιλοτιμεῖται.

B

Τίς οὖν οὐκ ἀπαντήσει πρὸς τὴν πανήγυριν; Τίς οὕτω ῥάθυμος, οὕτως ἀμελής τε καὶ ὑπεροπτικός; τίς δὲ χαῦνος οὕτω καὶ ἐκλελυμένος, ὡς τοιαύτης τρυφῆς, τοιαύτης τερπνότητος καὶ ἑστιάτορος τοιούτου παραμελεῖν; ὃς Υἱὸς ὢν ἀνθρώπου, καὶ ψυχῆς λαχὼν ἀγαθῆς, ἐπὶ τοσοῦτον ἑαυτὸν δι' ἐπιμελείας ἐξησκήσατο, καὶ τοῦ νόμου τοῖς παραγγέλμασι, καὶ τοῖς τῆς χάριτος δόγμασι κατήρτιστο, ὡς Υἱὸν καταστῆναι καὶ λογισθῆναι Θεοῦ.

Βούλεσθε καὶ τὸν τρόπον τῆς ἀναγωγικῆς αὐτοῦ πρὸς τὸν Πατέρα πολιτείας μαθεῖν; Ἕτοιμος ἐπιτεμεῖν ἐγώ· καί μοι συνετὸν οὖς καὶ διάνοιαν ὑποσχεῖν. Ἐκεῖνος ἀκοῇ μὲν εὐπειθεῖ, διανοίᾳ δὲ πιστῇ, C τὰ ἔνθεα λόγια τοῦ Κυρίου συνιεὶς, καὶ νηπιόθεν αὐτὰ συμβάλλων τῇ καρδίᾳ, τέως μὲν ἐστοιχειοῦτο τῷ νόμῳ, καὶ τοῖς τῆς σαρκὸς δικαιώμασι παιδοτριβούμενος, καὶ τῇ ἀτελείᾳ τοῦ γράμματος ἐγγυμναζόμενος, πρὸς τὴν τῆς χάριτος τελειότητα παρεσκευάζετο.

Ἐπειδὴ δὲ ὁ τοῦ γράμματος ἀθετητὴς καὶ τοῦ πνεύματος ἦκε τελειωτής· καὶ τῷ λύχνῳ μὲν ὁ τοῦ φαίνειν ἐξήκει καιρὸς, ὁ Ἥλιος δὲ τῆς δικαιοσύνης ἐπεφάνη· καὶ ἡ κατήφεια μὲν ὑπεχώρει τῆς νυκτὸς, ἡ ἀνατολὴ δὲ ἤδη τὰς ἀκρωρείας κατεφώτιζεν, οὐκέτι τοῖς τύποις ἠνείχετο προσμένειν καὶ ταῖς σκιαῖς· οὐκέτι τῷ παιδαγωγῷ προσλιπαρεῖν ἤρετο δεῖν· τὸν δὲ βαρὺν ἐκείνου ζυγὸν τῶν οἰκείων ὤμων ἀπωθούμενος, τὸν τοῦ διδασκάλου χρηστὸν ἐπεφορτίζετο· D καὶ τὸ δύσοιστον ἄχθος τῆς περιτομῆς ὑπεριδὼν, τὸ ἐλαφρὸν τῆς χάριτος ᾑρέτισεν· καὶ τὸν Μωσῆν καταλιπὼν, ὀπίσω τοῦ Ἰησοῦ καλοῦντος ἠκολούθει. Ὃς, αὐτοῦ τῇ καρδίᾳ τὴν οἰκείαν ἐναστράψας χάριν, καὶ τῆς ἰδίας δόξης αὐτῷ καὶ μεγαλειότητος αἴσθησιν ἐνθέμενος, καὶ τῷ ἀναγωγῷ ἔρωτι πτερώσας, καὶ τῇ ἀδιακρίτῳ πίστει βεβαιώσας, καὶ τῇ ἐλπίδι τῆς κηρυσσομένης συντείνων βασιλείας, ἑαυτοῦ ὅλον ἐποιήσατο καὶ κατεδήσατο, νοερωτάταις αὐτὸν ἀναγωγίαις καὶ μυστικωτάταις ἑαυτῷ θεωρίαις μνηστευόμενος καὶ ἁρμοζόμενος.

Διχῇ δὲ λοιπὸν ὁ μακαριώτατος προσέχων αὐτῷ, καὶ σώματι μὲν καὶ τὸ ὁρώμενον, υἱὸν ἀληθῶς ἀν-

[15] Sap. VIII, 19.

Digitized by Google

θρώπου, πνεύματι δὲ καὶ τὸ νοούμενον, Υἱὸν Θεοῦ κατὰ φύσιν ὁρῶν· τὴν διπλόην δὲ τῶν φύσεων τῇ τῶν ἐνεργειῶν διπλῇ τεκμαιρόμενος· καὶ διὰ πίστεως μὲν τὴν ὑψηλὴν θεωρίαν ταύτην βεβαιούμενος, διὰ θεωρίας δὲ πάλιν τὴν πίστιν κρατυνόμενος, ζωτικῇ δέ τινι συμπαθείᾳ καὶ νοερᾷ φιλότητι τῷ θεωρουμένῳ συμφυόμενος καὶ συνδεόμενος, καὶ τῷ νῷ λεληθότως συνενούμενος, κατ' οὐδένα λοιπὸν τούτου διηρεῖτο τρόπον· οὔτε τὸν νοῦν τῆς ἀγαπητικῆς μνημοσύνης ἀποσπώμενος, οὔτε δὲ τὴν σωματικὴν ὄψιν ἀπολείπεσθαι, ὅτι μὴ πᾶσα ἀνάγκη καταξιῶν τοῦ ποθουμένου.

Ἅμα γοῦν ἀρχὴν τῆς ἄνωθεν κλήσεως καὶ ἀποστολικῆς ἐκλογῆς κατηξιοῦτο, καὶ τῶν λόγων τῆς χάριτος ᾔσθετο, καὶ τὴν τῶν ἔργων δύναμιν τεθέατο, νεκροῦται μὲν αὐτίκα τῷ κόσμῳ παντὶ, μόνῳ δὲ ζωοῦται Χριστῷ. Νεκροῦται γονεῦσι, οἰκείοις, φίλοις, κτήμασι, χρήμασι, καὶ παντὶ συνελόντα φάναι τῷ αἰῶνι τῷδε, καὶ τοῖς ἐν αὐτῷ σταυρωθείς· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἑαυτοῦ ἀλλοτριωθείς, καὶ ὅλον τὸ φρόνημα τῆς αὐτοῦ σαρκὸς ἀπολωλεκὼς, μόνου γίνεται Χριστοῦ Ἰησοῦ, μόνης αὐτοῦ τῆς ὑπεραρρήτου καὶ μυστικωτάτης γενόμενος καλλονῆς καὶ ἀγλαΐας· μόνον ἀναπνέων αὐτὸν, μόνον ὑπερτιμῶν καὶ δοξάζων καὶ ὑπερευλογῶν, πῶς οὐκ ἔμελλες τῆς ἀνωτάτω καὶ πρώτης παρ' αὐτῷ κατηξιῶσθαι τιμῆς; οἷς δὴ καὶ τῆς ἀκροτάτης τάξεως τῶν ἀποστόλων κατηξιωμένος, γέγονας αὐτῷ τῶν ὑψηλῶν μυστηρίων ἀκροατὴς, καὶ τῶν θεοτελῶν ἔργων θεατής· γέγονας αὐτῷ δοῦλος πιστότατος καὶ φρονιμώτατος, διάκονος ἐνεργέστατος καὶ δραστικώτατος, μᾶλλον δὲ φίλος ἀληθέστατος καὶ δοκιμώτατος· καὶ τῇ χάριτι μὲν τοῦ Πνεύματος, συνέσει τε καὶ σοφίᾳ καὶ ταῖς ἄλλαις ἱεροτελεστίαις καὶ δυνάμεσιν, οὐδενὸς ἀπολείπου τῶν μαθητῶν· κοινὴ γὰρ καὶ ἡ αὐτὴ τοῖς δώδεκα πρὸς τοῦ Πατρὸς τῶν φώτων ἐπέλαμπε φωταγωγία, ἀμέσως αὐτοῖς καὶ κατ' ἰσομοιρίαν τὰς ἀγαθουργοὺς δωρεὰς ἐπιβραβεύουσα.

Σοὶ δὲ μᾶλλον ὁ ὑπὲρ τοῦ διδασκάλου πόθος καὶ ζῆλος κατὰ τοσοῦτον πεπλεόνακεν, καθόσον καὶ εἰς ἐπωνυμίαν ἡ ἀρετὴ κατέστη. Ὡς γὰρ τῷ Σίμωνι μὲν ἡ τοῦ Πέτρου προστέθειται προσηγορία, διὰ τὸ τῆς πίστεως ἑδραῖον καὶ ἀκλινές· τοῖς υἱοῖς δὲ Ζεβεδαίου βροντῆς ἀκοῦσαι διὰ τὸ μεγαλόφωνον υἱοῖς· οὕτω καὶ σοὶ ἡ τοῦ Ζηλωτοῦ ἐπωνυμία διὰ τὴν τοῦ θείου ζήλου περιουσίαν προσετέθη.

Ἀσπάζομαί σου τὸ θεοειδέστατον πρόσωπον, σεβασμιώτατε, καὶ προσκυνῶ, ᾧ εὐμενῶς ἐνέβλεψεν ὁ Κύριος· ὃ εὗρεν ἀληθῶς χάριν κατέναντι τοῦ προσώπου τοῦ Θεοῦ. Ἀσπάζομαι νοερῶς καὶ πανευλαβῶς τὰ σεπτότατα χείλη καὶ τὴν γλῶσσαν· τὰ μὲν, ὡς ἀεὶ τοῖς θεαρχικοῖς χείλεσιν ἐφηρμοσμένα τῷ πνεύματι, καὶ ἀσπασμῶν θειοτέρων κατηξιωμένα, καὶ τὴν ἀπὸ τοῦ ἀσπαζομένου θεουργικὴν προσειληφότα χάριν· τὴν δὲ, ὡς γραφίδα τοῦ Πνεύματος,

A oculis objectum erat, vere filium hominis; spiritu autem et quantum mens penetrabat, Dei Filium natura, conspiciens, exque duplici operatione, duplicem naturam conjiciens, ac fidei quidem præsidio, sublimem hanc contemplationem confirmans, rursusque contemplationis sagacitate fidem roborans: quadam denique vitali necessitudine animique propensioris benevolentia, ei qui cernebatur, cohærescens devinctusque, necnon secretiore nexu illi mente unitus, nulla deinceps ratione ab eo disjungebatur; qui neque animo, amante avelli memoria, nec corporali ipso desiderati aspectu destitui, aut summa vix necessitate, pateretur.

Simul igitur cœlesti primum vocatione ac apostolica dignatus electione, sermonumque gratiæ percepto sensu atque operum conspecta virtute, omni statim mundo moritur, solique Christo vivificatur. Moritur parentibus, necessariis, amicis, prædiis, pecuniis; omnique (ut verbo dicam) huic sæculo cunctisque in illo crucifixus: neque id modo, sed et ipse sibi alienus factus, omnique carnis ejecto sensu ac prudentia, unius Jesu Christi efficitur, una ejus supra quam arcana sacratissimaque pulchritudine affectus et gratia: cumque solum eum spirares, solum præmagnifice coleres et lauda res atque benediceres, qui fieri poterat, ut non apud eum, supremas primasque honoris partes assequereris? Quamobrem etiam supremo apostolorum ordine sublimatus, sublimium ei mysteriorum auditor, divinorumque spectator operum exstitisti: servus ei fidelissimus ac prudentissimus; minister gnavissimus agendique acerrimus; quinimo, verissimus amicus ac probatissimus. Ac quidem Spiritus gratia intelligentiaque ac sapientia, necnon reliquis consecrationibus et virtutibus, nulli impar discipulorum fuisti. Communis enim eademque, Patre luminum auctore, duodeno illi choro illucebat coruscatio, quæ nullo medio æquisque partibus benefica eis dona tribueret.

Tibi autem magis, qua Magistrum prosequebaris, amoris vis zelique ardor in tantum abundavit, ut et in appellationem virtus cesserit. Quemadmodum enim Simoni quidem, ob fidei firmitatem ac constantiam, Petri nomen accessit; filiisque Zebedæi, ob magnificam prædicationem, ut audirent Filii tonitrui obtigit; sic tibi quoque Zelotæ nuncupatio ob divini zeli seu æmulationis abundantiam advenit [19].

Osculor Deo similimam faciem tuam, colendissime, et adoro, in quam Dominus placide inspexit; quæ vere gratiam invenit in conspectu Dei. Osculor mente omnique reverentia, veneranda labia, linguamque: illa quidem, velut semper divinis labiis spiritu coaptata divinioraque oscula consecuta; quibus denique ab eo, cui infixa oscula, deifica gratia accesserit; hanc vero ceu stylum et penicillum Spiritus, tanquam organum oraculorum Dei;

[19] Exod. xx, 5; Jos. xxiv, 19.

Digitized by Google

velut Christi laudatricem, ac tanquam reipsa laudabilem atque placitam; per quam ille exaltatus est in gentibus, exaltatus est in terra [17].

Osculor venerabilissimas tuas manus; complector et speciosissimos pedes: manus, quæ strenue ac industrie Domino servierunt: quæ Evangelii gratiæ ministerio functæ sunt, quibus creditus vitæ Sermo: quem nimirum scrutatæ sunt et contrectaverunt inveneruntque vitæ Sermonem esse [18]: cui conjunctæ ac Spiritu divino coaptatæ atque compactæ, illius manus effici meruerunt: manus utique eximiorum operum effectrices; mirabilium Dei voluntatum consummatrices.

Adoro et pedes, velut currum cherubicum, ut quibus vehatur, qui cœlos implet et terram; qui in universo hoc, extraque universum versatur. Pedes nimirum, qui omnem fere percurrerunt terram: pedes rectos et sursum tendentes; pedes alatos et volueres, quales Cherubim; pedes fulguris instar currentes, incredibilique celeritate circumeuntes terram, ac fideles in benedictionibus prævenientes [19].

Osculor, etiamque atque etiam colens te quoque totum, totus ex toto mente circumfusus, complector; spirituque velut in speculo obversantem contuens ac memoria collustratus, quasi intelligente intemerataque, ac omnis exsorte materiæ, luce, augustæ vestræ magnificentiæ ac decoris vultu circumfulgeor.

Cæterum videamus, quoad liceat, quanta Zelotes evangelica functione et virtutis laude enituerit. Etenim tanquam reipsa veræ lucis discipulus, divinumque totum lumen nitidissima mente complexus, totusque lucidus et filius lucis ac reipsa lux ipse effectus, post primæ summæque lucis ac originalis in cruce occasum, post illius ab inferis tertio vespere exortum, post ascensum in cœlos (illius scilicet supra quam arcanam latebram) post Paracleti perfectiorem adventum, quando nimirum magnis primisque Verbi discipulis in cœnaculo considens, pari cum illis collegio, in linguis ignis specie apparentibus ac sonitu flatus vehementis, Spiritus a Patre descendens, in optimo corde ac regalissimo susceptus est: tunc plane etiam perfectiori repletus sapientia, divinissimorumque signorum ac prodigiorum potestate atque virtute ex alto indutus, Orientem relinquens, ad partes occiduas, duce Spiritu, sol magnus eximiique fulgoris Libyæ universæ, Africæque et Mauritaniæ, ac cunctis denique per occiduas oras sedes nactis, exortus es.

Quis igitur vel mente intelligat, vel satis oratione exsequi sufficiat atque exponat, labores, ærumnas, timores, viarum pericula, vigilias, curas, dolores, turbas, infidelium Barbarorum grassationes, insidias, plagas, carceres, insultus, coitiones, contradictiones, calumnias, verbera, detractiones et convicia, ejusque omnes Evangelii causa

ὡς ὄργανον λογίων Θεοῦ, ὡς ἐπαινέτιν Χριστοῦ, καὶ ὡς ἐπαινετὴν τῷ ὄντι καὶ θελητήν· δι' ἧς ἐκεῖνος ὑψώθη ἐν ἔθνεσιν, ὑψώθη ἐν γῇ.

Φιλῶ σου τὰς τιμιωτάτας χεῖρας· περιπτύσσομαι καὶ τοὺς ὡραιοτάτους πόδας· χεῖρας, τὰς εὐφυῶς καὶ αἰσίως ὑπηρετησαμένας τῷ Κυρίῳ· τὰς τῷ Εὐαγγελίῳ τῆς χάριτος διακονησαμένας· τὰς τὸν τῆς ζωῆς πεπιστευμένας Λόγον· Λόγον, ὃν ἠρεύνησαν, ὃν ἐψηλάφησαν καὶ εὗρον Λόγον ὄντα ζωῆς· ᾧ συμφυόμεναι, καὶ Πνεύματι θείῳ συναρμολογούμεναι, χεῖρες ἐκείνου γενέσθαι κατηξίωνται· χεῖρες, ἔργων ὑπερφυῶν αὐτουργοί· θαυμασίων Θεοῦ θελημάτων τελεσιουργοί.

Προσκυνῶ καὶ τοὺς πόδας, ὡς ἅρμα Χερουβικόν· ὡς ὀχοῦντας ἐφ' ἑαυτοῖς τὸν οὐρανοὺς πληροῦντα καὶ γῆν, τὸν ἐν τῷ παντὶ τῷδε καὶ τοῦ παντὸς ἔξω καθεστῶτα· πόδας, τοὺς πᾶσαν μικροῦ διαδραμόντας τὴν γῆν, τοὺς ἰθυτενεῖς καὶ ἀνωφόρους, τοὺς πτερωτοὺς καὶ πτηνούς, οἷοι τῶν Χερουβείμ· τοὺς ἀστραπῆς δίκην θέοντας, καὶ ἀμηχάνῳ ταχύτητι περιοδεύοντας τὴν γῆν, καὶ ἐν εὐλογίαις χρηστότητος προφθάνοντας τοὺς πιστούς.

Ἀσπάζομαι, καὶ λίαν τιμῶν περιπτύσσομαι καὶ σὲ ὅλον, ὅλος δι' ὅλου τῇ διανοίᾳ περιφύς· καὶ τῷ πνεύματι κατοπτριζόμενος, καὶ τῇ μνήμῃ περιλαμπόμενος, οἷα νοερῷ καὶ ἀχράντῳ καὶ ἀΰλῳ φωτί, τῷ προσώπῳ τῆς ὑμετέρας περιαυγάζομαι θεοπρεπείας.

Ἀλλ' ἴδωμεν, ὡς ἐφικτόν, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον εὐδοκίμησιν τοῦ Ζηλωτοῦ· καὶ γὰρ ὡς ἀληθῶς τῷ ἀληθινῷ μαθητεύσας φωτί, καὶ τὸ θεαρχικὸν φῶς ὅλον διειδεστάτῃ δεδεγμένος διανοίᾳ, καὶ φωτοφανὴς ὅλος, καὶ υἱὸς φωτὸς καὶ φῶς αὐτόχρημα γεγονώς, μετὰ τὴν τοῦ ἀρχιφώτου φωτὸς ἐπὶ τοῦ σταυροῦ δύσιν, μετὰ τὴν ἐξ ᾅδου τριέσπερον ἀνατολήν, μετὰ τὴν εἰς οὐρανοὺς ἀνάβασιν· εἶτ' οὖν ὑπεράρρητον τοῦ αὐτοῦ ἀποκρυφήν· μετὰ τὴν τελειοτέραν τοῦ Παρακλήτου παρουσίαν, ἡνίκα δὴ τοῖς μεγάλοις τοῦ Λόγου καὶ πρώτοις ἐν ὑπερῴῳ συγκαθήμενος ὁμιληταῖς, ἐν γλώσσαις πυροειδῶς ὁρωμέναις, καὶ βιαίας ἠχῷ πνοῆς, τὸ Πνεῦμα πατρόθεν κατιὸν, ἀγαθοειδεῖ καρδίᾳ καὶ βασιλικωτάτῃ κατεδέδεκται· τότε δὴ καὶ σοφίας τελείας πληρωθείς, καὶ θεοπρεπεστάτων σημείων καὶ τεράτων ἐξουσίαν καὶ δύναμιν ἄνωθεν ἐνδυθείς, καταλείπεις μὲν Ἑῴαν, πρὸς τὰ Ἑσπέρια δὲ, διὰ τοῦ Πνεύματος ὁδηγούμενος, μέγας ἥλιος καὶ ὑπερφαής, τῇ τε Λιβύῃ πάσῃ, Ἀφρικῇ τε καὶ Μαυριτανίᾳ, καὶ πᾶσι δὲ τοῖς τὴν Ἑσπερίαν οἰκεῖν λαχοῦσιν ἐξανέτειλες γῆν.

Τίς οὖν ἐννοηθῆναι νοι, τίς δὲ ἱκανὸς διασκευάσαι λόγῳ τοὺς πόνους, τοὺς κόπους, τοὺς φόβους, τοὺς ὑπὲρ τῆς ὁδοῦ κινδύνους· τὰς ἀγρυπνίας, τὰς φροντίδας, τὰς ὀδύνας, τὰς ἀκαταστασίας, τὰς παρὰ τῶν βαρβάρων ἀπίστων καταδρομὰς, τὰς ἐνέδρας, τὰς πληγὰς, τὰς εἱρκτὰς, τὰς ἐπαναστάσεις καὶ ἐπισυστάσεις· τὰς ἀντιλογίας καὶ συκοφαντίας· τὰς

[17] Psal. xlv, 11. [18] I Joan. i, 1. [19] Ezech. i, 7; Psal. xx, 4.

Digitized by Google

αἰκίας καὶ λοιδορίας, καὶ αὐτοῦ πάσας τὰς ὑπὲρ τοῦ Εὐαγγελίου περιόδους · καὶ πάσας τὰς θλίψεις, ἃς ἡμέραν ἐξ ἡμέρας ὁ μακαριώτατος πολιορκούμενος ὑπομένων ὑπέμενε τὸν Κύριον, ἕως αὐτῷ προσχὼν, καὶ τῆς δεήσεως εἰσακηκοὼς, θύραν πίστεως ἤνοιξε τοῖς ἔθνεσιν · ἕως οἰκτείρας ἀνήγαγεν αὐτὸν ἐκ λάκκου ταλαιπωρίας, καὶ ὥσπερ θαλάσσης κλύδωνι, τῇ κατ' αὐτοῦ τῶν ἀσεβῶν ἐπιτετιμηκὼς ἐπαναστάσει, καὶ τὸ φλεγμαῖνον τῆς αὐτῶν διανοίας κατευνάσας, καὶ τὸ δαιμονιῶδες ὅρμημα πραΰνας, καὶ πρὸς τὸν θεῖον φόβον ἐν σημείοις καὶ τέρασι μεταβαλὼν φοβεροῖς · καὶ οὕτως αὐτοὺς πρὸς συγκατάθεσιν καὶ πίστιν τῆς ἀληθείας τοῦ Εὐαγγελίου μεταγαγὼν, ἐρρύσατο μὲν τὸν αὐτοῦ κήρυκα τῆς καταιγίδος τῶν φονευτῶν · τοὺς δὲ καθάπερ ἐκ πελάγους, τῆς ποικίλης αὐτῶν ἀσεβείας ἐκλυτρούμενος, ὡς ἐπὶ λιμένα σωτήριον, τὸν μέγιστον Σίμωνα προσώρμιζεν · οἱ καὶ τῇ πέτρᾳ τῆς ἀκλινοῦς αὐτοῦ πίστεως ἐπερειδόμενοι, καὶ τῷ ὕδατι καθαιρόμενοι καὶ τῷ Πνεύματι φωτιζόμενοι, καὶ τοῖς ἱεροῖς δι' αὐτοῦ μυστηρίοις τελεσιουργούμενοι, εἰς Ἐκκλησίας ἀμώμους τῷ ὑπεραμώμῳ κατηρτίζοντο.

A profectiones et itinera : omnes denique molestias ac mala, quæ vir beatissimus adversariorum infestatione quotidie sustinens [20], sustinebat Dominum, donec is illi attendens exauditaque illius oratione, fidei januam gentibus aperuit [21]. Donec misertus, eduxit eum de lacu miseriæ, ac velut maris procella, impiorum in eum insultu increpato, eorumque animi tumore sedato, ac dæmoniaco impetu delinito, iisque in divinum timorem signorum tremendorumque portentorum vi immutatis, atque in eum modum ad assensum fidemque veritatis Evangelii traductis, tum præconem suum ex homicidarum procella eruit, tum velut e pelago, ex varia ac multiplici eorum impietate redemptos, quasi in sospitale littus, ad maximum Simonem appellebat. Iique adeo, immotæ illius fidei petræ nixi, et aqua emundati ac Spiritu illustrati, sacrisque per eum initiati ac consecrati mysteriis, in Ecclesias immaculatas, ei perficiebantur, qui omnem a macula puritatem excedit.

Οὕτως ὁ θεομακαριστότατος Ζηλωτὴς, τῆς ἀντιτεταγμένης αὐτῷ περιγέγονε δυνάμεως · καὶ οὕτω τοὺς ἡχμαλωτισμένους ὑπ' αὐτῆς αἰχμαλωτίζων, ἡμέραν καθ' ἡμέραν τῇ Ἐκκλησίᾳ τοὺς σωζομένους προσετίθει. Καὶ γὰρ ἦν ὁρᾷν ἀκραιφνῆ τοῦ Θεοῦ ἐν αὐτῷ τὴν ὁμοιότητα · ἦν ὁρᾷν ἁπλοῦν καὶ πολυειδῆ τὸν αὐτόν. Καὶ ὃν τρόπον ὁ ἥλιος εἷς μὲν τὴν φύσιν, τῷ μονοειδεῖ τοῦ φωτὸς, ποικίλος δὲ δείκνυται ταῖς ἐνεργείαις · οὕτω καὶ ὁ μέγας ἀπόστολος, ἐνοειδὴς μὲν ἦτοι χριστοειδὴς, τῷ περὶ πάντας ἀγαθοπρεπεῖ τῆς συνειδήσεως, ποικίλος δὲ ταῖς προνοίαις καὶ ταῖς περὶ τὰς Ἐκκλησίας φροντίσι καθωρᾶτο · καὶ νῦν μὲν σιωπὴν εὔλογον, νῦν δὲ λόγον καίριον ἐνδεικνύμενος · νῦν μὲν ἀνθρωποπρεπέστερον τοῖς ἐντυγχάνουσιν ὁμιλῶν, καὶ τὰ ὑψηλότερα τοῦ Εὐαγγελίου παρακαλυπτόμενος, νῦν δὲ τὴν ἀλήθειαν παῤῥησιαζόμενος, καὶ τὸν ὑπ' αὐτοῦ κηρυσσόμενον Ἰησοῦν, Θεὸν εἶναι προαιώνιον, τέλειον, ἄναρχον, ἀτελεύτητον διαμαρτυρόμενος · Θεὸν ἀληθῆ καὶ ζῶντα, ἐξ ἀληθινοῦ καὶ ζῶντος ἀεὶ τοῦ ἰδίου γεννώμενον Πατρός · ἀσώματον ἀσωμάτου · ἅγιον ἁγίου · φῶς ἐκ φωτὸς, ζωὴν ἐκ ζωῆς, ὁμότιμον καὶ ὁμόθεον καὶ ὁμοάγαθον · δι' οὗ οὐρανός τε καὶ γῆ παρήχθη, καὶ ὁ σύμπας διεκοσμήθη κόσμος.

Sic Deo beatissimus Zelotes, quæ conserta acie adversus illum stabat, virtutem superavit ; sicque illos captivans, quos ea addixerat, saluti deditos quotidie Ecclesiæ adjungebat. Verum namque Dei simulacrum in eo elucebat. Vidisses simplicem eum, et multiformem ; ac sicut sol cum unus natura sit, unius generis luce, effectis tamen ac virtutibus varius ostenditur : sic et magnus apostolus, uniformis cum esset (Christo scilicet affinis atque similis), conscientiæ erga omnes bonitate ; curis nihilominus Ecclesiarumque sollicitudine varius cernebatur. Ac modo quidem, congruum justa ratione silentium ; modo autem, opportunum sermonem exhibebat : nunc ex humana ratione humilius adeuntibus loquebatur, ac Evangelii sublimiora obtegebat ; nunc veritatem palam loquebatur, ac quem prædicabat Jesum, Deum esse prææternum, perfectum, principii finisque expertem, contestabatur : Deum verum ac vivum, ex vero ac vivo semper nascentem Patre ; incorporeum ex incorporeo ; sanctum ex sancto ; lumen ex lumine, vitam ex vita ; pari honore et deitate et bonitate ; per quem cœlum et terra producta, omnisque eorum ornatus et distinctio edita.

Τοῦτον νῦν σάρκα γενέσθαι, τὴν ἡμετέραν εὐτέλειαν ὑπὲρ ἡμῶν ἐκ παρθενικῆς καὶ ἁγίας νηδύος ὑποδύντα · καὶ σταυρῷ καὶ πάθεσι καὶ θανάτῳ προσωμιληκότα, ἀπάθειαν ἡμῖν καὶ ζωὴν αἰώνιον διὰ τῆς ἐκ νεκρῶν τριημέρου ἀναστάσεως παρασχεῖν · ὃν καὶ ἀναληφθῆναι βλεπόντων ἡμῶν εἰς τὸν οὐρανὸν, καὶ ἥξειν ἐμφανῶς αὖθις ἐκεῖθεν προσδοκῶμεν, εἰς κρίσιν ἅπαν τὸ πλάσμα παραστήσοντα.

Hunc modo carnem factum esse, nostra pro nobis indutum vilitate, ex virginali sanctoque utero ; cruceque et passionibus ac morte perfunctum, immortalem nobis nullisque obnoxiam passionibus atque æternam vitam, triduana ex mortuis resurrectione præbere : quem et nobis videntibus in cœlum receptum, inde rursus conspicua specie venturum exspectamus, qui pro tribunali sibi sistat omne humanum genus.

Καὶ νῦν μὲν ἐλέγχων τὴν ἄνοιαν, τὴν ἀσέβειαν τῶν μὴ ἐπεγνωκότων τὸν Θεὸν, τὸν οἰκεῖον πλά-

Ac modo quidem, eorum qui Deum conditorem suum mundique hujus universitatis opificem non

[20] Psal. xxxix, 2 [21] Luc. viii, 34.

Digitized by Google

agnovissent, dementiam impietatemque arguens, modo obsecrans, atque admonens; argumentisque ex natura petitis, improbos ingratosque ad benefactorem ducens; turpe esse dicens, et a ratione prorsus alienum, ne paribus quidem cum brutis animantibus modis, eum nosse qui muneribus demereatur; qui et primum condiderit, nosque rursus proprio sanguine vindicarit: nunc quidem ad synagogas et tribunalia judicesque nequissimos rapitur, palamque Evangelium loquitur: atque ab aliis quidem subsannatur et illuditur; ab aliis autem laudatur et admirationi habetur; nunc dorsum verberibus cæditur, fustibus contunditur, ergastulis clauditur; quandoque etiam catenis exsultat et gloriatur: ac modo quidem potiori Christi apparitione auxilioque potitur, mirisque modis a malis liberatur; modo nova prorsusque inaudita spiritu patrat miracula, mortuosque suscitat et claudos roborat, solutaque membra, Jesu invocato nomine, sana præstat: tumque cæcis visum, surdis auditum, mutisque eloquium imperat.

Mitto dicere quanta in fluminibus ac paludibus sua illi virtute designata portenta, dum illorum

A στην καὶ δημιουργὸν τοῦ παντός· νῦν δὲ παρακαλῶν, νουθετῶν· φυσικοῖς ἐνθυμήμασιν πρὸς τὸν εὐεργέτην τοὺς ἀγνώμονας ὁδηγῶν· αἰσχρὸν εἶναι λέγων καὶ ἱκανῶς ἄλογον, μηδ' ἴσα τοῖς ἀλόγοις κτήνεσι τὸν εὐεργέτην εἰδέναι· τὸν καὶ κτίσαντα τὴν ἀρχὴν, καὶ αὖθις ἡμᾶς τοῦ ἰδίου αἵματος κατακτησάμενον· ἄρτι μὲν ἐπὶ συναγωγὰς ἁρπάζεται καὶ δικαστήρια καὶ πονηροτάτους κριτὰς, καὶ τῷ Εὐαγγελίῳ παῤῥησιάζεται· καὶ ὑπὸ μὲν τῶν μυκτηρίζεται καὶ χλευάζεται· ὑπὸ δὲ τῶν ἐπαινεῖται καὶ θαυμάζεται· ἄρτι δὲ τὸν νῶτον αἰκίζεται, καὶ ξύλοις συγκόπτεται, καὶ εἱρκταῖς συγκλείεται, καὶ ἀλύσεσιν ἔστιν ὅτε καλλωπίζεται καὶ σεμνύνεται. Καὶ ποτὲ μὲν ἐπιφανείας Χριστοῦ κρείττονος καὶ ἀντιλήψεως, καὶ θαυμασίας τῶν λυπούντων ἀπαλλαγῆς καταξιοῦται· ποτὲ δὲ θαυματουργεῖ τῷ πνεύματι τὰ παραδοξότατα, καὶ νεκροὺς ἀνίστησι, καὶ χωλοὺς ἀναῤῥώννυσι, καὶ παραλελυμένους τῇ ἐπικλήσει στερῤῥοποιεῖ τοῦ Ἰησοῦ· ἤδη δὲ καὶ τυφλοῖς ὁρᾶν, καὶ κωφοῖς ἀκούειν, καὶ ἀφώνοις ἐπιτρέπει λαλεῖν.

B

Ἐῶ λέγειν ὅσας κατὰ ποταμῶν καὶ ἑλῶν (51) τῇ αὐτῇ δυνάμει παρέδειξεν καινοτομίας· τοὺς μὲν τῆς

(51) *Κατὰ ποταμῶν καὶ ἑλῶν.* Videatur Nicetas habuisse plena quædam Simonis Acta, quibus isthæc omnia perscripta extarent, quæ hic transitione subnotat, sed non satis declarat: gratiamque maximam iniisset illa producendo, si modo ejus generis erant, quibus certa fides adhiberi posset: Menæa etiam ipsa miraculorum meminerunt una aut altera strophe, nihil tamen explicatus tradendo, sed quod communi ratione cadere in apostolos possit, quos liquet miraculorum dono magnifice a Christo donatos esse. Nicetas autem peculiaria quædam indicat, aversa alio flumina, ac paludes arefactas, quæ nulla nobis prodere videntur monumenta; etsi affinia quædam habeat Gregorii Neocæsariensis vita. Metaphrastes nihil nobis de alterutro apostolo protulit, nec Lipomanus ex illo repræsentare, aliquid potuit. Itinera, longasque peregrinationes Evangelii causa, atque illis animarum salutem, aspirante Dei gratia, iidem merito Græci celebrant, ex quibus unum aut alterum similarem modulum seu versiculum ad Vesperas, ex nostro Tiliano cod. exque editis, libet his ascribere.

Σίμων θαυμάσιος, τῶν ἀποστόλων τὸ καύχημα, ὡς βολὶς ἐξαστράπτουσα διῆλθε τὰ πέρατα ἐκπώμων ζόφον τῆς πολυθεΐας, σωτηριώδεσιν αὐτοῦ καὶ φωτοβόλοις θείοις διδάγμασι, καὶ πάντας κατεφώτισε μίαν δοξάζειν θεότητα ἐν τρισὶν ὑποστάσεσιν ἀδιαίρετον, ἄτμητον.

Σίμων ὁ θαυμάσιος διαδραμὼν εἰς τὰ πέρατα ὡς τροχὸς κυλιόμενος, πᾶσαν γῆν κατέφλεξεν εἰδωλομανοῦσαν, καὶ τῇ εὐσεβείᾳ πυρσεύσας, τηλαυγεῖς πυρσοὺς ἀνῆψε πιστοῖς πανένθεα· πάντας γὰρ κατεφώτισε, κ. τ. ἑ.

Σίμων ὁ θαυμάσιος ὁ παμφαὴς καὶ ὑπέρτιμος τῶν ἐθνῶν ὁ διδάσκαλος, σαγήνη ἡ ἔνθεος ἐκ τῆς ἀπωλείας τοῦ βύθου ζωγροῦσα, Θεολογίας ὑψηλῆς ὁ ἀληθέστατος κήρυξ, ἅπαντας Χριστοῦ πρὸς τὴν ἐπίγνωσιν, νῦν δεξιῶς εἱστιᾶτο, τὰ αὐτοῦ κατορθώματα προτιθεὶς πανδαισίαν τερπνήν.

Simon admirabilis, apostolorum gloria, tanquam bolis (id est jaculum) *effulgurans, orbis fines pervasit, impietatis caliginem effugans salutaribus lucisque radiis micantibus doctrinis suis; cunctosque illuminavit, ut unam Deitatem in tribus personis indivisam, indissectam laudent ac sentiant.*

Simon admirabilis, in orbis discurrens fines velut rota volvens, terram omnem simulacrorum cultu insanientem incendit, sublataque pietati face, proeul micantes fidelibus ignes divina prorsus opera accendit. Cunctos namque illuminavit, etc.

Simon admirabilis, splendidissimus præque venerabilis gentium doctor, divinum everriculum, e perditionis profundo cunctos ad Christi capiens fidem, sublimis theologiæ veracissimus præco, laute nunc epulis excepit; qui virtutes suas, resque magnificas læto fruendas convivio apponat.

Edita paulo vitiosiora. Synaxarium nostrum levi sublato mendo, quod initio suffixi, ipsum grave, nonnullisque ab editis diversum, quod præcipue attinet ad commentum illud de sponso nuptiarum in Cana, qui esset ipse Nathanael, sicque Dominum secutus sit: quod proinde nuperæ admodum fidei sit ac leve. Sic ergo habet. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ. Οὗτος ὁ ἀπόστολος εἷς τῶν ο' ὢν (τῶν ιβ') καὶ τοῖς ἀποστόλαις ἐν τῷ ὑπερῴῳ συνὼν, ὅτε πυρίνων εἴδει γλωσσῶν τὸ ἅγιον Πνεῦμα ἐπεφοίτησεν, καὶ τούτου πλησθεὶς, καὶ τὴν γῆν σχεδὸν ἅπασαν διαδραμὼν, πᾶσαν κατέφλεξε τῆς πολυθεΐας ἀπάτην. Μαυριτανίαν γὰρ καὶ τὴν Ἀφρῶν χώραν διαδραμὼν, ὕστερον ἐν Βριτανν[illegible] γενόμενος, καὶ πολλοὺς διδάξας καὶ φωτίσας, σταυρῷ ὑπὸ τῶν ἀπίστων προσπήγνυται, καὶ τὸ σῶμα αὐτοῦ ἐκεῖ θάπτεται. Οὗτός ἐστι Σίμων ὁ Ναθαναὴλ, ὃς ζήλῳ διάπυρος ζηλῶν Θεῷ παντοκράτορι, κλῆσιν τὸν τρόπον ἐκτήσατο. *Certamen sancti Simonis Zelotis apostoli. Hic apostolus cum esset unus ex duodecim et cum apostolis in cœnaculo versaretur quando igneorum linguarum specie Spiritus advenit, illoque plenus, ac omni fere peragrato terrarum orbe, impietatis deorumque superstitionis errorem succendit. Mauritania enim et Africa peragratis, cum postea in Britanniam venisset, multosque docuisset ac illuminasset, ab infidelibus crucifigitur, ejusque corpus ibi sepelitur. Hic Simon Nathanael est, qui nempe zelo accensus, Deo omnipotenti zelans, mores ipsos atque indolem, appellationem nactus est.* Basilianum Sirleti Menologium, nec ipsum penitus a Cana purum, etsi nuptiarum aut sponsi non meminit. *Eodem die sancti apostoli Nathanaelis, qui fuit Simon Zelotes. Hic fuit ex Cana Galilææ, ubi Christus Dominus invitatus ad nuptias aquam in vinum convertit.*

Digitized by Google

ἱλεθροφόρου ἀνακόπτων φοράς, καὶ τοῖς καθήκουσι χώροις ἐπιέναι τῆς διαβάσεως ἐν ὀνόματι παραγγέλλων Χριστοῦ· τὰ δὲ τῷ αὐτῷ ὀνόματι ξηραίνων, ὡς τὰ πρὶν ἄβατα βάσιμα τοῖς προσοίκοις καθεστάναι· ἐῶ ταῦτα, καὶ ὅσα ἄλλα κατὰ τῶν στοιχείων ὁ θαυμασιώτατος ἐπιδεικνύμενος· καὶ ὅσα πρὸς εὐεργεσίαν τῶν ἀνθρώπων τερατουργῶν, καὶ τούτοις χώρας ὅλας καὶ πόλεις πρὸς τὴν ὑπερφυᾶ τοῦ Ἰησοῦ διδαχὴν ἐξιστῶν, τῇ πίστει κατασφραγίζει, καὶ τῆς κακῆς συνηθείας καὶ πλάνης καὶ δεισιδαιμονίας ἀφιστῶν, διὰ τοῦ Χριστοῦ προσοικειοῖ τῷ Θεῷ· καὶ νῦν μὲν τοῖς προκατηχημένοις τὸν λόγον, νῦν δὲ τοῖς ἀνηκόοις ἐπιδημεῖ· πάλιν ἠπείρου μακρᾶς, πάλιν μακροτέραν κατατολμᾷ πελαγῶν· αὖθις ἀγωνιᾷ, σφαδάζει καὶ τρύχεται, ἔθνεσι δεινοτάτοις καὶ σκληροτάτοις περιτυχών· αὖθις δὲ χαίρει καὶ ἀγαλλιᾶται καὶ ἥδεται, εἰς γαλήνην τὸν χειμῶνα μεταβεβλημένον ὁρῶν, καὶ τὴν ἀγριότητα καὶ ἀπιστίαν εἰς ἡμερότητά τε καὶ πίστιν μεταποιουμένην.

Ἔστι μὲν ὅτε καθ' ἕνα φωτίζει τοὺς παρατυγχάνοντας· ἔστι δ' ὅτε καὶ πλείοσι κατὰ ταὐτὸν ἀνδράσι καὶ γυναιξὶ, πλουσίοις καὶ πένησιν, ἄρχουσί τε καὶ ἰδιώταις νομοθετῶν, κοινὸς πάντων διδάσκαλος, ποιμήν τε καὶ σωτὴρ ἀγαθὸς, κατὰ τὴν ὁμοιότητα δείκνυται Χριστοῦ. Τοιοῦτος ὁ τοῦ ἀποστόλου βίος καὶ τρόπος· καὶ ταύτην εἶναι βραχεῖαν ὑπόμνησιν τῶν πολυχρονίων αὐτοῦ πόνων καὶ κικροτάτων περιόδων

Ἐντεῦθεν πολλὴν μὲν ἤπειρον, πολλὴν δὲ παράλιον, καὶ νήσους δὲ οὐκ ὀλίγας τῷ κηρύγματι περιλαβών· Ἐκκλησίας τε πλείστας, ἱερέας τε καὶ ἀρχιερέας ἀφιερωσάμενος Κυρίῳ· καὶ ἤδη τὸ ἔργον τῆς ἱερουργίας τοῦ λόγου περαινόμενος, καὶ αὐτῶν ἤδη τῶν στεφάνων πλησίον γινόμενος· διαπλεῖ μὲν τὸν ἑσπέριον Ὠκεανὸν, πρὸς ταῖς Βρετανικαῖς δὲ καλουμέναις καταίρει νήσοις· ἃς τῆς ὅλης οἰκουμένης τέλος φασίν· μηδὲ γὰρ ἐπέκεινα γῆν εἶναι, μήτ' οὖν τὸ πέλαγος μετ' αὐτὰς περατόν.

Ἐκεῖ Σίμων ὁ τρισμακαριώτατος γενόμενος, καὶ τὸν λόγον τῆς ἀληθείας εὐαγγελισάμενος· καὶ πολλοὺς μὲν πιστεύσαντας τῷ λόγῳ τῆς χάριτος σφραγισάμενος, πλείστας δὲ καὶ παρὰ τῶν ἀντιλεγόντων τῇ ἀληθείᾳ ἐπιβουλὰς ὑποσχών· τέλος ὑπὸ τῶν τῆς ἀσεβείας συναρπασθεὶς ὑπασπιστῶν, προσηλοῦται σταυρῷ· τέλος ἄξιον τῆς ἐπιθυμίας, καὶ τῶν ὑπὲρ τοῦ ἐσταυρωμένου πόνων, τὸν ὑπὲρ ἐκείνου δεξάμενος σταυρόν· καὶ τῇ ὁμοιότητι τοῦ πάθους δοξάζων αὐτὸν καὶ δοξαζόμενος ἐν αὐτῷ.

Τοίνυν ἐπὶ τοῦ σταυροῦ καθάπερ ἄλλος ἐσταυρωμένος Ἰησοῦς, μετὰ τὰς μακρὰς πρὸς τοὺς παρόντας τῶν ὄχλων ὁμιλίας, μετὰ τὰς συντεταμένας πρὸς Κύριον προσευχὰς, τὰς ὑπὲρ τῶν πιστῶν, τὰς ὑπὲρ τῶν ἀπίστων· τῶν μὲν, ὅπως ἐμμένοιεν ἀπαρακίνητοι τῇ ἀληθείᾳ, τῶν δὲ, ὅπως ἐπιστραφείεν πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν, τὸν ζῶντα, καὶ πιστεύσαντες σω-

quidem exitiosum inhibet impetum, jubetque in Christi nomine iis locis defluere, quibus oppido commodum esset; has vero eodem invocato nomine exsiccat, ac quæ prius impervia erant, loca, incolis præstat pervia. Mitto hæc, ac quæcunque alia vir admirandus adversus elementa designans, quæcunque etiam in hominum gratiam illisque demerendis prodigia patrans, atque his provincias integras urbesque divinioris Jesu doctrinæ stupore suspendens, fide consignat, atque a mala avocatos consuetudine, erroreque ac superstitione, per Christum Deo conciliat: ac nunc quidem ad eos se confert, qui jam doctrinæ auditum acceperant, nunc autem ad eos qui ejus nihil audierant. Rursus longa continentis, longiora æquoris atque pelagi pertentata spatia. Rursus animi anxius mœstusque et moræ impatiens est et discruciatur, in ferissimas gentes ac durissimas incidens; rursusque gaudet et exsultat ac jucundatur mutatam tempestatem in tranquillum videns; ferinosque et incredulos mores in lenitatem conversos et fidem.

Quandoque singulos qui adirent illuminabat, quandoque vero etiam pluribus simul viris ac mulieribus, divitibus ac pauperibus, magistratibus et privatis documenta tradens, universis communis magister, Pastorque ac servator bonus, Christi exemplo enitebat. Talis apostoli vita moresque: hicque brevis commentarius eorum laborum, quos longos annos desudavit, molestissimorumque illius itinerum.

Hinc multam continentem et maritima, insulasque non paucas prædicatione complexus pluribusque Ecclesiis et sacerdotibus ac episcopis Domino consecratis; jamque sacræ verbi functioni colophonem imponens, ac ipsas e propinquo coronas salutans, occiduum Oceanum navigat, atque ad insulas, quas Britannicas vocat. Has vero, universi orbis terrarum oras extremas esse ferunt; neque quod deinceps est, pelagus posse superari.

Illuc Simon beatissimus cum venisset, ac veritatis sermonem annuntiasset, multosque verbo gratiæ credentes consignasset: sed et ab iis, qui veritati contradicerent, multis appetitus insidiis esset, ad extremum corripientibus impietatis patronis, cruci affigitur; dignum scilicet cupiditatis finem, ac laborum crucifixi causa susceptorum, illius gratia reportans repositam crucem; passionisque similitudine tum ipsum clarificans, tum in ipso claritatem nactus et gloriam.

Igitur in crucem velut alter Jesus sublatus, post longa ad astantes turbas colloquia; post contentas ad Deum preces, in fidelium gratiam, et infidelium; priorum, ut immoti in veritate perseverarent; aliorum, ut ad Deum fortem vivum converterentur, ac fide salutem consequerentur [22]. Post hæc, inquam, a mundo quidem et a corpore penitus ex-

[22] Psal. XLI, 5.

Digitized by Google

cœlens, in se vero totus conversus, seque medio, A in eum, in quem per fidem semper commigrabat ; corpus quidem velut quasdam fæces ponit, qui carnis pridem indumento emortuus esset; velut autem levi penna ac cœlipeta spiritu in cœlos sublatus, videt sibi cœlestes apertas januas; videt et clare Filium sedentem a dextris paternæ majestatis : ipseque cunctis illis mentium sanctorumque stipatus agminibus, mystice ac qua nemo verbis explicet ratione, ad supremum omnium regem adit cum exsultatione; ipsumque facie ad faciem nactus, ac illi eximie laudis cantico defunctus, Jesuque dextera, corona gloriæ donatus : nullis denique verbis explicabili apparatu atque honore susceptus, supremis primisque coaptatur atque unitur Dei fiB liis.

Hoc tibi, divine Verbi ac eloquentissime discipule, hoc longorum laborum, quos magistri causa desudaveras, dignum præmium ; ut videlicet illi ipsi copulareris, ac sicut eum clarificaveras super terram, sic cum eo in cœlis clarificareris : ac sicut excellenti quadam ratione passionum socius extiteras, sic ejusdem cum eo regni particeps efficereris.

Salve sis igitur, Deo beatissime summeque venerabilis Simon, obedientiæ nomen (hoc enim ejus significatum) digne Deo laudada res digneque amabilis, atque angelis quidem æmulanda, tremenda C vero dæmonibus; ac fidelibus quidem venerabilis et amabilis, infidelibus vero molesta et aversabilis.

Salve sis, Christi æmulator ferventissime ac gnavissime, tanto Phines illo, Eliaque et Elisæo; ac prophetis eo nomine laudem habentibus, divino zelo superior, quanto Christi schola ejusque discipuli partibus, majorem Dei notitiam majoremque fidei fervorem adeptus, majoris quoque fervoris alacritatem studiumque boni præstandi gratia contulisti.

Gaude, quod tua ipsius opera honestata, quam in terra nactus fueras, patria ; illamque penitus supergressus, rationes tuas, velut cœlestis filius in cœlum transtuleris, Sioneque Dei Metropoli vera cognita patria, Sionites potius, quam Canites appellari merueris : qui nimirum sicut patrem patre, hæreditatemque hæreditate, atque fratres fratribus, sic et patriam patria, mortaliaque et fluxa, iis quæ stabilia sunt ac incorrupta, sapienti consilio commutaveris [21].

Salve sis, Patris quidem minister; dispensator vero mysteriorum Filii, ac Spiritus famule : sive, Patris quidem præco ac minister ; Filii vero, testis et apostole ; Spiritus denique discipule ac scriba;

[21] Joan. II, 1 ; Jos. XXIX, 28.

(Gr.) שמע *audivit*.

θῶσιν · μετὰ ταῦτα γοῦν, τοῦ κόσμου μὲν τέλεον καὶ τοῦ σώματος ἐξιστάμενος, πρὸς ἑαυτὸν δὲ συννενευκὼς ὅλος, καὶ δι' ἑαυτοῦ πρὸς τὸν, ἐν ᾧ διὰ πίστεως ἦν ἀεὶ μεθιστάμενος, ἀποδιϋλίζεται μὲν καθάπερ τοῦ σώματος, πάλαι τὸ σάρκινον φόρημα νενεκρωμένος · οἷα δὲ πτερῷ κούφῳ καὶ οὐρανοπόρῳ τῷ πνεύματι διαιρόμενος εἰς οὐρανοὺς, ὁρᾷ μὲν τὰς οὐρανίας ἀναπεπταμένας αὐτῷ πύλας · ὁρᾷ δὲ καθαρῶς τὸν Υἱὸν τοῦ Θεοῦ ἐκ δεξιῶν τῆς Πατρώας μεγαλωσύνης ἱδρυμένον · καὶ αὐτὸς ὑπὸ πάσης νοερᾶς καὶ ἁγίας δορυφορούμενος ταξιαρχίας, πρόσεισι μυστικῶς καὶ ἀῤῥήτως τῷ τῆς δόξης ἐν ἀγαλλιάσει Παμβασιλεῖ · καὶ αὐτῷ πρόσωπον πρὸς πρόσωπον ἐντετυχηκὼς καὶ ὑπερφυῶς αὐτὸν ὑμνηκώς · καὶ τῷ στεφάνῳ τῆς δικαιοσύνης παρὰ τῆς δεξιᾶς ἐστεφανωμένος τοῦ Ἰησοῦ · καὶ ἀῤῥήτου δεξιώσεως καὶ τιμῆς καταξιωθείς, τοῖς ἀνωτάτω καὶ πρώτοις τοῦ Θεοῦ συναρμόζεται καὶ συνενοῦται παισίν.

Τοῦτό σοι, θεσπέσιε τοῦ Λόγου καὶ λογιώτατε μαθητά · τοῦτο τῶν μακρῶν ὑπὲρ τοῦ διδασκάλου πόνων τὸ γέρας ἀντάξιον, αὐτῷ ἐκείνῳ συναφθῆναι · καὶ ὥσπερ ἐδόξασας αὐτὸν ἐπὶ τῆς γῆς, οὕτως ἐν οὐρανοῖς αὐτῷ συνδοξασθῆναι · καὶ ὥσπερ τῶν παθημάτων ὑπερβαλλόντως ἐκοινώνησας, οὕτω καὶ τῆς αὐτῆς αὐτῷ βασιλείας συμμετασχεῖν.

Χαῖρε τοίνυν, ὦ θεομακαριστότατε καὶ τιμιώτατε Σίμων, τὸ τῆς ὑπακοῆς ὄνομα · τοῦτο γὰρ ἡ σημασία · τὸ ἀξιεπαίνετον Θεῷ πρᾶγμα καὶ ἀξιοπόθητον · καὶ ἀγγέλοις μὲν ζηλωτὸν, δαίμοσι δὲ φρικτόν · καὶ πιστοῖς μὲν αἰδέσιμον καὶ ἐράσμιον, ἀπίστοις δὲ βαρύ τε καὶ ἀποτρόπαιον.

Χαῖρε, Χριστοῦ ζηλωτὰ θερμότατε καὶ δραστήριε· τοσούτῳ τῷ θείῳ ζήλῳ τὸν Φινεὲς ἐκεῖνον, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, καὶ τοὺς ἐπὶ τούτῳ μακαριζομένους ὑπερβάλλων τῶν προφητῶν, ὅσῳ τῷ μαθητεῦσαι Χριστῷ πλείονος θεογνωσίας καὶ θερμοτέρας τῆς πίστεως εὐμοιρηκὼς, θερμοτέραν καὶ τὴν ὑπὲρ τοῦ ἀγαθοῦ προθυμίαν κατενήνοχας καὶ σπουδήν.

Χαῖρε, ὅτι δι' ἑαυτοῦ σεμνύνας τὴν πατρίδα τὴν ἐπὶ γῆς, τῆς μὲν τέλεον ὑπερανέστης, τὸν οὐρανὸν δὲ, ὡς οὐράνιος ὤκησας παῖς · καὶ Σιὼν, Θεοῦ τὴν D μητρόπολιν, πατρίδα ἀληθῆ ἐγνωκὼς, Σιωνίτης μᾶλλον ἢ Κανανίτης ἀξίως προσηγόρευσαι · ὥσπερ πατέρα μὲν πατρὸς, κλῆρον δὲ κλήρου, ἀδελφοὺς δὲ ἀδελφῶν, οὕτω καὶ πατρίδα τῆς πατρίδος, τὰ ἐπίκηρα καὶ λυόμενα τῶν ἑστώτων καὶ ἀκηράτων ἐχεφρόνως ἀμειψάμενος.

Χαῖρε, τοῦ Πατρὸς μὲν ὑπηρέτα, οἰκονόμε δὲ μυστηρίων τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύματος λειτουργέ · ἢ, τοῦ μὲν κήρυξ καὶ διάκονε · τοῦ δὲ μάρτυς καὶ ἀπόστολε · τοῦ δὲ μύστα καὶ γραμματεῦ · τῆς μιᾶς

Digitized by Google

Θεότητος ὁσιαστά· τῶν τριῶν ὑποστάσεων μυστολέκτα καὶ θεωρητά.

Χαῖρε καὶ κατατέρπου, ὅτι συμβασιλεύσεις εἰς αἰῶνας Χριστῷ, καὶ ἐπὶ θρόνου δόξης σὺν αὐτῷ καθιῇ, τιμῆς ἀφάτου πληρούμενος καὶ λαμπρότητος· ἀλλὰ μηδὲ τῆς ἡμῶν βραχύτητος ἐπιλέλησο· μέμνησο δὲ τῆς ὀλίγης ταύτης, ὦ τρισμακαριώτατε, προσλαλιᾶς, καὶ ὡς τοῦ ὑπεραγάθου Θεοῦ μιμητὴς, πλουσίᾳ χειρὶ τῆς προθέσεως ἀντάμειψαι· καὶ τῇ εὐθείᾳ τοῦ Ὑψίστου συμβίβασον ὁδῷ· καὶ ταῖς ἱκετηρίαις σου, κατεύθυνον ἐν αὐτῇ, καὶ ταῖς ἐπισκιάσεσι κατάρτισαι κατ' αὐτὴν, καὶ τελείοις Θεοῦ θελήμασι, καὶ ἀγαθοῖς ἐνευδοκιμηκότας πρόσδεξαι ἡμᾶς ἐπὶ τέλους, θαυμάσιε Ζηλωτά! εἰς τὰς μακαρίας τοῦ Πατρὸς ἐν ἀγαλλιάσει μονάς· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A unius deitatis laudator; trium personarum sacervates ac spectator.

Quam pulcherrimæ tuæ, martyr, excellentiæ! Quam præclara tua certamina, o celeberrima, et confessio! Quam multa miracula infinitaque divina prodigia, quibus te clarificat in sæcula, quem clarificasti, certamine in membris tuis perfuncta!

Amans decertantium claritatem, casta matrona, illorum zelum es imitata; unde gravissimos sustinuisti labores, omnemque divina gratia levas laborem, o clarissima! nostris ex animabus et corporibus, qui tua certamina ac præstantes dotes colimus.

Splendidius sole palam fulsisti, o inclyta! tuo peracto certamine, pluriumque miraculorum radiis omnium collustras mentes, qui ad divinum tuam urnam divinos scaturientem latices, magni nominis martyr Anastasia, fide accedunt.

Gloria sanctæ idiomelon.

Resurrectionis donum accepisti, Anastasia laude clarissima, victrix coronata in stadio. Dæmonum enim cœtum profligasti et pelago mersisti, triumphatrix martyr, quæ digne admirationi habenda sis.

His similia toto Canone, nec usquam reliquiarum mentio, nisi quod ita tertio illo versu de urna

dicitur; quæ sit forsitan illius Anastasiæ Sirmiensis, cujus sint existimata miracula, posteaquam in eam ecclesiam illata sunt illius pignora, cum et ante, Anastasiæ Romanæ invocatione, locus miraculis clarus esset, nec Anastasia Sirmiensis (quamvis confusis utriusque rebus) illius memoriam potuerit obscurare. Certe placet quod Synaxarii auctor, pura Anastasiæ Romanæ Acta retulerit, nec quidquam eorum quæ spectant ad Sirmiensem addiderit. Quare libet hic referre, ex quibus Latina ipsa emendari possint : Ἡ ἁγία καὶ γενναιοτάτη μάρτυς Ἀναστασία ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασι-
B λέως ἐν τῇ Ῥωμαίων πόλει· Πραιτεξάτου τινὸς Ἕλληνος οὖσα θυγάτηρ, μητρὸς δὲ Φαύστης· ὑφ' ἧς προσαχθεῖσα Χρυσογόνῳ ἀνδρὶ θεοπνεύστῳ καὶ εὐσεβεῖ, τὰ ἱερὰ γράμματα ἐπαιδεύθη, τὴν δὲ εἰς Χριστὸν πίστιν παρὰ τῆς μητρὸς ἔμαθε, καὶ συνεζεύχθη ἀνδρὶ Ἕλληνι πρὸς κοινωνίαν γάμου, Πουπλίῳ ὀνόματι· καὶ διὰ τὴν ἀπιστίαν αὐτοῦ ἀστόργως τὴν πρὸς αὐτὸν ὁμιλίαν ἔφερε, νοσεῖν προφασιζομένη, καὶ μὴ καταδεχομένη συνέρχεσθαι αὐτῷ εἰς συνάφειαν· μετρίαν δὲ καὶ πενιχρὰν ἐνδυομένη στολὴν, προσωμίλει ἀεὶ γυναιξὶ δεομέναις, καὶ λαθραίως τοὺς διὰ Χριστὸν ἐναθλοῦντας ἐθεράπευεν, ἐν ταῖς φυλακαῖς ἐν αἷς ἦσαν εἰσιοῦσα, καὶ τῶν μολυσμῶν ἀπολαύουσα, καὶ ἐλαίῳ ἐπαλείφουσα, καὶ τοὺς ἰχῶρας αὐτῶν ἀπομάττουσα, καὶ τροφὰς ἐπιτηδείας τούτοις παρέχουσα, μιᾶς μόνης θεραπαινίδος ἐπομένης αὐτῇ. Ἐπὶ τούτοις πρῶτον μὲν ὑπὸ τοῦ ἀνδρὸς ἐφυβρίσθη, ἐπιγνόντος τὰ κατ' αὐτήν. Ἐπεὶ δὲ ἐκεῖνος διαπονηρίᾳ κλύδωνι γέγονεν ὑποβρύχιος, ἀδείας
C αὐτὴ λαβομένη, πάντα τὰ προσόντα αὐτῇ διένειμε τοῖς πτωχοῖς. Εἶτα ἀδεέστερον τοὺς ὑπὲρ Χριστοῦ ἀθλοῦντας ἐθεράπευε, καὶ τελειωθέντας συνεκόμιζε καὶ παρεδίδου τῇ ὁσίᾳ ταφῇ. Καὶ πολλοὺς πρὸς τὸ μαρτύριον ὑπαλείψασα, καὶ διαφόροις ἠγεμόσιν ἐξετασθεῖσα, καὶ ἐν θαλάσσῃ μεθ' ἑτέρων γυναικῶν ἀπορριφεῖσα, τελευταῖον πάλοις προσδεθεῖσα καὶ πυρὶ βληθεῖσα, τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῆς τῷ ὄντι πλησίον ἐν τοῖς Δομνίνου ἐμβόλοις. *Sancta strenuissimaque Anastasia fuit Diocletiano imperatore in urbe Roma, Prætextati cujusdam hominis gentilis filia, matris vero Faustæ : a qua oblata Chrysogono viro divino ac religioso, sacras litteras edocta est : Christianam vero fidem a matre didicit, viroque gentili Publio nomine in nuptiarum societatem juncta est. Quodque ille infidelis erat, non libens cum illo consuetudinem habebat, ac commisceri cum eo respuebat; modestaque et pauperculæ*
D *induta stola, cum egenis mulieribus semper versabatur, atque eos qui propter Christum certabant, propense fovebat, ingressa in carceres, ubi detinebantur, lavansque eorum sordes et oleo inungens, illorumque saniem extergens, ac cibos convenientes præbens, una duntaxat ancilla comite. Inter hæc, primum a viro suo, ubi res ejus rescivisset, graves injurias passa est. Quod vero ille maris fluctu absorptus est, nacta licentiam Anastasia, sua omnia distribuit pauperibus, tumque liberius Christi confessores fovebat, et qui consummati essent, efferebat ac justæ sepulturæ tradebat. Cumque multos ad martyrium animasset, atque a diversis præsidibus examinata, in mare cum aliis mulieribus projecta fuisset, ad extremum palis alligata et in iguem conjecta, martyrii coronam suscepit. Agitur ejus collecta in ejus martyrio, quod est prope in Domini porticu.* Pater Goar in Theoph. edidit Δομνίκου. *Ad Domnici porticum*, quod mendo non caret. Quo l *rostra* vertit Gentianus Hervetus in Marciani Actis, non ex usu est illius et sequacis

Digitized by Google

φάναι θεία Γραφή, καθάπερ τινὰ σκοπὸν ἀκριβῆ ταύτην τῷ λόγῳ προτιθεῖσα, πῇ μὲν ἀσυμφανῶς καὶ συμβολικῶς, πῇ δὲ ἐναργῶς καὶ λαμπροφανῶς, τὴν μεγαλοπρέπειαν τῆσδε τῆς πόλεως ὑμνεῖ, καὶ τὴν ἐν οὐρανοῖς ἀποκεκρυμμένην αὐτῆς διηγεῖται δόξαν.

Εἰ μὲν οὖν τοσαύτη τις καὶ ἡμῖν λόγου χάρις καὶ πνεύματος δύναμις ὑπῆν, ὥστε κατὰ τοὺς ἱεροὺς θεολόγους καὶ ἡμᾶς πρὸς τοσοῦτον ὑποθέσεως ὕψος ἀποχρώντως ἔχειν ἀτενίσαι, εὐλογώτατον ἂν ἴσως ἦν καὶ λυσιτελέστατον ἁπάντων, τὸ τοῦ νοὸς ὄμμα πρὸς μόνην ἐκείνην τὴν ὑπερφυεστάτην ἐπερεισαμένους αἴγλην, πρὸς αὐτὴν καὶ τὸ ῥεῦμα τοῦ λόγου κατευθῦναι. Ἐπεὶ δὲ τοσοῦτον ἡμῖν ταυτησὶ τῆς δόξης ἀπολείπεσθαι, ὅσῳ καὶ τὸν ὁρώμενον τοῦτον ἥλιον ὅλον ὀφθαλμῷ δύνασθαι περιλαβεῖν· τὸν μὲν καθόλου τῆς ἐπουρανίου πόλεως ἔπαινον, ὡς ἀνέφικτον, τό γε παρὸν παρῶμεν, καὶ εὐλαβηθῶμεν ἐκ προσώπου αὐτῆς· ἓν δὲ μέρος αὐτῆς τὸ κάλλιστον καὶ τερπνότατον, φημὶ δὴ τὴν ὑπέρλαμπρον Ἀναστασίαν, κατὰ νοῦν λαβόντες, καὶ τῆς γενναιοτάτης μακαρίσαντες ὑπομονῆς καὶ μαρτυρίας· καὶ δεδοξασμένα περὶ αὐτῆς λελαληκότες, περὶ τῆς οὐρανίου πόλεως ἐκείνης εἰρηκότες ἂν εἴημεν, τῷ πᾶσαν ὡς ἐν ἀκηλιδώτῳ ταύτῃ κατόπτρῳ θεωρεῖσθαι, καὶ αὐτὴν ὄντως πόλιν Θεοῦ καθεστηκέναι.

Διττὰς δὲ ἡμῖν Ἀναστασίας (71) οἶδεν ὁ λόγος· περιφανεῖς μέν, καὶ ἐκ περιφανῶν κατὰ σάρκα τυγχανούσας· περιφανεστέρας δὲ πολλῷ μᾶλλον κατὰ τὴν εἰς Χριστὸν ὁμολογίαν· καὶ ἄμφω μὲν ἐκ τῆς πρεσβυτέρας Ῥώμης ὡρμημένας· ἄμφω δὲ ταύτην, τῆς ἀκαταλύτου τῶν ἁγίων πόλεως ἀντικαταλλαξάσας· ἀλλ' ἡ μὲν ἀνδρὶ πρότερον οὐκ εὐσεβεῖ, πρὸς βραχὺν ἀφθόρως συζυγεῖσα χρόνον· εἶτα θανάτῳ τῆς αὐτοῦ κακοτρόπου γνώμης ἐλευθερωθεῖσα, ἐν χηρείᾳ σώφρονι, καὶ πάσῃ δικαιοσύνῃ καὶ ὁσιότητι ζῶσα διετέλει. Ἡ δὲ παιδιόθεν ἀποδεδομένη παρθενῶνι, καὶ ψυχὴν ἅμα σώματι καθιερουμένη τῷ Κυρίῳ, ἀμίαντον ἄχρι τέλους αὐτῷ τὴν ἱερὰν παρθενίαν διετήρη-

A Scriptura, velut certum quemdam scopum ac argumentum sibi eam orationis proponens, modo obscure et symbolice, modo autem clare ac splendide, hujusce civitatis laudat magnificentiam, ejusque in cœlis occultam enarrat gloriam.

Siquidem igitur nobis etiam tanta esset sermonis gratia ac spiritus vis, ut nos quoque haud secus ac sacri theologi, ad tantam argumenti celsitatem, quantum satis sit, possemus intendere, rationabilissimum forsitan esset omniumque utilissimum in solo illo supra quam eximio fulgore fixo mentis oculo, in eumdem ipsum orationis fluxum dirigere. Quandoquidem autem tantum ab ejus claritate deficimus, quantum abest ut et solem hunc aspectabi- B lem totum oculo comprehendere possimus ; cœlestis illius civitatis laudem universim, ut quam assequi non liceat, impræsentiarum quidem omittamus, ac revereamur a facie ejus ; unam vero illius partem pulcherrimam ac lepidissimam (eximie scilicet splendidam Anastasiam) animo assumentes, fortissimæque patientiæ ac martyrii virtute beatam prædicantes, omnis illius cœlestis civitatis laudes videamur prosecuti esse, quod tota hæc velut in purissimo speculo mea inspiciatur, ipsaque vere civitas Dei exsistat.

Duas porro novimus Anastasias, ambas illustres, atque ad carnem quod attinet, illustri stemmate satas, confessione autem, quæ est in Christo, longe illustriores ; ortasque ambas seniore Roma, ac quæ C ambæ, immortali sanctorum civitate hanc commutarint. Verum altera quidem ad breve tempus viro improbo incorrupte copulata, tumque mortis in cursu ab ejus maligna mente liberata, castæ viduitatis studiis, omnique justitia et sanctitate instituta vita, perseveravit. Altera vero, a puero virginum cœtui addicta, animoque simul ac corpore Christo consecrata, impollutam in finem usque virginitatem illi conservavit. Ac quidem illa, a majoribus

ætatis. Locum hunc P. Goar, ante allatum Sirmio corpus sanctæ Anastasiæ vocatum fuisse ait Ἀναστάσεως, *quod Gregor. in eo sacra fidei dogmata in Arianos exponens, veram doctrinam e veterno excitaverit; vel quod ibi mulier prægnans ex alta porticu in terram lapsa et contrita, vitam receperit.* Novi hæc etiam ab aliis dicta, sed nulla firma veritate. D Ante enim Gregorium Ἀναστασία erat, nec aliter ipse, aut alii antiquiores ecclesiam illam, seu martyrium vocant, quod hinc tamen, auctore eodem Gregorio, quasi omen et oraculum habuerit suscitandæ in eo fidei; idemque dicatur, suscitandæ illius mulieris, si vera sit illa historia, quam non moror. Certe differunt hæc toto cœlo, mirorque sic confundi : ut et quod doctus Billius eleganque interpr. istud Greg. ἐν τῷ συντακτηρίῳ, Χαίροις, Ἀναστασία μοι τῆς εὐσεβείας ἐπώνυμε. *Vale, Anastasia, nomen a pietate habens,* exponit, *templum resurrectionis*, sive magis ex Nicetæ Comment. ita perstringit : *Hoc templum Constantinopoli construxit Gregorius, eique Anastasiæ, id est Resurrectionis, nomen indidit.* Falsa omnia. Invenit Gregorius ædiculam illam Anastasiæ ab Arianis spretam, cœpitque in ea orthodoxos congregare : nec nomen ei indidit, sed quod erat, Ἀναστασία, nomen

reliquit ; quod nusquam *Resurrectio*, id est Ἀνάστασις (id enim celebre duntaxat Jerosolymis martyrium a Constantino in loco Resurrectionis ac Dominico sepulcro ædificatum), sed Ἀναστασία seu Anastasiæ martyrium et ecclesia ac ædes, trito illo Græcorum usu, quo templa vocant eodem ipso nomine illorum, quibus illa dicata sunt. Hæcque hactenus de Anastasia vere φαρμακολυτρίᾳ, quasi quæ omne dæmonum maleficium solvat, omnemque languorem et morbum depellat, singularissimo illo sanitatum dono, quo aucta a Deo est, ejus præmio charitatis et fidei, qua sic confessoribus ministravit, non quæ veneficæ unquam nomine laboraverit, ut inficete Langus somniavit; ipseque heterodoxus nostratium simplicioribus imposuit : non sic Genebr. archiepiscopo Aquensi viro erudito, qui verum vocis sensum agnovit, et in Græcorum Fastis, seu eorum Calendario, ut vocant, expressit.

(71) Διττὰς δὲ ἡμῖν Ἀναστασίας. Sic Acta Metaphrastæa quæ hinc ducunt exordium : tres tamen, haud infelici conjectura, invenisse mihi visus sum, aliquamque Sirmiense a duabus Romanis hic recensitis, ut recens Fr. Maria Florent. in Martyr. Lucensi.

Digitized by Google

acceptam omnem substantiam (quæ sane perampla erat) necessitatibus sanctorum communicans, impensaque martyribus amoris vi illis quodammodo conglutinata, eorumque pretiosis linteis saniem extergens, vulneraque infundens ac exosculans; atque adhuc viventes, verbis fortibus roborans et ad immarcescibiles coronas egregie animans, defunctisque sanctissime justa persolvens, sic seipsam præclarum illis munus sepulcrale postea præbuit, per ignem holocausto oblata, ac in odorem suavitatis Deo computata, virgo autem, parentum affinumque, prædiorum ac pecuniarum ab ipso jam ætatis tertio anno relicta facultate atque copia, religiosæque cuidam domui ad vicesimum usque annum ex animo assidua; necnon sacræ sophiæ (hoc enim illi nomen sub cujus magisterio ac disciplina agebat), seu potius ipsius vere Dei sapientiæ opera; Patri adoptata, per multa graviaque pro Christo tormenta et lanienas, abrupto qui in carne est incolatu, ad desideratissima Dei tabernacula commigravit.

Hæc igitur magni illustrisque nominis Anastasia, spiritale intemeratumque convivium hodie convocans, velutque opimarum dapum varietatem sacra sua certamina victoriasque apponens, atque illis castissimos amatores suos accipiens, immensa eos adimplet lætitia, divinæque consortes exsultationis facit. Hæc nostrum et animum et sermonem ad illius passionum exsuperantiam fatiscentes excitans; animum quidem fide roborat; sermonem vero ad illius enarranda mirabilia erigit.

Primum quidem illud omnes rogo; ne quis scilicet comparando naturæ imbecillitatem cum immensa tormentorum vi, moleste animo habeat ac dubitationis cogitationes assumat; tanquam fieri non possit, ut vel robustissimum viri corpus, nedum muliebre ac juvenili valde ætate, tandiu tantis sicque violentis cruciatibus ac tormentis obniti potuerit. Non enim corporis robore, sed spiritus; nec firmitate naturæ, sed fidei fortitudine, victoriæ compotes martyres exstitere. Ipse enim inaspectabili ratione certaminis præses illis spiritu præsens, qui illo defunguntur, illorumque membris tanquam propriis utens, pro se laborantibus firmitatem animi præstat ac audaciam. Ipsumque adeo pariter decertans corpusculum, modo quidem intactum omnino tormentis facit; modo autem ubi tantisper pati permiserit, quam cito illud curat, integrumque ac sanum reddit; donec tandem faustum exitum finemque certantibus conferre ei placuerit. Id vero præstat, tum ut sibi gloriam, iisque qui tormentis excruciantur, sanctimoniam conciliet, tum ut et vulgo salutem afferat. Salutem, inquam, quæ ex fide est, nedum illis qui tunc temporis certaminum spectatores fuerint, sed et futuris generationibus provideat.

σεν. Καὶ ἡ μὲν, ὅλην αὐτῆς τὴν γονικὴν περιουσίαν (πολλὴ δέ τις ἦν) ταῖς τῶν ἁγίων χρείαις κοινωνοῦσα, καὶ στοργῇ φιλομάρτυρι τούτοις τρόπον τινὰ συμφυομένη· καὶ τοὺς ἰχῶρας αὐτῶν ὀδύναις ἐντίμοις καταμάσσουσα, καὶ τὰ τραύματα καταντλοῦσα καὶ καταφιλοῦσα· καὶ ζῶντας μὲν ἔτι, λόγοις στερροῖς ἐπιῤῥωννύουσα, καὶ πρὸς τοὺς ἀμαράντους παραθαῤῥύνουσα στεφάνους· ἀποιχομένους δὲ πανοσίως τὴν ὁσίαν ἐπιβάλλουσα, οὕτως ἑαυτὴν καλὸν ἐντάφιον (72) τούτοις ὕστερον παρέσχετο, διὰ πυρὸς ὁλοκαυτωθεῖσα, καὶ εἰς ὀσμὴν εὐωδίας λογισθεῖσα τῷ Θεῷ. Ἡ παρθένος δὲ, γονέων καὶ συγγενῶν, κτημάτων καὶ χρημάτων ἐκ τριετοῦς τῆς ἡλικίας χρόνου τοὺς περιουσιασμοὺς λιποῦσα, καὶ σεμνείῳ τινὶ γνησίως ἄχρι τοῦ εἰκοσαετοῦς προσκαρτερήσασα· καὶ διὰ τῆς ἱερᾶς Σοφίας (οὕτω γὰρ ἡ διδάσκαλος ὠνόμαστο), μᾶλλον δὲ διὰ τῆς ὄντως Θεοῦ σοφίας υἱοθετηθεῖσα τῷ Πατρὶ, οὕτω διὰ πολλῶν καὶ δεινῶν τῶν ὑπὲρ Χριστοῦ βασάνων καὶ τομῶν, τῆς ἐν σαρκὶ μὲν ἐῤῥάγη παροικίας, πρὸς τὰ ἀγαπητὰ δὲ Θεοῦ σκηνώματα μετέστη.

Αὕτη τοίνυν ἡ μεγαλώνυμος, ἡ περιώνυμος Ἀναστασία, ἡ πνευματικὴν καὶ ἀκήρατον ἑστιατορίαν σήμερον συγκαλουμένη, καὶ οἷα δὴ πολυτελῶν ἐδεσμάτων ποικιλίαν, τοὺς ἱεροὺς ἄθλους προτιθεῖσα, καὶ τούτοις τοὺς πανάγνους ταύτης ἐραστὰς δεξιουμένη, μυρίας ἀναπιμπλᾷ τῆς εὐφροσύνης, καὶ ἀγαλλιάσεως θείας μετόχους ἀποδείκνυσιν. Αὕτη καὶ νοῦν τὸν ἡμέτερον, καὶ λόγον πρὸς τὴν ὑπερβολὴν τῶν αὐτῆς παθημάτων ἐκλυόμενον διιστῶσα, ῥώννυσι μὲν ἐν πίστει τὸν νοῦν· πρὸς ἐξήγησιν δὲ τῶν αὐτῆς θαυμασίων τὸν λόγον ἐξεγείρει.

Πρῶτον μὲν οὖν ἐκεῖνο πάντας ἀξιῶ, μηδένα τὸ σαθρὸν τῆς φύσεως πρὸς τὴν ὑπερβολὴν τῶν κολάσεων παρατιθέμενον, ἀποκναίεσθαι τὸν νοῦν, καὶ διψυχίας κάμνειν λογισμοῖς, ὡς ἀμήχανον ὂν καὶ γεννικώτατον ἀνδρὸς σῶμα, μὴ ὅτι γε δὴ θῆλυ καὶ κομιδῇ νεαρὸν, πρὸς τηλικαύτην στρεβλωτηρίων βίαν ἐπὶ τοσοῦτον ἀντισχεῖν· οὐ γὰρ ἰσχύει σώματος, ἀλλὰ πνεύματος· οὐδὲ φύσεως στερρότητι, πίστεως δὲ κραταιότητι μετὰ μαρτύρων ἡ νίκη καθορᾶται. Αὐτὸς γὰρ ἀοράτως ὁ ἀθλοθέτης μετὰ τῶν ἀθλούντων γινόμενος τῷ πνεύματι, καὶ τοῖς αὐτῶν μέλεσιν ὡς οἰκείοις κεχρημένος, σταθεράν τε καὶ μεγαλότολμον τὴν τῶν ὑπὲρ αὐτοῦ πονουμένων ἐργάζεται ψυχήν. Καὶ τὸ συναθλοῦν δὲ σωμάτιον, ποτὲ μὲν ἀπρόσιτον πάντη ταῖς τιμωρίαις ἀποδείκνυσι· ποτὲ δὲ μικρὰ πάσχειν ἐνδοὺς, ὡς τάχιστα τοῦτο θεραπεύει τε καὶ καταρτίζει, μέχρις οὗ δεξιὸν πέρας τοῖς ἀγωνιζομένοις ἐπιβαλεῖν ἐκεῖνος δοκιμάσειεν. Τὸ δὲ ποιεῖ, ὁμοῦ μὲν ἑαυτῷ δόξαν, καὶ τοῖς αἰκιζομένοις ἁγιασμὸν περιποιούμενος· ὁμοῦ δὲ καὶ σωτηρίαν πολλοῖς· σωτηρίαν δὲ, τὴν ἐκ πίστεως, οὐ τοῖς τότε μόνον τοὺς ἀγῶνας ὁρῶσιν, ἀλλὰ καὶ ταῖς ἐπιούσαις προμηθούμενος γενεαῖς.

(72) *Καλὸν ἐντάφιον.* Sumptum est Gregorii Machabæicis, ubi ita Bill.: *Pulchri cujusdam funebris loco scipsam liberis obtulit*, mater scilicet; ipsa prægressos liberos martyrii palæstra secuta. Sunt hæc de Anastasia vidua accurata ac pura, ipsa eadem quæ in Menæis et in Actis Metaphr.

Digitized by Google

Ἐπειδὴ τοίνυν ταῦθ' οὕτως ἔχειν καλῶς ὑπείληπται, φέρε δὴ καὶ ἡμεῖς, κυβερνήτην μὲν ἐπικαλεσάμενοι τὸν ἀγωνοθέτην Χριστόν· σὺν ᾧ πνεύματι τῷ Παρακλήτῳ κεχρημένοι, τῷ πελάγει δὴ τούτῳ, τῶν τῆς μεγάλης Ἀναστασίας ἄθλων τὸν λόγον ἐπαφῶμεν· τοῦτό γε δι' εὐχῆς ἔχοντες μόνον, ὥστε κατευθυνθῆναι μὲν ἡμῖν τὸ σκάφος τοῦ νοῦ πρὸς τὸν τῆς ἀληθείας ἀκινδύνως ὅρμον· τὸν παντοδαπὸν δὲ τῶν ἀγωγίμων, εἴτ' οὖν ἐπαίνων φόρτον, οἷα δὴ κεχαρισμένα δῶρα καὶ φίλα, τῇ παρθενομάρτυρι προσενεγκεῖν.

Ἄλλοις μὲν οὖν πατρίδα τὴν βασιλίδα καὶ μεγαλόπολιν αὐχοῦσι Ῥώμην, καὶ γένους δὲ τῶν παρ' αὐτοῖς λαχοῦσι λαμπροῦ, ἔξεστιν ἴσως μεγαλοφρονεῖν, καί τι πλέον τῶν ἀγενεστέρων ἔχειν δοκεῖν· οἷς οὐδὲν οἴκοθεν ἔχουσιν εἰς εὐδοκίμησιν, ἐντεῦθεν εὔκλειά τις προσγίνεσθαι νομίζεται· τῇ δὲ οὐδὲν οἶμαι μέγα Ῥώμης πεφυκέναι βλαστόν. Οὐδὲν αὐτῇ τὸ ἐπίσημον, εἰ γενεᾶς οὖσα τυγχάνοι περιφανοῦς· τοὐναντίον μὲν οὖν, μέγα τῇ πόλει Ῥωμαίων, τὸ πολῖτιν αὐχεῖν Ἀναστασίαν. Ἐπίσημοι δὲ δι' αὐτὴν, οὐχ οἱ κατὰ σῶμα συγγενεῖς μόνον, πολλῷ δὲ πλέον οἱ διὰ πίστεως αὐτῇ προσοικειούμενοι. Πῶς οὖν πατρίδος ἢ γένους σεμνότητι σεμνύνεσθαι νομίζειν εἰκὸς, τὴν ἁπάσας τῶν πιστῶν γενεὰς δι' ὑπερβολὴν ἁγιότητος ἐξευγενίζουσαν; Οὐδεὶς ἔπαινος μάρτυσιν· οὐδὲ καθόλου τοῖς ἄνωθεν γεγεννημένοις, καὶ πρὸς οὐρανὸν τὸ πολίτευμα μεταθεμένοις, ἡ τῶν κάτω λαμπρότης συγγενῶν. Ὅθεν καὶ ἡμεῖς τὰ κάτω παραλιπόντες, ἐκ τῶν εἰκείων ἀνδραγαθημάτων τῇ μάρτυρι τοὺς τῶν ἐπαίνων ἀναδησώμεθα στεφάνους.

Ἡ μὲν οὖν ἐξ ἀρχῆς αὐτῆς βίωσις, εἴτ' οὖν ἀναστροφὴ, καλή τε καὶ δεξιά· καὶ οἵαν εἰκὸς ἀνατεθράφθαι, τὴν πρὸς τηλικαύτην ταμιευομένην μαρτυρίαν. Ἐγκράτειαν μὲν γὰρ ἡ πανάμωμος, οὐχ ὕπνου μόνον, οὐδὲ βρωμάτων καὶ πομάτων, ἀλλὰ καὶ θυμοῦ παντὸς καὶ ἐπιθυμίας ἀλόγου κατορθοῦσα· καὶ γλῶσσαν χαλινοῦτα, καὶ πᾶσαν αἴσθησιν, καὶ πᾶσαν ψυχῆς κίνησιν παιδαγωγοῦσα καὶ κατακοσμοῦσα· ἀενάῳ δὲ προσευχῇ καὶ μελέτῃ τῶν ἱερῶν σχολάζουσα Γραφῶν, νεκροῖ μὲν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, ζωοποιεῖται δὲ πνεύματι· τούτοις δὲ τῆς ἀρετῆς τοῖς ὅπλοις κατοχυρωθεῖσα· μᾶλλον δὲ Χριστὸν ὅλον διὰ τῶν ἀρετῶν, ὡς θώρακα δικαιοσύνης, ὡς περικεφαλαίαν σωτηρίου, ὡς μάχαιραν δίστομον καθοπλισθεῖσα· ἐπειδὴ πρὸς τελειοτέραν ἦκεν ἡλικίαν, πρὸς ἰσχυροτέραν πάλην τοῦ δράκοντος, τοῦ θάλασσαν μὲν, ὥσπερ ἐξάλειπτρον, κατὰ τὸν Ἰὼβ, ἡγησαμένου· εἰς περίπατον δὲ τὴν ἄβυσσον λογισαμένου· τοῦ σίδηρον μὲν, ἄχυρα· χαλκὸν δὲ, ὡς ξύλον σαθρὸν νομίζοντος. Κατὰ τούτου νεᾶνις ἀπαλὴ καὶ ἀπειρόγαμος, σφόδρα κατευμεγεθεῖν νεανιεύεται. Ὁ δὲ, ταῖς ἀπὸ τῶν λογισμῶν ἐκ νεότητος ἀκίσιν ἐναλλόμενος, καὶ ποικίλως ταῖς ἐπαναστάσεσι διὰ τῶν παθῶν ἐρράγεις· ἐπεὶ μὴ οἷός τε γέγονε τῆς κόρης καταστρα-

A Quandoquidem igitur hæc se recte habere visum est, age jam nos quoque certaminis præside Christo gubernatore invocato, secundoque Spiritu atque afflatu Paracleto usi, huic magnæ Anastasiæ certaminum pelago sermonem immittamus, unum hoc duntaxat in votis habentes, ut mentis nostræ scapha ad veritatis portum tuto dirigatur, et ut omnis generis mercium (laudum scilicet) vecturam (quippe grata munera placitaque) virgini atque martyri offeramus.

Reliquis quidem, qui urbem augustam magnamque Romam patriam glorientur, quique claro Romæ genere nati sint, liceat forsitan altum sapere, atque majus aliquid præ ignobili vulgo videri nactos esse : quibus nimirum cum a se nihil virtutis ad claritatem habeant, aliqua inde claritas videatur accedere; Anastasiæ vero, nihil magnum existimo Romæ germen fuisse. Nihil illi illustre, quod illustri claraque orta progenie ; secus vero magna hæc Romanæ civitatis præstantia, Anastasia gloriari cive. Clari vero ejus gratia, nedum corporis illi affinitate conjuncti, sed et longe magis, fidei merito cultuque ei necessarii. Quonam igitur modo, patriæ sive generis claritate honestari jure putanda sit, quæ sanctitatis excellentia cunctas præclare generationes nobilitet? Nullam martyribus laudem, nec prorsus illis quorum e cœlis nativitas est, ac qui suum municipatum in cœlum transtulerunt, terrenorum claritas cognatorum conferre censenda est. Quamobrem ipsi quoque illis omissis quæ terrena sunt, ex propriis facinoribus laudum coronas martyri contexamus.

Vitæ igitur a principio ratio, sive conversatio, proba atque ingenua fuit ; quali nimirum educari conveniebat, quæ ad tantum martyrii certamen servaretur. Continentiam enim prorsus immaculata, nedum a somno, ciboque et potu tantum, sed et ad omni ira adversaque rationi cupiditate implens, linguamque frenans, omnemque sensum, atque animi motum omnem castigans perornansque, jugi denique orationi sacrarumque Scripturarum meditationi vacans, membra quæ sunt super terram mortificat [87], vivificaturque spiritu : atque hisce virtutis armis communita : seu potius totum Christum virtutum cultu, velut loricam justitiæ [88], velut salutaris galeam, velut gladium ancipitem, arma nacta ; ubi jam ad perfectiorem ætatem perveneral, ad fortiorem draconis luctam (ejus scilicet, qui auctore Jobo, mare reputat ut vas unguentarium [89], abyssumque habet in deambulatorium ; atque ferrum paleas æstimat, æsque tanquam fragile lignum) adversus hunc tenera innuptaque puella vires experiri fortiterque conniti audet. Ille porro cogitationum a juventute aculeis irruens, varieque perturbationum insurgentibus motibus pulsans et congrediens, quod puellam ex-

[87] Coloss. III, 5. [88] Ephes. VI, 14. [89] Job XLI, 18.

Digitized by Google

pugnare nequiverat (quinimo, hacce pugna linguam ei ad divina verba expeditiorem contentioremque reddiderat, adversusque insanum simulacrorum cultum, etsi invitus, vehementius incitaverat) insania furit, uritur, rabie impletur, atque, ut ait Scriptura, *Ex ore ejus egrediebantur lampades accensæ, et proficiebantur areæ ignis* [90].

Deus sane in altissimis, hujus certaminis inspector, atque præmiorum victrici distributor, silens consistebat : omnes vero angeli, atque cœlorum omnes potestates, spectaculi aviditate prospicientes (vere enim merito aspectabile coactum illud theatrum erat) vix non anxiæ virginis causa erant, ne quid sinistri malique circa illam contingeret. Ac nec homines ab eo spectaculo aberant. Omnis enim maxima Roma : jam vero etiam indigenæ extraneique in ea versantes Christiani Græcique, ad sceleratum illud tribunal, inque illo præsidentem, confluebant. Nempe Probus hic erat, universarum rerum præses et judex. Horrendus quidam ac sollicitus pavor timorque omnes invaserat, Græcos quidem, ne forte puella prætoris spretis terroribus deosque despicata, mori potius quam Christum abnegare eligeret : ut inde certo argumento falsam esse illorum superstitionem liqueret. Ipsis vero etiam Christianis animus clam formidine anxius erat, pectusque occulte constrepebat ac collidebatur, nequando virgo blanditiis emollita, aut tormentorum vi fatigata, fractaque illi constantia, aliquid indignum Christo, illorumque spe moliretur.

Exuitur itaque astutissimus ille ad palæstram draco ; quin potius sibilans adversus castam columbam serpit. Grave enim illi ac deplorandum, quod omne sublime videns, Regemque se esse glorians omnium versantium in aquis ; nullique se similem dignatus exsistentium sub sole [91], nuda puella, sexumque fragilem (ut existimabat, circumdata, non amplius haberet. Ingreditur itaque ignote in theatrum draconis obtutu, leonisque adversus virginem fremitu ; invisibili quidem apparatu dæmonum stipantibus cuneis ; visibili vero, mortalium impiissimis confertus.

Confestim itaque delata ad Probi tribunal Anastasia, oblataque accusatio in hæc fere verba: *Puellam quamdam procul in angulo quodam contumeliosam cum paucis quibusdam sedentem, diis omnibus acerbe maledicere, sed et in ipsum Probum verborum procacia injuriam esse ; evertendumque imperatorem (Diocletianum nimirum universorum tunc imperium moderantem) evertendos et præsides clare vaticinantem ; ac Christum quemdam Regem exsistere, ac fore ut is brevi imperium in Christianos trasferat, asserere.* His itaque Probus auditis, effrenique statim

τηχῆσαι· μᾶλλον μὲν οὖν, πρὸς θεολογίαν αὐτῇ τούτοις τὴν γλῶσσαν εὐτονωτέραν ἀποφήνας, καὶ κατὰ τῆς εἰδωλομανίας σφοδρότερον, καὶ μὴ βουλόμενος, ἠρέθισεν, ἐκμαίνεται, καίεται, τῇ λύσσῃ καταπίμπραται. Καὶ, ὅ φησιν ἡ Γραφὴ, *Ἐκ τοῦ στόματος αὐτοῦ ἐξεπορεύοντο λαμπάδες καιόμεναι, καὶ διερρίπτοῦντο ἐσχάραι πυρός.*

Θεὸς μὲν οὖν ἐν ὑψίστοις, τῆς ἀγωνίας ταύτης καθήμενος ἔφορος, καὶ τῶν ἐπάθλων τῇ νικηφόρῳ καθίστατο βραβεύς. Ἄγγελοι δὲ πάντες, καὶ πᾶσαι τῶν οὐρανίων δυνάμεις, ἐπικεχυφυῖαι τῷ θεάματι· θέατρον γὰρ ὄντως ἀξιοθέατον συνεκροτεῖτο· μικροῦ δεῖν ἠγωνίων ὑπὲρ τῆς παρθένου, μή τι τῶν ἀπευκτῶν περὶ αὐτὴν συμβαίη. Ἀλλ' οὐδ' ἄνθρωποι τῆς θεωρίας ἐκείνης ἀπελείποντο· πᾶσα δὲ ἡ μεγίστη Ῥώμη· ἤδη δὲ καὶ τῶν ἐπιχωρίων καὶ ξένων οἱ ἐπιδημοῦντες Χριστιανοὶ καὶ Ἕλληνες, πρὸς τὸ παράνομον ἐκεῖνο βῆμα, καὶ τὸν ἐπ' αὐτοῦ προκαθήμενον, συνέῤῥεον. Πρόβος δὲ οὗτος ἦν, τῶν ὅλων πραγμάτων ἡγεμὼν καὶ δικαστής. Φρικτὴ δέ τις ἅπαντας εἶχεν ἀγωνία καὶ δέος· Ἕλληνας μὲν, μήπως ἡ νεᾶνις τοῦ δικαστικοῦ φόβου κατολιγωρήσασα, καὶ τοὺς θεοὺς ἐξουδενώσασα, θανεῖν μᾶλλον ἢ ἐξομόσασθαι βουληθείη τὸν Χριστόν· ὡς ἐντεῦθεν ἀπατηλῆς αὐτοῖς τῆς θρησκείας ἀπελεγχομένης· Χριστιανοῖς δὲ καὶ αὐτοῖς ἡ ψυχὴ λαθριδίως ἠγωνία, καὶ ἡ καρδία κρυφίως συνεπαταγεῖτο, μήπως καταμαλακισθεῖσα πρὸς τὰς κολακείας ἡ παρθένος, ἢ πρὸς τὰς αἰκίας ἀπηγορευκυῖα, ἀνάξιόν τι Χριστοῦ καὶ τῆς αὐτῶν ἐλπίδος καταπράξαιτο.

Ἀποδύεται τοίνυν ὁ παμμήχανος ἐκεῖνος πρὸς τὸ σκάμμα δράκων· μᾶλλον δὲ προσερπύζει συρίζων κατὰ τῆς ἀγνῆς περιστερᾶς. Δεινὸν γὰρ εἶναι καὶ σχέτλιον, εἰ πᾶν ὑψηλὸν ὁρῶν, βασιλεὺς δὲ πάντων τῶν ἐν τοῖς ὕδασιν αὐχῶν· οὐδενὶ δὲ τῶν ὑπὸ τὸν ἥλιον ἐμφερὴς καταξιῶν, μὴ πλέον ἔχοι κόρης γυμνῆς, καὶ σαθρὰν περικειμένης φύσιν, ὡς ὑπελάμβανεν. Εἴσεισι τοίνυν ἀγνώστως εἰς τὸ θέατρον δρακοντῶδες ὁρῶν, καὶ λεόντειον βρέμων κατὰ τῆς παρθένου· καὶ ἀοράτως μὲν ταῖς δαιμονίαις δορυφορούμενος στρατιαῖς, ὁρωμένως δὲ τοῖς τῶν ἀνθρώπων ἀσεβεστάτοις συγκροτούμενος.

Παραχρῆμα τοίνυν ἀνάγεται φάσις τῷ Πρόβῳ κατὰ τῆς Ἀναστασίας. Ἀνάγεται δὲ, *Ὡς κόρη τις ὑβριστρια Χριστιανὴ, ἐν ἐσχατιᾷ τινι σὺν ὀλίγαις ἄλλαις καθημένη, θεοῖς τε πᾶσι διαλοιδορεῖται πικρῶς· ἐνυβρίζει δὲ καὶ εἰς αὐτὸν τὸν Πρόβον· καὶ καταστροφὴν μὲν τοῦ βασιλέως (Διοκλητιανὸς δὲ τότε τῶν ὅλων διεῖπε τὴν ἀρχὴν), καταστροφὴν δὲ ἡγεμόνων λαμπρῶς καταμαντεύεται· καὶ Χριστὸν μέν τινα βασιλέα καθεστάναι· εἰς Χριστιανοὺς δὲ* (73) *τοῦτον μεταθήσειν μικρὸν ὅσον τὴν βασιλείαν διαβεβαιοῦ-*

[90] Job. XLI, 10. [91] Isa. XIV, 14.

(73) *Εἰς Χριστιανοὺς δέ.* Hæc sic pressa, de valerio transferendi μικρὸν ὅσον, *quam cito*, imperium in Christianos, gravia sunt, ut suadeant Diocletianea tempora, ipsa jam provecta : ut scnioris juniorisque Anastasiæ distinctio illorum forte solummodo sit, qui Anastasiam virginem arcessunt ad Valeriani tempora.

Digitized by Google

ται. Ταῦτ' οὖν ἀκηκοότα Πρόβον, ἀσχέτῳ μὲν ἀλῶ- A correptus ira, acerbo mandato puellam mox adduci
ναι παραυτίκα θυμῷ· πικρῷ δὲ προστάγματι τὴν jubet.
κόρην εὐθὺς ἄγεσθαι κελεῦσαι.

Αὐτίκα τοίνυν τὴν παρθενικὴν ἑστίαν, οἷς ἐπιτέ- Confestim igitur, quibus imperatum erat ad vir-
ταπτο, κατειληφότες, πέλυξί τε καὶ λαξευτηρίοις ginis ædes venientes, securibusque et asciis fores
τὰς θύρας καταῤῥάξαντές τε καὶ ἐπεισπεσόντες· perrumpentes ac irrumpentes, quod solam evoca-
ἐπειδὴ μόνην ἐξεκαλοῦντο τὴν Ἀναστασίαν· τὴν bant Anastasiam, deprecatur sacra Sophia tantisper
ἱερὰν Σοφίαν τούτους παραιτεῖσθαι μικρὸν ἐπι- subsistere, moxque exhibituram quam illi quærant.
σχεῖν, καὶ τὴν ζητουμένην εὐθέως παρασχεῖν. Κατα- Assumpta vero puella, atque in occulto ante altare
λαβομένην δὲ τῆς παιδὸς, καὶ ἐν ἀποκρύψῳ κατ- constituta, ejuscemodi ad illam verbis usa est :
έναντι τοῦ θυσιαστηρίου στᾶσαν, τοιοῖσδε πρὸς αὐ-
τὴν ῥήμασι κεχρῆσθαι·

Ἐγὼ μὲν, ὦ θυγατέρων ἐμοὶ καλλίστη καὶ πο- Ego quidem, o filiarum mihi pulcherrima ac de-
θειοτάτη, τῆς καλῆς ἀνατροφῆς, καὶ τῆς κατὰ sideratissima, probæ educationis ac Christiano ritu
Χριστὸν ἀγωγῆς τὴν ἐπιμέλειαν, ὡς οἷά τε ἦν, B institutionis curam quoad licuit per facultatem, in
εἰς σὴν ἐπεδειξάμην χάριν. Λοιπὸν εἰς μέτρον tui gratiam exhibui. Jam, quæ ad mensuram ætatis
ἡλικίας τοῦ πληρώματος καταντήσασα Χριστοῦ, evaseris plenitudinis Christi [93], vade gaudio ad ipsum.
ἄπιθι μετὰ χαρᾶς πρὸς αὐτόν. Αὐτῷ νυμφεύομαί Illi te hodie sacratius perfectiusque sponsam trado,
σε μυστικώτερον σήμερον καὶ τελειότερον, τὴν quæ ab infantia ei desponsata sis. Illi te nunc ambi-
ἐκ βρέφους αὐτῷ καθηρμοσμένην. Αὐτῷ σε νῦν tiosius offero ; in cœlestem illi comes thalamum as-
παραδίδωμι φιλοτιμότερον. Πρὸς τὸν οὐράνιον cendito.
τούτῳ συναναβαίνε νυμφῶνα.

Ἰδοὺ, ὦ φίλτατον ἐμοὶ τέκνον, ὁ νυμφίος πάρ- Ecce, filia mihi charissima, adest Sponsus secreto
εστιν ἀῤῥήτως καλῶν. Ὁ νυμφὼν εὐτρεπής· ὁ κα- vocans. Paratus thalamus est : Qui vocat verax est.
λῶν ἀψευδής. Νῦν ἡ βασιλὶς καὶ κυρία καὶ θεογεν- Nunc Regina Dominaque ac Dei puerpera spiritaliter
νήτρια, νοητῶς προπορευθεῖσα, πρὸς τὸν ἄνω ναὸν præiens, ad superum te Regis templum introducit.
συνεισάξει σε τοῦ βασιλέως. Νῦν ἀπόστολοι καὶ Nunc apostoli atque martyres exui conspicientes ad
μάρτυρες, πρὸς τὸ τοῦ μαρτυρίου στάδιον ἀπο- martyrii stadium, Domino pro te supplicant, spe-
δυομένην καθορῶντες, ὑπὲρ σοῦ τὸν Κύριον ἐκλι- C rantique fore ut de tua constantia exsultent. Nunc
παροῦσιν, καὶ ἐπὶ τῇ σῇ σταθερότητι προσδο- angeli properant, ascendentes supra te et descenden-
κῶσιν ἀγαλλιασθῆναι. Νῦν ἄγγελοι σπεύδουσιν, tes [94], clarisque gaudii significationibus, ut Christi
ἀναβαίνοντες ἐπὶ σὲ καὶ καταβαίνοντες· καὶ φι- sponsam, accipere festinant.
λοφροσύναις λαμπραῖς, ὡς Χριστοῦ νύμφην, δεξιοῦσθαι κατεπείγονται.

Τοίνυν βάδιζε τὴν τεθλιμμένην ὁδὸν καὶ τὴν Incede igitur coangustatam arctamque viam [95],
στενήν· κρούουσα μὴ ἐνδῶς πύλην, ἄχρις οὗ pulsans, nulla remissione, januam, donec præsens
προσενεχθῇς τῇ ζωῇ. Νόμος οὗτός ἐστιν τῆς vitæ sistaris. Martyrii ea lex est, ut non parcatur
μαρτυρίας, μὴ φείδεσθαι ψυχῆς, μὴ φείδεσθαι animæ, nec corpori parcatur. Cum persecutoribus
σώματος. Ὁμόσε τοῖς διώκταις χωρεῖν· τοὺς illisque comites persistere : illorum deos spernere ;
θεοὺς αὐτῶν ἐξουθενεῖν· μόνον Χριστὸν ὁμολο- solum Christum confiteri ; unam hanc præclaram
γεῖν· καλὴν ταύτην μόνην ἀναίδειαν ἡγεῖσθαι, impudentiam ducere, pro Christo nudari, conscindi,
ὑπὲρ Χριστοῦ γυμνοῦσθαι, κατατέμνεσθαι καὶ neci dari. Memento, filia mea, et vide, et scito, ju-
θανατοῦσθαι. Μνήσθητι, θύγατερ ἐμὴ, καὶ ἴδε, stum esse necdum pati pro Christo, sed et sæpius
καὶ γνῶθι, ὅτι δίκαιον οὐ παθεῖν ὑπὲρ Χριστοῦ D mori. Nam si illi pro nobis, ecquid magnum servo,
μόνον, ἀλλὰ καὶ πολλάκις ἀποθανεῖν. Εἰ γὰρ ut pro Domino paria patiatur ? Fuerit hoc quoque
ἐκεῖνος ὑπὲρ ἡμῶν, καὶ τί μέγα δούλῳ τὰ ἴσα longe utilissimum, parva molestia æternam lucrifa-
τῷ Δεσπότῃ παθεῖν ; Τοῦτο καὶ λυσιτελέστατον cere exsultationem : brevi dolore, perennem nancisci
ἂν εἴη, μικρᾶς ἀνίας αἰώνιον ἀγαλλίασιν ὠνή- jucunditatem : temporaneam mortem, vita nunquam
σασθαι· καὶ βραχείας ὀδύνης, εὐφροσύνην ἀέν- desitura commutare. Erit hoc quoque facile roborante
ναον καρπώσασθαι· καὶ πρόσκαιρον θάνατον, Christi fide. Aderit tibi Christus, charissima ; aderit levans cruciatuum dolores. Quod si etiam parum
ζωῆς μὴ ληγούσης ἀνταλλάξασθαι. Τοῦτό τοι affici dolore permiserit, ut probatio tuæ fidei patien-
καὶ ῥᾴδιον ἔσται, τῇ πίστει κραταιωθείσῃ Χρι- tiam operetur [96], ne putaveris te derelictum esse. Ne
στοῦ. Παρέσται σοι Χριστὸς, ὦ φιλτάτη· παρ- dissolvaris, quasi despecta sis, quin fatiscentem ani-
έσται κουφίζων τὰς ὀδύνας τῶν αἰκισμῶν. Εἰ δὲ mum spes contineat. Modicum enim aliquantulum,
καὶ μικρὸν ὀδυνᾶσθαι συγχωρήσειεν, ὥστε σου et extinguetur acerbitas dolorum ; orietur vero con-
τὸ δόκιμον τῆς πίστεως κατεργάσασθαι ὑπομο-

[93] Ephes. IV, 13. [94] Joan. I, 51. [95] Matth. VII, 14. [96] I Petr. I, 7

Digitized by Google

solatio, claritas et gratia. Orietur tibi vita et lux, in Christo Jesu cum gloria æterna.

Cui virgo respondens, ait : *Orationis opus est, o mater! impleri viva gratia, quo tantæ persecutorum impressioni resistatur. Non enim te latet, juxta Dominicum sermonem, spiritum quidem promptum esse, carnem autem infirmam*[96]. *Nempe debile quoddam vas corpus est, ne vel minimæ injuriæ resistere valens. Sin autem virtus aliqua e cœlo subministrabitur, statim animus vigoratur, corpusque roboratur, ac mens divinis collustrata fulgoribus pias cogitationes ac theologicos propense sermones profert, Dominum suum clarificans, eosque confundens qui illi adversantur. Tota enim Deo adhærens, nedum non cedit quidquam tormentis, verum etiam non raro irritat, qui torquere videntur, velut hoc quodammodo conducat, ut desiderii votique compos efficiatur.*

Verum sermones hos, domina colendissima, missos facito, quæ hoc palam scias, me tuis pridem imbutam hortamentis, nec unquam vestri hujus consilii esse oblituram. Ad Dominum vero oratione fusa, ac pro me, mea illi ærumna supplici voto exposita, magis juvabis ejus munere virtutem cœlitus additura, qua corruptoribus istis possim resistere.

Ejus necdum ore verbum egressum erat, cum procaces procaci impetu cubiculum irrumpunt; ferrique pondera adhibentes, ac luporum cruentorum more sacram hanc agnam rapientes, coram præside stiterunt. Stetit autem virgo, totum mente induta Christum; ac quidem eximia vultus pulchritudine, cernentium oculos velut radiante quodam fulgure perstringebat; mentis vero firmitate, adversarium dire vulnerabat. Quemadmodum autem oculis conspicuus decor, moleste habebat videntes (quisquis enim re frustratur, quam dulcem habet, dolet nimirum et indignatur) : sic et animo latens, latentem ejus prorsusque gravem æmulum, ad acriorem æmulationem gravioremque furorem incitabat.

Quonam igitur modo singulari excellentia præstans certamen hoc oratione repræsentaverim? *Quod tibi nomen?* ait Probus, prima statim ad eam quæstione. Cui illa : *Anastasia quidem apud homines eorumque usu vocor; Christiana vero, mihi verum atque proprium nomen est.* Cui Præses, rursus subjungens : *Quid causæ est, cur Anastasiam vocent? Quia nimirum,* inquit puella, *suscitat me Dominus coram vobis, ut et te hodie patremque tuum Satanam plane confundam.* O vivam vocem! O

A νὴν, μὴ νομίσῃς ἐγκαταλελεῖφθαι. Μὴ ἐκλυθῇς, ὡς παρεωραμένη· κάμνοντα δὲ τὸν λογισμὸν ἡ ἐλπὶς διανεχέτω. Μικρὸν γὰρ ὅσον, καὶ σβεσθήσεται μὲν ἡ δριμύτης τῶν ἀλγεινῶν· ἀνατελεῖ δὲ παράκλησις, δόξα τε καὶ χάρις. Ἀνατελεῖ σοι ζωὴ καὶ φῶς, ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Ἡ δὲ παρθένος, Εὐχῆς ἔργον ἐστὶν, ὦ μῆτερ· εἶπεν ὑπολαβοῦσα, πλησθῆναι χάριτος ζώσης, ὥστε πρὸς τοσαύτην ἐπίθεσιν τῶν διωκτῶν ἀντισχεῖν. Οἶσθα γὰρ ὡς τὸ μὲν πνεῦμα, κατὰ τὸν τοῦ Κυρίου λόγον, πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Σκεῦός τι σαθρόν ἐστι τὸ σῶμα, μηδὲ πρὸς τὴν τυχοῦσαν οἷον ἐπήρειαν ἀντιβῆναι. Ἂν δ' ἄρα τις ἄνωθεν δύναμις ἐπιχορηγηθῇ, νευροῦται μὲν εὐθὺς ἡ ψυχή· στερεοῦται δὲ τὸ σῶμα· καὶ B ὁ νοῦς δὲ, ταῖς θείαις περιλαμπόμενος ἀκτῖσι, λογισμοὺς εὐσεβείας καὶ λόγους καρποφορεῖ θεολογίας, δοξάζων μὲν τὸν ἑαυτοῦ Δεσπότην, καταισχύνων δὲ τοὺς ἀντιδιατιθεμένους αὐτῷ. Ὅλος γὰρ τοῦ κρείττονος γεγονὼς, οὐ μόνον οὐκ ἐνδίδωσι πρὸς τὰς κολάσεις, ἀλλὰ καὶ παροξύνει πολλάκις τοὺς τιμωρεῖν δοκοῦντας, ὥστε συνεργῆσαι τρόπον τινὰ τοῦτο πρὸς τὴν τῆς ἐφέσεως κατάληψιν.

Ἀλλὰ τοὺς λόγους μὲν τούτους, ὦ κυρία τιμιωτάτη, πάρες· τοῦτο σαφῶς εἰδυῖα, ὡς ἐμὲ πάλαι τῶν σῶν ἠρτυμένην ἔχεις παραινέσεων, καὶ οὔποτε τῆς ὑμετέρας ἐπιλησομένην συμβουλίας· ἐπὶ τὸν Κύριον δὲ τὴν δέησιν ἐκ- C χέουσα, καὶ αὐτῷ τὴν ὑπὲρ ἐμοῦ θλίψιν ἀπαγγέλλουσα, μᾶλλον ὠφελήσεις, οὐρανόθεν δύναμιν προστιθεῖσα διὰ προσευχῆς, δι' ἧς ἀντικαταστῆναι δυναίμην τοῖς λυμεῶσι τούτοις

Ἔτι τοῦ ῥήματος ὄντος ἐν τῷ στόματι αὐτῆς, ἐπεισέρχονται μὲν ἀναίδην οἱ ἀναιδεῖς· σίδηρα δὲ περιθέντες, καὶ τρόπον αἱμοβόρων λύκων τὴν ἱερὰν ταύτην ἁρπάσαντες ἀμνάδα, τοῦ ἡγεμόνος κατέναντι παρέστησαν. Εἱστήκει δὲ ἡ παρθένος ὅλον νοερῶς ἐνδεδυμένη Χριστόν· καὶ τῇ μὲν ὑπερφυεῖ τοῦ προσώπου καλλονῇ, τὰς τῶν ὁρώντων ὄψεις καταστράπτουσα, τὸν ἀντίπαλον δὲ τῇ τῆς διανοίας τραυματίζουσα στερρότητι. Ὥσπερ δὲ τὸ βλεπόμενον κάλλος ἐλύπει τοὺς ὁρῶντας (πᾶς γὰρ ἀστοχῶν τοῦ κατ' αὐτὸν ἡδέος, ἄχθεται δηλαδὴ καὶ δυσχεραίνει), D οὕτω δὴ καὶ τὸ κρυπτόμενον, τὸν κρυπτὸν αὐτῆς καὶ παγχάλεπον ἀντίζηλον, εἰς πικρότερον ζῆλον καὶ λύσσαν ἠρέθιζε χαλεπωτέραν.

Πῶς οὖν ἀξίως τὸν ὑπερφυῆ τοῦτον ἀγῶνα τῷ λόγῳ παραστήσαιμι; *Τί σοι*, φησὶν, *ὄνομα*; πρῶτον ὁ Πρόβος τὴν μεγαλώνυμον ἀνείρετο. *Ἀναστασία μὲν*, ἔφη, *παρὰ τοῖς ἀνθρώποις ὀνομάζομαι· Χριστιανὴ δέ μοι τὸ ἀληθινὸν ὄνομα καὶ κύριον.* Ὁ δὲ, *Τοῦ χάριν*, αὖθις ἔλεγεν ὑπολαβὼν, *Ἀναστασίαν σε καλοῦσιν*; *Ὅτι*, φησὶν ἡ νεᾶνις, *ἀνίστησί με Κύριος κατὰ πρόσωπον ὑμῶν, ἵνα καὶ σὲ σήμερον, καὶ τὸν πατέρα σου καταισχύνω Σατανᾶν.* Ὦ φωνῆς ζώσης! ὦ λαμπρᾶς καὶ

[96] Matth. xx, 41.

Digitized by Google

πεπαῤῥησιασμένης ἀποκρίσεως ! ἦν Πρόβος μὲν ἀκούσας, συνεχύθη καὶ συνέπεσεν· οὐ γὰρ ἔχειν ἔτι χρηστὰς περὶ αὐτῆς ἐλπίδας· διάβολος δὲ τὴν ὄψιν ἐῤῥαπίσθη. Ἄγγελοι δὲ ἐκρότησαν· ὁ δὲ Κύριος ἐν οὐρανοῖς ἐπεσφράγισεν.

Τί οὖν ὁ σοβαρὸς δικαστής; Πρῶτα μὲν θωπείαις κατακηλεῖν ἐδόκει, καὶ κολακευτικαῖς λαλιαῖς συλαγωγεῖν τὴν ἀσύλητον ἐπείρα· καὶ, *Πείσθητί μοι*, συνεβούλευεν, *ὦ θύγατερ, καὶ τοῖς μεγάλοις προσπεσοῦσα θεοῖς, καὶ τῶν ἱερῶν ὀργίων μετασχοῦσα, ζευχθήσῃ μὲν τῶν πρώτων τῆς πόλεως καὶ περιφανεστάτων ἑνί· προστεθήσεταί δέ σοι χρυσὸς, ἄργυρος, ἱματισμὸς, ἀνδραπόδων τε καὶ κτηνῶν ἀμύθητος περιουσία. Ἔσῃ δὲ περίβλεπτος καὶ μακαριωτάτη γυναικῶν, παντοίοις ἀγαθοῖς κομῶσα, καὶ δόξῃ παντοδαπῇ καταγλαϊζομένη. Σκέψαι τοιγαροῦν, ὦ κόρη, καὶ κατάλληλα τῇ ὡραιότητι τῆς ὄψεως βουλευσαμένη, τὴν ματαιότητα μὲν τούτων τῶν λογισμῶν ἀπόθου· φρενήρη δὲ διάνοιαν ἐνδυσαμένη, μὴ βουληθῇς πεῖραν τῆς ἡμετέρας ἀγανακτήσεως λαβεῖν· μηδὲ κατὰ τοὺς ἄφρονας πεῖρᾳ μεί*ρης *μαθεῖν, οἷον κακόν ἐστιν ἀσέβεια. Ἐγὼ, καὶ τῆς φύσεως οἰκτείρων, καὶ τοῦ κάλλους κηδόμενος, ὡς πατὴρ φίλῳ τέκνῳ τὸ συνοῖσον εἰσηγοῦμαι· ἐὰν δὲ μὴ πεισθῇς, ἑτέρως, εὖ ἴσθι, προσενεχθήσομαί σοι.*

Ἡ δὲ μάρτυς ὡς ἰὸν ὄφεως τὴν παραίνεσιν ταύτην ἐκτινάξασα τῆς ἀκοῆς, *Ἐμοὶ*, φησὶ, *τὸ ζῆν, ὦ ἄνθρωπε, Χριστός· καὶ κέρδος δέ μοι λαμπρὸν ὅτι μάλιστα, δι' αὐτὸν ἀποθανεῖν· δι' ὃν οὐ χρυσίον, οὐκ ἀργύριον, οὐδ' ἄλλο τι τῶν ἐπὶ γῆς ἐπόθησα τερπνῶν· αὐτὸν δὲ μόνον ὡς πολύτιμον ἔχουσα μαργαρίτην ἐν ἐμοὶ, πάντα πηλὸν ἡγοῦμαι· πάντα σκυβάλων ἀτιμότερα τὰ παρ' ὑμῖν. Βάσανοι δὲ καὶ ξεσμοὶ καὶ μελῶν ἀποκοπαὶ καὶ ὀνύχων σπαραγμοὶ καὶ θηρίων ἅλεσμοὶ, πρὸς ἡδονὴν μᾶλλον ἐμοὶ δι' ἐκεῖνον, ἢ ἄλγημα τυγχάνουσιν. Ὥστε μὴ τὸ σωμάτιον ἡμῖν ὡς ἀδρανὲς οἰκτείρειν ὑποκρίνου, ἀλλὰ τὸ παριστάμενον τῇ ἐξουσίᾳ σου καὶ τῇ τῶν τρόπων ἰταμότητι, τοῦτο ποίει μηδὲν ἀναβαλλόμενος· ὡς ἔγωγε ξυλίνοις ξοάνοις καὶ λιθίνοις, οὐκ ἂν προσενέγκαιμι προσκύνησιν εἰς τὸν αἰῶνα.*

Τούτοις ἡ καλλίστη παρθένος τὴν ὀργὴν ἐξάψασα τοῦ δικαστοῦ, χαλεπὸν δέ τινα καὶ βαρύμηνιν τὸν ἐν αὐτῷ δαίμονα παρασκευάσασα, ὅλην ἐφ' ἑαυτὴν τοῦ ὀλεθρίου θηρὸς ἐπεσπάσατο τὴν λύσσαν. Πρῶτον μὲν οὖν τοῖς ἐπὶ κόρης ῥαπίσμασι τὴν σεμνὴν ὄψιν ἐκείνην, ὡς φλυαρεῖν τολμῶσαν κατηκίζετο. Ἔπειτα, τὸν παρθενικὸν ἐπικαταῤῥηγνύειν αὐτῇ προσέταττε χιτῶνα· καὶ δὴ γυμνὸν ὅλον τὸ καὶ ἀγγέλοις αἰδέσιμον ἐκεῖνο σῶμα παραττησάμενος ὁ ἀναιδὴς, ἐπιγελῶν δὲ τῷ θεάματι καὶ κατορχούμενος, *Οὕτω σοι*, φησὶν, *ἀσχημονεῖν πρέπει, κατ' ὀφθαλμοὺς ἁπάντων παρεστῶσῃ γυμνῇ, καὶ καταγέλωτα πᾶσι τοῖς ὁρῶσί σε παρεχομένῃ. Ἀλλ' εἰ*

splendidam liberamque confessionem ! qua Probus audita, confusus est, conciditque (non enim adhuc bene de illa poterat sperare); diabolus in faciem casus est; angeli, plausu excepere; ac postremo Dominus obsignavit in cœlis.

Quid igitur superbus judex ? primum quidem blanditiis deliniturum se putabat, adulatoriisque sermonibus, quæ inviolabilis esset, deprædari tentabat. *Credito mihi*, consulebat, *filia, magnisque procidens diis, sacrorumque orgiorum particeps facta, uni procerum civitatis ac illustrissimorum nuptiarum fœdere jungeris : cumulabitur vero aurum, argentum, vestium cultus, servorum pecorumque immensa substantia. Erisque spectabilis ac mulierum beatissima; nempe omnis generis bonorum copia affluens omnis claritate jucundaberis. Attende igitur, o puella, ac quæ oris venustati conveniant tibi ipsa consulens, harum vanitatem pone cogitationum ; sanamque mentem induens, cave sis nostræ periculum velis facere indignationis; nec insipientium more exspectes, donec ipso rei experimento noveris, quantum malum impietas sit. Ego, et sexus miseratione ductus, et pulchritudinis cura sollicitus, velut pater prædilectæ filiæ, quod tuis rationibus conducit, hoc suadeo. Sin autem morem non gesseris, alia ratione acturum me tecum noveris.*

Martyr vero velut serpentis virus exhortantis verba hæc, aure surda excutiens, *Mihi*, inquit, *o homo, vivere Christus est* [97], *quam maxime vero splendidum mihi lucrum, propter illum mori; cujus gratia non aurum concupivi, non argentum, non aliud quidquam eorum, quæ super terram delectabilia habentur, ipsum vero unum velut pretiosam nacta margaritam, omnia lutum existimo, cuncta quæ in censu habetis, stercoribus arbitror viliora* [98]. *Porro tormenta et lanienæ membrorumque excisiones atque unguium discerptiones bestiarumque molæ, illius causa majori voluptate exhilarant, quam dolore excruciant. Idcirco noli simulare, mei te corpusculi ut imbecillis miseratione duci, sed quod tuæ potentiæ morumque procacitati impromptu est, nulla dilatione exsequere. Ad me sane quod attinet, ligneis lapideisque statuis nullum cultum adhibuero.*

His pulcherrima virgo accensa judicis ira, gravemque quemdam ac gravis iræ in eo dæmonem cum instruxisset, totam in seipsam exitiosæ feræ attraxit rabiem. Primum igitur impactis colaphis venerabilem illam faciem, velut quæ proterve nugari ausa esset, dehonestavit. Exinde virginalem illi tunicam dirumpi præcepit; nudumque totum corpus illud, etiam angelis venerabile, impudens homo producens, pro spectaculo illudebat ac insultabat. *Sic*, aiebat, *decorum tibi turpiter agere quæ ob omnium oculos nuda astes, risumque cunctis videntibus præbeas? Sed si qua tibi sanæ rationis gutta inspersa est, ab stupore qui incidit emergens,*

[97] Philipp. I, xxi. [98] Matth. XIII, 46; Sap. VII 9; Philipp. III, 8.

Digitized by Google

hacque animi contentione ac pervicacia abjecta, magnorum deorum clementiæ accede; velutque mundum amabilem, religiosam in eos mentem tibi asciscens, noli tantam præmature pulchritudinem tormentorum falce excisam tibi deperire. Neque enim ullus est qui non obsequentem e manu mea possit liberare. Omnia vero tua membra (probe scito) bestiis tradam devoranda.

Mihi quidem, o præses, ait rursus subjiciens virgo martyr, *nulla turpitudo est vestium istarum positio, quin potius decor est, nudari pro Christo; atque indumento hoc abjecto, veterem hominem simul abjicere (quæ enim oculis conspicua sunt, signa sunt eorum, quæ mente intelliguntur), superindui vero novum, qui secundum Deum conflatus est in justitia et veritate* [99]. *Tibi autem reipsa turpe ac probrum est, quod malitiam sicut vestimentum indutus es, et intravit sicut aqua impietas in interiora tua, et sicut oleum scelerata mentis pravitas hæsit ossibus tuis* [1].

Te igitur in istis, non vero me æquum est pudere, quod una cum hac tunica, carnali sorde deposita, ac gravante excusso terreno pondere, levis ac expedita Christum in cœlum sim secutura; quem velut tunicam lætitiæ et vestimentum salutis occulte secundum interiorem hominem indui [2]. *Me vero alioqui etiam decebat quasi in stadio huic tribunali nudo corpore astantem, ita vobiscum adversariis lucta congredi. Jam itaque tortores, ne cunctemini, ne moras nectite, ignis accendatur, rota distendatur, gladius vibretur, novacula acuatur. Ac, si libet, etiam fossa aperiatur, omneque mortis organum expediatur.*

Adhuc vero, martyrii amore succensa, ac velut divino quodam furore, castissima afflata, etiam hæc adjecit: *Comminaris, sævissime ac dire tyranne, membra exscindenda? En in hoc tibi parata asto. Morte multandam asseris? Et hoc volenti accidet animo; omnium mihi istud gratissimum, horum amissione membrorum ad vitam transire incorruptam. Itaque effodiantur oculi, ut sola interius mens limpidius elucescens, Deum clare ac inturbate videre possit. Amputentur aures et nasus: est mihi interior cordis auditus, quo mystica eloquia audiam: sunt mihi et nares, quibus ineffabilia Dei mei unguenta olfaciam. Num hæc potes, impurissime, gladio tuo amputare? Extrahatur vero etiam lingua, ut non ultra loquatur opera hominum* [3]; *secum vero ipse animus loquatur et Deo. Radicitus evellantur dentes, abscindantur et labia; non enim hæc necessaria ei qui non amplius luteo cibo indigeat, sed qui solo Dei verbo secretius mystice alatur. Præterea auferantur aures: ac, si libet, auferantur etiam pedes. Sunt enim irreprehensæ manus (practicæ scilicet animæ*

τίς σοι λογισμοῦ σώφρονος ἐνέστακται βαρίς, τῆς προσπεσούσης ἀνασφήλασα πεισμονῆς, καὶ τὸ δύσερι τοῦτο καὶ φιλόνεικον ἐκριψαμένη, πρόσελθε τῇ τῶν μεγάλων εὐμενείᾳ θεῶν· καὶ τὸ πρὸς αὐτοὺς σέβας ὡς ἐπέραστον κόσμον ἐγκομβωσαμένη, μὴ βουληθῇς κάλλος τοσοῦτον πρώρων ἐκθερισθῆναι. Καὶ γὰρ οὐδεὶς ἀπειθοῦσαν τῆς ἐμῆς ἀπαλλάξαι δύναται χειρός· πᾶν δέ σου μέλος, εὖ ἴσθι, βορὰν προθήσομαι θηρσίν.

Ἐμοὶ μέν, ὦ ἡγεμών, εἶπεν αὖθις ἡ παρθενόμαρτυς ὑπολαβοῦσα, οὐκ ἀσχημοσύνη τῶν ἱματίων τούτων ἡ ἀπόθεσις· εὐπρέπεια δὲ μᾶλλον, ὑπὲρ Χριστοῦ γυμνοῦσθαι, καὶ τῇ ἀποβολῇ τοῦδε τοῦ ἐνδύματος, τὸν παλαιὸν μὲν ἄνθρωπον συναποβάλλεσθαι· σύμβολα γὰρ τὰ βλεπόμενα τῶν νοουμένων· ἐπενδύεσθαι δὲ τὸν καινόν, τὸν κατὰ Θεὸν συγκροτούμενον ἐν δικαιοσύνῃ καὶ ἀληθείᾳ. Σοὶ δὲ τῷ ὄντι καθέστηκεν ἀσχημοσύνη, ὅτι ὡς ἱμάτιον ἐνεδύσω τὴν κακίαν· καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατά σου ἡ ἀσέβεια, καὶ ἡ πονηρία ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις σου.

Σὲ τοίνυν ἐν τούτοις, ἀλλ' οὐκ ἐμέ, δίκαιον αἰσχύνεσθαι· ὅτι τῷ χιτῶνι τούτῳ τὴν ἀπὸ τῆς σαρκὸς κηλίδα, καὶ τὸ ἀπὸ γῆς συναπεσκευασμένη βάρος, κούφη λοιπὸν καὶ εὐσταλὴς πρὸς οὐρανὸν ἔψομαι Χριστῷ· ὃν ὡς χιτῶνα εὐφροσύνης καὶ ἱμάτιον σωτηρίου κρυφίως κατὰ τὸν ἐντὸς ἄνθρωπον ἐνδέδυμαι. Ἐμὲ δὲ καὶ ἄλλως ἔδει καθάπερ ἐν σταδίῳ τῷ βήματι τούτῳ γεγυμνωμένην τὸ σῶμα παριστᾶσαν, οὕτω συμπλέκεσθαι τοῖς ἀντιπάλοις ὑμῖν. Λοιπόν, ὦ δήμιοι, μὴ μέλλετε, μὴ ἀναδύεσθε. Τὸ πῦρ ἐξαπτέσθω, ὁ τροχὸς κατατεινέτω, ἡ μάχαιρα στιλβούσθω, ὁ ξυρὸς ἀκονηθήτω. Εἰ βούλει δὲ, καὶ βόθρος ὀρυττέσθω, καὶ πᾶν ὄργανον εὐτρεπιζέσθω θανάτου.

Ἔτι δὲ, τῷ τῆς μαρτυρίας ἔρωτι διαθερμαινομένη, καὶ οἱονεί πως ἡ πάναγνος ἐνθουσιῶσα, καὶ ταῦτα προσετίθει· Μελῶν ἀπειλεῖς, ὠμότατε, τὴν ἐκτομήν; Ἑτοίμη πρὸς τοῦτό σοι παρέστηκα. Θανάτῳ ζημιοῦν ὑπισχνῇ; Εἰς τοῦτο παρεσκεύασμαι. Τοῦτό μοι τῶν πάντων θυμηρέστατον, τῇ τῶν μελῶν ἀποβολῇ τούτων, πρὸς τὴν πανακήρατον μεταβῆναι ζωήν. Ὀφθαλμοί τοίνυν ὀρυττέσθωσαν, ὡς ἂν μόνος ἔνδον ὁ νοῦς διαυγέστερον ἐκλάμψας, τὸν Θεὸν καθαρῶς ὁρᾷ καὶ ἀνεμποδίστως δυνηθῇ. Περιαιρείσθωσαν ὦτα καὶ μυκτήρ· ἔστι μοι κρύφιον οὖς ἐγκάρδιον, ᾧ μυστικῶν λογίων ἀκροῶμαι· ἔστι μοι καὶ μυκτὴρ, ᾧ τῶν ἀῤῥήτων τοῦ Θεοῦ μου κατοσφρῶμαι μύρων. Μὴ ταῦτα δύνῃ, μιαρώτατε, τῇ μαχαίρᾳ σου περιελεῖν; Ἐξελκέσθω δὲ καὶ γλῶσσα, ὡς ἂν μηκέτι λαλῇ τὰ ἔργα τῶν ἀνθρώπων, ἑαυτῇ δὲ νοερῶς ἡ ψυχὴ συλλαλῇ καὶ Θεῷ. Ἐκριζούσθωσαν οἱ ὀδόντες· ἐκκοπτέσθωσαν καὶ χείλη· οὐδὲ γὰρ τούτων χρεία, τῷ μηκέτι πηλίνης ἐπιδεεῖ τροφῆς· μόνῳ δὲ τῷ Θεοῦ ῥήματι κρυφιομύστως τρεφο-

[99] Ephes. vi, 22-24. [1] Psal. cviii, 18. [2] Isa. lxi, 10. [3] Psal. xvi, 4.

Digitized by Google

μένοις. Ἀφαιρείσθωσαν πρὸς τούτοις χεῖρες· ἀφαιρείσθωσαν, εἴ σοι δοκεῖ, καὶ πόδες. Εἰσί μοι χεῖρες ἄληπτοι, αἱ πρακτικαὶ τῆς ψυχῆς δυνάμεις, αἷς ἂν εὐαρεστήσαιμι Θεῷ· εἰσὶ πόδες, τὰς σὰς παγίδας ὑπερβαίνοντες, αἱ πρὸς αὐτὸν εὐθυνόμεναι διὰ θεωρίας ἀκραιφνοῦς πορεῖαι. Πρότερον δὲ τοὺς ὄνυχας ἀχέλεσθε, ἵνα μοι πλείους φιλοτιμήσησθε νίκης καὶ στεφάνων ἀφορμάς. Περιττή μοι τυχὸν καὶ τῶν μαζῶν αὕτη περίκειται ζυγάς· ἵνα τί λίχνοις ὄμμασιν ἔτι δέλεαρ προκείσονται; Ἀπτέσθω καὶ τούτων ὁ ξυρός· τρυφή μοι διὰ Χριστόν ἐστι τὰ κολαστήρια· εὐεργέτας ἡγοῦμαι τοὺς κολαστάς. Εἴθε γένοιτο πᾶσι μέλεσι δοξάσαι τὸν πλαστουργόν. Εἴθε μοι καὶ τῷ σώματι καὶ τῷ πνεύματι τοῦτον ἁγιάσαι. Οὕτω γὰρ ἐμαυτὴν ὁλόκληρον αὐτῷ παραστήσασα, ὁλοκλήρως ἂν ἴσως τῆς αὐτοῦ γλυκύτητος ἀπολαύσαιμι. Σπεῦδε τοίνυν, ὦ τύραννε, ἐμοὶ μὲν τῆς καλλίστης ἐφέσεως τὴν ἐπίτευξιν ὁδοποιῶν· σαυτῷ δὲ σκότος καὶ κόλασιν θησαυρίζων διηνεκῆ.

A vires) *quibus liceat placere Deo; sunt et pedes, tuos laqueos supergredientes, quæ per veram contemplationem ad eum diriguntur viæ. Prius vero ungues eximite, quo plura a vobis victoriæ ac coronarum mihi ambitiose præsto sint argumenta. Frustra mihi etiam forsan quod inest, uberum par. Ut quid enim etiam prostabunt, ut luscivis oculis escam sufficiant? Illis quoque novacula adhibeatur. Meæ sunt propter Christum tormenta deliciæ. Eos qui cruciatus ingerant, benefactorum loco habeo. Utinam mihi contingat membris omnibus, eum qui finxit, glorificare! Utinam et corpore et spiritu eum sanctificare. Sic enim me illi integram adhibendo, integre illius frui dulcedine valeam! Festina igitur, o tyranne, ut et mihi ad pulcherrimi optimique desiderii consecutionem* B *viam facias, tibique ipse tenebras ac jugem caliginem thesauro reponas.*

Τούτοις Ἀναστασία τοῖς λόγοις καταπλήξασα τὸ θέατρον, καὶ ἀγγέλους μὲν κατατέρψασα, καὶ τὸν τῶν ἀγγέλων κατευφράνασα Δεσπότην· εὐφροσύνη γὰρ ἄγαν Θεῷ Δεσότῃ, πιστοῦ θεράποντος εὐγνωμοσύνη· δαίμονας δὲ καὶ τὸν αὐτῶν προστάτην συμφύρασα· αὐτὴ μὲν ἄτρομος ἵστατο, καὶ τὴν γνώμην ἀπερίτρεπτος, πρὸς τὸν Ἰησοῦν μόνον τοῦ νοῦ τὸ βλέμμα προσερείδουσα, καὶ τὴν ἀπ' αὐτοῦ συμμαχίαν ἐπικαλουμένη. Ὁ δικαστὴς δὲ, ἐπειδὴ τρυφερὰν ἔβλεπε παῖδα, ἀρρενωπῷ γνώμῃ τῆς κολακείας οὐκ ἐνδιδοῦσαν μαγγανεύμασιν· σταθερῷ δὲ καὶ γαύρῳ τοῦ νοῦ παραστήματι, οὐ μόνον οὐκ ἐκπλησσομένην τὰς ἀπειλάς· ἀλλὰ καὶ τῆς τῶν κολαστηρίων δριμύτητος ὑπερφυῶς ὑπερφρονοῦσαν· μηδενὶ δὲ λοιπὸν τρόπῳ τὸν τῆς ἀηττήτου τόνον ἐκμοχλεύειν ἔχων, ἐμαίνετο, ἐκορυφοῦτο ὁράσει· βαρέως ἄγαν κατὰ τῆς παρεστώσης ἀείπαιδος (74) ὑλάκτει.

Iis Anastasia verbis theatro stupore attonito, angelisque propense recreatis, atque angelorum Domino lætitia affecto (valde enim Dominum Deum delectat fidelis servi gratus animus atque probitas), dæmonibus vero eorumque principe confusis turbatis atque, stabat virgo quieta atque libera, menteque inconcussa, in uno duntaxat Jesu defixo mentis oculo, atque illius opem implorans. Judex vero, quod delicatam puellam videbat virili animo nihil blanditiarum illecebris cedere, sed constanti superbæque mentis præsentia ac audacia, nedum non minis conterreri, sed et tormentorum acerbitatem fortitudinis eximia vi spernere; cum nulla jam ratione invictæ mentis vigorem posset effringere, furore agebatur, audacia tumebat, graviterque admodum adversus astantem puram semper puellam latrabat.

Πρῶτον μὲν οὖν ἐκ τεσσάρων τανυσθεῖσαν, καὶ πάλοις προσδεθεῖσαν, ἠρέμα κουφισθῆναι τῆς γῆς, καὶ κάτωθεν μὲν πῦρ, ἐλαίῳ καὶ πίσσῃ, θείῳ καὶ κληματίσιν ὑφαπτόμενον, τοῖς τιμίοις αὐτῆς ἐκέλευσεν ὑποστρωθῆναι σπλάγχνοις. Ἐπὶ πολὺ δὲ τῶν ἀλγηδόνων εὐπετῶς ἀνατλάσης τὴν ὀξύτητα (εἶχε γὰρ ὄντως, εἶχε Χριστὸν ἐπίκουρον ἀληθῆ), καὶ τῶν σπλάγχνων μὲν κάτωθεν ἐξοπτωμένων, συμφρυγομένων δὲ καὶ σπωμένων τῶν ἐντέρων τε καὶ τῶν ἰνῶν· τοῦ αἵματος δὲ ξηραινομένου, καὶ τεφρουμένων τῶν φλεβῶν· τῆς ζωτικῆς δὲ δυνάμεως τῶν μὲν ἐμπιμπραμένων μελῶν ὑπαπιούσης· νεκρὰ δὲ τὰ ὧν ἀφεστήκοι καταλιμπανούσης· διαῤῥηγνυμένου δὲ καὶ τοῦ νώτου τοῖς μάστιξι καὶ διαῤῥυϊσκομένων τῶν σαρκῶν, οὐδεμία τῇ ἀθλοφόρῳ προσπίπτειν αἴσθησις ἐδόκει· ὅλη δὲ τοῦ συγκρατοῦντος αὐτῇ τὸ πνεῦμα γενομένη, καὶ τῇ πρὸς αὐτὸν ἐκστάσει τὴν αἰσθητικὴν μικροῦ δύναμιν παοεθεῖσα, οὔτε τῶν ἄνωθεν

Primum igitur e quatuor distentam palisque alligatam, paulatim e terra levari, subtusque ignem oleo et pice, sulphureque et tormentis succensum, venerandis ejus visceribus substerni præcepit. Diu autem multumque acutos illa leniter sustinente dolores (quippe quæ Christum vere auxiliantem haberet), visceribusque deorsum igne assis, intestinisque ac fibris pariter tostis ac dissilientibus; exsiccato quoque sanguine ac venis in favillam redactis, vitalique facultate exustis se membris subducente, emortuaque unde recessisset, ea relinquente; dorso quoque verberibus dirupto, carnibusque diffluentibus, nullus inde forti pugili sensus effici videbatur: sed tota roborantis ei spiritum facta, excessuque in eum vix non dissoluta ejus sentiendi vi, nec plagas curabat quas superius tortor infligebat, nec ad incendia deorsum urentia animum attendebat: sed Christum solum enixe

(74) *Παρεστώσης ἀείπαιδος.* Vox nova est, haud dubium qui pro ἀειπαρθένου posita, et ut candor ac innocentia puellæ significetur. Suppliciа hæc eodem ordine narrata in Actis Metaphrastæis, sed non ea pompa, qua Nicetas illa prosequitur exornatque.

Digitized by Google

rogans, eaque mirabilia memorans, quæ olim Babylonæ tribus pueris exhibita essent [4], et quæ semper illis exhibet, qui ejus causa malis afficiantur; velut rore quodam, oratione refrigerante, facile admodum cruciatus ferebat.

A κατεφερομένων ἐρρόντιζε πληγῶν· οὔτε δὲ πρὸς τὰς κάτωθεν ἐπεστρέφετο πυρώσεις· μόνῳ δὲ προσευχομένῃ Χριστῷ, καὶ τῶν θαυμασίων αὐτὸν ὑπομιμνήσκουσα, ὧν τε πάλαι κατὰ τὴν Βαβυλωνίαν τρισὶ νεανίαις, καὶ ὧν ἀεὶ τοῖς ὑπὲρ αὐτοῦ κακουμένοις ὑποδείκνυται· καθάπερ δρόσῳ τινὶ τῇ προσευχῇ καταψυχομένη, εὐμαρῶς ἄγαν ὑπέφερε τὰς ἀλγηδόνας.

Iis itaque animum despondens fera bellua, in rota distendi columbam immaculatam mandat; direque hac pressa machina, ossibus illi comminutis, nervisque ac medullis distentis, omnique fere exartuata corporis commissura. At quonam modo a talis mortis impetu liberatur? Nempe accepta ad eum, qui salvare eam, ex morte posset oblata supplicatione, quam forte haud superfluum videatur addere. *Deus, Deus spirituum,* B aiebat, *omnisque carnis, qui sapientia tua res produxisti, rerumque oculis conspicuarum pulcherrimam (hominem scilicet) ad imaginem tuam fecisti* [5]; *atque hunc pro sæculi hujus dispensatione, carne ac cute vestisti, ossibusque ac nervis compegisti, vitamque ac misericordiam tribuisti ei* [6]; *tu, Domine, misericors curator jussisti per Prophetam, dicens:* Invoca me in die tribulationis tuæ, eruam te, et glorificabis me [7]. *Ecce hodie benigni tui illius mandati recordata fortiter invoco; erue et libera me a violentia quæ arctat me; atque a doloribus quæ me nunc premunt, immunem redde: et ostende mihi misericordiam tuam, et salutare tuum dona* [8]: *ut in te, in finem usque legitime desudato certamine, tibi gloriam* C *submittam, Patri et Filio et Spiritui sancto, quoniam solus es glorificatus in sæcula. Amen.*

Τοιαῦτα προσευχομένη, λύεται μὲν τοῦ χαλεποῦ μηχανήματος ἐκείνου· χειρὶ δὲ παραυτὰ κρείττονι, πρὸς τὴν κατὰ φύσιν ὑγίαν ἐπάνεισι. Πάλιν οὖν ὀξέσιν αὐτὴν ὀγκίνοις ὁ δεινὸς ἐκεῖνος δικαστὴς εἰς τὸν ἀέρα μετεωρισθεῖσαν, πᾶν σιδηροῖς ὄνυξι τὸ σῶμα κελεύει καταξαίνεσθαι· καὶ πάλιν αὐτὴ Χριστῷ προσευχομένη, καὶ κρείττονος εὐμοιροῦσα προμηθείας, ἐκλύει μὲν τὴν τῶν δημίων εὐτονίαν· κατενεχθεῖσα δὲ, ῥᾳδίως τε τῶν τόνων ἀνεῖτο, καὶ πρὸς τὴν φυσικὴν εὐεξίαν ὀξέως ἐπανῄει.

νισαμένη, δόξαν ἀναπέμπω σοι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, ὅτι μόνος εἶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Talia comprecans, a ferali illa machina solvitur; manuque statim divina, ad nativam sanitatem reducitur. Rursus ergo cruentus ille judex uncinis acutis in aere suspensæ, totum corpus ferreis ungulis dilaniari jubet. Rursusque illa Christum orans, propensioreque Dei cura fruens, carnificum dissolvit loros; depositaque, facile a laboribus recreatur, et ad nativam citius bonam habitudinem redit.

At ne sic quidem insipiens voluit intelligere. D Plane enim pugnax contentio erat, uti quod oculis subjectum erat, Anastasiam inter Probumque, sic nimirum quod mente intelligebatur, Christum inter et Antichristum: hunc nempe, hoc conantem, ut a recto sensu avocatam, simulacrorum inquinamentis pollueret; illum vero hoc studentem ac propense agentem, ut illo depulso, incontaminatum suum sibi figmentum exhiberet.

Ursos aiunt in lustris latitantes, ubi semel a venatoribus in corde vulnus acceperint, importabilis iræ fieri, ac quidquid inciderit, repente enecare. Talis tunc erat Probus; sic nimirum iræ impotens

Ἀλλ' οὐδ' οὕτως ὁ ἀσύνετος ἠβουλήθη συνιέναι· ἄμιλλα γὰρ ὄντως ἦν, ὥσπερ τὸ βλεπόμενον, Ἀναστασίας μεταξὺ καὶ Πρόβου, οὕτω δὴ τὸ νοούμενον, Χριστοῦ καὶ Ἀντιχρίστου· τοῦ μὲν, ὅπως τῆς ὀρθῆς ἀποστήσα; διανοίας, εἰδώλων μιάσμασι βεβηλώσῃ πειρωμένου· τοῦ δ', ὅπως ἐκεῖνον ἀποστρέψας, ἀμίαντον ἑαυτῷ παραστήσῃ τὸ ἴδιον ἐνευδοκοῦντος πλάσμα.

Τὰς μὲν δὴ φωλάδας τῶν ἄρκτων, φασὶν, ἐπειδ' ἂν ἅπαξ πρὸς τῶν θηρατῶν κατακάρδιον δέξωνται πληγὴν, ἀφορήτους τε γίνεσθαι, καὶ πᾶν τὸ προσπίπτον ἐξαπιναίως ἀναιρεῖν. Τοιοῦτος ἦν τότε Πρόβος. Οὗ-

[4] Dan. III, 19. [5] Gen. I, 26. [6] Job X, 11, 12. [7] Psal. XLIV, 15. [8] Psal. LXXXIV, 8.

Digitized by Google

τως ἐξοργός τις καὶ βαρύχολος, ὥστ' οὐδὲ πολλοῦ τοῦτον ἔδει τοῦ θρόνου τε διαναστῆναι, καὶ τοῖς ὀδοῦσιν ὠμῶν τῶν παρθενικῶν ἐνάψασθαι σαρκῶν.

Πρῶτον οὖν κατὰ τῶν σεμνῶν καὶ τιμίων ὡπλίσατο μαστῶν· καὶ ξυρῷ τούτους ὁ ὠμοφάγος περιελὼν, δριμυτάταις ὀδύναις θανατοῦν ἐμηχανᾶτο. Ἴστε δὲ πάντως, οἵ γε τὴν κατασκευὴν τοῦ σώματος εἰδότες, ὡς ἐκ σαρκῶν καὶ μυῶν καὶ νεύρων τόδε τὸ μέρος συνεστὼς, αἰσθητικώτατόν ἐστιν· ἅτε δὴ καὶ πλησίον τῆς πηγῆς τῶν αἰσθήσεων, τῆς καρδίας, φημὶ, καθιδρυμένον· καὶ τεμνόμενον, ὀδυνηροτάτῳ μόρῳ παραδίδωσι· τοῦ ζωτικοῦ καὶ περὶ τὴν καρδίαν αἵματος ἅμα τῷ ψυχικῷ πνεύματι συναπορρέοντος. Ἀλλ' ἡ τῆς ἀναστάσεως ἐπώνυμος, οὐ τῷ νόμῳ τῆς φύσεως, ἀλλὰ τῆς ἀναστάσεως ὑποκειμένη, καὶ τοῦ θανάτου περιγέγονε, καὶ τῶν ὠδίνων ἐκείνων ῥᾳδίως ὑπερέσχεν. Ὦ μαστοί, οὐ γάλα τροφὴν προρρέοντες νηπίοις, ἀλλὰ μαρτυρικὸν αἷμα σπένδοντες Χριστῷ! Ὦ μαστοί, καθάπερ δύο νεβροὶ δίδυμοι δορκάδος διαλλόμενοι τοῦ σώματος! Προσᾴδέτω γάρ τι τούτοις καὶ ὁ Σολομών· μᾶλλον δὲ ὁ Νυμφίος τῇ Νύμφῃ προσφωνείτω, δι' ὃν αὐτῇ τοὺς μαστοὺς ἐξεθερίζετο· *Τί ἐκαλλιώθησαν μαστοί σου, ἀδελφή μου νύμφη! τί ἐκαλλιώθησαν μαστοί σου!* οὐκ ἀπὸ οἴνου, ἀλλ' ἀπὸ τοῦ οἰκείου αἵματος!

Ἐπὶ τούτοις, κατὰ τῶν ὀνύχων ὁ ἀπηνὴς διηγωνίσατο· οὓς πάντας ἀπηνῶς ἀνασπῶν καὶ ριζοτομῶν, ἀνυποίστους αὐτῇ προσάγειν ᾤετο πόνους. Ἡ δὲ, καθάπερ τριχῶν ἀφαίρεσιν, οὕτω λογιζομένη τούτων τὴν ἐκρίζωσιν, ηὐχαρίστει μὲν τῷ πρὸς τὰς ἀλγηδόνας ἐπιῤῥωννύντι Χριστῷ· κατερρητόρευε δὲ τοῦ δικαστοῦ· θεούς τε ἀναθεματίζουσα καὶ δαίμονας, ψυχῆς βεβήλωσιν τὴν αὐτῶν προσκύνησιν ὠνόμαζεν. Ὦ ὀνυχες, μικροὶ μὲν τὸ μέγεθος, καὶ τὴν τάξιν ἔσχατοι, μεγάλων δὲ καὶ τελείων πρόξενοι στεφάνων γενόμενοι· ὀνυχες, τῷ τε ὀνυχι καὶ τῇ στακτῇ, καὶ τοῖς ἄλλοις ἀρώμασι προσεοικότες· οἷς Μωσῆς ἐκεῖνος τὸ τῆς συνθέσεως κατασκευαζόμενος θυμίαμα, θυσίαν εὐώδη προσῆγε τῷ Θεῷ.

Τοῖς ὄνυξι δὲ, χειρῶν ὁμοῦ καὶ ποδῶν ὁ μιαιφονώτατος προσετίθει τὴν ἀποκοπήν. Ἔδει γὰρ ἴσως, μὴ τὰ λεπτότερα μόνον, ἀλλὰ καὶ τὰ τῶν μορίων ἁδρότερα τῆς ὁσιομάρτυρος καλλιερεῖσθαι· καὶ καθάπερ ἄμπελος εὐκληματοῦσα, ὅσῳπερ ἂν τῶν περιττῶν τὴν βλάστην ἀποτέμνηται, τοσούτῳ τῆς ἐν αὐτῇ ζωτικῆς δυνάμεως περὶ βραχὺν συναγομένης τόπον, πολὺς μὲν ὁ καρπός· εὐτραφὴς δὲ ὁ βότρυς, καὶ δαψιλὴς ὁ οἶνος καταῤῥεῖ τῶν ληνῶν· οὕτω δὴ καὶ ἡ παρθένος, ὅσῳ τὰ μέλη κατετέμνετο, τοσοῦτον ἐκύπριζεν μὲν αὐτῆς τὸ τῆς ὁμολογίας ἄνθος· οἱ τῆς μαρτυρίας δὲ βότρυες πληθυνόμενοι, τὴν τῆς ὑπομονῆς ἐδίδοσαν ὀσμήν· τὸ αἷμα δὲ τῆς ἀθλήσεως, ὡς οἶνος ῥέων εὐώδης καὶ δαψιλὴς, συνέπνιγε μὲν ὅσον ἀλλότριον καὶ δυσσεβὲς, κατεύφραινε δὲ ὅσον ἡμέτερον καὶ εὐσεβές.

Ἐντεῦθεν λοιπὸν καὶ οἱ ὀδόντες τῆς ἰδίας αὐτῶν

A evaserat gravique bile excesserat, ut parum abfuerit quin e throno dissiliens, crudas virginis carnes dentibus laceraret.

Primum itaque adversus honestas ac venerabiles mammas armatur, iisque crudivora bellua amputatis, acerbissimis doloribus interimere moliebatur. Prorsus vero scitis, quotquot corporis structuram non ignoratis, hanc ejus partem, quippe quæ carnibus et musculis atque nervis constet, maxime sensu vigere, quodque prope sensuum fontem collocata sit: cor nimirum: ac si amputetur, dirissimo cruciatu mortem consciscit; nempe vitali, et qui circa cor, sanguis exsistit, cum animali spiritu pariter defluente. At, cui a resurrectione appellatio erat, non legi naturæ, sed resurrectionis obnoxia, tum mortem superavit, tum illis facile cruciatibus B superstes fuit. O ubera, quæ non lac infantibus profluant, sed martyrii amorem Christo libent! O ubera, velut duo hinnuli gemelli e capreæ salientes corpore[8a]! Accinat enim his aliquid et Salomon: Quin potius Sponsus sponsæ acclamet, cujus ergo illi ubera amputata: *Quam pulchræ factæ sunt mammæ tuæ, soror mea sponsa, quam pulchræ factæ sunt mammæ tuæ*[9]! non a vino, sed a proprio cruore.

Ad hæc adversus ungues sævo illi assumptum certamen est; quos omnes immaniter evellens ac a radicibus secans, intolerabiles se illi dolores afferre arbitrabatur. Illa vero, ac si capilli detunderentur, ita reputans quod dentes radicitus evellebantur, gratias Christo agebat, qui robur adversus C cruciatus præstaret, ac judicem verbis confundebat, deosque ac dæmones diris devovens, conspurcationem animi illorum cultum vocitabat. O ungues, mole quidem exigui atque ordine postremi, qui tamen magnarum ac perfectarum exstitistis auctores coronarum! O ungues, unguiæ et stactæ aliisque aromatibus similes, quibus Moses ille incensum compositionis præparans, suavis fragrantiæ hostiam Deo offerebat[9a].

Porro unguibus, manus pariter pedesque amputandos cruentissimus adjecit. Forte enim decebat, ut non solum tenuioribus, verum etiam robustioribus sanctæ virginis partibus Deo litaretur: ac D sicut vitis palmitibus eluxurians, quo magis superfluo germine putatur, tanto vitali ejus virtute angustiori coarctata spatio, majori copia pinguiorique botro fructificat, ac vinum e torcularibus uberius defluit; sic nimirum et virgo, quo membra putabantur, tanto illius confessionis flos vernabat, martyriique botri exuberantes, suavem patientiæ fragrantiam dabant; cruor denique certaminis, quasi suavissimi odoris copiosumque vinum abundanti latice fluens, quidquid extraneum impiumque erat, suffocabat; quidquid vero nostrum ac religiosum, gaudio perfundebat.

Inde jam et dentes violento præcepto, violenter

[8a] Cant. VII, 3. [9] Cant. IV, 10. [9a] Exod. XXX, 34.

Digitized by Google

ex sua evellebantur sede : *Dentes* nimirum *lacte candidiores* [10], ut Scripturæ verbis utar; doctrinæ puritatem omni incommistam malitiæ designantes ; suis autem cruoribus rubescentes, ac qui thuris instar in suavissimi odoris hostiam offerrentur.

Inde et lingua e gutture extracta, radicitus ferro amputari jubetur. Lingua utique ad divinas loquendum laudes ac Jesu testimonium, *calamus scribæ velociter scribentis* [11]; ad arguendam vero impietatem, *gladius acutus* [12], mendacii atque erroris caput abscindens.

Hisque omnibus in ea peractis, tanquam oliva fructifera [13] virgo inclyta, immaniter excisis tenellis ramis, nullam degeneris animi misit vocem. Nihil prorsus ignavia cessit, laxato quidquam mentis tenore. Etenim divina quævis anima propensiore in corpusculum affectu liberata, levique mentis penna ad eximiarum rerum contemplationem evolans, libenter admodum corruptibilis corporis depositionem amplectitur; ac quasi illi impedimento sit ad Deum plenius assequendum, dolet nimirum ac indigne fert quod cum illo versatur. Tale quid nimirum tunc et in Anastasia evenire cernebatur; quippe cum jam omnibus fere membris exsecta, ut et vocis organum putaretur, damnata esset, hactenus solum distulit, repulso carnifice, donec breve tempus ad orandum indulgeretur, hancque postremam lingua confessionem Domino offerret ; ac primum gratias agens pro auxilii, inque eam usque horam opitulationis, munere : tumque orans ut fausto exitu martyrii cursus illi perageretur ; ac sic inde oblatis Domino precibus, pro his qui animo, ac qui corpore ægroti, ad eam accessuri essent, sed et nihilominus audita e cœlo voce, quæ præstanda ea quæ petita essent, attestaretur, *Veni*, inquit carnifici ; *hoc facito quod incumbit, nihil veritus. Etsi enim vocis organum excideris, ne suavissimas illius voces recolere liceat, verum audit Deus etiam non loquentes.* Sicque præclara virgo theologo sponte protensa lingua, hac quoque cruenta putatur manu. Decimam hanc fortis animi pugil tyranno dedit pœnam. Decebat enim, ut quidem existimo, qui perfectus esset in malitia, adversus eam quæ perfecta esset inter martyres, perfecto furore congressum, perfecto numero, velut antiquus ille Pharao, decimo a Deo flagello cæsus adhucque induratus [14], hunc quoque decem tropæis infamari.

Fluebat igitur undique pretiosus virginis cruor, exque manibus, et pedibus, et ore, et uberibus ; corpusque affatim ac sature, velut regia purpura, tingebatur. Hic ferunt immaculatissimam tantisper elanguisse. Quemadmodum enim quæ naturam su-

ἕδρας βιαίῳ προστάγματι, βιαίως ἐξεσπῶντο· *Ὀδόντες, λευκοὶ μὲν ἦ γάλα*, κατὰ τὴν Γραφήν· τὸ καθαρὸν τῶν λόγων καὶ κακίας ἀπάσης ἀνεπίμικτον ἐμφαίνοντες· ἐρυθαινόμενοι δὲ τοῖς οἰκείοις αἵμασι, καὶ λιβανωτοῦ τρόπον εἰς εὐοσμον προσαγόμενοι θυσίαν.

Ἐντεῦθεν καὶ γλῶσσα τοῦ φάρυγγος ἐξελκυσθῆναι, καὶ σιδήρῳ ριζόθεν περιαιρεθῆναι προστέτακτο. Γλῶσσα, πρὸς θεολογίαν μὲν καὶ τὴν μαρτυρίαν Ἰησοῦ, *κάλαμος γραμματέως ὀξυγράφου*· πρὸς ἔλεγμὸν δὲ δυσσεβείας, *ὀξεῖα μάχαιρα*, τὴν τοῦ ψεύδους ἀποτέμνουσα κεφαλήν.

Καὶ τούτων ἁπάντων ἐπ' αὐτῇ τετελεσμένων, ὥσπερ ἐλαία κατάκαρπος ἀνηλεῶς τοὺς κλῶνας ἡ ἀοίδιμος ἐκκοπτομένη, οὐκ ἀφῆκεν φωνὴν ἀγεννῆ. Οὐκ ἐνέδωκεν ὅλως, τὸ τῆς διανοίας εὔτονον ὑποχαλῶσα. Καὶ γὰρ ψυχὴ θεία πᾶσα τῆς πρὸς τὸ σαρκίον ἀπαλλαγεῖσα προσπαθείας, κούφῳ δὲ τοῦ νοῦ πτερῷ πρὸς τὴν τῶν ὑπερφυῶν θεαμάτων ἀναδραμοῦσα θεωρίαν, ἡδέως ἄγαν τοῦ φθαρτοῦ σώματος τὴν ἀπόθεσιν ἀσπάζεται· καὶ ὡς ἐμποδὼν αὐτῇ γινομένου πρὸς τὴν τελειοτέραν τοῦ κρείττονος ἐπιτυχίαν, ἄχθεται δηλαδή, καὶ τὴν μετ' αὐτοῦ δυσχεραίνει διατριβήν. Τοιοῦτο δὴ τότε συμβαῖνον καὶ περὶ τὴν Ἀναστασίαν καθωρᾶτο· ἥ γε πᾶν ἤδη μέλος ὀλίγου δεῖν κατακοπεῖσα, ἐπειδὴ τὸ τῆς φωνῆς ὄργανον τμηθῆναι κατακέκριτο, τοσοῦτον ἀνεβάλετο μόνον, τὸν δήμιον παρῃτημένη, ὥστε μικρὸν αὐτῇ χρόνον εἰς προσευχὴν ἐνδοῦναι, καὶ ταύτην ὑστάτην Κυρίῳ διὰ γλώσσης ἐξομολόγησιν προσενεγκεῖν· εὐχαριστήσασα δὲ πρῶτον, τῆς ἐπικουρίας, καὶ ἄχρι τῆς ὥρας ἐκείνης ἀντιλήψεως· εἶτα *δεξιῷ* τέλει τὸν δρόμον τελέσαι τοῦ μαρτυρίου δεηθεῖσα· καὶ οὕτως ἔντευξιν ὑπὲρ ἀῤῥωστούντων ψυχὰς, ἀῤῥωστούντων σώματα, καὶ αὐτῇ προσιέναι μελλόντων, τῷ Κυρίῳ προσενέγκασα· καὶ μέντοι καὶ φωνῆς οὐρανόθεν τῶν αἰτουμένων τὴν δόσιν ἐπιμαρτυρούσης ἐπακούσασα, *Δεῦρο*, φησὶ τῷ δημίῳ, *τὸ παριστάμενόν σοι ποίει, μηδὲν ὑποστελλόμενος. Εἰ γὰρ καὶ τὸ τῆς φωνῆς ὄργανον ἐκκόψεις, ἵνα μὴ τῶν ἐκείνης ἡδίστων ἐπιμνησθῶ φωνῶν, ἀλλὰ καὶ σιωπώντων ἀκούει ὁ Θεός.* Καὶ οὕτω τὴν θεολόγον γλῶσσαν ἑκουσίως ἡ καλλίμαρτυς προτεινομένη, καὶ αὐτὴν χειρὶ μιαιφόνῳ περιήρηται. Δεκάτην ταύτην ἡ μεγαλότολμος ὑπέσχε τῷ τυράννῳ ποινήν. Ἔδει γὰρ, οἶμαι, τὸν ἐν κακίᾳ τέλειον, κατὰ τῆς τελείας ἐν μάρτυσι μανίᾳ τελείᾳ προσβαλόντα, ἐν ἀριθμῷ τελείῳ κατὰ τὸν πάλαι Φαραὼ δεκάκις πρὸς Θεοῦ μαστιγούμενον, καὶ ἔτι σκληρυνόμενον, καὶ τοῦτον δέκα τροπαίοις στηλιτεύεσθαι.

Ἔῤῥει μὲν οὖν πανταχόθεν τὸ τίμιον αἷμα τῆς παρθένου, ἔκ τε χειρῶν, ἔκ τε ποδῶν, ἔκ τε τοῦ στόματος, ἔκ τε τῶν μαστῶν. Ἐβαπτίζετο δὲ τὸ σῶμα κατακόρως, οἷα δὴ βασιλέως πορφύρα. Ἐνταῦθα μικρὸν τὴν πανάμωμον ὀλιγωρῆσαι λόγος (75).

[10] Gen. XLIX, 12. [11] Psal. XLIV, 2. [12] Psal. LVI, 5. [13] Psal. LI, 10. [14] Exod. XI, 1.

(75) *Μικρὸν ὀλιγωρῆσαι λόγος.* Quasi tenorem tantisper remisisse, et quod mitius reddidi, *elanguisse* ; ut idem hic ea vox significet quod sequens, ἐκλυομένη. Lipomani interpr., *cum parum defecisset.* Sic passim in sanctis Deus humana miscet divinis, ne quis in se glorietur, sed in Deo, ex quo tota illi virtus est.

Digitized by Google

Ὥσπερ γὰρ τὰ ὑπὲρ φύσιν διὰ τὸν ὑπὲρ φύσιν ἐν αὐτῇ μεμενηκότα· οὕτω καὶ τὰ κατὰ φύσιν δι' αὐτὴν ὁρᾶσθαι. Τῇ τοίνυν ἀποῤῥοῇ τοῦ αἵματος ἐκλυομένη, μικρὸν ἤτησεν ὕδωρ εἰς ἔκκλυσιν τοῦ στόματος. Ἐπαδίδου δέ τις ἀνὴρ, ὁ μὲν τὴν θρησκείαν καθ' ἡμᾶς· κατ' ἐκείνους δὲ, μέχρι τοῦδε νομιζόμενος. Κύριλλος ὄνομα τῷ ἀθλητῇ. Ὃν ὁ Πρόβος ἰδὼν, καὶ οὐχὶ συμπαθείᾳ φύσεως μόνον, ἀλλὰ καὶ ταυτότητι πίστεως πρὸς τὴν ἀθλοφόρον διακείμενον ἐγνωκὼς, τὴν ἐπὶ θανάτῳ προσέταττεν ἀπάγεσθαι.

Ἐπεὶ δὲ λαμπρὰ μὲν ἡ αἰσχύνη κατεκέχυτο τῷ πειραστῇ, λαμπροτέρα δὲ ἡ νίκη τῆς ὑπεράθλου (76) κατεφαίνετο, τὸν τῆς μαρτυρίας μὲν δίαυλον περαινομένης, ἐγγὺς δὲ τῶν στεφάνων γινομένης, ἐξενεχθῆναί τε τῆς πόλεως, καὶ καρατομηθῆναι κατακέκριται. Οὐ γὰρ ἔφερεν ὁ ἀνταγωνιστὴς ἔτι, ἀπαλῆς ὑπὸ κόρης καταπαίζεσθαι ποσίν. Ἔδει δὲ κατὰ τὸν Αἰγύπτιον καὶ τοῦτον σκληρυνόμενον, καὶ ἔσχατον δὴ τοῦτο κατὰ τῆς Ἰσραηλίτιδος ταύτης παιδὸς ἐστρατοπεδευκότα, τῆς μὲν ἀστοχῆσαι πάντως, καθάπερ ἀμιάντου περιστερᾶς, τῇ διαιρέσει τῆς κεφαλῆς ἀπὸ τοῦ σώματος ἐκπετασθείσης, καὶ πρὸς τὰ; ἄνω κατευθυνθείσης μονάς· τοῦ δὲ τοῖς ἐρυθραίοις αἵμασιν ἐκείνης ἐναποπνιγέντος, καὶ ταύτην δὴ κόλασιν ἔνδικον τῆς ἀδικωτάτης ἐπιθέσεως ὑπεσχηκότος.

Οὕτως Ἀναστασία τὸν βαρὺν ἀντίζηλον, τὸν ψυχοφθόρον ὄφιν, τὸν σφοδρῶς μὲν κατ' αὐτῆς ἐῤῥαγέντα, σφοδρότερον δὲ ταύτης ἐκκρουσθέντα, καθάπερ πηλὸν πλατειῶν τοῖς ὡραίοις ποσὶ καταλεάνασα, εἰς χάος ἀμήχανον καὶ χηραμοὺς ταρταρίους ἐξεῤῥίψατο. Αὐτὴ δὲ θείοις ἀγγέλοις ἑαυτὴν παραθεμένη, ἀρχαγγέλοις ὁδοποιουμένη, καὶ πάσαις δὲ ταῖς ὑπερκοσμίοις δυνάμεσι προπεμπούσαις καὶ δεξιουμέναις αὐτὴν, κλεῖζομένη καὶ συγκροτουμένη, τῷ βασιλεῖ καὶ νυμφίῳ μετὰ δόξης προσάγεται Χριστῷ· ἀμαραντίνῳ καταστέφεται τὴν κεφαλήν· ἀμοιβὰς ἀναλόγους τῶν πόνων, μᾶλλον δὲ πολλῷ κρείσσω καὶ ὑψηλότερα παρὰ τῆς ἐκείνου λαμβάνει δεξιᾶς. Τὰ πανώραια δὲ τῆς ἀμιάντου μέλη, τὰ παντὸς χρυσίου τιμιώτερα, τὰ παντὸς λίθου τιμίου τιμαλφέστατα, γυψὶ μὲν καὶ θηρσὶ βορὰν, ὁ θηρῶν ἁπάντων ὠμότατος ἐκδέδωκεν· ἀνέπτυφα δὲ τούτοις, καὶ ἄψαυστα διὰ προνοίας τοῦ πάντα τὰ τῶν δικαίων φυλάσσοντος ὁστᾶ, μεμενηκότα, τῇ ἱερᾷ πρὸς κηδείαν ὁποδέδοται Σοφίᾳ· καὶ τίνα τρόπον; Οὐδὲ γὰρ τοῦτο σιγῆσαι δίκαιον.

Ἡγωνία μὲν γὰρ, ὡς εἰκὸς, ἡ καλὴ μήτηρ ὑπὲρ τῆς κατὰ πνεῦμα καλλίστης θυγατρός. Ἡγωνία, μή τι περὶ τὰς βασάνους ἀγεννὲς παθοῦσα, τὰς ὑποσχέσεις διαψεύσηται. Ἔῤῥιπτο τοίνυν ἐπ' ἐδάφους οἶκοι κατακεκλιμένη, καὶ γοεραῖς οἰμωγαῖς τὸν

perant propter eum qui natura superior est, in ea persteterant, sic et ejus gratia visa ea, quæ essent ex natura. Cruoris igitur copia clanguescens, modicam aquam petiit, qua os elueret. Porrexit vir quidam, Christianus quidem religione, sed qui hactenus gentilium sectæ existimaretur : Cyrillo athletæ nomen erat. Quo Probus conspecto, nec naturæ solum miseratione, sed et ejusdem fidei commercio in pugilem propense affectum intelligens, eam quæ ad mortem est, duci præcepit.

Quod vero tentatori splendida offusa confusio erat, splendidiorque, quam pro certaminum alea superiori, victoria affulserat, quæ et martyrii stadium finiret, ac prope jam coronas aspiceret, ejecta urbe, capite plecti condemnata est. Non enim ultra ferebat adversarius, ut delicata puella conculcante, ei illuderetur. Decebat enim ut velut Ægyptius ille, hic quoque induratus, postrema hac adversus Israelitidem istam expeditione, suo in illam prorsus conatu frustraretur, quæ velut incontaminata columba, dissecta cervice a corpore evolasset, et ad cœlestia habitacula recta commeasset, illo rubris illius cruorum fluctibus suffocato, hacque utique justa pœna iniquissimæ aggressionis multato.

In hunc itaque modum Anastasia, gravem æmulum, animarum corruptorem serpentem, valide sane in eam aggressum, validiusque ab ea repulsum, cum sicut lutum platearum [15] speciosis pedibus comminuisset, in immensum chaos tartareaque lustra foveasque projecit : ipsa vero divinis angelis sese commendans, archangelis viam facientibus, cunctisque supercœlestibus potestatibus præeuntibus eamque accipientibus, magnifico ornatu plausuque Christo Regi ac Sponso cum gloria offertur : immarcescibili serto caput coronatur; pro laborum ratione justas vices (quinimo longe meliora sublimioraque) ab illius accipit dextera. Formosissima vero intemeratæ membra, auro quovis pretiosiora, omnique lapide pretioso cariora; vulturibus bestiisque, ab homine bestiis omnibus immensum crudeliori escam data, iis vero intacta, nihilque læta illius providentia servata, qui custodit omnia ossa justorum [16], sanctæ Sophiæ ad justa iis persolvenda reddita sunt. At quonam id modo? Neque enim reticere operæ pretium est.

Etenim anxia merito erat proba mater pro optima ac pulcherrima secundum spiritum filia. Anxia erat atque timebat ne degeneris aliquid animi inter tormenta illi accideret, ac sponsiones votaque falleret. Nudo itaque projecta solo domi jacebat, lu-

[15] Psal. xvii, 43. [16] Psal. xxxiii, 21.

(76) *Ἡ νίκη τῆς ὑπεράθλου.* Quasi jam certamine emerita, et quæ plura ac supra modum illa desudasset : novem jam perfuncta tormentis ; et cui unum novissimum restaret ac decimum, exsecta cervice.

Digitized by Google

gubrique gemitu querula ---prius ex Altissimum ro- A Ὑψιστον ἐλιπάρει, μὴ ἡττηθῆναι τὴν παῖδα τῶν
---, ne aura blanditiis cederet, ne minis subigeretur, ne tormentis flecteretur, ne minori usquam constantia persecutoribus appareret. Ubi autem res illi fauste successerat, virgoque, quam illa exspectaverat, meliori exitu nacta consummationem erat, rei nuntius angeli ad eam perfertur voce: quo ipso etiam viæ duce usa, collectisque triumphalis martyris segmentis, atque mundis linteis involutis, multoque lacrymarum imbre perfusis, ejuscemodi vocibus præclare victricem affabatur :

κολακειῶν, μὴ χειρωθῆναι ταῖς ἀπειλαῖς, μὴ καταχαμφθῆναι ταῖς τιμωρίαις, ἐν μηδενὶ τῶν διωκτῶν ἥττω φανῆναι. Ἐπεὶ δὲ τὰ κατ' αὐτὴν ἀπέβη δεξιῶς, καὶ ὡς οὐδ' ἂν αὐτὴ προσεδόκησεν, κρεῖττονος ἡ παρθένος ἔτυχε τῆς τελειώσεως, ἀγγέλλεται μὲν αὐτῇ τοῦτο δι' ἀγγέλου φωνῆς· αὐτῷ δὲ τούτῳ καὶ καθηγεμόνι τῆς ὁδοῦ χρωμένη, καὶ τὰ τῆς ἀθληφόρου τμήματα συλλεξαμένη, καὶ καθαραῖς ταῦτα σινδόσιν ἐντυλιξαμένη, δάκρυσί τε καταδιαίνουσα πολλοῖς, τοιούσδε λόγους τῇ καλλινίκῳ προσεφώνει·

Filia mea, aiebat, *amantissima filia, quam ab infantia præclare educavi, ac pietatis documentis instituì : omnisque generis virtutis modos docens, sponsam castam, virginem intemeratam exhibere optavi : gratias ago, quod admoniliones meas oblivioni minime tradidisti, sed meo de te scopo ac destinationi, tua comes voluntas animique incitatio fuit. Quamobrem tanquam cervus desiderans ad fontes divinorum fluentorum, etiam atque etiam sitiens ad Deum, fortem, vivum, transiisti in locum tabernaculi admirabilis et confessionis sonitus festum diem agentium* [17]*; cœlisque superatis, spiritali thalamo admota es, divinisque nuptiis cubili sociata. Te enim cepit odor unguentorum* [18] *immortalis sponsi, cujus nomen unguentum effusum nuncupatur. Quamobrem eum dilexisti ; traxisti eum ; in tuo corde conquiescere fecisti. Ferculum Regi fuisti* [19]*, filia, ut venerabile Canticum loquitur, cujus acclinatorium, aurum ; ascensus ejus, purpura* [20]*; intimum ejus, lapidibus constratum. Idcirco tum simul dilecta, tum divinæ charitatis eximie vulnerata es; ad eum provecta, virtutibus dealbata ac suffimento incensa, quæque vicissim eum attrahas, ac virginalis cordis tui geniali lectulo quiescere facias.*

Τέκνον ἐμόν, λέγουσα, πανέραστον· τέκνον, ὃ παιδιόθεν καλῶς ἀνεθρεψάμην, καὶ τοῖς τῆς εὐσεβείας συναγήγαγον διδάγμασιν· καὶ τρόπους ἀρετῆς παντοίας ἐκπαιδεύουσα, τῷ Χριστῷ νύμφην ἀγνὴν, παρθένον ἀμίαντον ηὐξάμην παραστῆσαι, εὐχαριστῶ σοι, ὅτι οὐ διήμαρτον τῶν ἐμῶν ἐλπίδων ἐπὶ σοί· ὅτι οὐκ ἐπελάθου μου τῶν παραινέσεων, ἀλλὰ τῷ ἐμῷ περὶ σοῦ σκοπῷ καὶ ἡ σὴ πρόθεσις συνέδραμεν. Ὅθεν ὡς ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν θείων ἐπιποθήσασα ὑδάτων ναμάτων, διψήσασα σφόδρα πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα, διῆλθες ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ, διῆλθες ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἦχον ἑορταζόντων· καὶ τοὺς οὐρανοὺς διεβιβάσθης, καὶ τῷ νοερῷ νυμφῶνι προσηνέχθης, καὶ εἰς τοὺς θείους ἀνεκλίθης γάμους. Ὀσμὴ γὰρ εἶλέν σε μύρων τοῦ ἀθανάτου νυμφίου, οὗ τὸ ὄνομα μύρον ἐκκενωθὲν καλεῖται. Ὅθεν ἠγάπησας αὐτόν· εἵλκυσας αὐτόν· ἐπὶ τὴν σὴν τοῦτον ἀνέπαυσας καρδίαν. Φορεῖον ἐγένου, θύγατερ, κατὰ τὸ σεμνότατον Ἆσμα, τῷ Βασιλεῖ· οὗ τὸ ἀνάκλιτον, χρυσίον· ἡ ἐπίβασις αὐτοῦ, πορφύρα· τὸ ἐντὸς αὐτοῦ, λιθόστρωτον. Διὰ τοῦτο ἠγαπήθης τε ἅμα, καὶ τῆς θείας ἀγάπης ὑπερῳδῶς ἐτρώθης· ἀναγομένη μὲν πρὸς αὐτὸν, λελευκανθισμένη ταῖς ἀρεταῖς καὶ τεθυμιαμένη· ἐπισπωμένη δὲ πάλιν αὐτὸν, καὶ τῇ τῆς παρθενικῆς σου καρδίας προσαναπαύουσα παστάδι.

Quid igitur retribuemus Domino pro muneris magnificentia ? Quid dicam ? Quid fiam ? Quomodo laudabo ? Quomodo tantam beneficii molem enarrabo ? Egena lingua est, egena et mens. O quomodo gratias agam inexplicabili tuæ bonitati ? Quomodo dignum aliquid loqui possim, o Domine, infinitæ benignitati tuæ ! Nam spiritus quidem magnitudinis gratiæ paulatim sensu percepto, cupiditate agitur : saliens ac alacris est ; verum deficitur, sermonem non habens, ut digna majestate repræsentet quod mente concipitur. Jam ergo cesset lingua; mens vero beneficentiæ tuæ altitudinem, o bonorum omnium auctor ac Pater ! secum ipsa cogitans, laudet, quod charissimam filiam meam, tuam fieri dignatus es : Quod mearum admonitionum fructum, velut divinum pignus, in cœlestia sursum vehis horrea : Quod meam margaritam tua dignam corona judicasti, atque angelis conseruisti, apostolisque ac martyribus contubernalem fecisti.

Τί οὖν ἀντιποδώσομεν Κυρίῳ τῆς μεγαλοδωρίας ; Τί εἶπω ; τίς γένωμαι ; πῶς ὑμνήσω ; πῶς ὄγκον τοσοῦτον εὐεργεσίας ἐξαγγείλω ; Ἀπορεῖ μὲν ἡ γλῶσσα· ἀπορεῖ δὲ ὁ νοῦς. Ὦ πῶς εὐχαριστήσω τῇ ἀνεκφράστῳ σου χρηστότητι ; Πῶς ἂν ἄξιόν τι φθεγξαίμην, ὦ Δέσποτα, τῆς ἀπείρου σου φιλανθρωπίας ; Τὸ πνεῦμα μὲν γὰρ τοῦ τῆς χάριτος ἠρέμα διαισθανόμενον μεγέθους, ἅλεται διαλλόμενον καὶ προθυμεῖται· ἀπορεῖ δὲ, λόγον οὐκ ἔχον ἀξιοπρεπέστατα παραστῆσαι τὸ νοούμενον· λοιπὸν ἡρεμείτω γλῶσσα· ὁ νοῦς δὲ, τὸ σὸν ὕψος τῆς ἀγαθουργίας, ὦ πάντων ἀγαθῶν ἀρχηγὲ καὶ Πάτερ, καθ' ἑαυτὸν λογιζόμενος, ὑμνείτω, ὅτι τὸ ἐμὸν ἐπέραστον τέκνον, σὸν γεγονέναι κατηξίωσας· ὅτι τὸν τῶν ἐμῶν νουθεσιῶν καρπὸν, οἷα δὴ κειμήλιον θεῖον εἰς οὐρανίους ἀνάγεις ἀποθήκας· ὅτι τὸν ἐμὸν μαργαρίτην ἄξιον ἔκρινας τοῦ σου στεφάνου, καὶ ἀγγέλοις συνέζευξας, καὶ ἀποστόλοις καὶ μάρτυσιν ὁμόσκηνον ἀπέδειξας.

[17] Psal. xli, 2-5. [18] Cant. i, 2. [19] Cant. iii, 9. [20] Ibid. 10.

Digitized by Google

Διὰ τοῦτο χαίρω· πρὸς σὲ γὰρ αὖθις, ὦ τιμία μοι καὶ φιλτάτη κεφαλή, τὸν λόγον ἐπιστρέφω· καὶ λίαν ἐπὶ σοὶ, ποθεινοτάτη, χαίρω. Χαίρω τὰ σὰ μέλη διεσπαρμένα συναγείρουσα· τέρπομαι καὶ κατατέρπομαι, ὅτι νῦν ἔχεις ἀλώβητα σωζόμενα, καὶ τῇ κεφαλῇ συνηνωμένα, Χριστῷ· ὅτι οὐκέτι σὰ ταῦτα, ἀλλ' αὐτοῦ πέφυκε Χριστοῦ, ὑπὲρ οὗ καὶ δι' ὃν αἱμοβόροι θῆρες κατεδάσαντο. Ὦ μέλη, σταχύων τρόπον σιδήρῳ θερισθέντα, καὶ τῇ τῶν πειρασμῶν ἅλῳ συντριβέντα, καὶ τὸν τῆς ὁμολογίας σῖτον καθαρώτατον ἀποδόντα τῷ Δεσπότῃ. Μέλη, καθάπερ ἐλαῖαι πίονες τῷ μηχανήματι τῶν κακούργων στρεβλωθέντα, καὶ τὸ τῆς ἀγαλλιάσεως ἔλαιον τῷ ἐκπιεσμῷ κατασταλάζοντα.

A *Idcirco gaudeo (ad te enim rursus, o charum amicissimumque caput, orationem converto), valdeque de te, desideratissima, gaudeo. Gaudeo, dum dispersa membra tua congrego. Placet, etiamque atque etiam placet ac delectat, quod nunc incolumia habeas, ac Christo capiti conjuncta. Quod non illa tua sint, sed ipsius Christi facta, pro quo, ac propter quem cruentæ bestiæ devorarant. O membra, segetum instar ferro demessa, ac tentationum area contrita; quæque mundissimum confessionis triticum Domino reddiderunt! Membra, velut oleæ pingues nefariorum hominum molitione torta machina, oleumque exsultationis compressione stillantia!*

Οὐ κλαύσομαι τοίνυν ἐπὶ τούτοις· οὐ σπαράξομαι χιτῶνα, οὐ κατατεμῶ βραχίονα, οὐκ ἀποδρύψομαι παρειὰς, οὐ θρηνῴδη ῥήξω φωνὴν, οὐκ ᾄσμα γοερὸν ᾄσω, οὐ ῥῆμα προήσομαι βλάσφημον, οὐκ ἀπολοφυροῦμαι τὴν σὴν κατατομήν. Ὅτι οὐ κατετμήθης μοι, φίλτατον τέκνον, μᾶλλον συνεπάγης δέ. Οὐ διεσπάσθης, συνηνώθης δέ. Χριστῷ γὰρ συναποθνήσκουσα, πιστὸς ὁ λόγος, ὅτι καὶ συζήσεις αὐτῷ. Τούτῳ πρὸς βραχὺν συνατιμωθεῖσα καιρὸν, δι' αἰῶνος αὐτῷ συνδοξασθήσῃ. Ἀλλὰ δέομαί σου, ὦ θύγατερ, μᾶλλον δὲ κυρία λοιπὸν καὶ μῆτερ πνευματική· σύ μοι κατὰ τὸ βραχὺ τῆς ἐν σαρκὶ ζωῆς, καὶ σὺ πρὸς ἄλλον μεταπιπτούσῃ βίον, παράστηθι πόνων ἀλεξίκακος, ἁμαρτιῶν ἴλασμὸς, καὶ ψυχῆς παράκλησις ἀγαθὴ, καὶ διαιωνίζουσα παραψυχή. Μὴ ἐμοὶ δὲ μόνῃ, μὴ ἐμοί· ἀλλὰ καὶ πᾶσι τοῖς πιστῶς ἐπικαλουμένοις σε, θεόνυμφε, γενοῦ προσφύγιον καὶ σωτηρία, ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

B *Non igitur lugebo super istis: non discerpam tunicam, non brachium concidam, non unguibus genas laniabo, non vocem lugubrem rumpam, non deplorabo tuam concisionem; quod nimirum non mihi concisa sis, charissima filia, sed magis compacta; nec distracta, sed counita: Christo enim commoriens, fidelis sermo fore ut et ei convivas [21]. Cum illo ad breve tempus dehonestata, in æternum conglorificaberis. Verum rogo te, filia, seu potius domina jam ac mater spiritualis! tu mihi per brevem hanc in carne vitam, tuque ad aliam transeunti vitam, præsto sis laborum depultrix, peccatorum propitiatio, animi bona consolatio, perpetuum refrigerium. Nec mihi solum, mihi, inquam, sed et cunctis te fideliter invocantibus, Dei sponsa, esto refugium et salus, in Christo Jesu. Amen.* C

Τούτους ἡ Σοφία τοὺς ἐπιταφίους σὺν θερμοῖς ἄγαν καὶ γλυκυτάτοις δάκρυσιν ἐπιφωνοῦσα, ἕκαστον δὲ μέλος καταῤῥαίνουσα καὶ κατασπαζομένη, ἐπεὶ μὴ εἶχεν δυνάμεως μόνη συγκομίσαι, δύο τινὲς ἐξαίφνης ἱεροπρεπεῖς τὸ εἶδος, ἀσκητικοὶ τὸν βίον, ἐπιστάντες, καὶ τὸν ἱερὸν φόρτον ἐκεῖνον τῇ τιμίᾳ γραΐδι συναράμενοι· ἔγγιστα δὲ τῆς Μεγάλης Ῥώμης τόπῳ σεμνῷ προσηγγικότες, μετὰ φώτων καὶ ὕμνων κηδεύσαντες, κατέθεντο.

Hos Sophia sepulcrales sermones fervidis valde dulcissimisque elocuta lacrymis, singulaque membra irrigans ac amplexata, cum sola per vires comportare non posset, duo quidam repente venerabili religiosaque specie, vitæ asceticæ cultores, astantes, sacrumque illud onus una cum venerabili vetula tollentes, ac vicino admodum Magnæ Romæ venerabili loco admoventes, cum luminibus et canticis justa peragentes deposuerunt.

Τοιαύτης κατ' ἀρχὰς ἀγωγῆς ἡ ἀοίδιμος εὐμοιρηκυῖα, τοσαύτης βασάνων οὐχ ἡττηθεῖσα τρικυμίας, τοιούτου δὲ τέλους τρισολβίου καταξιωθεῖσα, τίσιν ἂν τῶν πάλαι γνωρίμων ἐπ' εὐσεβείᾳ γυναικῶν, τίσι δὲ τῶν ὕστερον εὐδοκιμησασῶν ἀντεξεταζομένη, οὐ πολὺ λειπόμενον τὸ πρὸς αὐτὴν συγκρινόμενον ἐλέγξειεν; Ὧν μὲν γὰρ ἐν πίστει, τὴν πρὸς τὸ Θεῖον ἐνδειξαμένων εὐδοκίμησιν· οἷον, Σάῤῥας ἐκείνης τῆς τοῦ Ἀβραάμ· Ῥεβέκκας, Ῥαχὴλ· Ἄννης πρὸς αὐταῖς, τῆς τοῦ Σαμουὴλ· Δεβώῤῥας, Ἰουδὶθ, Ἐσθήρ· δοκῶ μοι προσθήσειν, καὶ Ἄννης τῆς τοῦ Φανουὴλ, καὶ Ἄννης ἄλλης τῆς Ἰωακεὶμ, καὶ τῆς Ἐλισάβετ Ζαχαρίου· ὧν δὲ πάλιν ἐνάγαπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ τὸ κράτος ἀπενέγκασθαι λεγομένων· οἷον, τῆς πρωτομάρτυρος ἐκείνης καὶ καλλιπαρθένου Θέκλης· καὶ πρὸ αὐτῆς, τῆς παρὰ τοῖς Εὐαγγελίοις Μαγδαληνῆς Μαρίας· μετὰ ταύτας, Εὐφημίας, Εἰρή-

D Talia principio educatione inclyta Virgo potita, tantaque tormentorum ei superata procella, talem denique ter beatum finem nacta, quibusnam olim pietatis ergo clararum mulierum, quibusnam earum quæ postea claruerunt, comparata, non longe a se deficere minorisque præ illa esse arguerit? Ex quibus nimirum, aliæ fidei merito virtutis in Deum specimen dederint; cujusmodi sunt, Sara illa Abrahæ conjux, Rebecca, Rachel: Anna præterea, Samuelis mater; Debora, Judith, Esther. Addam et Annam Phanuelis, Annamque aliam Joachim, et Elisabet Zachariæ: aliæ vero rursus, dilectione in Christo Jesu præfulsisse palmamque reportasse dicantur; cujusmodi sunt protomartyr illa ac præclara virgo Thecla; illaque prior, quæ in Evangeliis legitur, Maria Magdalena: postque illas Euphemia, Irene, Æcatharina, Sophia cum filiabus

[21] II Tim. II, 11.

Digitized by Google

suis, Fide, Spe et Charitate; Ripsimia et Febronia, aliæque post eas. Has omnes partim superavit Anastasia, partim vero æquavit. Quinimo superavit omnes, nisi audax dictu istud videatur; illas quidem quæ fide magnifice clarere creduntur, charitatis perfectione præcellens; illas vero quæ charitatis perfectione splendent, fidei excellentia vincens. Ac si libet, fide quidem eximie perfecta, his quæ fide consummationem habeant; charitatis vero excellentia illis præstat, quæ sincere charitate diligant. Cunctis porro sanctis adolescentulis divinarum gratiarum cumulo tantum eminet, quantum pluribus acerbioribusque pro Christi dilectione fideque perfuncta tormentis, acerbiore casu adversarium elisit.

Sed, o puella, prorsus immaculata ac incorrupta! quæ prius quidem religiose exercens, corporis vitia ac libidines mortificasti (imo, ne exstare quidem in te a principio ista permisisti) quæque deinde certaminis palæstra, ipsa quoque membra, in quibus illis vigere comparatum est, putata amisisti ut soli Christo in Spiritu viveres! O Christi sponsa et soror et mater [22]! castissimam, quoad licet, Dei Matrem imitata; ac animo quidem in carne ipsa quoque præpurgata, velutque divino quodam semine conceptis Spiritus primitiis, variisque propter illum tormentis enixa, ac quæ Spiritu salutis Christo Domino in corde genito, ad eum gaudens commigrasti.

O sexus sexum omnem eximie vincens: sexus muliebris in virili sensu. Quinimo natura indolesque hominis in angelica elucens mente atque virtute, quæ igni, ferro omnisque generis tormentis congressa; ac cum postea abscissæ mammæ, manusque ac pedes, evulsique dentes; ac lingua primum, tum cervix cæsa esset, Christum non prodidisti, aut quæ est in illum, fidem mentita es, accipe tenues has sermonum primitias. Quid enim hæc oratio ad tuam virtutem, quam laudant angelorum acies, celebrantque cœlestes omnes Potestates? Animum tamen, o incorruptissima! acceptum habens, exsuscita nos de lacu miseriæ et de luto fæcis, ut quæ Resurrectio sis ac dicaris, veramque Resurrectionem Christum in te refeceris; et statue super petram pedes, animique gressus nobis dirige; ut tuo numine meliorem vitam divinioremque resurrectionem consecuti, gloriam et laudem et gratiarum actionem submittamus, Patri et Filio et Spiritui sancto, in sæcula sæculorum. Amen.

[22] Matth. XII, 50.

(77) *Εἰρήνης*. Duæ Irenes Græcis pariter Latinisque tabulis celebres; etsi illis parum variantibus, nec liquet cui potissimum a Justiniano erecta celebris illa sanctæ Irenes basilica, cujus Procopius meminit libro I, ac cum qua Nicetas hic Anastasiam comparat.

(78) *Σοφίας*. Sophiæ et filiarum martyrum diem natalem Græci recolunt 17 Septembris. Allis diebus ascriptum Romanæ tabulæ.

νης (77), Αἰκαθερίνης, Σοφίας (78), καὶ τῶν θυγατέρων αὐτῆς, Πίστεως, λέγω, καὶ Ἐλπίδος καὶ Ἀγάπης· Ῥιψιμίας (79), Φεβρωνίας, καὶ τῶν ἑπομένων αὐταῖς. Τούτων πασῶν Ἀναστασία, ὧν μὲν ὑπερέσχεν, ὧν δὲ κατὰ ταυτὸν ἠνέχθη. Μᾶλλον δὲ, πασῶν ὑπερέσχεν, εἰ μὴ τολμηρὸν εἰπεῖν· τῶν μὲν ἐν πίστει λαμπρῶς εὐδοκιμεῖν πιστευομένων, τῇ τῆς ἀγάπης ὑπερβαλούσῃ τελειότητι· τὰς ἐν ἀγάπῃ δὲ τελειότητι κλεϊζομένας, τῇ ὑπερβολῇ τῆς πίστεως νικήσασα. Εἰ βούλει δὲ, πίστει μὲν ὑπερτελεῖ τὰς ἐν πίστει τετελειωμένας, ὑπερβολῇ δὲ ἀγάπης τὰς ἀκραιφνῶς ἀγαπώσας παρευδοκιμεῖ. Πασῶν δὲ νεανίδων ἁγίων κατὰ τοσοῦτον ταῖς θείαις χάρισιν ὑπέρκειται, καθ' ὅσον καὶ πλείοσι καὶ δριμυτέραις ταῖς ὑπὲρ ἀγάπης Χριστοῦ καὶ πίστεως περιπεσοῦσα τιμωρίαις, δριμύτερον κατέῤῥαξε τὸν ἀνταγωνιστήν.

Ἀλλ', ὦ κόρη πανάμωμε καὶ πανάφθορε, ἡ τῇ ἀσκήσει μὲν πρότερον τὰ πάθη νεκρώσασα τοῦ σώματος· μᾶλλον δὲ, μηδὲ τὴν ἀρχὴν ἐν σοὶ ταῦτα συγχωρήσασα· τῇ ἀθλήσει δὲ τὸ δεύτερον, καὶ αὐτὰ τὰ μέλη, οἷς ἐνεργεῖσθαι πέφυκε τὰ πάθη, περιαιρεθεῖσα, ἵνα μόνῳ ζήσῃς ἐν πνεύματι Χριστῷ. Ὦ νύμφη Χριστοῦ καὶ ἀδελφὴ καὶ μήτηρ, ἡ τὴν ὑπέραγνον, ὡς δυνατὸν, Θεομήτορα μιμησαμένη· καὶ ψυχὴν μὲν καὶ σάρκα τῷ Πνεύματι καὶ αὐτὴ προκαθαρθεῖσα, τὴν ἀπαρχὴν δὲ τοῦ Πνεύματος οἷα δὴ σπέρμα θεῖον ἐλλαβοῦσα· καὶ διὰ τῶν ὑπὲρ αὐτοῦ μὲν ποικίλων ὠδινήσασα τιμωριῶν, πνεῦμα δὲ σωτηρίου Χριστὸν Κύριον ἐν καρδίᾳ γεννήσασα, πρὸς ὃν χαίρουσα μετέστης.

Ὦ φύσις ὑπερφυεστάτη· φύσις γυναικὸς ἐν ἀνδρείῳ φρονήματι· μᾶλλον δὲ, φύσις ἀνθρώπου ἐν ἀγγελικῇ διανοίᾳ καθορωμένη καὶ δυνάμει· ἡ πυρὶ καὶ σιδήρῳ καὶ παντοδαποῖς μηχανήμασι περιβληθεῖσα· εἶτα μαστοὺς ἀφαιρεθεῖσα· χεῖράς τε καὶ πόδας, καὶ τοὺς ὀδόντας ἐκκοπεῖσα· γλῶσσαν μὲν πρῶτον, ἔπειτα τὴν κεφαλὴν τμηθεῖσα· τὸν δὲ Χριστὸν οὐ προεμένη, οὐδὲ τὴν εἰς αὐτὸν πίστιν ψευσαμένη, δέξαι τὴν μικρὰν τῶν λόγων ἀπαρχήν. Τί γὰρ οὗτος ὁ λόγος πρὸς τὴν σὴν ἐστιν ἀρετὴν, ἣν ἀγγέλων ὑμνοῦσι στρατιαὶ, πᾶσαι τῶν οὐρανῶν Δυνάμεις ἐπαινοῦσιν; Ἀλλὰ τὴν πρόθεσιν, ὦ πανακήρατε, προσηκαμένη, ἀνάστησόν ἡμᾶς ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος, ὡς ἀνάστασις οὖσα καὶ καλουμένη· καὶ τὴν ὄντως ἀνάστασιν ἐν σοὶ μυστικῶς ἀναπαύουσα, Χριστόν· καὶ στῆσον ἐπὶ πέτραν τοὺς πόδας, καὶ κατεύθυνον ἡμῖν τῆς ψυχῆς τὰ διαβήματα· ὅπως διὰ σοῦ ζωῆς κρείττονος καὶ ἀναστάσεως τετυχηκότες θειοτέρας, δόξαν καὶ αἶνον καὶ εὐχαριστίαν ἀναπέμψωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(79). *Ῥιψιμίας*. Ripsimiæ virginis sacræ in Armenia memoriam sub Tiridate rege, a quo ejus frustra tentata pudicitia est, Latini recolunt 29 Sept., Græci 30. Febroniæ item virginis celeberrimæ utrique 25 Junii: ut sicut nobilissimas matronas veteris testamenti, sic et novi clarissimas (Byzantii maxime) mulieres adduxisse Nicetas putandus sit ut omnibus parem aut fere superiorem prædicando Anastasiam, luculentum ei encomium texeret.

Digitized by Google

AD SANCTORUM EUSTATHII

THEOPISTES AC LIBERORUM

ACTA ANTIQUA EORUMQUE LAUDATIONEM NICETA AUCTORE

FR. COMBEFISII MONITUM *.

Sancti Eustathii et sociorum martyrum, quæ produco, ipsa vere Acta antiqua sunt ; quorum auctor, quibus ad ea præfatur, æqualem se (quod ipsum vir plane πολυΐστωρ, juxta ac κριτικώτατος; Leo Allatius, sua illa de Symeonibus eorumque scriptis dignissima luce, mihique hactenus deposito tradita diatriba censuerat) sanctis iisdem martyribus serio prodit ac significat. Nec falso eum prodere, indicat ipse character, quem gravissimum atque simplicem, nulliusque interpolantis temeratum manu (quod vel levi conjectura deprehendi queat) vir Christiana simplicitate solertissimus, iis indidit. Nec vere de illis, si in manus venissent, dicturum arbitror illustrissimum annalium patrem, quod de iis quæ ipsis versaverat, (Metaphrastis scilicet nomine Latine vulgatis) Christi anno 120, n. 4, ita pronuntiavit : *Putamus tamen eis multa superaddita esse* ; sed pro suo candore, mitiori censura illa habiturum : seu potius digna vere *tanti martyrii Acta, cujus Romæ memoria egregiis illustrata monumentis* ; quin urbe agroque Parisiensi, tutela, pignoribus charissima ; quin utroque orbe Christiano in perpetuum florentissima, summeque veneranda ; sic augusta, sic plana, sic fuco omni carentia, veneraturum, laudaturum ; iis, ceu gemma pulcherrima, ac pretiosissima amplissimos Annales suos ornaturum. De illis Metaphrastis nomine sic vulgatis quid sentiam ipse, paucis expedio.

Dispexi illa attentius ; quin mihi etiam ex altero eminentissimi cardinalis Mazarini probato codice, eadem hæc Latina feci ; tantisper offensus interpretis stylo paulo humiliori, ubi auctor illo non male nitet atque assurgit. Addita vix occurrunt, seu alia ac antiquus auctor ediderat. Solemni potius more ejusmodi μεταφράσεων, quædam leviuscule aucta, vel ordine modoque mutata, excepto stylo, appareant ; quæ mihi artis solertia, ἀσύστατον potius invexisse, quam ornatum suis præclare radiis micanti operi videtur addidisse. Qua in re major licentia fuit, tum ejus, qui duobus libris Italice, iisque Gallice redditis, Eustathii sociorumque certamen voluit exornare, finxitque in eo plura, tum qui sacras Metamorphoses Gallico idiomate, inque illis Eustathium, produxit. Habuere illi duntaxat Metaphrastea Acta, eaque Latina (nec enim ii Græce videntur scivisse), proposita ; quæ ipsa, eo quem dixi modo, tractavere.

Quem produco Nicetam Paphlagonem (Ignatio Constantinopolitano æqualem, illique affectissimum, ac Vitæ ejus Radero editæ auctorem) Eustathium sociosque laudantem, vere unum dicam, sua hac Laudatoria, præclare in eos oratoris munus obiisse. Habuit ille non Metaphrastea illa, sed antiqua nostra, ipsa suo schemate veneranda atque augusta Acta proposita. Detraxit nihil, auxit, aut immutavit ; flosculis rhetoricis, verborum ἐμφάσει, oratoriis luminibus duntaxat illustravit ; atque suavius aures tangerent, ac animum caperent, scito quodam lenocinio temperavit, ac composuit. Vir scilicet eo dicendi genere eximius ; cujus in singulos quosque apostolos, illustres produco panegyricos ; mea, proxime vulganda, jamque umbilicum spectante, *Bibliotheca concionatoria* ; quibus certiora quæque, ac Ecclesiarum longa traditione accepta, nihil Abdiam ac apocryphos alios moratus, vir labore strenuus, eloquio clarus compitusque, ac vere ῥήτωρ, de primis illis Christianæ religionis antistitibus feliciter orat, atque exponit : ut alios ejus panegyricos taceam ; inque illis Gregorii τοῦ Θεολόγου, cujus neminem theologiam ac ornamenta reliqua tantis eloquentiæ nervis sicque luculenter existimo laudasse. Faxit Deus ut ubi Latinis meis vocibus paulo dejectior suo illo manipulo minime displicuerit suis ille, Græcisque cultissimis copiosiore messe etiam Anastasiam seniorem Hyacinthum Amastrensem, Joannem Chrysostomum, Theclam aliosque laudans, propensius oblectet, ac ad pietatem ædificet.

Actorum nostrorum testis egregius, aureo vere flumine Joannes Damascenus *orat.* III, *de imaginibus* ; qua ex ipsis bene longam περικοπήν, ipsis eorum verbis produxit. Refert illa Eustathio venanti oblatam in cervo crucis Christique effigiem, factumque ad ipsum ejus oraculum, quo futuri illi totius stadii propositique certaminis vaticinium habeatur ; certa nimirum structura (mira licet casuum eventuumque diversitate ; Græci περιπέτειαν vocant ; qua lusit egregie Dei providentia), deinceps cohærentibus omnibus ad ipsam martyrii metam ; ut nedum multa, si vere illa sunt, superaddita, sed et pauca opus totum labefactent ac inficiant. In Damasceni ipso loco commissus hiatus male interpretem egit. Nos sana omnia, meliori codice repræsentamus. Latinis quoque Metaphrastis, Placidæ uxor vitio *Trajana* dicitur, cum Græca melius Ταταινήν, *Tatianam*, habeant. Ipsum Eustathii augustum nomen, ac quo victoriæ videatur ex ipso sacro fonte habuisse oraculum, velut ipso Deo sacerdotis ore indente, futuramque ejus constantiam, ac firmitatem illo contestante, male sibi vulgus in *Eustachium* deformavit ; quod ipsum nomen titulus præfert in Vita Surio edita ; etsi in margine *Eustathii* emendetur.

* *Illustrium Christi martyrum lecti Triumphi*, Paris. 1660, 8°.

Digitized by Google

Eustathii meminerunt, seu, ut malunt scribere, Eustachii, etiam Latini, Usuardus et Ado 2 Novemb., si tamen Ado, non ejus appendix; ac quod Romanum vocant Eusebianum. Mirum nullam exstare in Rosveydiano Martyrologio ejus memoriam, si modo illud vere antiquum Romanum est, ac quod sanctus Gregorius papa Romanum indicavit; scribenti Romæ Baronio quam expetitum, tam desideratum, frustrata diligenti adeo rerum ecclesiasticarum indagatori tot fulta adminiculis exquirendi opera: quanquam non raro celebrior aliis locis sanctorum memoria, atque martyrum, quam quibus vixere, seu functi agone sunt. Titulus qui Romæ exstat Eustathii, quam antiquus, me latet: haud certe ille recentior: vel aperienda illius origo, si quis dicti jam Martyrologii, seu etiam Gregorii in libro Sacramentorum, silentio, recentiorem illi Eustathii memoriam, ac cultum contendit. Scripta Romæ, ac Latino scriptore ipsa, qua repræsento lingua, Acta hæc, ut certo affirmari nequit, sic nihil abhorrere spectatis ejus ætatis Latinorum moribus, ac in iis Christianorum, liquet.

Quæ de Eustathii (olim Placidæ, eoque nomine Josepho clarissimi in bello Judaico) expeditione novissima, sub extremis Trajani temporibus, habent Acta; deque ejus Trajano bellis fatigato desiderata opera, ac veterani ducis industria, consentientissima sunt iis quæ de Trajano, ejusque in Oriente bellis, refert Dio, quibus Assyrios Persasque ita debellavit, ut tamen ii tumultantes, ægre in fide ac officio continerentur: quo ipse nomine expostulat ad senatum. In hos ipsos movisse, ac primum iis studentes Judæos illa indicant, cum postremum, ubi et conjugem recepit, superasse ipsum Hydaspem fluvium memorant, eoque interiorem hostium ditionem pervasisse. Hydaspes enim ille Medus est, de quo Virg. vi *Georg.*, Strabo, Plin., Quintus Curt. aliique. Quod ejus suppressum nomen gentilibus, nemo mirum habeat, qui non omnino sit Romæ Romanisque in rebus peregrinus. Abunde fuit Christianæ superstitionis reum obiisse Eustathium, ut ejus memoria illis penitus aboleretur; quando nec tyrannis imperatoribus parceretur, quin latæ illis leges vel expungerentur, vel sequentium imperatorum nominibus censerentur; nec consulibus, quin ex albo consulum ipsorum nomina, non levi publicæ rei damno, temporumque ac contractuum rationis incommodo, delerentur. Si qua igitur præclare bello gesta per id tempus Eustathio, cujus triumphum exceperit bos Phalariticus, morsque extraneis exsecrata, hæc vel legati, vel summi principis nomine, gentis ritu fuerint consignata. Secessio denique Eustathii profligata re familiari, amissisque opibus quibus consulatis ac patritia dignitas sustentanda esset, nihil a Romanis moribus abhorret cum lata olim lege, qui pari usi fortuna essent, seu alia ratione facultates ordini congruas amisissent senatu movendi essent. Hæc mihi strictim; tu, Lector, antiquo hoc monumento fruere.

ORATIO XVIII.

Laudatio inclyti martyris Eustathii, Agapii, Theopisti et Theopistes.

Præclarum in victorum choro Eustathium laudabo, tametsi ærumnis flectitur animus: æquum enim ac sanctum, neque id modo, sed et oppido utile atque commodum. Neque enim quia sæculi malis gravamur, idcirco tacebimus; sed quia justum Dei amicos prædicationibus accipere, pro virili nostra laudare non desistemus: nec denique quod Ecclesiarum Dei curis ac sollicitudinibus premamur, egregii martyris celebrationem differemus, sed quia probatissimus ille in ærumnis, probatissimus defungendis pietatis causa certaminibus ac laboribus, quorum etiam nomine cunctis fere majorem martyribus venerationem obtinet, idcirco

S. EUSTATHII ET SOCIORUM ACTA ANTIQUA.

Martyrium sanctorum ac inclytorum Christi martyrum Eustathii, Theopistes, ac liberorum.

Prostat mortalibus ex naturæ ipsa indole propria ad virtutes præstandas adhortatio, atque palæstra, id in proximum conferendum docens, quod velis ab alio in te conferatur, idque demum gratiarum actionis nomine, Deo beneficiorum largitori rependendum, quod ab iis, quos beneficio demeruerit, exigas ipse ut rependatur. Quin ex divinis quoque Scripturis, prostant doctrinæ plurimæ; beatorum item ac clarorum virorum gesta inclyta ac facinora; qui plane, animata quædam simulacra, æmulatione virtutum, quibus præclare, egregiaque laude functi sunt, volentibus hæc illorum magisteria sequi, exhibeantur. Perinde igitur mihi constitutum, ut tum veterum heroum præclara gesta

ΛΟΓΟΣ ΙΗ'.

Ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Εὐστάθιον, Ἀγάπιον, Θεόπιστον, καὶ Θεοπίστην.

Τὸν ἀοίδιμον ἐν ἀθλοφόροις Εὐστάθιον ἐπαινέσομαι, καὶ εἰ ταῖς θλίψεσι κάμπτομαι· ὅσιον γάρ· καὶ οὐχ ὅσιον μόνον, ἀλλὰ καὶ ὠφέλιμον. Οὐ γὰρ ὅτι τοῖς τοῦ βίου κακοῖς βαρυνόμεθα, διὰ τοῦτο σιγήσομεν· ἀλλ' ὅτι ἄξιον τοὺς τοῦ Θεοῦ φίλους δεξιοῦσθαι ταῖς ἀναῤῥήσεσι, τῆς κατὰ δύναμιν εὐφημίας οὐκ ἀφεξόμεθα· οὐδ' ὅτι φροντίσι καὶ μερίμναις Ἐκκλησιῶν τοῦ Θεοῦ πιεζόμεθα, τὴν τοῦ μεγαλομάρτυρος ὕμνησιν ὑπερθησόμεθα· ἀλλ' ὅτι δοκιμώτατος ἐν ταῖς θλίψεσιν ἐκεῖνος, δοκιμώτατος ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγωνίσμασι καὶ πονήμασιν, οἷς καὶ πάντων μαρτύρων σχεδὸν σεβασμιώτατος ἀναδείκνυται, διὰ ταῦτα τῶν ἐγκωμίων τὸν ἔρανον ὡς ὀφειλὴν καρποφορου-

Μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων, Εὐσταθίου, καὶ Θεοπίστης, καὶ τῶν τέκνων αὐτῶν.

Ἐν τούτοις τοίνυν αὐτοῦ διαπρέποντος τοῖς κατορθώμασι, τελευτᾷ μὲν ὁ Θεόφιλος, εἰς Θεοδώραν δὲ τὴν εὐσεβεστάτην βασιλίδα, τὴν τιμιωτάτην τῶν γυναικῶν καὶ πιστοτάτην, περιέστη τὰ τῆς ἀρχῆς· ἔτι δὲ νήπιος κομιδῇ τότε Μιχαὴλ ὁ υἱὸς ἦν. Ἐντεῦθεν ἡ μὲν κατὰ τῶν ἁγίων εἰκόνων αἵρεσις ἐκλείπει· τὸ ἁγίασμα δὲ τῆς ἱερᾶς Ἐκκλησίας ἐξανθεῖ. Ἐντεῦθεν καὶ Ἰωάννης, εὐθὺς ὁ δυσώνυμος Ἰαννὴς (ὃν καὶ λεκανομάντιν ἔλεγον, καὶ τῆς Θεοφίλου πλάνης ὑπαίτιον), τοῦ πατριαρχικοῦ θρόνου καὶ τῆς ἱερωσύνης ἐνδίκως καθαιρεῖται, ἀνίσταται δὲ πέρας σωτηρίας τῷ λαῷ τοῦ Θεοῦ Μεθόδιος ὁ καλὸς ὄντως τῶν Χριστοῦ προβάτων ποιμὴν, καὶ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων ὀρθοτόμος ὑφηγητής· ὃς πολλοὺς ὅτι μάλιστα πόνους καὶ κινδύνους ὑπὲρ τῶν ἁγίων πρότερον ὑπομεμενηκὼς εἰκόνων, ἀνίσταται μὲν Θεοῦ ψήφῳ καὶ τῆς βασιλίδος συνεργίᾳ πρόεδρος τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως· καθαιρεῖ δὲ πάντας καὶ κατασπᾷ τῶν ἐκκλησιῶν, ὅσοι τῷ μύσει τῆς αἱρέσεως ὑπήχθησαν· ἀνίστησι δὲ Ἐκκλησίαν καινὴν, ἱερεῖς τε καὶ ἀρχιερεῖς ἐπὶ τῷ θεμελίῳ τῆς κατ' αὐτὸν ὀρθοδόξου πίστεως προεχειρίσατο. Καὶ γὰρ τῶν αἱρεσιωτῶν, ὡς ἤδη καὶ πρότερον ἐπὶ Ταρασίου τοῦ θείου καὶ ἱεροῦ ποιμένος, καὶ τῆς εὐσεβοῦς Εἰρήνης, ἀνατεθεματικότων μὲν τὴν αἵρεσιν, καὶ οὕτω συγχεχωρημένων, παλινδρομησάντων δὲ, καὶ πρὸς τὴν αὐτὴν αὖθις λύμην ὑπενηνεγμένων· τούτων μὲν οὖν τελείαν καθαίρεσιν καὶ διηνεκῆ Νικηφόρος τε ἔτι τῷ βίῳ περιὼν ὁ μέγας, καὶ αὐτὸς οὗτος θεοβουλεύτως ὁ ἱερὸς καταψηφισάμενος Μεθόδιος, καὶ τοῦ θεοφόρου ταῖς ὑποθήκαις Ἰωαννικίου κατὰ πάντων τῶν

C

D

[1] Rom. XII, 13.

Digitized by Google

αἱρεσιωτῶν ἀποφηνάμενος, εὐθεῖαν ἔτι τοῖς ὁρθοτομεῖν ἐθέλουσι τὴν τῆς ὀρθοδοξίας ὑπέδειξεν ὁδόν· ἐπὶ τέσσαρας δὲ χρόνους κάλλιστά τε καὶ ἀμεμπτα τὴν τοῦ Κυρίου ποιμάνας Ἐκκλησίαν, ἐν εἰρήνῃ πρὸς αὐτὸν μετέστη. Πολλῶν τοιγαροῦν εἰς προστασίαν τῆς Ἐκκλησίας προχειριζομένων, καὶ ἄλλων δι' ἄλλας αἰτίας διαμαρτανόντων τοῦ σκοποῦ, ἵνα ἡ προορισθεῖσα τοῦ Θεοῦ βουλὴ μείνῃ, Ἰγνάτιος ὁ ὁσιώτατος πρεσβύτερος, πλείστοις ἔτεσιν ἤδη τοῖς τῆς ἱερωσύνης χαρίσμασιν ἐνευδοκιμηκὼς, καὶ βαθμὸν ἑαυτῷ καλὸν ἐν πολλῇ παῤῥησίᾳ καὶ τῇ ἐν Χριστῷ Ἰησοῦ πίστει περιποιησάμενος, καὶ ἐν τοῖς ἁπάντων διὰ τοῦτο στόμασιν ᾀδόμενος, καίτοι γε πλεῖστα παραιτούμενος, καὶ τὸν ὄγκον τοῦ ἀξιώματος ἀποδιδράσκων πανευλαβῶς· ὅμως ἐνεργείᾳ μὲν θείου Πνεύματος, συνεργίᾳ δὲ καὶ ψήφῳ ἀρχιερέων Θεοῦ, τῆς θείας ἱεραρχίας ἀξιοῦται, καὶ τῷ θρόνῳ τῆς βασιλίδος ἐνίδρυται, καὶ τῇ λυχνίᾳ ὁ λύχνος ἐπιτίθεται. Πρὸ πάντων δὲ τῶν ἀρχιερέων καὶ τῶν λαῶν, τῆς βασιλίδος ἀποστειλάσης, καὶ ἀξιωσάσης διὰ Κυρίου γνωρίσαι τὸν ἄξιον, προφητικῶς ὁ μέγας τοῦτον Ἰωαννίκιος ψηφίζεται· καὶ οὕτως διὰ τῆς θύρας ὁ ποιμὴν ὁ καλὸς εἰς τὴν αὐλὴν τῶν προβάτων εἰσελθὼν, τὰ ἴδια πρόβατα ἐκάλει κατ' ὄνομα· καὶ πάσης μὲν νομῆς θανασίμου καὶ βλαβερᾶς, πάσης δὲ λύμης καὶ ἀπωλείας ἐξῆγεν αἱρετικῆς, πρὸς τὰς ἀειζώους δὲ καὶ ἀειθαλεῖς τῆς ὀρθοδόξου πίστεως καὶ δικαιοσύνης ὡδήγει καὶ εἰσῆγε νομάς· καὶ αὐτὸς μὲν κακίας ἁπάσης τοσοῦτον ἀπείχετο, ὅσῳ πάσης ἀντείχετο δικαιοσύνης· ἐξαιρέτως δὲ πρὸς τὰς τῶν ἀρε τῶν κατορθούμενος γενικὰς, τῆς κατ' εὐσέβειαν τελειότητος ἐπεμελεῖτο. Φρόνησις μὲν γὰρ αὐτῷ διεσπούδαστο, οὐχ ὥστε πλοῦτον ἑαυτῷ καὶ δόξαν πορίζεσθαι κοσμικὴν, καὶ ποικίλας σώματος ἡδονὰς, ἀλλ' ὥστε τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον ἐν διακρίσεως πνεύματι καλῶς συνιέναι καὶ ποιεῖν. Ἀνδρία δὲ αὐτῷ, τὸ μὴ ἡττᾶσθαί ποτε τῆς ἁμαρτίας, ἀλλ' ἐλεύθερον εἶναι καὶ δεσπόζειν τῶν δυναστῶν· ἀποτόμως δὲ τὸν ἁμαρτάνοντα κατὰ τὸν ἀποστολικὸν νόμον διελέγχειν, καὶ τοῦτο πολλάκις ἐνώπιον πάντων, καὶ μὴ καθυφίεσθαι δουλοπρεπῶς, ἵνα καὶ οἱ λοιποὶ, φησὶ, φόβον ἔχωσι. Σωφροσύνη δὲ, οὐ τοῦ οἰκείου σώματος μόνον ἡ ἀγνότης τε καὶ καθαρότης, ἣν ἐκ νεαρᾶς ἡλικίας οὕτω πόνοις συχνοῖς καὶ ἱδρῶσι κατωρθώσατο, ὡς εἰς ἄκραν αὐτὸν ἀπάθειαν, ἤτοι παντελῆ νέκρωσιν τοῦ σαρκίνου φρονήματος ἐλθεῖν. Οὐ ταύτῃ γοῦν μόνον τὸ τῆς σωφροσύνης ὡρίζετο καλὸν, πάσῃ δὲ σπουδῇ καὶ τὴν κατ' αὐτὸν Ἐκκλησίαν ἐπὶ τοσοῦτον ἤγνιζε, καὶ τῷ ἐμβριθεῖ τε καὶ συνεχεῖ τῆς τοῦ Πνεύματος διδασκαλίας ἐσωφρόνιζεν, ὡς μηδ' ὄνομα πορνείας, ἤ τινος ἄλλης ἀκαθαρσίας ἐν τοῖς αὐτῷ πλησιάζουσιν ἀκούεσθαι· ἀλλ' ὥσπερ αὐτὸς τὴν ἄμωμον ὁδὸν τοῦ Κυρίου ἀμώμως ἐπορεύετο, οὕτω καὶ τὴν ἐκείνου νύμφην, ὡς ἀγαθὸς νυμφοστόλος, ἐν ἀμώμῳ προσῆγε πολιτείᾳ. Περὶ δικαιοσύνης δὲ τί χρὴ καὶ λέγειν; ἣν οὕτω στερρῶς καὶ μεγαλοπρεπῶς ὁ μακάριος ἐνεδέδυτο, ὥστε καὶ μέμψιν δι' αὐτὴν ὑπέχειν πολλάκις παρὰ τοῖς ἀδίκοις τοῦ δικαίου

A designatis, aliisque alias ob causas voto frustratis, uti destinata Dei sententia staret, Ignatius sanctissimus presbyter, cum per multos annos sacerdotii muneribus magna cum laude perfunctus esset, bonumque sibi in multa auctoritate, et in Jesum Christum fide jam gradum exstruxisset, ac propterea omnium ore celebraretur, quantumvis dignitatis magnitudinem refugiens, vi tamen sancti Spiritus, et antistitum auctoritate et sententia, honore sacro dignissimus judicatus, in imperantis urbis sacra sede collocatur, lucernaque candelabro imponitur; cum ante omnium episcoporum et populi sententias imperatrix ad Joannicium anachoretam consultum misisset, ecquemnam hoc patriarchatus honore dignum per Dominum cognosceret; Ignatium eximius ille Joannicius divinitus pronuntiavit. Atque ita bonus pastor per ostium in ovile ovium ingressus, oves proprias vocabat nominatim: quas ex noxiis et pestiferis herbis, omnique hæretica peste et exitio ereptas, ad immortalia semperque virentia rectæ fidei justitiæque pascua deducebat inducebatque. Ipse vero tum ab omni crimine al horrebat, tum in omne præsertim virtutum principalium et æquitatis studium singulari conatu incumbens, ad perfectæ pietatis culmen enitebatur. Prudentia namque illi curæ erat, non ut opulentiam sibi, humanamque gloriam, et voluptates conquireret; sed ut Dei voluntatem sanctam, bene placentem et perfectam, in spiritu recti judicii bene intelligeret et sequeretur. Fortitudo vero erat ipsi, ne unquam servitutis peccato succumberet, sed liber esset, et dominaretur optimatibus, atque ex apostoli præscripto, peccantem acriter castigaret, et hoc sæpe coram omnibus, nec servili modo se subjiceret; ut et cæteri, inquit, in officio per timorem contineantur. Temperantiam autem non tantum in corpore coluit suo, quam a teneris annis adeo laboribus sudoribusque assiduis perfecte est assecutus, ut sensum omnem, omnesque cupiditates corporis noxias penitus exstinxerit. Non ergo his tantum finibus temperantiæ splendorem circumclusit, sed Ecclesiam suam totam, morum et doctrinæ suæ gravitate assiduitateque, ad eam provexit honestatem et verecundiam, ut inter ejus familiares ne nomen quidem fornicationis, vel cujuspiam impuritatis audiretur. Perinde enim ut ipse vias Domini rectas ambulabat, ita sponsam Domini optimus paranymphus per inculpatam vitæ semitam deducebat. Jam ut fuerit æqui tenax, justitiæve observans, quid dicam? cum ita rigide eam servavit, ut illius causa non raro ab iniquis æquitatis arbitris reprehenderetur, pastorque vere mitis ac divinæ imitator justitiæ, asperrime condemnaretur. Etenim non in civilibus tantum rebus, sed multo magis in ecclesiasticis disceptationibus et judiciis facile agnoscebatur ad veritatis æquitatisque momentum lancemve propendere, contra vero mendacium et quamlibet injustitiam vehementissime severissimeque insectari. Nec erga plebeios tantum et viliores

Digitized by Google

in quos, si quid peccent, cuivis facilis et libera est censura; sed adversus principes etiam magistratus ac dynastas, ipsosque imperatores, ardor ac divina dicendi libertas antistitis elucebat: quod mea nunc declarabit oratio.

διαιτηταῖς, καὶ σκληρότατα καταγινώσκεσθαι τὸν ὡς ἀληθῶς πρᾶον ποιμένα, καὶ Θεοῦ μιμούμενον δικαιοσύνην· καὶ γὰρ οὐκ ἐν τοῖς ἀνθρωπίνοις πράγμασι μόνον, ἀλλὰ καὶ ἐν ταῖς ἐκκλησιαστικαῖς πολὺ μᾶλλον ἀμφισβητήσεσι καὶ κρίσεσι, τὸ πρὸς ἀλήθειαν μὲν καὶ δικαιοσύνην ἐπιῤῥεπὲς, ὑπεροπτικὸν δὲ αὐτοῦ καὶ ἀπότομον πρός τε τὸ ψεῦδος καὶ ἀδικίαν πᾶσαν ἐγνωρίζετο· καὶ οὐ πρὸς τοὺς πολλοὺς μόνον καὶ χυδαιοτέρους, πρὸς οὓς ἀδικοῦντας τάχα καὶ ἄλλος ἂν παῤῥησιάσαιτο, ἤδη δὲ καὶ πρὸς τοὺς τὰς πρώτας περιβεβλημένους δυναστείας, καὶ πρὸς τοὺς βασιλέας αὐτοὺς ὁ τοῦ ἀρχιερέως ζῆλος καὶ ἔνθεος παῤῥησία διεδείκνυτο· δηλώσει δὲ νῦν ὁ λόγος.

Bardam illum, uti scio, nostis omnes, Theodoræ Augustæ bonæ principis non bonum, sed sævum admodum et crudelem fuisse fratrem. Quanquam enim in rerum civilium administratione egregius industriusque esset, rei tamen divinæ atque ecclesiasticæ nemo illum unquam commodum dixit; ut qui rurus suæ amore ita fureret, ut ejus rei fama totam urbem peragraret: nec inter plebem tantum hæreret, sed ad patriarchæ quoque aures faeti indignitas deferretur. Quid ergo patriarcha? Non hominis dignitatem reveritus, facinus silentio pressit; sed ex lege arguit, reprehenditque, et hortatus est, ut ne salute neglecta, animam suam perditum iret, sed fœdum et enorme scelus expiaret. Ille tamen non modo se ab improbitate sua non abstinuit, sed ipso Epiphaniæ die festo in ædem sacram, eucharistiæ mysteria perceepturus, impudenter est progressus. Quid hic patriarcha? A sacris arcet, indignum eum judicans corporis Dominici participatione. Ille vero diro percitus œstro furit, suumque in exitium armatus, se gladium in antistitis viscera defixurum minitatur. Sed Ignatius contra comminatur, Deum invocans, qui potens esset gladium in illum convertere. Hinc offensionum prima origo: hic fons ecclesiasticæ perturbationis. Hinc gravi Bardas ira odioque concepto, ac altius in pectus demisso, omnem, ut dicitur, rudentem contra Ignatium movebat, ut eum apud imperatorem criminaretur. Patricius tum erat Bardas, et scholarum domesticus, sibique totam imperii administrationem, utpote avunculus Michaelis, vindicabat. Ilic aggressus aliquando adolescentem, verbisque insidiosis captans: Quid, inquit, domine, imperium matri et sororibus permittis? Atqui non es amplius infans, ævique immaturus: imo, inquit, et jam uxore ducta virum agis. Debes ergo in posterum virilem animum gerere. Itaque a patriarcha accersito matrem et sorores tonderi velarique jube. Ut enim deinceps solus cum procreandis a te liberis imperes, et Numini cœlesti placet, et nobis æquissimum videtur. Accersit ergo illico venerandum patriarcham. Est enim inconstans et mutabilis adolescentia, facileque vana spe effertur. Quod si potentiæ quoque fastigium accedat, major etiam est illius levitas, majoremque in amentiam et casum sæpenumero prolabitur. Tunc igitur Michael corruptelarum, morumque depravatorum, et vero magis impietatum suarum principio posito: Matrem, inquit, meam sororesque e vestigio arreptas attonde, et religiosa velatas veste

Τὸν Βάρδαν ἐκεῖνον οἶδ' ὅτι πάντες ἀκούετε, ὡς [ἄλλ. δ;] Θεοδώρας μὲν τῆς ἀγαθῆς βασιλίδος ἀδελφὸς ἦν, οὐκ ἀγαθὸς δὲ, ἀλλὰ καὶ λίαν πικρὸς καὶ ἀπάνθρωπος· ὃν σπουδαῖον μὲν εἶναι καὶ δραστήριον περὶ τὴν τῶν πολιτικῶν πραγμάτων μεταχείρισιν, οὐδεὶς δὲ περὶ τὴν Ἐκκλησίαν χρηστὸν ἔφησε γενέσθαι· τοῦτον τῇ ἰδίᾳ φασὶν οὕτω; ἐπιμανῆναι νύμφῃ, ὡς ἀνὰ πᾶσαν τοῦτο τὴν πόλιν περιβομβηθῆναι· καὶ οὐκ ἄχρι τῶν πολλῶν μόνον, ἀλλὰ καὶ μέχρις αὐτοῦ τοῦ ἀρχιερέως τὴν πονηρὰν φήμην ἐλθεῖν. Τί οὖν ἐκεῖνος; Οὐ τὸ μέγεθος ηὐλαβήθη τοῦ προσώπου, οὐδὲ συνεσκίασε τὸ ἀμπλάκημα τῇ σιωπῇ, ἀλλὰ καὶ ἤλεγξε κατὰ τὴν ἐντολὴν, ἀλλὰ καὶ ἐπετίμησεν, ἀλλὰ καὶ παρεκάλεσε φείσασθαί τε τῆς ἰδίας ψυχῆς, καὶ τὸ φρικτὸν τουτὶ μῦσος ἀποῤῥύψασθαι· ὁ δὲ οὐ μόνον οὐκ ἀπέσχετο τοῦ κακοῦ, ἀλλὰ καὶ ἐπὶ τῆς ἐκκλησίας (ἑορτὴ δὲ τῶν ἁγίων Θεοφανίων ἦν) καὶ αὐτὸς ἀναιδῶς προσῆλθε, τῶν θείων μεθέξων μυστηρίων. Τί δὲ ὁ ἀρχιερεύς; Ἀποβάλλεται τῆς κοινωνίας, ἀνόξιον τοῦτον τῆς τοῦ Δεσποτικοῦ σώματος κρίνων μεταλήψεως. Ὁ δὲ μαίνεται μανίᾳ πικρᾷ, καὶ κατὰ τῆς ἰδίας ὁπλίζεται ψυχῆς· ἀπειλεῖ τὸ οἰκεῖον ξίφος τοῖς σπλάγχνοις τοῦ ἱεράρχου καταχῶσαι· ὁ δὲ ἀντ-απειλεῖ, τὸν δυνάμενον ἐκκαλούμενος ἐπιστρέψειν τὴν ῥομφαίαν αὐτοῦ ἐπ' αὐτόν. Αὕτη γίνεται σκανδάλων ἀρχὴ· αὕτη πρώτη τῆς ἐκκλησιαστικῆς ἀκαταστασίας ἀφορμή. Ἐντεῦθεν βαρὺν ἑαυτῷ χόλον καὶ μῆνιν ὁ Βάρδας ἐκεῖνος ἐναποθέμενος κατὰ τοῦ Ἰγνατίου, πάντα κάλων ἐκίνει, τὸ δὴ λεγόμενον, τῷ βασιλεῖ τοῦτον διαβαλεῖν. Πατρίκιος δὲ τότε καὶ τῶν σχολῶν δομέστικος ὤν, ὅλην τοῦ Μιχαὴλ, ἅτε δὴ θεῖος, εἰς ἑαυτὸν τὴν ἀρχὴν ὑπεποιεῖτο. Καί ποτε προσελθὼν τῷ μειρακίῳ καὶ λόγοις καταγοητεύων ἀπατηλοῖς, Ἵνα τί, ἔλεγεν, ὦ δέσποτα, παραχωρεῖς τὴν βασιλείαν τῇ μητρὶ καὶ ταῖς ἀδελφαῖς; μὴ γὰρ ἔτι νήπιος εἶ; μὴ τὴν ἡλικίαν ἀτελής; Ἀλλ' ἰδοὺ, φησὶν, ἐζεύχθης καὶ γυναικὶ, καὶ ἤδη εἰς ἄνδρας τελεῖς· ὀφείλεις καὶ φρόνημα λοιπὸν ἀναλαβεῖν ἀνδρός· τὴν μητέρα δὲ καὶ τὰς ἀδελφὰς, τὸν πατριάρχην μετακαλεσάμενος, ἀποκείραι πρόσταξον. Σὲ γὰρ βασιλεύειν μόνον λοιπὸν, καὶ τοὺς ἐκ σοῦ τεχθησομένους, καὶ Θεῷ καὶ πᾶσιν ἡμῖν ἀρεστόν. Αὐτίκα τοίνυν ἐκεῖνος τὸν τίμιον ἱεράρχην μεταπέμπεται· εὐρίπιστον γὰρ ἡ νεότης, καὶ ῥᾳδίως ταῖς κεναῖς τῶν ἐλπίδων μετεωριζόμενον. Εἰ δὲ καὶ ἐξουσίας ὑπεροχὴ προσείη, μείζων μὲν ἡ κουφότης, εἰς μείζω δὲ ἄνοιαν καὶ πτῶσιν ὡς τὰ πολλὰ προχωρεῖ. Τότε τοίνυν ἀρχὴν ταῖς κατ' αὐτὸν ἀταξίαις καὶ ἀπαιδευσίαις, μᾶλλον δὲ ἀσεβείαις, ὁ Μιχαὴλ καταβαλλόμενος, Ταχὺ τὴν ἐμὴν μητέρα καὶ τὰς ἀδελφὰς, πρὸς τὸν εἰκαιον

Digitized by Google

ἔφη, λαβὼν, ἀπόκειραι, τῷ μοναχικῷ σχήματι ταύτας καταδίκασον. Ὁ δὲ παῤῥησιασάμενος, Ἀδύνατόν μοι τοῦτο ποιεῖν, εἶπεν ὑπολαβών· τῆς γὰρ Ἐκκλησίας τοὺς οἴακας τὴν ἀρχὴν ἐγχειριζόμενος, ἔγγραφον ὅρκον ἐθέμην, μηδεμίαν τῆς βασιλείας ὑμῶν ἐπιβουλὴν, ἢ οἱανοῦν ἐπήρειάν ποτε διαλογίσασθαι. Καὶ νῦν τί τὸ ἀδίκημα τῶν βασιλίδων; καὶ τίς ἡ κατ' αὐτῶν αἰτία, ὅτι τὸ ὑμέτερον κράτος ταῦτα κατ' αὐτῶν διενοήθη; Οὕτως εἰπόντος τοῦ ἀρχιερέως, καθοσιώσεως τοῦτον Βάρδας ἐγράψατο γραφὴν, Γηβοβασίλευτον ἐναντι τοῦ βασιλέως διαλοιδορούμενος. Ἦν δὲ ὁ Γήβων οὗτος ἐπίληπτος ἄνθρωπος, καὶ τὰς φρένας οὐ πάνυ καθεστηκώς· ὃς πρὸ ὀλίγων ἐκείνων ἡμερῶν ἀπὸ τοῦ Δυῤῥαχίου παρεγένετο, σχῆμα μὲν περικείμενος κληρικοῦ, παῖδα δὲ ἑαυτὸν τῆς βασιλίδος Θεοδώρας ἐξ ἀνδρὸς ἑτέρου κληρῶν· ᾧ οἱ πολλοὶ τοῦ δήμου ὡς βασιλεύειν μέλλοντι προσέσχον· τότε δὲ ἐν Ὀξείᾳ τῇ νήσῳ ὑπὸ ἀσφαλεῖ συνείχετο φρουρᾷ. Ὁ μὲν οὖν πατριάρχης ἐν ὑπονοίᾳ διὰ ταῦτα τῷ Μιχαὴλ καταστὰς, εὐθὺς ὑπενόστει πρὸς τὴν ἐκκλησίαν. Ὁ δὲ παραχρῆμα τὴν μητέρα καὶ τὰς ἀδελφὰς καταγαγὼν, ἐν τοῖς Καριανοῦ λεγομένοις ἀπενεχθῆναι κελεύει καὶ καρῆναι. Μετὰ μικρὸν δὲ καὶ αὐτὸν ἀπελαύνει τοῦ πατριαρχείου τὸν Ἰγνάτιον, καὶ πρὸς τὴν νῆσον Τερέβινθον αὐτὸν ὑπερορίζει· κατ' αὐτὴν δὲ τὴν ἡμέραν καὶ Γήβονα ἐκεῖνον ἀπὸ τῆς Ὀξείας εἰς Πρίγκιπον μετενεγκὼν, τά τε σκέλη καὶ τοὺς βραχίονας ἐξέκοψε, καὶ τοὺς ὀφθαλμοὺς ἐξορύξας, ἀπέκτεινεν αὐτὸν, οἰόμενος ταύτῃ τὸν πατριάρχην ἀμυνεῖσθαι. Οὔπω τρεῖς μετὰ τὴν κατάβασιν διεληλύθεισαν ἡμέραι, καὶ παρῆσαν τῶν ἐπισκόπων οἱ νομιζόμενοι λογάδες, λίβελλον ἀποταγῆς, ἤτοι παραίτησιν, διὰ τὴν ἐνεστῶσαν τοῦ καιροῦ κακίαν ἀξιοῦντες λαβεῖν παρ' αὐτοῦ. Καὶ ταῦτα τίνες; Οἱ ἐγγράφως αὐτῷ πρότερον ὁμωμοκότες, καὶ αὐτῆς ἐκπεσεῖν τῆς ὑπερουσίου Τριάδος εὐξάμενοι, εἴγε τὸν οἰκεῖον ποιμένα ἄνευ καταγνώσεως ἀθετήσαιεν κανονικῆς. Ἀλλ' αὐτοὶ μὲν ὑπέστρεφον ἀνήνυτα πεπονηκότες. Μετ' ὀλίγας δὲ αὖθις ἡμέρας πατρίκιοι καὶ τῶν κριτῶν οἱ ἐπιφανέστατοι σὺν τοῖς προλαβοῦσιν ἐπισκόποις ἐξιόντες, πάσαις μηχαναῖς, ὑποσχέσεσί τε καὶ ἀπειλαῖς τὸν θρόνον ἐγγράφως παραιτήσασθαι κατεβιάζοντο, εἴγε μὴ μέλλοι εἰς προφανῆ καθεῖναι κίνδυνον ἑαυτόν. Ἔμενε δὲ ἀμετάθετος οὐδὲν ἧττον ἢ πέτρα παράλιος εἰς βάθος γῆς ἐῤῥιζωμένη, καὶ πάσαις ἀνένδοτος κυμάτων ἐπιφοραῖς. Ἐπειδὴ οὖν οὐκ εἶχον εὐλόγως παρανομεῖν, οὐδεμιᾶς αὐτοῖς ἀπὸ τοῦ ἀνευθύνου προφάσεως ἐνδιδομένης, γυμνῇ λοιπὸν τῇ κεφαλῇ, καὶ ἀναιδεῖ προσώπῳ, κατὰ τὸ ᾀδόμενον, πρὸς πᾶσαν ἐχώρουν ἀδικίαν καὶ παρανομίαν. Ὁ μὲν οὖν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἅτε Θεὸς ἀληθινὸς καὶ ἀληθινοῦ Πατρὸς ὤν, οὐ τῷ Θεὸς εἶναι μόνον προαιώνιος, τὰ πάντα πρὸ τῆς αὐτῶν γενέσεως οἶδεν, ἀλλὰ καὶ τῷ ἄνθρωπος ὑπὲρ ἡμῶν γενέσθαι, τῷ τεθεωμένῳ νοῖ τὰ πάντα προκατανοῶν, Ἀνάγκη,

A vitæ religiosæ addicito. At libere patriarcha; Hoc, inquit, a me fieri nefas: nam Ecclesiæ gubernacula sedemque sacram cum susciperem, fidem jurejurando meam per scriptum astrinxi, nunquam me imperio vestro insidias positurum, vel consilium ejuscemodi agitaturum. Et vero nunc, quod reginarum est facinus, quæve in illis causa, ut majestas vestra adversus eas talia machinetur? Hæc memorantem patriarcham Bardas reum majestatis postulavit, et coram imperatore Gebobasileutum [3] (seu Gebonis pseudo-imperatorii generis similem) per convicium vocavit. Erat Gebo hic stolidus maleque sanus homo, qui proximis diebus Dyrrachio venerat, veste quidem ecclesiastica indutus, se vero pro filio Theodoræ Augustæ ex alio viro
B gerebat; cui non pauci ex plebe velut regnaturo adhærebant: tunc vero in insula Oxia, seu Acuta, firma custodia tenebatur. Patriarcha ergo propterea Michaeli suspectus, statim ad ecclesiam se recepit. Michael vero extemplo matrem cum sororibus in Cariani ædes detrusam deportari tonderique imperat. Nec multo post ipsum quoque patriarcham Ignatium pellit, atque in insulam Terebinthum ejicit; eodemque die Gebonem illum ex Acuta in Principes transfert, et cruribus brachiisque præcisis, oculisque erutis, interficit, ratus se hac ratione ultum ire patriarcham. Necdum triduum a patriarchæ discessu fluxerat, cum adsunt qui putabantur inter episcopos primarii, chirographum sive
C libellum abdicationis ob præsentium temporum iniquitatem ab eo petentes. Et quinam hi? Qui antea illi per scriptum juraverant, se prius supremam Trinitatis majestatem negaturos, quam sine canonica damnationis sententia pastorem suum exauctorari passuros. Verum ii re infecta reverterunt. Intra paucos autem dies patricii, judicumque clarissimi cum iisdem episcopis egressi, omnibus machinis et pollicitationibus, comminationibusque compellebant, ut episcopatu se abdicaret, si in apertum nollet committere se periculum. Sed non minus firmus immotusque stetit, quam maritima cautes altis in terram defixa radicibus, fluctuum insultibus nihil cedens. Ergo cum non haberent, unde illum laederent, nulla per eum data causa,
D cujus rationem reddere non posset; nudo, quod aiunt, capite, perfricta que fronte ad omne fas nefasque descenderunt. Et Dominus quidem noster Jesus Christus, utpote Deus verus et veri Patris soboles, non solum qua Deus est æternus, omnia antequam sint, prævidit; sed etiam qua homo pro nobis factus, deificata sua mente omnia præseiens, *Necesse est*, inquit, *ut veniant scandala: væ autem illi, per quem scandalum venit* [4]. Omnium ergo sectarum, quæ a divina Christi in humanitatem præsentia ad hodiernum usque diem in Ecclesias

[4] Matth. xviii, 7.

(3) Gebobasileutum, hoc est, Gebonis stolidi hominis, et imperium temere affectantis, parti favente.

Digitized by Google

eum pernicie irrepserunt, auctores, veluti scandalorum duces, digni sunt, qui primi malum, quod Christus minatur, participent. Sed non minus, opinor, ii qui nostro ævo maligne egerunt, quam illi prisci et decantatissimi hæresiarchæ, cœlestis iram vindictamque Numinis sentient, ut qui innumerabilium offensionum et malorum toti terrarum orbi sint auctores. Neque enim propterea justorum albo ascribentur, quod rectis scilicet dogmatibus et scriptionibus innumeris Deum fateri videantur : sed idcirco damnabuntur, quod, ut est in sacris paginis, Deum factis ipsis negarint, abominabiles facti, et contumaces, et ad omne opus bonum reprobi. Nec quia personam pietatis vultumque religionis ementiti, agunt omnia efficiuntque, ut justi ab hominibus putentur, ideo sunt justi apud occultorum cognitorem et judicem Deum : sed quod nervo pietatis eliso, mores ad Evangelii præcepta non conformarint ; quod amore sui cæci, avaritiæ et voluptatibus, ambitionique venundati et emancipati, innocentes omni genere injuriarum, perjuriorum, crucis abnegationum, insidiarum, et maleficiorum opprimentes, optime compositum Ecclesiæ statum perturbarint everterintque ; rem autem divinam, nomenque et sacra sanctæ Ecclesiæ tot impietatibus et flagitiis contaminarint, polluerint, profanarint, ut periculum sit (pene dicam) ne pietatis mysterium in verbis nudis potius, quam in rebus ac veritate consistere videatur : idcirco justissimam damnationis a Deo ferendæ sententiam incurrent.

A φησὶν, *ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δὲ δι' οὗ τὸ σκάνδαλον ἔρχεται!* Καθ' ὅλας μὲν οὖν τὰς ἀπὸ τῆς θεανδρικῆς αὐτοῦ παρουσίας μέχρι τοῦ δεῦρο παρεισφθαρείσας αἱρέσεις ἐν ταῖς Ἐκκλησίαις, οἱ τῶν αἱρέσεων ἔξαρχοι, ὡς τῶν σκανδάλων ἐξηγούμενοι, πρῶτοι ἂν ἀξίως αὐτοὶ μετέχοιεν καὶ τοῦ ταλανισμοῦ· οὐχ ἧττον δὲ, οἶμαι, τῶν πάλαι θρυλλουμένων αἱρετικῶν καὶ οἱ κατὰ ταύτην πονηρευσάμενοι τὴν γενεὰν, ὡς αἴτιοι σκανδάλων μυρίων τῷ κόσμῳ γενόμενοι, τῆς ἄνωθεν πεῖραν λήψονται ὀργῆς. Οὐ γὰρ ὅτι δόγμασιν ὀρθοῖς ἔῆθεν καὶ συγγραφαῖς ἀμέτροις Θεὸν δοκοῦσιν ὁμολογεῖν, διὰ τοῦτο μόνον δικαιωθήσονται· ἀλλ' ὅτι τοῖς ἔργοις, κατὰ τὸν ἱερὸν λόγον, ἠρνήσαντο αὐτὸν, βδελυκτοὶ γενόμενοι καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι, τούτου γε B ἕνεκεν κατακριθήσονται. Οὐδ' ὅτι μόρφωσιν εὐσεβείας, καὶ σχῆμα γοῦν τι καὶ πλάσμα κενὸν εὐλαβείας περιθέμενοι πάντα δρῶσι καὶ πραγματεύονται, ὥστε δικαιωθῆναι παρὰ τοῖς ἀνθρώποις, διὰ τοῦτο δίκαιοι καὶ παρὰ τῷ τῶν κρυφίων ἐπόπτῃ καὶ ἐξεταστῇ· ἀλλ' ὅτι τῆς εὐσεβείας τὴν δύναμιν, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ἀπηνήναντο ζωὴν, πάσαις μὲν φιλαυτίαις καὶ φιλαργυρίαις, φιληδονίαις τε πάσαις καὶ φιλαρχίαις ἑαυτοὺς ἀπεμπολήσαντες, πάσαις δὲ ἀδικίαις, ἐπιορκίαις, σταυροπατίαις, καὶ κακουργίαις δὲ κατὰ τῶν ἀθώων καὶ ἐπηρείαις χρώμενοι, πᾶσαν τὴν ἐκκλησιαστικὴν εὐνομίαν διέλυσαν καὶ συνέχεαν· τὸ θεῖον δὲ τῆς ἱερᾶς Ἐκκλησίας πρᾶγμα καὶ ὄνομα οὕτω ταῖς ποικίλαις αὐτῶν ἀθεσμίαις καὶ παρανομίαις ἐβεβήλωσαν, ὥστε κινδυ- C νεύειν, ὀλίγου δεῖν, ἐν ψιλοῖς ἡμῶν λόγοις, ἀλλ' οὐκ ἐν ἀληθείᾳ καὶ πράγματι τὸ τῆς εὐσεβείας μυστήριον ὑπονοεῖσθαι· διὰ ταῦτα δικαιοτάτης τεύξονται πρὸς Θεοῦ τῆς κατακρίσεως.

Horum porro malorum omnium stirps et radix, primaque causa et certissima exstitit is, qui a principio homicida fuit : qui quod a bono defecit, omnis maleficii artifex effectus, hodieque non cessat venenum in eos suum eructare quos omnibus sæculis ad id hauriendum paratos habet : eoque largius latiusque virus suum diffundit, quanto ad rem suam aptiores offendit. Permittuntur autem tales sæpe rerum potiri, terrarumque imperiis extolli, ut ex multorum cordibus, quemadmodum est in divinis oraculis, revelentur cogitationes ; utque triticum a paleis secernatur, et justus igne molestiarum, velut aurum in fornace, coquatur, cœlestibusque thesauris reservetur ; rejiciaturque, quidquid ut scoria adulterinum est et cœlesti regno indignum. Atque his, opinor, nemo contradicet eorum qui pietatem colunt.

Τούτων δὲ τῶν κακῶν ἁπάντων αἰτία προκαταρκτικὴ καὶ ῥίζα, ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος καθέστηκε δηλαδή· ὃς τῷ ἀποστῆναι τοῦ ἀγαθοῦ, πάσης κακίας γενόμενος δημιουργὸς, οὐ παύεται μέχρι καὶ νῦν τὸν οἰκεῖον ἰὸν τοῖς πρὸς ὑποδοχὴν ἑτοίμοις κατὰ πᾶσαν ἐναπερευγόμενος γενεάν· καὶ τοσούτῳ μᾶλλον τὴν παρ' ἑαυτοῦ κακίαν ἐπιδαψιλεύεται, καθ' ὅσον ἂν καὶ ἐπιτηδειότεροις πρὸς τὸν οἰκεῖον περιτύχοι σκοπόν. Συγχωροῦνται δὲ πολλάκις κρατεῖν, καὶ κοσμικαῖς δυναστείαις οἱ τοιοῦτοι μεγαλύνεσθαι, ὡς ἂν ἐκ πολλῶν καρδιῶν, κατὰ τὸ θεῖον λόγιον, ἐκφανῶσι διαλογισμοί· καὶ ὥστε τὸν σῖτον διακριθῆναι D τοῦ ἀχύρου, καὶ πυρωθῆναι μὲν ταῖς ἐπηρείαις τὸν δίκαιον, ὥσπερ ἐν χωνευτηρίῳ χρυσὸν, καὶ τοῖς οὐρανίοις ταμιευθῆναι βασιλείοις, ἀποποιηθῆναι δὲ, καθάπερ σκωρίαν, ὅσον ἀδόκιμον καὶ ἀνάξιον τῆς βασιλείας τοῦ Θεοῦ. Πρὸς οὖν ταῦτα οὐκ οἶμαί τινα τῶν εὐσεβούντων ἀντερεῖν.

Sed videamus porro, quæ deinceps beato Ignatio acciderint, quantaque mala veterator ac hostis sanctorum virorum adversus latentem in illo fidem ac virtutem, per suos administros, malitia sua machinatus sit. At vero cum intelligam me sigillatim omnia percensere non posse, rebusque tantis parem non fore, oratione ad res præcipuas enarrandas conversa,

Ἴδωμεν δὲ καὶ τὰ κατὰ τὸν ἱερὸν Ἰγνάτιον παρηκολουθηκότα, καὶ ὅσα κατὰ τῆς ἐν αὐτῷ κεκρυμμένης ἀληθείας καὶ ἀρετῆς ὁ τῶν ἁγίων ἐχθρὸς καὶ ἐπίβουλος διὰ τῶν ὑπηρετουμένων αὐτοῦ τῇ κακίᾳ κατεπράξατο· ἀλλὰ πάντα μὲν κατὰ μέρος ἐπεξιέναι ἀμήχανον εἰδὼς, καὶ κρεῖττον ἢ κατ' ἰσχὺν ἐμὴν, τοῖς κυριωτέροις δὲ τὸν λόγον ἐπαφιεὶς, πειράσομαι

Digitized by Google

καθ' ὅσον οἷόν τε πανταχοῦ τῆς ἀληθείας πεφροντικὼς μηδὲν τῶν ἀξίων μνήμης παραλιπεῖν.

Ἐπειδὴ τοίνυν οἱ παρὰ τοῦ βασιλέως τότε πολλὰ πειράσαντες, τὸ πρὸς παρανομίαν ἐνδόσιμον οὐχ οἷοί τε ἐγεγόνεισαν παρὰ τοῦ Ἰγνατίου λαβεῖν, γενναίαις ἐνστάσεσι παραιτήσασθαι μὴ καταδεξαμένου, παρ' ἑαυτῶν ἔλαβον τοῦτο λοιπόν· καὶ πλεῖστα καθ' ἑαυτοὺς συσκεψάμενοι, καὶ πᾶσαν κεκινηκότες βουλὴν, Φώτιον πρωτοσπαθάριόν τε ὄντα καὶ πρωτοασηκρῆτιν, εἰς ἀρχιερέα τῆς βασιλίδος προχειρίζονται. Ἦν δὲ οὗτος ὁ Φώτιος οὐ τῶν ἀγεννῶν τε καὶ ἀνωνύμων, ἀλλὰ καὶ τῶν εὐγενῶν κατὰ σάρκα, καὶ περιφανῶν, σοφίᾳ τε κοσμικῇ καὶ συνέσει τῶν ἐν τῇ πολιτείᾳ στρεφομένων εὐδοκιμώτατος πάντων ἐνομίζετο. Γραμματικῆς μὲν γὰρ καὶ ποιήσεως, ῥητορικῆς τε καὶ φιλοσοφίας, ναὶ δὴ καὶ ἰατρικῆς, καὶ πάσης ὀλίγου δεῖν ἐπιστήμης τῶν θύραθεν τοσοῦτον αὐτῷ τὸ περιὸν, ὡς μὴ μόνον σχεδὸν φάναι τῶν κατὰ τὴν αὐτοῦ γενεὰν πάντων διενεγκεῖν, ἤδη δὲ καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. Πάντα γὰρ συνέτρεχεν ἐπ' αὐτῷ, ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδὴ, ὁ πλοῦτος, δι' ὃν καὶ βίβλος ἐπ' αὐτὸν ἔῤῥει πᾶσα· πλέον δὲ πάντων ὁ τῆς δόξης ἔρως, δι' ὃν αὐτῷ καὶ νύκτες ἄϋπνοι περὶ τὴν ἀνάγνωσιν ἐμμελῶς ἐσχολακότι. Ἐπεὶ δὲ καὶ πρὸς τὴν Ἐκκλησίαν αὐτὴν, ὡς μὴ ὤφελεν, ἐπεισελθεῖν ἔδει, καὶ τῶν διὰ τοῦτο βιβλίων τῆς ἀναγνώσεως οὐ κατὰ πάρεργον ἐπεμελήθη· ἀγνόημα δὲ ἠγνόησεν, ἵν' εἶπω θεολογικῶς, σφόδρα τῆς αὐτοῦ σοφίας ἀνάξιον. Οὐ γὰρ ἠθέλησε προσέχειν τὸν νοῦν, ὅτι *Εἴ τις θέλει σοφὸς γενέσθαι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός*. Οὐδὲ τὴν ὁδὸν εἵλετο τῆς ταπεινοφροσύνης, δι' ἧς ἡ μεγάλη τοῦ Θεοῦ χάρις καὶ ἡ ἀληθὴς σοφία δίδοται καὶ κατορθοῦται· οὐδὲ στραφῆναι καὶ γενέσθαι ὡς τὸ παιδίον διὰ τὴν τοῦ Θεοῦ βασιλείαν, ὡς ἡ τοῦ Κυρίου διαμαρτυρία, κατεδέξατο· ἀλλ' οὐδὲ σκάψαι τὴν αὐτοῦ ψυχὴν, καὶ βαθῦναι τὴν διάνοιαν διὰ πάσης ὑποταγῆς, κατὰ Κύριον, καὶ ἀτιμοτέρας ἀγωγῆς καὶ ταπεινόφρονος, καὶ δι' ἀπιθείας οὕτω τῇ πέτρᾳ προσεγγίσαι Χριστῷ, καὶ ἐπ' αὐτῷ θεῖναι θεμέλιον πίστεως ἀῤῥαγῆ, καὶ δι' ἀγαθῶν πράξεων οὕτω τῇ σοφίᾳ [*Isc.* τῇ σοφίᾳ] ἑαυτὸν οἰκοδομεῖν· οὐ ταῦτα διανενόηται ὁ σοφός· πολλοῦ γε δεῖν· καὶ οὐδὲν τούτων ἐπὶ νοῦν ἦλθεν αὐτῷ, ἀλλ' ἐπὶ σαθρῷ θεμελίῳ καὶ ἀμμώδει, τῇ κοσμικῇ σοφίᾳ, καὶ τῇ ἀλαζονείᾳ τοῦ μὴ κατὰ Χριστὸν πεπαιδευμένου λόγου τὴν ἑαυτοῦ καρδίαν στηρίξας καὶ τὸν νοῦν, καὶ τοῖς κενοῖς τῶν ἀνθρώπων ἐπαίνοις καὶ κρότοις φυσιούμενος, καὶ ἐπὶ πολὺ τῇ κενοδοξίᾳ μετεωριζόμενος, δι' αὐτῆς τῇ ἐχθρᾷ τοῦ Θεοῦ ὑπερηφανίᾳ προσεπέλασε, δι' ἧς κακουργίαν τε πᾶσαν καὶ πᾶσαν σκανδάλων ὑπόθεσιν μυσταγωγεῖται. Ὅθεν ἀδόκιμον αὐτοῦ τὴν τῆς ἱερουργίας καταβαλόμενος ἀρχὴν, ἀκόλουθον ἔσχε τῇ ἀρχῇ τὸ τέλος. Οὐ γὰρ παρητήσατο τὴν ὡς παρὰ

A nudam rei veritatem ubique studiose persecutus, pro mea virili curabo, uti ne quid rerum quæ sint memoria dignæ, prætermittam.

Postquam igitur administri regii, sæpe tentata re, non potuerunt flectere Ignatium ad id quod inique petebant, suam illo dignitatem fortiter et constanter tuente, a se ipsi consilium de cætero petiverunt; rebusque inter se diu agitatis, omnemque in partem versatis, tandem Photium protospatharium et primum a secretis, patriarcham urbis regiæ designant; hominem sane minime obscurum et ignobilem, sed claris et illustribus oriundum natalibus, rerumque civilium et politicarum usu, prudentiaque et scientia clarissimum. Grammaticæ enim litteraturæ, et carminis pangendi, dicendique laude, quin et philo- B sophiæ et medicinæ, et omnium prope liberalium disciplinarum externarum studio cognitioneque tantopere florebat, ut ævi sui facile princeps haberetur, imo et cum veteribus jam certare posset. Omnia quippe in illo concurrerant, aptitudo quædam et naturæ vis ac felicitas, studium, opes, quibus sibi librorum omnium maximam copiam comparabat: et, quod præ cunctis, gloriæ laudisque cupido, qua incensus totas noctes, ut lectioni assidue vacaret, ducebat insomnes. Quoniam vero sacrum etiam (quod utinam nunquam fuisset) thronum Ecclesiæ conscensurus erat, sacra quoque et ecclesiastica volumina studiose cœpit lectitare. Verum ut Theologi Nazianzeni ritu loquar (1), quod sane ipsius sapientia indignum fuit, ignorationem ignoravit. C Noluit enim animadvertere, quoniam, *Si quis vult sapiens fieri in hoc mundo, stultus sit, ut sapiens fiat* [a]. Neque viam modestiæ et submissionis ingressus est, qua ad cœlestem gratiam veramque sapientiam pervenitur: neque deposito fastu voluit converti, et fieri ut parvulus, propter regnum Dei, juxta Domini vocem: neque animam suam et mentem altius fodere et omni subjectione demittere, ut jubet Dominus, per abjectiorem humilioremque semitam; atque ita per affectuum mortificationem petræ Christo conjungi, et super ipsum inconcussum fidei fundamentum ponere, et piis operibus seipsum domicilium sapientiæ constituere. Nihil horum huic venit in mentem, alia omnia cogitabat: D fragili et arenoso, vanæ profanæque sapientiæ fundamento et insolentiæ, non secundum Christum doctrinæ cor suum mentemque confirmans, vanis hominum laudibus et plausibus inflatus, elatusque inani gloria, per ipsam inimicæ Deo superbiæ se conjunxit: ex quo omnis impietatis omniumque offensionum materiem edoctus est. Ergo jactis sacerdotii sui improbandis fundamentis, extrema initiis consentanea sortitus est. Nec enim repudiavit Ecclesiam, tanquam a profanis magistratibus profane et sacrilege sibi demandatam; neque velut

[a] I Cor. III, 18.

(1) Potius, ut more loquar Scripturæ sacræ. HARD.

Digitized by Google

alteri viro nuptam, sibi per adulterium desponderi veritus est : sed contra potius exsultabundus, avide impudenterque in illius complexum ruit, alienamque tanquam propriam palam arrogavit, suaque infamia et dedecore gloriabatur, et laudabatur in iniquitate sua ; intraque sex non amplius dies, manibus hominum initiatus, concupitam Ecclesiæ cathedram invasit. Eratque vere cernere, ut fertur adagio, extemporalem fictitiumque, seu personatum sanctum. Nam primo die monachus ex laico, altero lector, tum hypodiaconus, ac diaconus et presbyter : sexto deinde, qui fuit Christi natalis, et ipse sacrum conscendens tribunal, pacem populo, nihil vera pace dignum cogitans, nuntiavit.

Erat huic auctor et initiator in omnibus Gregorius ille cognomento Asbesta, quem Syracusanum olim pontificem fuisse ferunt, tum Constantinopoli de maleficiis reum factum, et jam Romæ, quod contra leges et sanctiones ecclesiasticas peccasset, exauctoratum. Hunc Ignatius, cum esset patriarcha consecrandus, ne initiationi suæ interesset, admonuit, donec per otium causa ipsius diligenter cognosceretur. Quod patriarchæ inter initia factum multi, quamvis juste factum, reprehenderunt.

Hinc, o quis ex his paucis verbis ortam cladem illam et noctem explicet ? quis turbas et factiones, litesque et improbitatem illius probi (5) Siculi dicendo assequatur ? Simul ac enim ejus rei nuntium accepit, non se philosophum ostendit, et infamiam suam prudenter dedecusque contexit ; sed cereos de Ignatii consecratione acceptos abjecit, et impudentissimo ore innocentem coram universa Ecclesia fœdissime conviciatus, lupum pro pastore substitui furiose clamitavit. Quem et Petrus quidam Sardorum episcopus cognomento Miser, et Eulampius Apameæ, aliique e clero obscuriores [insigniores], seipsos ab Ecclesia sine causa sejungentes, secuti sunt.

Undecim igitur ipsius annis Ignatius a recepta primum sede Constantinopolitana, omni ratione conatus, omnique verborum humanitate et liberalitate adhibita, nunquam tamen potuit Asbestæ improbitatem exstinguere. Etenim potentiorum limina terebat, apud omnes virum nullam ob culpam criminabatur, et acerbe conviciis proscindebat, et sanctum exsecratus, ne Christiani quidem cognomine dignabatur. Præsertim vero Photio Photianisque gratissimus honoratissimusque, magnus quidam homo Dei credebatur. Quare ab eodem Photius primum est initiatus ; qui hominis auctoritate inductus, totum ex illo adversus insontem Ignatium furorem hausit : perinde quasi ad hoc ipsum patriarcha esset consecratus, ut omnibus consiliis modisque omni-

(5) Pro *improbi* : vel dictum per ironiam, Hard

κοσμικῶν ἀρχόντων ἀκόσμως αὐτῷ καὶ ἀθέσμως ἐνδιδομένην Ἐκκλησίαν, οὐδ' ὡς ἑτέρῳ ἀνδρὶ καθηρμοσμένην μοιχικῶς ἑαυτῷ κατεγγυᾶσθαι ηὐλαβήθη· τοὐναντίον μὲν οὖν καὶ περιχαρῶς, ἢ ἀναιδῶς μᾶλλον, κατησπάζετο, καὶ ὡς ἰδίας τῆς ἀλλοτρίας σαφῶς ἀντεποιεῖτο, καὶ ἐν τῇ αἰσχύνῃ αὐτοῦ ἐγαυρία δοξαζόμενος, καὶ ἐν τῇ ἀδικίᾳ αὐτοῦ ἐνευλογεῖτο, καὶ ἐν ἓξ ταῖς ὅλαις ἡμέραις χερσὶν ἀνθρώπων τελειούμενος, τῆς ἐπιθυμουμένης ἐπελαμβάνετο καθέδρας· καὶ ἦν ἀληθῶς ἐκεῖνον ὁρᾷν αὐθήμερον ἅγιον πλαττόμενον, κατὰ τὴν παροιμίαν. Πρώτῃ γὰρ ἡμέρᾳ μοναχὸς ἀντὶ λαϊκοῦ, τῇ δευτέρᾳ δὲ ἀναγνώστης, καὶ ὑποδιάκονος τῇ ἑξῆς, εἶτα διάκονος, εἶτα πρεσβύτερος· ἔπειτα τῇ ἕκτῃ (Χριστοῦ δὲ ἦν τὰ γενέθλια) καὶ αὐτὸς τῷ ἱερατικῷ προσβὰς θρόνῳ, τὴν εἰρήνην τῷ λαῷ προσεφώνει, μηδὲν τῆς ἀληθινῆς εἰρήνης ἄξιον ἐννοούμενος

Ἦν δὲ αὐτῷ καθηγητὴς καὶ ἱεροτελεστὴς τὰ πάντα Γρηγόριος ἐκεῖνος ὁ καλούμενος Ἀσβεστᾶς, ὃν ποτε καὶ Συρακούσης μὲν ἐπίσκοπον ἔφασαν γενέσθαι, ἐπ' ἐγκλήμασι δέ τισιν εἰς τὸ Βυζάντιον κατηγορούμενον, ἤδη δὲ καὶ ὑπὸ τῆς τῶν Ῥωμαίων Ἐκκλησίας ὡς παρὰ κανόνας πράξαντα, καθῃρημένον. Ἰγνάτιος ἄρτι πρῶτον χειροτονεῖσθαι μέλλων, μὴ παρεῖναι τοῦτον τῇ χειροτονίᾳ διεπέμψατο, ἄχρις οὗ τὰ κατ' αὐτὸν, φησὶν, ἐπὶ σχολῆς ἀκριβέστερον διαγνωσθῇ. Τοῦτο ὁ πατριάρχης ἐν πρώτοις, οὐ καλῶς μὲν, ὥς γε δοκοῦν τοῖς πολλοῖς, πέπραχε δ' οὖν ὅμως ἐν δικαιοσύνῃ.

Ἐντεῦθεν, ὦ τίς ἂν ἐξείποι τὴν ταραχὴν καὶ τὴν σκοτόμαιναν ; τίς τὴν ἀπὸ τοῦ μικροῦ ῥήματος φιλονεικίαν, καὶ ἔριν, καὶ μνησικακίαν τοῦ δεινοῦ ἐκείνου Σικελοῦ παραστήσαι ; Εὐθὺς γὰρ ἀκούσας, οὐκ ἐφιλοσόφησε πρὸς τὴν ἀγγελίαν, οὐ τὴν ἰδίαν ὡς φρόνιμος συνεκάλυψεν αἰσχύνην, τοὺς ἐπὶ χειροτονίᾳ δὲ κηροὺς τῶν αὐτοῦ χειρῶν ἀπορῥίψας, καὶ καταναιδευσάμενος, πάσης ἐνώπιον τῆς ἐκκλησίας ἐσχάτως διελοιδορεῖτο τὸν ἀναίτιον, καὶ λύκον ἀντὶ ποιμένος ἐπεισιέναι τῇ ἐκκλησίᾳ μανιωδῶς διεσχυρίζετο· ᾧ καὶ Πέτρος ὁ Σαρδέων, ὁ λεγόμενος Δείλαιος, πρὸς δὲ καὶ ὁ Ἀπαμείας Εὐλάμπιος, καὶ ἄλλοι τινὲς τῶν ἀσημοτέρων [*ἀν.* εὐσημοτέρων] εἵποντο κληρικῶν, ἀλόγως τῆς Ἐκκλησίας ἀπορῥηγνύμενοι.

Ἐν ὅλοις μὲν οὖν ἕνδεκα χρόνοις τῆς πρώτης αὐτοῦ ἱεραρχίας ὁ Ἰγνάτιος ἀποπειρώμενος, καὶ πᾶσαν μὲν λόγων, πᾶσαν δὲ δωρεῶν προτεινόμενος φιλοτιμίαν, οὐχ οἷός τε ἐγεγόνει τὴν τοῦ Ἀσβεστᾶ κακίαν κατασβέσαι. Διήρχετο πάσας οἰκίας τῶν δυναστῶν, μάτην διαλοιδορούμενος καὶ διασύρων πικρῶς, καὶ μηδὲ Χριστιανὸν ὀνομάζειν τὸν ἅγιον ὁ ἐναγὴς ἀξιῶν, μάλιστα δὲ πάντων παρὰ Φωτίῳ καὶ τοῖς αὐτοῦ συγγενέσι τιμώμενος, μέγας τις ἄνθρωπος τοῦ Θεοῦ χρηματίζειν ἐπιστεύετο· ὅθεν καὶ παρ' αὐτοῦ πρώτου χειροτονηθεὶς ὁ Φώτιος, ἐκ τῆς εἰς αὐτὸν πίστεως ὅλην τοῦ ἀνδρὸς κατὰ τοῦ ἀναιτίου μανίαν ἐπεσπάσατο. Καὶ ὥσπερ εἰς αὐτὸ τοῦτο πατριάρχης προχειρισθεὶς, ἵνα πάσαις ἐπινοίαις, τρόποις πᾶσι, τὸν ἀθῶον τιμωρήσηται, οὕτως ἠγωνίζετο, οὐ τῆς ἱερω-

Digitized by Google

σύνης μόνον, ἀλλὰ καὶ αὐτῆς αὐτὸν ἀπαλλάξειν, εἰ δυνατόν, τῆς ζωῆς· καίτοι γε χειρόγραφα παρὰ τῶν καταδεχομένων αὐτὸν πρότερον ἀπαιτηθεὶς μητροπολιτῶν, ὥστε πατρικὴν ἀπονέμειν τῷ Ἰγνατίῳ τιμὴν, καὶ πάντα κατὰ βούλησιν αὐτοῦ δρᾷν, καὶ ἐν μηδενὶ τοῦτον παραλυπεῖν. Οὕπω δὲ μετὰ τὴν χειροτονίαν δύο μῆνες παρῆλθον, καὶ αὐτὸς τοὺς ὅρκους ἠθετηκὼς, πρῶτον μὲν τοὺς ἐπὶ τῆς ἐκκλησίας τεταγμένους, ὅσους οἰκειοτέρους εὗρισκε τοῦ πατριάρχου, κατακλείων, καὶ αἰκισμοῖς βιαίοις καὶ μάστιξι καταικιζόμενος· καὶ κολακεύων δὲ πάλιν, καὶ δῶρα προτείνων καὶ προκοπὰς, καὶ χειρόγραφα ἀπαιτῶν, καὶ πᾶσι * ὥστε πέμψσι, καὶ ἔρευναν ἀκριβῆ ποιήσασθαι κατὰ τοῦ Ἰγνατίου, ὡς αὐτοῦ λάθρα τυρεύοντος κατὰ τῆς βασιλείας. Εὐθὺς οὖν ἄρχοντες ἀπηνεῖς καὶ στρατιῶται θρασεῖς τὴν Τερέβινθον καταλαβόντες, καὶ πᾶσαν ποιήσαντες ἐξέτασιν, καὶ πᾶσαν βάσανον, τοὺς ὑπ' ἐκεῖνον ἀνθρώπους βασανίσαντες, ἐπειδὴ ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις, καὶ λοιπὸν οὐδὲν εἶχον, ὥστε δικαίως τιμωρήσασθαι, τῇ ἀδικίᾳ καθαρᾷ χρῶνται. Λαβόντες γὰρ τὸν ἱερὸν ἄνδρα μετὰ τῶν σὺν αὐτῷ, καὶ πρὸς τὴν λεγομένην Ἱέρειαν περάσαντες, δέσμιον τοῦτον εἰς μάνδραν αἰγῶν κατέκλεισαν· ἐκεῖθέν τε πρὸς τὰ Προμήτου λεγόμενα διαπερῶσιν, ὅπου δὴ Λέων ἐκεῖνος ὁ Λαλάκων ἐπονομαζόμενος τῶν Νουμέρων δομέστικος ὤν, ἐπὶ τοσοῦτον αὐτοῦ τοῖς ῥαπίσμασι κατέκοψε τὰς σιαγόνας, ὡς δύο μύλας ἐκεῖ τοῦ ἱερωτάτου γέροντος ἐκπεσεῖν· εἶτα δύο μοχλοῖς σιδηροῖς, ἀνδροφόνων τρόπον, τοὺς αὐτοῦ πόδας κατασφαλισάμενοι, καὶ μικρᾷ φρουρᾷ κατακλείσαντες ἀπῆσαν, δύο παῖδας καὶ μόνον πρὸς ὑπηρεσίαν αὐτῷ καταλιπόντες. Ὅλος δὲ αὐτοῖς ὁ ἀγὼν καὶ ἡ ἔπειξις ἦν, ὥστε λίβελλον αὐτοῖς ἀποταγῆς δοῦναι, καὶ ἑκουσίως τοῦ θρόνου παραχωρεῖν. Ὁ δὲ τὸν λύκον κατὰ τῆς ποίμνης δεινῶς ἐπεισφρήσαντα θεασάμενος, ὅσον ἦν ἐπ' αὐτῷ, τὴν ἔφοδον ἐξεῖργεν. Ἡμερῶν δὲ παρελθουσῶν ὀλίγων, εἰς τὰ Νούμερα τοῦτον περάσαντες, σιδηροδέσμιον ἐγκλείουσιν· εἶτα Αὔγουστος ἐνίστατο μὴν, καὶ εἰς πλοῖον αὐτὸν ἐμβαλόντες, εἰς Μιτυλήνην ἐξορίζουσι. Πάντας δὲ τοὺς ὑπονοουμένους οἰκείους εἶναι καὶ φίλους αὐτοῦ, οὓς μὲν δαρμοῖς ἀφορήτοις καὶ θανατηφόροις παρεδίδουν πληγαῖς· οὓς δὲ, τὸ φιλανθρωπότατον, ὑπερώριζον τῆς πόλεως. Ὅτε δὴ καὶ τὸν χαρτοφύλακα Βλάσιον διὰ τὴν ὑπὲρ τῆς ἀληθείας παῤῥησίαν ἐγλωσσοτόμησαν. Ἐν Μιτυλήνῃ δὲ διατρίβοντος, ὁ Φώτιος τὴν κατ' αὐτὸν ἐκκλησίαν τῶν πονηρευομένων συναγαγὼν, καὶ πρὸς τῷ ἱερῷ τεμένει τῶν πανενδόξων Ἀποστόλων γενόμενος, καθαίρεσιν ἀποφαίνεται κατὰ τοῦ μὴ παρόντος Ἰγνατίου· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἀναθεματίζει καὶ ἀποκηρύττει, αὐτὸς κατήγορος γινόμενος καὶ κριτής. Καὶ ὅσους μὲν ἑώρα τῷ αὐτοῦ σκοπῷ καὶ τῇ παραλόγῳ πράξει ταύτῃ συνᾴδοντας, καὶ τοῖς τελουμένοις ὑπογράφοντας, ἐν τοῖς πρώτοις τῶν φίλων καὶ γνησιωτάτων εἶχε συλλειτουργῶν· ὅσοι δὲ τῇ ἀκρίτῳ κρίσει προσοχθήσαντες, συναινέσαι ταῖς ἀλογιστίαις ταύταις οὐκ ἠβούλοντο, τούτους τῷ πραιτωρίῳ καὶ φυλακαῖς πολυτρόποις κολασθησομένους παρεδίδου. Πολλῶν οὖν διαγογγυζόντων, καὶ ἐπὶ ταῖς ἀκρισίαις

bus innoxium iret perditum, sic pugnabat, ut illum non sacerdotio tantum privaret, sed vita etiam, si posset, exueret: licet essent ab eo per metropolitas suos, a quibus est receptus, exacta chirographa: ut paternum Ignatio honorem tribueret, omniaque ex ejus voluntate gereret, nec ulla in re molestus esset: ipse tamen vix post duos a creatione sua menses juramento suo violato, primum Ignatii familiares conjecit in vincula, dirisque flagris et plagis multavit: deinde rursus blanditus, muneraque et honores pollicitus, chirographa petiit, et omnibus modis studuit adversus Ignatium exitii causam reperire. Cumque nihil horum quæ ipse cupiebat, inveniret, scelerato Bardæ, perque Bardam Michaeli levissimo suggerit, ut mittat, qui in Ignatium velut imperio insidiantem severe inquirant. Ergo crudeles præfecti atrocesque satellites extemplo Terebinthum petunt, omniaque genera quæstionum instituunt, et famulos Ignatii tormentis omnibus excruciant. Postquam vero defecerunt scrutantes scrutinia, nec quidquam deprehenderunt, quo jure in illum animadverterent, aperto scelere in eum grassantur. Arreptum enim virum sanctum et suos in insulam Hieriam traduxerunt, atque Ignatium vinctum stabulo caprario incluserunt. Inde ad ea loca transferunt, quæ Prometi dicebantur; ubi Leo ille cognomento Lalaco, Numerorum domesticus, tam immaniter colaphis genas illius cecidit, ut sacratissimo seni duos molares excuteret dentes. Deinde vectibus geminis, latronum instar, pedes strinxerunt; angustoque conclusum ergastulo, duobus duntaxat pueris administris illi concessis, reliquerunt. Tota autem vis hæc et vexatio eo pertinebat, ut Ignatius abdicationis libellum scriberet, sponteque throno patriarchatus cederet. Sed Ignatius, cum lupum in gregem atrociter grassari cerneret, quantum poterat, impetum reprimebat. Elapsis autem haud multis inde diebus, in Numera deductum, in carcere catenis onerant: dein Augusto mense appetente, in navigium conjectum Mitylenem deportant. Porro eos qui habebantur ejus familiares et amici, immanissimis cruciamentis plagisque lethalibus afficiebant: quos autem humanissime tractabant, exsilio multabant; Blasioque chartophylaci ob fidem et dicendi libertatem linguam detruncarunt. Ignatio porro Mitylenæ commorante, Photius ecclesia malignantium sibi affinium coacta, absentis Ignatii, in ipso gloriosissimorum apostolorum templo, exauctorationem pronuntiat: nec pronuntiat tantum, sed anathemate Ignatium ferit damnatque; et damnatum idem accusator, idem judex proclamat. Qui quos factioni suæ studere, factisque insanis accinere, ac decretis subscribere videbat, hos vero inter intimos amicos ac symmystas habuit. Qui autem ejus amentia offendebantur, factaque (ut qui sincero judicio forent) non probabant, prætorio et vinculis pessime acceptos tradebat. Multis igitur mussitantibus, improbaque Photii acta damnantibus; quin et ipse Photius cum suis factis

Digitized by Google

et conscientia reprehenderetur, consilium improbum potius quam sapiens capit. Non enim bono malum, sed malum malo sanare, minorique malo majus addere cogitat. Nam ut virtutis viam ingressi, per bona opera quasi per gradus ad Deum enituntur, ita improbi relicto recto tramite, per opera mala auctori malitiæ copulantur, scelusque scelere cumulare non desistunt, donec in profundum malefactorum suorum præcipites agantur.

A ταύταις Φωτίου καταγινωσκόντων, ὑπό τε τῶν οἰκείων ἔργων ἐκεῖνος καὶ τῆς συνειδήσεως διελεγχόμενος, βουλὴν βουλεύεται πονηρὰν μᾶλλον ἢ συνετήν. Οὐ γὰρ ἀγαθῷ, ἀλλὰ κακῷ τὸ κακὸν ἰάσασθαι διανοεῖται· μᾶλλον δὲ τῷ ἥττονι τὸ μεῖζον ἐπενεγκεῖν. Ὥσπερ γὰρ οἱ τὴν ὁδὸν ἀνιόντες τῆς ἀρετῆς, διὰ τῶν ἀγαθῶν ἔργων ὡς διὰ κλίμακος ἀναβαίνουσι πρὸς τὸν Θεόν· οὕτως οἱ τὴν εὐθεῖαν ἀφιέντες, διὰ τῶν πονηρῶν πράξεων τῷ τῆς πονηρίας προσοικειοῦνται πατρί· καὶ κακῷ κακὸν ἐπιπλέκοντες, οὐ διαλείπουσιν, ἕως ἂν εἰς τὸν τῶν οἰκείων ἔργων ἐκραγῶσι βόθρον.

Legationem ergo et ille Romam veterem destinat, et a Nicolao papa legatos petit, qui in speciem quidem collapsam Ecclesiæ disciplinam emendent, et damnatæ Iconomachorum sectæ reliquias penitus exstinguant; revera autem, ut Romanæ Ecclesiæ B auctoritate Ignatii exauctorationem firmaret testatioremque redderet. Legat ergo Theophilum Amorii episcopum, et Samuelem, qui ad illum diem Chonarum antistes Laodiceno subjectus, archiepiscopi honore dignatus est a Photio. Per quos egregius ille non veritus est ad pontificem maximum mendacia perscribere; Ignatium senio et morbo confectum, corporisque invaletudine laborantem, se munere abdicasse, suaque in insula et cœnobio commorari, et a principibus populoque, et tota Ecclesia, omni honore et officiis coli. Pontifex, legatis exceptis, rerum Constantinopoli gestarum ignarus, duos legatos, Zachariam et Rhodoaldum episcopos ablegat.

Διανοεῖται τοίνυν κἀκεῖνος πρεσβευτὰς εἰς τὴν πρεσβυτέραν ἀποστεῖλαι Ῥώμην, καὶ παρὰ Νικολάου τοῦ πάπα τοποτηρητὰς αἰτῆσαι, πρόφασιν μὲν εἰς διόρθωσιν τῆς Ἐκκλησίας, εἴτουν ἐκτομὴν τελείαν τῶν ἔτι τῆς Χριστιανοκατηγορικῆς τῶν Εἰκονομάχων αἱρέσεως ἀντεχομένων· τὸ δὲ ἀληθὲς, ὡς ἂν μετὰ τῆς τῶν Ῥωμαίων χειρὸς περιφανεστέραν τοῦ Ἰγνατίου ποιήσηται καθαίρεσιν. Ἀποστέλλει τοίνυν Θεόφιλον ἐπίσκοπον τοῦ Ἀμορίου, καὶ Σαμουὴλ ἐπίσκοπον ἄχρις ἐκείνου τῶν Χωνῶν ὑπὸ Λαοδίκειαν τυγχάνοντα, ἀρχιεπίσκοπον τετιμηκώς· δι' ὧν καὶ τὰ ψευδῆ πρὸς τὸν πάπαν γράφειν ὁ γεννάδας οὐκ ὀκνεῖ· γράφει γὰρ, ὡς Ἰγνάτιος διὰ γῆρας καὶ νόσον καὶ σώματος ἀδυναμίαν παραιτησάμενος, ὑπεχώρησε τῆς Ἐκκλησίας, καὶ ἐν τῇ κατ' αὐτὸν νήσῳ καὶ τῷ μοναστηρίῳ μένων, πάσης τιμῆς καὶ θεραπείας ὑπό τε τῶν βασιλευόντων, ὑπό τε πάσης τῆς πόλεως καὶ τῆς κατ' αὐτὸν Ἐκκλησίας ἀξιοῦται. Τούτους ὁ πάπας δεξάμενος, καὶ τὴν τῶν πραγμάτων ἀλήθειαν ἀγνοῶν, δύο τοποτηρητὰς Ζαχαρίαν καὶ Ῥοδόαλδον ἐπισκόπους ἀποστέλλει.

Interea athleta Christi semestri Mitylenæ exacto, C ab exsilio redit: redit autem voluntate principum restitutus insulæ Terebintho, non tam honori, quieti et solatio, quam ignominiæ, vexationi, majorique afflictioni. Quanta enim inimicus in eo malignatus sit, quantasque ærumnas Niceta regiæ classis drungarius cognomento Oryphas, quantas item contumelias, ut Photio et principibus gratificaretur, irrogarit, quæ oratio assequatur? Quis singillatim, impetum, convicia, verbera, tormenta, quæ ille in familiares illius cruenta manu exercuit, exponat? Accessit et alia sancto viro calamitas. Ea tempestate Rhossi gens Scytharum, a Ponto Euxino ad Stenum excursione facta, omnem circa regionem omniaque monasteria deprædati sunt: insulanorum quoque Byzantinorum per populationem vasa omnia diripuerunt, argentum abstulerunt, captos ad unum omnes trucidarunt. Ipsius denique patriarchæ cœnobia barbarico furore et impetu incursantes, tota supellectili direpta, spoliarunt, duosque supra viginti ex familiarissimis captos, in uno navigii trochantere omnes securibus trucidarunt. Quas ille clades cum accepisset, unicam hanc in ore vocem semper habuit: *Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita factum est* [a], et quæ sequuntur. Ita gratias agens et ora-

Ἐν δὲ τῷ μεταξὺ ἐπάνεισι μὲν τῆς ἐξορίας ὁ ἀθλητὴς, ἐξ μῆνας ἐν Μιτυλήνῃ πεποιηκώς· ἐπάνεισι δὲ διὰ τῆς τῶν κρατούντων προνοίας πρὸς τὴν Τερέβινθον ἀποκαθιστάμενος, οὐ πρὸς τιμὴν μᾶλλον ἢ ἀτιμίαν, οὐδὲ πρὸς ἀνάπαυσιν καὶ παραμυθίαν, ἀλλὰ πρὸς θλῖψιν καὶ κάκωσιν περισσοτέραν. Ὅσα γὰρ ὁ ἐχθρὸς ἐν αὐτῷ ἐπονηρεύσατο, καὶ ὅσας αὐτῷ Νικήτας ὁ τοῦ βασιλικοῦ στόλου δρουγγάριος, ὁ Ὠρύφας λεγόμενος, θλίψεις ἐπήνεγκε καὶ ἐπηρείας, Φωτίῳ καὶ τοῖς κρατοῦσι χαριζόμενος, τίς λόγος παραστῆσαι δύναται; τίς καθ' ἓν ἀπαγγεῖλαι τὰς ἐπαγωγὰς, τὰς ὕβρεις, τὰς ζημίας, καὶ τοὺς δαρμοὺς, ὅσα χειρὶ μιαιφόνῳ κατὰ τῶν τοῦ μακαρίου οἰκείων ἐκεῖνος ἐτεκτήνατο; Ἐπεγένετο δὲ καὶ ἄλλη τῷ ἁγίῳ συμφορά. Κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν τὸ μιαιφονώτατον D τῶν Σκυθῶν ἔθνος, οἱ λεγόμενοι Ῥῶς, διὰ τοῦ Εὐξείνου πόντου προσκεχωρηκότες τῷ Στενῷ, καὶ πάντα μὲν χωρία, πάντα δὲ μοναστήρια διηρπακότες, ἔτι δὴ καὶ τῶν τοῦ Βυζαντίου περιοικίδων κατέδραμον νησίων, σκεύη μὲν πάντα λῃζόμενοι καὶ χρήματα, ἀνθρώπους δὲ τοὺς ἁλόντας πάντας ἀποκτείνοντες· πρὸς οἷς καὶ τῶν τοῦ πατριάρχου μοναστηρίων βαρβαρικῷ καταδραμόντες ὁρμήματι καὶ θυμῷ, πᾶσαν μὲν τὴν εὑρεθεῖσαν κτῆσιν ἀφείλοντο, εἴκοσι δὲ καὶ δύο τῶν γνησιωτέρων αὐτοῦ κεκρατηκότες οἰκετῶν, ἐφ' ἑνὶ τροχαντῆρι πλοίου τοὺς

[a] Job. I, 21.

Digitized by Google

πάντας ἀξίναις κατεμέλισαν. Τούτων δὲ τῶν συμφορῶν ἐκεῖνος ἐπακούων, μίαν ἀεὶ ταύτην ἐπὶ στόματος εἶχε φωνήν· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο*, καὶ τὰ ἑξῆς· οὕτως εὐχαριστῶν, καὶ ταῖς προσευχαῖς ἀδιαλείπτως πρὸς τὸν Θεὸν ἀνατεινόμενος, τὴν παρ' αὐτοῦ κρίσιν καὶ βοήθειαν ἐπεκαλεῖτο, ματαίαν δὲ πᾶσαν τὴν ἀπὸ τῶν κρατεῖν δοκούντων ἠγεῖτο σωτηρίαν· οἵγε καὶ ἡνίκα τοῦτον τηλικαύταις περιπεσεῖν ἀνίαις ἤκουσαν καὶ θλίψεσι, τοσοῦτον ἀπέσχον τοῦ συμπαθῆσαι καὶ παραμυθήσασθαι, ὥστε καὶ λύπης πρόφασιν ἡγήσασθαι, ὅτι μὴ καὶ αὐτὸς τῇ βαρβαρικῇ ἑάλω χειρὶ, καὶ τοῖς οἰκείοις συνανῃρέθη παισίν· οὐ μᾶλλον εὐθυμοῦντες ἐπὶ τοῖς ἀνῃρημένοις, ἢ ἀνιώμενοι ἐπὶ τῇ σωτηρίᾳ τοῦ δικαίου. Καὶ οὐ θαυμαστόν. Ψυχὴ γὰρ πᾶσα τῆς ἀγάπης μὲν ἀλλοτριωθεῖσα, τοῦ δὲ μίσους ἀναπλησθεῖσα, καὶ ὡς πυρὸς ὑπ' αὐτοῦ δαπανωμένη, μίαν ταύτης ἡγεῖται τοῦ πάθους ἀναψυχὴν, τὴν ἀπώλειαν τοῦ μισουμένου. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ πάλιν συνέδρια, πάλιν ἀρχόντων καὶ ἀρχιερέων κατὰ τοῦ ἀθώου βουλευτήρια· ὁ μὲν οὖν εἰς τὰ Ποσέως ἐκάθητο, τὴν κατ' αὐτοῦ σκευωρίαν ὑφορώμενος. Φώτιος δὲ τὴν κατ' αὐτὸν ἐκκλησίαν καὶ τοὺς ἀπὸ τῆς Ῥώμης ἥκοντας λαβὼν τοποτηρητάς, τὸν ἱερὸν τῶν Ἀποστόλων κατειλήφει ναόν. Παρῆσαν καὶ οἱ βασιλεῖς, παρῆσαν καὶ πάντες οἱ ἄρχοντες, καὶ πᾶσα σχεδὸν ἡ πόλις παρῆσαν ἐκεῖ. Ἐπειδὴ οὖν συνεληλύθεισαν, πρῶτον μὲν Βαάνην πραιπόσιτον, τὸν Ἀγγορὴν ἐπικαλούμενον, καὶ ἄλλους δέ τινας ἐξουθενημένους Ῥωμαίους πρὸς Ἰγνάτιον ἀποκρισιαρίους προχειρίζονται. Οἳ καὶ παραγενόμενοι, Ἡ μεγάλη, φασὶ, καὶ ἱερὰ σύνοδος καλεῖ σε πρὸς ἑαυτήν· ἐλθὲ τάχιον ἀπολογησόμενος πρὸς τὰ δικαίως ἢ ἀδίκως θρυλλούμενα κατὰ σοῦ. Ὁ δὲ μακάριος, Εἶπατε, φησὶν, ἀξιῶ, πῶς ἐλεύσομαι; ὡς ἐπίσκοπος, ἢ ἱερεὺς, ἢ θεραπευτής; Οἱ δὲ, μὴ εἰδέναι τί πρὸς ταῦτα ἀποκριθῶσιν, εἶπον· Ἀλλὰ νῦν ἀπιόντες πρὸς τοὺς ἀποστείλαντας, βεβαίαν ἀπόκρισιν αὖθις ἰόντες κομιοῦμεν. Τῇ οὖν ἐπαύριον οἱ αὐτοὶ παραγενόμενοι, Οἱ τοποτηρηταὶ τῆς πρεσβυτέρας, ἔφασαν, Ῥώμης, Ῥοδόαλδος καὶ Ζαχαρίας, δι' ἡμῶν τῶν ἀναξίων δηλοῦσι τάδε· Εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον ἀνυπερθέτως ἀπάντησον, ὡς ἔχει σου ἡ συνείδησις. Εὐθὺς οὖν τὴν ἀρχιερατικὴν στολὴν ἐκεῖνος ἐνδυσάμενος, σὺν ἐπισκόποις καὶ πρεσβυτέροις, καὶ πλήθει πολλῷ μοναχῶν τε καὶ λαϊκῶν, ἀπῆει πεζοπορῶν. Πλησίον δὲ τοῦ ναοῦ Γρηγορίου τοῦ Θεολόγου, ὅπου σταυρὸς ἐν μαρμαρίνῳ κίονι κατὰ μέσον ἀνεστήλωται τῆς λεωφόρου, γενομένῳ, Ἰωάννης πατρίκιος, ὁ Κόξης λεγόμενος, ἀπήντησεν αὐτῷ, λέγων ἀπὸ τοῦ βασιλέως ἀπεστάλθαι, καὶ ἀπειλῶν, ὡς εἰ μὴ παγανεύων ἐν μοναχικῷ τῷ συνήθει σχήματι προέλθοι, θάνατον ἐπηρτῆσθαι τὴν ζημίαν. Ὅ καὶ πεποιηκότα τὸν ἀοίδιμον τῷ συνεδρίῳ παρεστήσαντο. Καὶ δὴ παριστάνουσιν ἑβδομήκοντα καὶ δύο ψευδομάρτυρας, οὓς ἐκ πολλοῦ προητοιμάσαντο, ἀνθρώπους ἀσεβεῖς πάντας, ἀγελαίους καὶ συγκλητικοὺς, ὧν ἡγεῖτο Λέων πατρίκιος ἐκεῖνος, ὁ Κρητικὸς ὀνομαζόμενος, καὶ Θεοδοτάκιος πα-

tioni assidue intentus, a Deo judicium et auxilium, nullam a principibus salutem exspectans, implorabat. Nam illi, ubi hunc tantis oppressum malis et ærumnis audiverunt, tantum abest ut dolerent, vel afflictum solarentur, ut moleste etiam ferrent, eum non cum domesticis suis barbarica vi captum interiisse: non magis læti de interemptis, quam tristes de salute justi viventis. Quod mirum videri non debet: mens enim omni charitate destituta, odioque penitus imbuta, velut igne subjecto consumpta, ejus quem odit, exitium, unicum putat mali sui levamentum. Nec multum temporis fluxit, et rursum conciliabula, rursus principum et pontificum adversus sanctum conventicula. Atque Ignatius quidem in ædibus Poseos morabatur, insidiosasque contra se machinationes observabat. Photius autem cum sua factione, et missis ab urbe pontificiis legatis, sacram Apostolorum ædem occuparat. Aderant imperatores, aderant et principes cuncti, totaque prope civitas confluxerat. Frequentes ergo cum adessent, primum Baanem præpositum cognomento Angoram, aliosque nonnullos ex vilioribus Romanis, apocrisiarios ad Ignatium destinant. Qui coram Ignatio, Magna, inquiunt, et sacra synodus te citat. Quamprimum ergo ades, causam de objectis tibi sive veris, sive falsis criminibus dicturus. Hic beatus: Agite, inquit, obsecro, quomodo veniam? an ut episcopus, an sacerdos, an monachus? Illi hærentes: Nunc, inquiunt, abimus, cras ad te certa relaturi. Postridie igitur iidem reversi: Legati, inquiunt, veteris Romæ, Rhodoaldus et Zacharias, per nos indignos hæc nuntiant tibi, uti sine mora ad sanctam et œcumenicam synodum adsis, ut tua conscientia tibi dictat. Ergo (Ignatius) extemplo sacrum patriarchæ ornatum indutus, cum episcopis et clero, magnaque religiosorum frequentia, civiumque concursu et comitatu, viam pedes ingressus, cum ad ædem sancti Gregorii Theologi, ubi crux in media publica via marmoreæ columnæ imposita est, venisset, Joannes patricius, Coxes nuncupatus, illi occurrit; seque ab imperatore missum dicit; ac nisi privata et usitata monachi veste prodiret, ei capitis periculum ac supplicium imminere. Paret vir sanctus, synodoque sistitur. Apponunt duos supra septuaginta perjuros testes, quos jam olim impios omnes subornarant, gregarios juxta ac senatorios; quorum dux erat Leo patricius cognomento Creticus, et secundum illum Theodotacius item patricius, cui et perjurii pretium magistri dignitas delata est. His reliquos ex unoquoque gradu sorteque vel deterrimos adjunxerunt. Neque hos tantum, sed quos dibaptistas appellitant hæreticos. Atque, ut ita dicam, ex omni hominum fæce et colluvie turpissimos quosque nequissimosque auro dignitatumque pollicitationibus inductos, singillatim produxerunt, qui jurati testarentur, Ignatium, qui patriarcha jam fuerat annos prope duodecim, non rite et ordine creatum, cathedram Ecclesiæ occupasse. Quid vero stolidi horum judi-

Digitized by Google

ces, *in quorum manibus iniquitates sunt, et dextera eorum repleta est muneribus?* Quid contra perjurium hoc decreverunt? Tricesimum subito canonem subjiciunt, qui sic habet : *Si quis episcopus sæcularibus potestatibus usus, per ipsos Ecclesiam obtineat, deponatur* (6). Quod autem sequitur in eodem capite : *ut et omnes communicantes cum illo*, etc. fraudulenti malitiose tacuerunt. Oportebat enim, siquidem pro sanctione apostolica propugnabant, non partem, sed totum canonem observare : et si accusationem admisissent, ut Ignatium, ita ab illo initiatos, et cum illo communicantes exauctorare : sicque in operibus manuum suarum peccatores manifeste deprehensi essent. Contra jus autem fasque decernentes, hoc pronuntiarunt tantum, quod pro ipsis ad evertendum Ignatium ab illis sine causa læsum, faciebat. Quod autem sequitur in canone, quo illi ipsi eidem subjiciuntur censuræ, dissimularunt : id quod illis tacentibus opportune patriarcha ipse succlamavit. O improbitatem! o stuporem! Quis enim ignorat Ignatium episcoporum omnium calculis et totius populi applausu legitime canonice creatum fuisse : ipsum autem Photium potius ab exsecrato Barda, et sæcularibus armatum principibus, contra leges, magisque per tyrannidem, quam ecclesiasticum ritum, thronum invasisse? Sed non cognoverunt, neque intellexerunt, qui in avaritiæ et ambitionis tenebris ambulant, se iisdem consiliorum laqueis, quos aliis paraverant, comprehendi.

A τρίκιος μετ' αὐτὸν, ᾧ καὶ τῆς ἐπιορκίας μισθὸν τὴν ἀξίαν μαγίστρου προετείνατο. Ἐφ' οἷς καὶ τοὺς λοιποὺς ἀφ' ἑκάστου βαθμοῦ καὶ τοῦ καταδεεστάτου πάντων συλλεξάμενοι, οὐ μόνον δὲ, ἀλλὰ καὶ ἀπὸ τῶν λεγομένων διβαπτιστῶν, καὶ ἀπὸ παντὸς, ὡς εἰπεῖν, τάγματος τοὺς αἰσχίστους καὶ μιαρωτάτους τῶν ἀνθρώπων χρυσοῦ τε καὶ ἀξιωμάτων ἐξαγορασάμενοι, ἕνα καθ' ἕνα προσῆγον, ὀμνύοντας, ὡς Ὁ δωδεκαετῆ μικροῦ δεῖν χρόνον ἀρχιερατεύσας Ἰγνάτιος ἀψηφίστως χειροτονηθεὶς, ἐκράτησε τῆς ἐκκλησίας. Τί οὖν οἱ μάταιοι τῶν τοιούτων κριταὶ, *ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ὧν ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων*; τί οὗτοι πρὸς τὴν ψευδορκίαν ταύτην ἀνθυπήνεγκαν; Τὸν τριακοστὸν εὐθὺς ὑπαναγινώσκουσι κανόνα, *Εἴ τις ἐπίσκοπος*, λέγοντα, *κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω*. Τὸ ἐξῆς δὲ τοῦ κεφαλαίου, ὅτι *Καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες*, κακούργως οἱ δόλιοι παρεσιώπησαν· ἔδει δὲ πάντως, εἴπερ ἀποστολικὸν νόμον ἠγωνίζοντο τηρεῖν, οὐκ ἐκ μέρους, ἀλλὰ τελείως τηρεῖν· καὶ εἰ ἀληθῶς εἶχεν ἡ κατηγορία, ὥσπερ ἐκεῖνον, οὕτω καὶ τοὺς ὑπ' ἐκείνου χειροτονηθέντας, καὶ αὐτῷ κοινωνήσαντας, καθαιρεῖν· καὶ οὕτως ἂν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν οἱ ἁμαρτωλοὶ σαφῶς συνελαμβάνοντο. Ἀδικώτατα δὲ διανοούμενοι, ὅσον μὲν αὐτοῖς πρὸς βλάβην τοῦ παρ' αὐτῶν ἐπηρεαζομένου συνετέλει, τοῦτο ἐξεφώνησαν, τὸ ἐξῆς δὲ, ὡς καὶ αὐτοὺς τῇ αὐτῇ ὑποβάλλον ἐπιτιμίᾳ, κατεκρύψαντο· ὃ δὴ καὶ ὁ πατριάρχης αὐτοῖς τότε παρασιωπήσασιν εὐστόχως ἐπιφωνεῖ. Ὦ τῆς κακουργίας! ὦ τῆς σκαιότητος! Τίς γὰρ οὐκ οἶδεν, ὡς Ἰγνάτιος μὲν ψήφῳ πάντων ὁμοῦ τῶν ἀρχιερέων, καὶ τῆς Ἐκκλησίας ὅλης συναινέσει, κανονικῶς καὶ ἐνθέσμως προκεχείρισται· αὐτὸς δὲ ὁ Φώτιος μᾶλλον τῷ τε δεινῷ Βάρδᾳ καὶ τοῖς κοσμικοῖς ἄρχουσι χρησάμενος συνεργοῖς, ἀκανονίστως καὶ τυραννικῶς μᾶλλον ἢ ἐκκλησιαστικῶς τοῦ θρόνου καταδράττεται; Ἀλλ' οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν οἱ τῷ τῆς φιλαργυρίας καὶ δοξομανίας σκότῳ διαπορευόμενοι, ὡς ἐν οἷς διαβουλίοις *, συλλαμβάνονται.

Post longam ergo verborum altercationem, laborem, et cunctationem, sola impotenti freti potentia, præter jus fasque omne, pontificali cultu pannoso et sordenti primo [pan. et sord. primo, tum pontif. cultu] induunt, rursusque postea a tergo exuunt. Erat autem hypodiaconus quidam Procopius nomine, ab Ecclesia ejectus; quippe quem mente insanum moribusque profanum patriarcha non ita pridem gradu moverat. Hic primus ablato a patriarcha pallio, vesteque reliqua sacra, istud solemne proclamabat : *Indignus*. Zacharias et Rhodoaldus, nonnullique alii nefarii homines idem vociferantes, impio decreto suffragabantur. Quos tamen omnes brevi cœlestis vindicta consecuta est, cum illos sancti vatis Zachariæ falx illa jure optimo demessuit. Photius autem quo pacto suum adversus insontem occultum aliter odium universo orbi proderet, seipsumque longissime a pacifico mitique pastore Jesu abesse ostenderet, quam res ejuscemodi machinando, justoque viro injurias tantas irrogando? Hoc judicium nemo fuit qui non reprehenderet, atque indignitatem rei, aut potius im-

C Μετὰ πολλὴν οὖν τὴν ἐν τοῖς λόγοις ἅμιλλαν καὶ σπουδὴν καὶ τριβὴν, κατ' οὐδένα δικαιοσύνης νόμον, μόνῃ δὲ τῇ ἐξουσίᾳ μανικῶς χρώμενοι, ἐνδύουσι τοῦτον ἱμάτια διερρωγότα καὶ ῥυπῶντα, καὶ τὴν ἱερατικὴν στολὴν περιβαλόντες, ἐκ τῶν ὄπισθεν ἀπαμφιάζουσιν. Ἦν δέ τις ἐκκήρυκτος ὑποδιάκονος, Προκόπιος τοὔνομα, τὸν λόγον ἄλογος, τὸν βίον βέβηλος, ὃν ὁ πατριάρχης πρώην διὰ τοῦτο ἔῤῥιψε τοῦ βαθμοῦ. Οὗτος πρῶτος ἀναιρούμενος τὸ ὠμοφόριον καὶ τὴν λοιπὴν ἐσθῆτα, ἓβδα τὸ, Ἀνάξιος. Ζαχαρίας τε καὶ Ῥοδόαλδος, καί τινες ἄλλοι μιαροὶ τὰ ἴσα κραυγάζοντες, τῇ ἀνοσίᾳ ψήφῳ συνεπεψηφίζοντο· οὓς πάντας οὐ μετὰ πολὺ μετῆλθεν ἡ δίκη, καὶ τὸ τοῦ Ζαχαρίου τοῦ θείου δρέπανον ἐκδικώτατα κατακτεῖναι συνετέλεσε. Φώτιος μὲν οὖν τὴν ἐνδομυχοῦσαν ἐν αὐτῷ κατὰ τοῦ ἀνεγκλήτου μῆνιν πῶς ἂν ἄλλως τῇ οἰκουμένῃ πάσῃ κατεστήσατο φανερὰν, καὶ πῶς ἂν ἑαυτὸν ὡς πορρώτατα τοῦ εἰρηνικοῦ καὶ πράου ποιμένος ἀπέφηνεν Ἰησοῦ, ἢ τοιαῦτα διανοηθεὶς, καὶ οὕτως ἀδικώτατα τῷ δικαίῳ ἐπιθέμενος; Ταύτην τὴν κρίσιν οὐκ ἦν ὅστις οὐκ ἐμέμψατο, καὶ τῆς ἀλογιστίας, μᾶλλον δὲ μισανθρωπίας τὸ ὑπερ-

(6) Canon apostol. 29, alias 31.

Digitized by Google

βάλλον ἀπεστράφη. Οὐδὲ γὰρ οἱ τῷ μέρει μόνον τοῦ ὀρθοῦ λόγου τιθέμενοι, ἀλλὰ καὶ αὐτοὶ Φωτίου οἱ συγγενεῖς καὶ οἰκεῖοι κατεστέναξαν τῶν γενομένων, καὶ εἰς κακὸν ταῦτα προβήσεσθαι τῷ τῆς ἀδικίας οἰωνίσαντο κριτῇ. Τί δὲ ἐκεῖνος; ἆρ' ἠδέσθη τοὺς ἀνθρώπους, ἢ τὸν δικαιοσύνην ἀγαπῶντα καὶ κρίσιν Θεὸν φοβηθείς, ἐξ ἐκείνου κατέπαυσε τὴν ὀργήν; Οὐδαμῶς· ἀεὶ δὲ φθόνον φθόνῳ, καὶ κακίαν ἐπισυνάπτων τῇ κακίᾳ, ἠγωνίζετο σπουδῇ πάσῃ καὶ μηχανῇ οὐ θανατῶσαι μόνον, ἀλλὰ τὸ τούτου χεῖρον, καὶ ὡς θανάτου ἄξιον αὐτὸν ἀνελεῖν. Τότε μὲν οὖν, ὡς ὑπέλαβον, καθαιρήσαντες καὶ ἐκκηρύξαντες, ἀνθρώποις αὐτὸν ὠμοτάτοις καὶ ἀσεβεστάτοις τιμωρεῖσθαι πικρῶς παραδεδώκασιν, ἄχρις ἂν οἰκείᾳ χειρὶ τὴν ἰδίαν καθαίρεσιν ὑποσημήνηται. Ἦσαν δὲ οἱ κολαφίζοντες καὶ ταλαιπωροῦντες αὐτὸν, καὶ πήξεως οὔσης δριμείας, ἐνὶ χιτωνίσκῳ πιέζοντες, καὶ σταυροῦντες αὐτὸν, καὶ πυρπολοῦντες, καὶ ἐν δυσὶν ἑβδομάσιν ἐμφρούριον συνέχοντες, καὶ ἀσιτίᾳ τελείᾳ κατατήκοντες· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐπ' αὐτῆς αὐτὸν τοῦ Κοπρωνύμου τῆς λάρνακος ἐκάθιζον ἀναβιβάζοντες, καὶ τῶν ποδῶν αὐτοῦ κάτωθεν λίθους ἐξαρτῶντες βαρεῖς, καὶ ἐπὶ πλεῖον τῇ τοῦ μαρμάρου τὴν ἕδραν ὀξύτητι πικρῶς ἄγαν πλήσσοντες ἐπέτριβον. Οἱ οὖν ταῦτά τε καὶ ἄλλα πλείω ἐνυβρίζοντες εἰς τὸν μακαριώτατον, καὶ λόγοις καὶ ἔργοις ἐμπαροινοῦντες εἰς αὐτὸν, σπέρμα πονηρὸν, ὡς εἰπεῖν, υἱοὶ ἄνομοι, ὁ Μωροθεόδωρος ἐκεῖνος, καὶ ὁ Γοργονίτης Ἰωάννης, καὶ ὁ Θεοδούλου Νικόλαος ὁ Σκουτελόψις ἦν.

Μετὰ γοῦν τὰς κολάσεις, ἃς οὗτοι προσήγαγον τῷ ὁμολογητῇ τοῦ Χριστοῦ, μετὰ τὰς ἀπειλὰς, μετὰ τὰς ἀλύσεις, ἃς κατὰ τῶν τιμίων ἐπέβαλον ποδῶν, μετὰ τὰ ῥαπίσματα, μετὰ τὸ σταυρωδῶς ἐπὶ πρόσωπον κατὰ τῶν μαρμάρων ἐφαπλῶσαι, καὶ ὅλην τὴν νύκτα δεδεμένον τιμωρήσασθαι, μετὰ τὸ ἐπιβιβάσαι τῇ λάρνακι εἰς τὴν ἑξῆς νύκτα πᾶσαν, εἶθ' οὕτως ἀπολῦσαι τῶν δεσμῶν, καὶ κατὰ τοῦ ἐδάφους αὐτὸν ἀκοντίσαι καὶ συντρῖψαι, καὶ τῷ αἵματι φοινίξαι τὴν γῆν· μετὰ ταῦτα πάντα μικρὸν τοῦτον ἐμπνέοντα (συνεῖχε γὰρ μάλιστα λελυμένη καὶ ἡ γαστὴρ), βίᾳ τῆς τοῦ ἁγίου χειρὸς ὁ Μωροθεόδωρος κρατήσας, καὶ χάρτην λαβὼν, ἔπηξεν ὡς δι' αὐτοῦ σταυρὸν, ὃν καὶ ἀναγαγὼν ἐπιδέδωκε Φωτίῳ. Ὁ δὲ τὸν σταυρὸν λαβὼν, ἐξ ἑαυτοῦ ὑπέγραψεν οὕτως· « Ἰγνάτιος ἀνάξιος Κωνσταντινουπόλεως ὁμολογῶ ἀψηφίστως εἰσελθεῖν, καὶ τὰ ἔτη ταῦτα οὐχ ἡγίαζον, ἀλλ' ἐτυράννουν. » Ταύτης τῆς ὑπογραφῆς τῷ βασιλεῖ πεμφθείσης, ἀφίεται μὲν ὁ μακάριος ἐκείνης τῆς ἐνοχῆς, τὸν μητρικὸν δὲ οἶκον τὰ Ποσέως καταλαβὼν, μικρὸν τέως ἀπὸ τῶν πολλῶν πόνων ἀνέψυχεν ἐκεῖ. Ὁ ἐχθρὸς δὲ οὐκ ἐπαύετο δόλους ἐν καρδίᾳ τεκταινόμενος, καὶ πονηρὰ κατὰ τοῦ ἀθώου διαλογιζόμενος. Τοίνυν ὑποβάλλει τοῖς κρατοῦσιν ἐπὶ τὸν τῶν Ἀποστόλων αὖθις αὐτὸν ἀναγαγεῖν ναὸν, καὶ βιάζεσθαι, πρῶτον μὲν τὴν οἰκείαν καθαίρεσιν ἀνεγνωκότα ἐπὶ τοῦ ἄμβωνος ἀναθεματίζειν ἑαυτόν· μετὰ ταῦτα δὲ (ὢ τῆς μιαιφόνου βουλῆς! ὢ τῆς δεινότητος!) τούς τε ὀφθαλμοὺς ἐκκόψαι καὶ τὴν χεῖρα

manitatem non aversaretur. Neque enim illi soli, qui rectam rationem sequebantur, sed ipsius quoque Photii propinqui et familiares ad hanc rerum gestarum infamiam ingemiscebant, augurabanturque, hanc omnem improbitatem in ipsius quondam iniqui judicis caput et exitium redundaturam. Quid vero ille? an homines est reveritus? an timuit diligentem justitiam et judicium, Deum? illoque ex tempore iram posuit? Minime vero. Quinimo odium odio, invidiam invidiæ, scelus scelere cumulans, illum omni ratione vique conabatur non tantum pessumdare, sed, quod est atrocius, veluti noxium ultimoque supplicio dignum e medio tollere. Itaque tunc, ut cœperant, exauctoratum publicoque præconio damnatum, immanissimis scelestissimisque hominibus excruciandum tradidere, quoad sua manu suæ ipsius abdicationi subscriberet. Ergo illum colaphis plectunt, misereque divexant: et cum frigore prope contabesceret, unica tantum tunicula indutum macerant, urunt, atque discruciant. Cumque binas illum hebdomadas in carcere tenuissent, extrema prope fame conficiebant. Imo et Copronymi sepulcrum seu arcam conscendere cogebant, in eaque collocato, ingentia a pedibus saxa suspendebant, sæpeque marmoris acumine sedem concussam atterebant. Hæc et his plura tormenta, sannas, contumeliasque impium semen, ut sic loquar, et impia progenies viro sanctissimo dictis factisque, et stolidus ille Theodorus, et Gorgonites Joannes, atque Nicolaus Theoduli Scutelopsis, irrogabant.

Ergo post cruciamenta, quibus Christi confessorem afflixerant, post comminationes, post catenas et compedes venerandis pedibus injectas, post alapas, et postquam eum ad formam crucis in faciem in marmore prostratum ac distentum, tota nocte vinctum insuper torsissent, atque tumbæ impositum totam insequentem noctem cruciassent, tandemque solutum humi projecissent fodicassentque, ut sanguine etiam terram purpuraret: post hæc, inquam, omnia, cum adhuc modice spiraret (urgebatur enim et alvi solutioris profluvio), tum insanus Theodorus sacra viri manu per vim arrepta, chartaque subjecta, quasi per illum crucem impressit, allatamque Photio porrexit. Qui signo accepto, sua ipse manu subscripsit: « Ignatius indignus Constantinopolitanus confiteor, me non lege et suffragiis creatum ecclesiæ thronum invasisse, neque his annis rite et sancte ecclesiam rexisse, sed tyrannidem exercuisse. » Hoc pseudo-chirographo imperatori misso, vir sanctus e custodia est dimissus, maternisque in ædibus Poseos paululum a tot ærumnis respirabat. Sed enim hostis non desiit fraudes animo versare, pessimaque adversus innocentem consilia coquere. Itaque suggerit imperatoribus, ut Ignatius ad ædem apostolorum reductus, primum exauctorationem suam ipse publice pro ambone legat, atque sibiipsi anathema dicat. Deinde, o crudele consilium, o singularem immanitatem! ambo illi effodere lumina, manumque

Digitized by Google

præcidere illa furia meditabatur. Tam altum impii odium conceperant, ut divinæ vindictæ rationem ducerent nullam. Aberat omnis Dei metus, et quidem diaboli furor illos agitabat. Pentecostes sancta dies complebatur, cum ecce ibi armatorum manus domicilium in quo degebat, corona præter omnem exspectationem repente cingit. Vir sanctus ubi animadvertit se peti, et parricidæ Esau furorem sensit, consilium contra temporum improbitatem opportunum, suaque sapientia et Spiritu sancto ejus rectore dignum capit. Quodnam illud? Vilem a servis et sæcularem sumit vestem, geminasque sportas ab humeris una a pertica suspensas hajuli ritu gestans, deceptis per noctem custodibus, uno comitatus Cypriano discipulo suo, profugit, iter ingressus per embolum ad Sybaiticum, saucio et afflicto pectore, velut alter David, cum profugeret a facie Saul. Enimvero per tenebras eunti divinitus occurrit vir augusta admodum facie decorus, coma barbaque decenter promissa, veste candida, niveoque vectus equo, quasi Blachernas tenderet. Ignotus autem ille vir, cum propter luminis inopiam eum videre clare non posset, nihilo secius, quisquis ille erat, divino Spiritu impulsus pronuntiavit: Deus, inquit, et sanctissima Dei Mater, sacratissime domine, te et comites tuos tueatur. Quam vocem ille cum tanquam oraculum e cœlo missum accepisset, et loco itinerarii subsidii, quasi viaticum sibi datum putaret, multo alacrius iter carpebat; et tenui illo ac servili habitu ignotus navigium conscendit, et Principes, Prœconesum, aliasque Propontidis insulas, aliam ex alia permutando, per solitudines in montibus et speluncis, cavernisque terræ, ut cum Apostolo loquar, absconditus errabat, egenus, afflictus, angustiatus, victumque rogatoris instar a piis Christianis emendicabat. At Photius amissa, quam spe devorarat, præda omnia cœnobia, urbemque totam ac suburbia vestigabat, sicubi velut igne evanidum reperiret titionem. Cum ergo nihil eorum quæ cupiebat, succederet: procurato edicto regio, Orypham illum cum sex cursoribus ad cuncta loca maritima, cunctasque insulas lustrandas amandat, uti quocunque loco deprehensum, veluti perturbatorem eversoremque imperii, de medio tolleret. Itaque venatici illi canes cum sæpius et pluribus in locis in Ignatium ipsum incidissent, servili tunicula decepti non agnoverunt. Qui et ipsum alias medios transeuntem quæritantes, velut Assyrii cæcitate percussi, non senserunt. Abierunt ergo, quod est in paræmia, ut frustrati præda hiantes lupi. Ignatius persolutis Salvatori pro tutela votis, per multas tribulationes ad regnum cœlorum contendebat. Atque illi quidem hæc agebant. Quid vero hæc illis molientibus, longanimis, justus, et fortis Deus, qui non irascitur per singulos dies? an diutius extremas has malorum ærumnas potuit dissimulare? Minime vero.

A μανιωδῶς ἐθυσσοδόμευεν. Οὕτως αὐτῶν εἰς βάθος τὸ μῖσος καθήψατο, καὶ τῆς τοῦ Θεοῦ δικαιοσύνης λόγος παρ' αὐτοῖς οὐδείς, καὶ ὁ τοῦ Θεοῦ φόβος ἀπῆν, καὶ ὁ τοῦ διαβόλου ζῆλος ἐσπουδάζετο. Αὐτὴ συνεπληροῦτο ἡ τῆς ἁγίας Πεντηκοστῆς ἡμέρα, καὶ ἰδοὺ πλῆθος στρατιωτῶν ὁπλοφόρων τὸν οἶκον ἐξαίφνης, ἐν ᾧ κατήγετο, περιεκύκλου. Ἰδὼν οὖν ὁ ἅγιος ἐκεῖνος τὰ ἐρχόμενα ἐπ' αὐτὸν, καὶ τὴν ἀδελφοκτόνον μανίαν αἰσθόμενος Ἡσαῦ, βουλὴν βουλεύεται, ἀντίρροπον μὲν τῆς τοῦ καιροῦ κακίας, τῆς αὐτοῦ δὲ συνέσεως καὶ τοῦ ὁδηγοῦντος αὐτὸν θείου Πνεύματος ἐπάξιον. Τίς δὲ ἡ βουλή; Ἀλλοιοῖ μὲν ἑαυτὸν, οἰκτρὰν καὶ λαϊκὴν παρὰ τῶν οἰκετῶν ἀνειλημμένος στολὴν, δύο δὲ σπυρίδας ἐφ' ἑνὸς ξύλου τῶν ἰδίων ἀπαιωρήσας ὤμων, ἀχθοφόρου τινὸς τρόπον ἀπέδρα,

B τοὺς φύλακας κατὰ μέσας νύκτας λαθών. Ἕσπευδε δὲ ἅμα τῷ μαθητῇ Κυπριανῷ, τὴν ἐπὶ τὸ Συβαϊτικον διὰ τοῦ ἐμβόλου ποιούμενος πορείαν. Τὴν ψυχὴν δὲ συντριβόμενος, καὶ τοῖς δάκρυσι περιῤῥαινόμενος, καὶ σφόδρα κατάπικρος τὴν καρδίαν καὶ κατώδυνος ὤν, ἔτρεχεν ὥσπερ Δαυὶδ ἐκεῖνος ἀπὸ προσώπου διαδρᾶναι Σαούλ. Κρείττονι δὲ προνοίᾳ συναντᾷ τούτῳ διὰ τῆς νυκτὸς ἰόντι ἀνήρ τις πάνυ τὴν πρόσοψιν εὐπρεπὴς, τόν τε πώγωνα καὶ τὴν κώμην εὐσταλῶς καθειμένος τῆς κεφαλῆς· καὶ αὐτὸς στολὴν λευκὴν ἐσταλμένος, καὶ ἵππῳ ἐπιβαίνων λευκῷ, τὴν ὡς ἐπὶ Βλαχέρνας ἐβάδιζεν ὁδόν. Ἀγνὼς δὲ ὁ ἀνὴρ, ὅτι πυρὸς οὐδαμοῦ, καὶ τρανῶς ἐκεῖ τοῦτον ἰδεῖν οὐκ ἦν· πλὴν, ὅστις ποτὲ ἦν, Πνεύματι θείῳ κινη-

C θεὶς, ἔφη· Ὁ Θεὸς καὶ ἡ ὑπεραγία, λέγων, Θεοτόκος ἀκίνδυνόν σε, πανίερε δέσποτα, καὶ τοὺς μετὰ σοῦ διαφυλάξαι. Τοῦτο τὸ ῥῆμα, οἷάπερ, ἐφόδιον ἀγαθὸν ἄνωθεν ἦκον ἐπ' αὐτὸν, ὁ μακάριος ὑποδεξάμενος, προθυμότερον ἐβάδιζε· καὶ τῷ δουλικῷ καὶ πενιχρῷ σχήματι πάντας λαθὼν, καὶ εἰς πλοῖον ἐμβὰς, καὶ τὰς Πριγκιπείους, καὶ Προικονησίους, οὐ μόνον δὲ, ἀλλὰ καὶ Προποντίους νήσους, ἄλλην ἐξ ἄλλης ἀμείβων, καὶ ἐν ἐρημίαις πλανώμενος, δρεσί τε καὶ σπηλαίοις, καὶ ταῖς τῆς γῆς, ἀποστολικῶς φάναι, κατακρυπτόμενος ὀπαῖς, ὑστερούμενος, θλι-

D βόμενος, κακουχούμενος, τὰς πρὸς τὸ ζῆν ἀφορμὰς ἐπαίτου τρόπον διὰ τῶν φιλοχρίστων ἠρανίζετο. Φώτιος δὲ τῆς θήρας διαμαρτὼν, πάντα μὲν μοναστήρια, πᾶσαν δὲ τὴν πόλιν, καὶ τὰ περὶ αὐτὴν ἠρευνᾶτο, εἴ που ἄρα καταλάβοι τὸν ὥσπερ δαλὸν ἐξηπτασμένον [ἴσ. ἐξηφανισμένον] ἐκ προσώπου πυρός. Μηδὲν οὖν ἀνύειν δυνάμενος ὧν ἐβούλετο, παρασκευάζει προστάγματι βασιλικῷ, τὸν χαλεπὸν ἐκεῖνον Ὠρύφαν σὺν ἓξ δρομεῦσι πάσας τὰς νήσους καὶ τὴν παράλιον ἀνερευνᾶσθαι, καὶ εἴ που συμβαίη ληφθῆναι τὸν Ἰγνάτιον, εὐθὺς ἀναιρεῖσθαι τοῦτον, ὡς ὅλην ἀνατρέποντα τὴν βασιλείαν. Πολλάκις οὖν καὶ κατὰ πλείους τόπους αὐτῷ περιπίπτοντες οἱ θηρατὴ, διὰ δουλικὴν οὐκ ἐπέγνωσαν στολήν. Καὶ ἄλλοτε πάλιν διὰ μέσου αὐτὸν παρερχόμενον, ἀορασίᾳ ληφθέντες, ὡς οἱ περὶ τὸν Ἐλισσαῖον Ἀσσύριοι, τοῦτον οὐκ ἠδυνήθησαν ἰδεῖν. Καὶ αὐτοὶ μὲν, ὡς λύκοι μάτην κεχηνότες, ἀπῆεσαν, κατὰ τὴν παροιμίαν. Ὁ δὲ τὰς εὐχαριστηρίους εὐχὰς ἀναπέμπων τῷ Σωτῆρι, διὰ πολλῶν θλίψεων τὴν τοῦ Θεοῦ βασιλείαν ἐξωνεῖτο. Οἱ μὲν ἐν τούτοις ἦσαν. Τί δὲ ὁ μακρόθυμος Κύριος, ὁ δίκαιος, ὁ ἰσχυρὸς, ὁ μὴ τὴν ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν; ἆρ' ἐπὶ πολὺ τὰς ὑπερβολὰς τῶν κακῶν ταύτας ἠνέσχετο καθορᾷν; Οὐδαμῶς;

Digitized by Google

Αὔγουστος ἐνίστατο μὴν, καὶ σεισμοῖς ἐξαισίοις ἡ A βασιλεύουσα κατεδονεῖτο· καὶ πᾶς οἶκος ἐκλονεῖτο, καὶ πᾶσα καρδία τῷ φόβῳ κατεσείετο· καὶ πᾶς ἄνθρωπος τῷ τοῦ θανάτου δέει συνεχόμενος ἑβδόμην, μίαν αἰτίαν εἶναι τοῦ σεισμοῦ, μίαν τὴν εἰς τὸν πατριάρχην Ἰγνάτιον ἀδικίαν καὶ παρανομίαν. Ἐν ἡμέραις δὲ τεσσαράκοντα μηκυνόμενος ὁ σεισμὸς ἐπὶ τοσοῦτον αὐτῶν τὴν ὠμότητα καὶ ἰταμότητα κατέκαμψεν, ὡς καὶ τοὺς κρατοῦντας αὐτοὺς ὅρκον προθεῖναι δημοσίᾳ, μήτ' αὐτὸν ἐκεῖνον τὸν ἱερὸν φυγάδα, μήτε παρ' ᾧ κρύπτεται φανερούμενον, ὑπεύθυνον καθεστάναι λοιπὸν, ἀθωούμενον δὲ εἰς τὴν οἰκείαν ἀνενοχλήτως ἀποκαθίστασθαι μονήν. Τοίνυν οὕτως ἀκούσας ὁ ἀθλητὴς, καταδηλοῖ ἑαυτὸν αὐτίκα τῷ πατρικίῳ Πετρωνᾷ· ὃς τοῦ αὐτοκράτορος θεῖος πρὸς μητρὸς ὤν, καὶ τοῦ βασιλέως ἄρας ἐγκόλπιον, B εἰς ἐνέχυρον φέρων δίδωσι τῷ πατριάρχῃ. Ὁ δὲ τοῦτο τοῦ τραχήλου ἀπαιωρήσας, καὶ πρὸς τὸν Βάρδαν ἀναχθείς, ἔστη. Πρὸς ὃν ἐκεῖνος, Ἵνα τί, φησὶ, τρόπον δραπέτου μιμησάμενος, ἄλλην ἐξ ἄλλης χώραν ἀμείβων περινοστεῖς; Ὁ δὲ, Χριστὸς, ἔφη, ὁ ἡμέτερος βασιλεὺς καὶ πατὴρ ἐνετείλατο· *Ἐὰν διώκουσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην.* Ἡττηθεὶς οὖν τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἐκεῖνος, ἀνεύθυνον τοῦτον καὶ ἄνετον εἰς τὴν αὐτοῦ καταστῆναι κελεύει μονήν. Εὐθὺς οὖν καὶ ὁ σεισμὸς ἔστη. Καὶ Βούλγαροι δὲ τότε προνοίαις Θεοῦ, βιαίῳ καταταχέντες λιμῷ, ἅμα δὲ καὶ τοῖς δώροις τοῦ αὐτοκράτορος θελχθέντες, τὰ ὅπλα καταθέμενοι, τῷ ἁγίῳ προσῆσαν βαπτίσματι.

Augustus instabat mensis, et tremoribus horrificis Constantinopolis quatiebatur: ædes nutabant omnes, omniaque mortalium pectora metu palpitabant, nemo non mortis horrore occupatus clamitabat, unicam plane hujus prodigii seu motus causam esse injuriam et sacrilegium in patriarcham Ignatium commissum. Urbe autem totos quadraginta dies continuo tremente, usque adeo ferocia et immanitas illorum mitigata est, ut ipsi principes publice jurejurando contestarentur, neque fugam sacro illi exsuli, nec hospiti exsulis apud quem delituisset, fraudi futuram; sed absolutum crimine, innocentemque pronuntiatum, sine cujusquam molestia in suo cœnobio secure permansurum. Quod cum Christi athleta accepisset, Petronæ se patricio, materno imperatoris avunculo, aperit: qui pretiosum gestamen, quod ad sinum imperatoris pendebat, pro pignore allatum tradit patriarchæ, quo ille de collo suspenso ad Bardam accedit; qui ad patriarcham: Quid, inquit, fugitivi more ex loco in locum profugus oberras? cui Ignatius: Christus, inquit, rex noster ac Pater præcepit: *Si persequentur vos in una civitate, fugite in aliam* [a]. Victus innocentia et virtute viri Bardas, innoxium liberumque in monasterium remitti suum jubet. Statimque moveri terra desiit, et Bulgari providentia Dei, fame urgente, muneribusque ab imperatore deliniti, armis positis, cœlestis baptismatis unda sunt lustrati.

Τότε καὶ οἱ προλεχθέντες τοποτηρηταὶ Ῥώμης φιλοφρόνως ὑπὸ Φωτίου δωροδοκηθέντες, τὴν Ῥώμην παλινοστήσαντες κατέλαβον. Οὓς ὁ πάπας ἀνακρίνας Νικόλαος, καὶ τὰ κατὰ τὸν πατριάρχην Ἰγνάτιον ἠκριβωκὼς, καὶ ἐκ τοῦ στόματος αὐτῶν ὑποδίκους αὐτοὺς πεφωρακὼς, ὡς ἐπισυστάσεως λῃστρικῆς, ἀλλ' οὐ κανονικῆς συνόδου κατάρξαντας, διηνεκεῖ καθαιρέσει καὶ ἀναθεματισμῷ καθυποβάλλει· καὶ οὐ μόνους αὐτοὺς, ἀλλὰ καὶ αὐτὸν Φώτιον, ὡς ἐπιβήτορα καὶ μοιχὸν, ἀποκηρύττει, καὶ ὑπὸ συνόδῳ κανονικῇ καὶ ψήφῳ πάσης τῆς ὑπ' αὐτὸν Ἐκκλησίας ἀναθεματίζει καὶ καθαιρεῖ· οὐδὲν αὐτὸν διαφέρειν Μαξίμου τοῦ Κυνικοῦ, τοῦ τῷ Θεολόγῳ Γρηγορίῳ ἐπιφυέντος, καὶ τὴν Ἐκκλησίαν συγχέαντος, ἀποφηνάμενος. Ὅθεν αὐτόν τε, ὡς τῶν C σκανδάλων αἴτιον, καὶ τοὺς ὑπ' αὐτοῦ κεχειροτονημένους, ὡς ὁμόφρονας τούτῳ δηλονότι καθεστῶτας, ἀποστολικῇ κρίσει τῇ αὐτῇ ὑποβάλλει καταδίκῃ. Οὐ τοῦτο δὲ ποιεῖ μόνον, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας Φωτίῳ, αὐτόν τε τὸν βασιλέα καὶ τὴν ὑπ' αὐτὸν πολιτείαν πᾶσαν δι' ἐπιστολῶν ἀφορίζει. Ταῦτα δὲ ζήλῳ θείῳ ὁ Νικόλαος καταπραξάμενος, καὶ τοῖς τῆς Ἀνατολῆς πατριάρχαις τὴν ἔνθεσμον κρίσιν ταύτην διεπέμψατο.

Legati quoque pontificii a Photio donis blande corrupti Romam redierunt. Quos Nicolaus pontifex de patriarcha Ignatio interrogatos, et severe inquisitos, cum suis illos verbis captos convicisset, illos sicariæ potius factionis, quam legitimæ synodi præsides egisse, perpetua exauctoratione damnatos anathemate percussit. Nec legatos tantum, sed ipsum quoque Photium tyrannum et adulterum pronuntiat, et legitimæ synodi sententia totius Ecclesiæ suæ anathemate ferit deponitque, ipsumque a Maximo Cynico, qui Gregorio Theologo insultans, Ecclesiam turbis omnibus permiscuit, nihil differre declarat. Quare illum, ut scandalorum auctorem, et ab illo consecratos, apostolica auctoritate, veluti conjuratos, eidem sententiæ subjicit. Nec his contentus, asseclas illius, ipsumque imperatorem cum senatu ejus omni per litteras a cœtu fidelium excludit. Quæ Nicolaus cum divino zelo inflammatus egisset, æquissimam judicii sui sententiam ad Orientis patriarchas transmisit.

Κατ' ἐκείνας δὲ τὰς ἡμέρας καὶ ἐμπρησμὸς μέγας σφόδρα εἰς τὰς Σοφίας γενόμενος, ἀμύθητον ὅσην καταφθορὰν καὶ λύμην τοῖς προσοικοῦσιν ἐνειργάσατο. Οὐδὲν δὲ τούτων εἰς μετάμελον ἦγε τοὺς ἀνομεῖν διεγνωκότας· μᾶλλον μὲν οὖν, κατὰ τὴν ἀπο-

Per idem fere tempus ingens in ædibus Sophiæ incendium exstitit, nec quantum vicinis calamitatem, quantumque exitium attulerit, dicendo explicari potest. Quæ tamen res eos qui perverse agere decreverant, ad meliorem mentem non reduxit;

[a] Matth. x, 23.

Digitized by Google

sed ex apostolico oraculo, *in pejus proficiebant, errantes, et in errorem mittentes* [a].

Bardas enim imperium affectans, primum curopalates, mox Cæsar renuntiatus, imperatoris, sororis filii, stultitia abutebatur, seipsumque omnis intemperantiæ effusæque libidinis mancipium prodebat. Michael vero animo juvenilibus desideriis corrupto, rem divinam pro fabula seu ludibrio ducebat, ludibrium ipse factus omnis fœditatis et peccati, ipsiusque peccati patris. Etenim homunciones quosdam impurissimos et profanissimos, et scurras, divini quidem Spiritus cœlestisque gratiæ omnino expertes, pessimisque dæmonis artibus instructissimos, sacrilege impudenterque sacerdotes et antistites ad Ecclesiæ profanam imitationem dementissimus consecravit, illisque Theophilum quemdam protospatharium, scurram et mimum, interque profanos profanissimum, patriarcham præfecit, risum sibi et cachinnum improbum detestandus et deridendus quæritans. Per quæ oblationi sanctæ fiebat injuria, nomen vero Dei contumeliis affectum inter gentes blasphemabatur.

Sed Michael tantopere infamia hac gloriabatur, uti nec publice quidem hæc erubesceret jactare : Mihi Theophilus, Cæsari Photius, Christianis Ignatius est patriarcha. In hoc amentiæne dicam, an impietatis potius, tandem chaos est devolutus? Ita sacrilegus ille scurra, ut dixi, Theophilus, exserta sua petulantia aulas lambens regias, nefandis sceleribus, lascivia et facetiis, turpissima imitatione per contemptum rerum divinarum, mysteria et sacramenta traducebat et illudebat; quod ne gentes quidem quamvis impiæ ausæ sunt aliquando. Quæ Photius cum coram se geri cerneret, rem indignissimam nec reprehendit, nec restitit impietati, neque, quod res divina ludibrio haberetur, verbum ullum contra seu grave seu leve edidit. Quod mirum videri non debet : erat enim mercenarius opilio, non germanus pastor : quocirca illi de pereunte grege cura nulla. Ad hæc duo tantum toto pectore intentus : alterum ut iis qui rerum potiri videbantur, blandiendo, modisque omnibus gratificando et obsequendo, patriarchatum sibi firmaret : alterum, ut Ignatium, si qua ratione fieri posset, etiam vita exueret. Atque hæc ita se habere, non esse autem verba inania, facta ipsa clamant. Ecquis enim techuis illius auditis, atrocem animum non illico perspexit? Nam die quapiam advena quidam prius ignotus omnibus, monachi habitu indutus, Eustratius nomine, recta ad patriarchium properabat, ingressusque binas litteras lictas palam promptas porrigebat; quas quidem sapientissimus iste Photius per dolum excogitarat, ut postmodum manifeste patuit : alteras Ignatii nomine ad Nicolaum pontificem datas, quibus statum

[a] II Tim. III, 13.

στολικὴν πρόρρησιν, *Ἐπὶ τὸ χεῖρον προέκοπτον, πλανῶντες καὶ πλανώμενοι.*

Βάρδας μὲν γὰρ ἐφ' ἑαυτὸν τὴν Ῥωμαϊκὴν ἀρχὴν ὑποποιούμενος, πρῶτον μὲν κουροπαλάτης, μετὰ μικρὸν δὲ Καῖσαρ ἀναγορευθείς, τῆς τοῦ ἀνεψιοῦ εὐηθείας κατετρύφα, αὐτὸς ἀκρασίας τε πάσης καὶ πάσης ἡδονῆς ἀσελγοῦς ἀνδράποδον ἀποδεικνύμενος· ὁ Μιχαὴλ δὲ νεωτερικαῖς ἐπιθυμίαις ὅλος κατεφθαρμένος τὸν νοῦν, παίγνιον ἔθετο τὰ θεῖα, παίγνιον αὐτὸς ἀκρασίας τε πάσης καὶ ἁμαρτίας, καὶ τοῦ τῆς ἁμαρτίας γεγενημένου πατρός· καὶ δὴ μιαρωτάτους τινὰς ἀνθρωπίσκους, καὶ βεβηλοτάτους, καὶ εὐτραπέλους ἐκλεξάμενος, ἀμοίρους μὲν ἁγίου παντάπασι Πνεύματος, τοῦ ἐναντίου δὲ πνεύματος τῆς ἐνεργείας πεπλησμένους, ἀνευλαβῶς τε καὶ ἀπηρυθριακότως ἱερεῖς καὶ ἀρχιερεῖς κατὰ τὴν τῆς Ἐκκλησίας ἐναγῆ μίμησιν ὁ ἀνούστατος ἐχειροτόνει· καὶ ἐν αὐτοῖς Θεόφιλόν τινα πρωτοσπαθάριον, ἄνδρα γελωτοποιὸν καὶ μῖμον, καὶ πάντων ἐναγῶν ἐναγέστατον, πατριάρχην ἐπ' ἐκείνοις προχειριζόμενος· ὠνόμαζεν, γέλωτα ἑαυτῷ καὶ καγχασμὸν ἀσελγῆ ὁ κατάπτυστος κατασκευαζόμενος καὶ καταγέλαστος· δι' ὧν ὑβρίζετο μὲν ἡ ἁγία προσφορὰ, ὑβρίζετο δὲ καὶ ἐβλασφημεῖτο τοῖς ἔθνεσι τὸ ὄνομα τοῦ Θεοῦ.

Ἐπὶ τοσοῦτον δὲ τῇ ἀλογιστίᾳ ἐνετρύφα ταύτῃ καὶ ἐνεκαλλωπίζετο, ὥστε μηδὲ τοῦτο παῤῥησίᾳ λέγειν αἰσχύνεσθαι, ὅτι Ἐμοὶ μὲν πατριάρχης ὁ Θεόφιλος, ὁ Φώτιος δὲ τῷ Καίσαρι, καὶ τοῖς Χριστιανοῖς ὁ Ἰγνάτιος καθέστηκεν· εἰς τηλικοῦτον αὐτὸν ἀφροσύνης μᾶλλον ἢ ἀσεβείας κατενεχθῆναι βόθρον. Ὁ μὲν οὖν εἰρημένος βωμολόχος ἐκεῖνος Θεόφιλος οὕτω παῤῥησίᾳ ταῖς βασιλείοις κωμάζων αὐλαῖς, ἀῤῥητοποιίαις τε πάσαις, καὶ ἀσελγείαις, καὶ εὐτραπελίαις, δι' αἰσχίστης μιμήσεως τῶν ἱερῶν μυστηρίων κατωρχεῖτο [καὶ] κατέπαιζε· πρᾶγμα μηδὲ τοῖς ἀσεβεστάτοις τῶν Ἑλλήνων πώποτε τολμηθέν. Ὁ Φώτιος δὲ τούτων τολμωμένων, καὶ κατ' ὀφθαλμοὺς αὐτοῦ πραττομένων, οὐκ ἤλεγξε τὸ τοῦ ἐπιτηδεύματος ἄτοπον, οὐκ ἀντέστη τῇ παρανομίᾳ, οὐ μικρὰν, οὐ μεγάλην ὑπὲρ τῶν ὑβριζομένων θείων ὀργίων ἀφῆκε φωνήν. Καὶ οὐ θαυμαστόν· ἦν γὰρ μισθωτὸς, καὶ οὐ ποιμήν· διὸ οὐδεμία τούτῳ περὶ τῶν ἀπολλυμένων προβάτων ἐγίνετο φροντίς. Πρὸς δύο δὲ μόνον ὅλως αὐτῷ συνετέτατο τῆς ψυχῆς ὁ σκοπός· ἓν μὲν, ὅπως τὰ πάντα χαριζόμενος τοῖς κρατεῖν δοκοῦσι, τὸ τῆς πατριαρχίας κράτος μόνιμον ἑαυτῷ διατηρῇ· δεύτερον δὲ, ὅπως καὶ αὐτῆς ἀποστερήσαι τὸν Ἰγνάτιον, εἰ δυνατὸν, τῆς ζωῆς. Καὶ ὅτι ἀληθῆ ταῦτα, καὶ οὐ λόγοι κενοὶ, αὐτὰ βοᾷ τὰ πράγματα. Τίς γὰρ ἀκούσας ἐκεῖνο τὸ σκευώρημα, οὐ τὴν φονικὴν πιρευθὺ τοῦ ἀνδρὸς ἐπέγνω προαίρεσιν; Καὶ γὰρ ἐν μιᾷ τῶν ἡμερῶν ξένος τις ἄνθρωπος ἄχρις ἐκείνου πρὸς πάντων ἀγνοούμενος, σχῆμα δὲ μοναχοῦ περικείμενος, Εὐστράτιος δὲ καλούμενος, τὸν πατριαρχικὸν ἐξαπίνης οἶκον ἐπιβὰς, καὶ εἰσελθὼν, δύο πλασματογραφίας ἐνώπιον πάντων ἀποκαλύψας ἐπεδίδου (ἃς αὐτὸς ὁ

Digitized by Google

σοφώτατος Φώτιος, ὡς σαφὲς ὕστερον ἐγένετο, δολευόμενος κατεσκεύαστο)· μίαν μὲν ἐκ προσώπου τοῦ Ἰγνατίου πρὸς Νικόλαον τὸν πάπαν ἐπιστολήν, τὴν περὶ αὐτὸν γενομένην καινοτομίαν καὶ ἀδικίαν τοῦ βασιλέως σαφῶς διαγορεύουσαν· ἣν, ὡς ἔλεγε, τοῦ πάπα μηδὲ προσβλέψαι καταδεξαμένου, ἐκεῖθεν αὐτὸν αὖθις ἀνενεγκεῖν· μίαν δὲ πρὸς τὸν Φώτιον αὐτὸν τοῦτον, ὡς ἀπὸ τοῦ Νικολάου αὐτοῦ διεκομίζετο, δύναμιν ἔχουσαν ἀπολογίας ὑπὲρ τοῦ μεταξὺ αὐτῶν πρώην παρακολουθήσαντος παροξυσμοῦ, ἀγάπης δὲ τοῦ λοιποῦ καὶ κοινωνίας δῆθεν ἀῤῥήκτου κυρωτικήν. Ταῦτα ὁ ταραχοποιὸς ἐκεῖνος δεξάμενος ἀνὴρ, εὐθὺς τῷ τε βασιλεῖ καὶ τῷ Καίσαρι κατὰ τοῦ ἀναιτίου ἐμφανίζει, καὶ παροξύνει κατ' αὐτοῦ, Πονηρεύεται, λέγων, κατὰ τῆς ὑμετέρας βασιλείας Ἰγνάτιος, καὶ διαβάλλει πρὸς τοὺς ἔξω, καὶ κατηγορεῖ, καὶ τὸ τῆς ὑμετέρας ἐξουσίας κράτος συκοφαντεῖ· καὶ εἰ πρὸς δίκαιον εἶχεν, οὐδ' ἂν ζῇν συνεχωρεῖτο, τοιαῦτα κατὰ τῆς ὑμῶν διανοούμενος γαληνότητος· καὶ ἡ τῆς κακουργίας, φησὶν, ἀπόδειξις, ἰδοὺ καὶ αὐτὰ μαρτυροῦσι τὰ γράμματα, ἅπερ ἡμᾶς μὲν ἔβλαψεν οὐδὲν, ὠφέλησε δὲ μᾶλλον, πληροφορηθέντος τοῦ πάπα τἀληθῆ, καὶ ἀγάπην κεκυρωκότος εἰς ἡμᾶς. Οὐχ ἡγοῦμαι δὲ δίκαιον εἶναι τὴν ὑμῶν βασιλείαν οὕτως ἐξουδενεῖσθαι παρ' αὐτοῦ. Ταῦτα μὲν ὁ συκοφάντης· φύλακες δὲ παρ' αὐτὰ, καὶ φρουρὰ περὶ τὸν ἀναιτίως κατηγορούμενον ἀσφαλὴς, ἔρευνά τε πολλὴ σφόδρα καὶ ἐξέτασις εἰς ταῦτα τοῦτον γέγονε τὸν τρόπον. Παρήγετο τοίνυν εἰς μέσον ὁ γραμματοφόρος ἐκεῖνος, καὶ ἀπῃτεῖτο δεῖξαι, πρὸς τίνος εἰλήφει τὴν πρὸς τὸν πάπαν ἐπιστολήν. Ὁ δὲ πρότερον εἰρηκὼς, ὡς Κυπριανὸς ἐκεῖνος ὁ τοῦ Ἰγνατίου τά τε γράμματα ταῦτα καὶ ἐφόδια ἐχειροδότησεν ἱκανὰ, οὗτος ἐπὶ μῆνα σχεδὸν ὅλον ἀπαιτούμενος τοῦτον ἐπιδεῖξαι, ἠλέγχετο μήτ' αὐτὸν εἰδὼς τὸν Κυπριανὸν, μήτε τιν' ἄλλον τῶν ἀνθρώπων Ἰγνατίου. Οὕτω δὲ τῆς σκευωρίας φωραθείσης, μάστιξιν ὑπὸ τοῦ Καίσαρος πικροτάταις ἐκεῖνος κατηκίσθη. Ὃν καὶ πολλὰ Φώτιος λυτρώσασθαι διεσπουδακὼς, οὐκ ἠδυνήθη· εἰς παραμυθίαν δὲ μετὰ ταῦτα διωγμητῶν τοῦτον ἄρχοντα καθίστησι, πλῆθος ῥαβδούχων ὑποτάξας αὐτῷ. Ταύτης καταφανοῦς γενομένης τῆς κακοτροπίας, οὐκ ἦν ὅστις οὐ προσώχθισε τῷ κατασκευαστῇ τῶν κακῶν.

A patriarchatus sui immutatum, et injurias imperatoris exponebat; quas aiebat pontificem ne aspicere quidem voluisse, ac proinde a se reportatas: alteras quasi a Nicolao ad ipsum Photium missas, quibus purgabat priorem inter Photium et pontificem dissensionem, et charitatem amicitiamque in omne reliquum tempus stabiliebat. Has ille turbarum artifex arreptas e vestigio imperatori et Cæsari tradit, contraque innocentem egregie mentiendo principes accendit: Vestram, inquit, majestatem Ignatius ad exteras etiam gentes traducit, vestrique imperii potentiam improbissimus calumniator in crimen vocat. Qui tametsi justam haberet causam, tamen vita illi jure adimeretur, dum hæc in vestram serenitatem machinatur: sed en, inquit, testes perfidiæ litteras, et fidem dictis faciant, B quæ nobis nihil obfuere, sed profuere: cum papa rei veritatem sit edoctus, et inter nos amicitiam ac benevolentiam etiam confirment. Sed indignum judicavi vestram majestatem per illum adeo conculcari. Hæc sycophanta Photius. Accersitur satellitium; Ignatius per calumniam circumventus arcta custodia servatur, inquiritur acriter, et quæstiones, an ita se res habeat, exercentur. Adductus quoque in medium Tabellarius ille jubetur indicare, a quo litteras ad Nicolaum pontificem acceperit. Tabellarius a Cypriano illo Ignatii discipulo prius se litteras et viaticum accepisse respondet. Sed cum nec Cyprianum, etiam toto mense ad C investigandum dato, ostendere posset, nec quemquam ex Ignatii comitatu nosse videretur, fraude deprehensa, loris a Cæsare acerrime est multatus: pro quo liberando tametsi omnia faceret Photius, nihil tamen perinde profecit. Tandem ut solaretur hominem, lictorum præfectum creavit. Hac Photii perfidia detecta, nemo fuit, qui improbas has artes non indignissime ferret.

Μετὰ ταῦτα τῆς Χριστοῦ μὲν Ἀναλήψεως ἐτελεῖτο μνημόσυνον, πρὸς ἑσπέραν δὲ σεισμὸς γίνεται τῶν πώποτε γενομένων ὁ φρικωδέστατος. Δι' ὅλης δὲ τῆς ἐπιούσης ἐπεκράτει νυκτός· βοὴ δέ τις καὶ ἄσημος θροῦς ἔκ τε γῆς, ἔκ τε θαλάσσης σφοδρῶς ἀναδιδόμενος, πάντων ἀνθρώπων ταῖς καρδίαις παράλυσιν D ἐνεποίει καὶ θραυσμόν. Τότε δὴ καὶ ἡ στήλη Ἰουστίνου ἐκ τῶν γονάτων κοπεῖσα κατερράγη· τότε καὶ Βασίλειος ἐκεῖνος ὁ πρότερον μὲν Κρήτης ἐπίσκοπος γενόμενος, διὰ δὲ τὴν τῶν Ἀγαρηνῶν ἔφοδον εἰς Θεσσαλονίκην μετατεθεὶς (εἰς αἰσχύνην καὶ τοῦτο τοῦ τῆς βασιλίδος προκαθεζομένου), τολμήσας αὐτὸς πρόσειτι τῷ Μιχαὴλ, παραινετικῶς ἅμα καὶ διδασκαλικῶς ἀποσχέσθαι τῆς τῶν ἱερατικῶν ἔργων αἰσχρᾶς καὶ ἀνοσίου μιμήσεως παρακαλῶν· ἐντεῦθεν γὰρ τὴν ὀργὴν τοῦ Θεοῦ ἀνακαίεσθαι διισχυρίζετο. Ὁ δὲ τοῖς ἐλέγχοις ὑπερβαλλόντως πληγεὶς, ῥαπίσμασι μὲν ἰσχυροῖς τοῦ τιμίου γέροντος τοὺς ὀδόν-

Agebatur non multo post sacer ascensionis Christi dies anniversarius, cum sub vesperam terra tanto motu, quanto nunquam ante, cœpit contremiscere, neque tota insequenti nocte constitit. Et obscurus quidam fragor ac mugitus e terra marique ingens editus hominum pectora ita metu fregit, ut pene dissolverentur. Justini quoque statua a genibus convulsa concidit. Tum Basilius Cretensis antea episcopus, Agarenis autem Cretam invadentibus, Thessalonicam translatus (non sine Photii tum cathedram Constantinopolitanam occupantis infamia), ausus ipse Michaelem adit, eumque partim admonentis auctoritate, partim docentis, a tam impia et sacrilega rerum sacrarum inimica imitatione et irrisione dehortatur: inde enim Numinis iram accendi affirmabat. Qua reprehensione Michael gravissime offensus, colaphis atrocissimis venerando seni dentes stirpitus elisit, tergumque flagris ita laniavit,

Digitized by Google

ut nihil propius factum sit, quam ut inter tormenta animam ederet. De quo nihil sollicitus erat mercenarius opilio, quin ipse paulatim sacrilegiis illis pariter oblectabatur, et una cum impuris histrionibus pueroque consuescebat et comessabatur, neque ab eorum consuetudine et ludibrio procul aderat. Verum ejus cura omnis ad Ignatium opprimendum vertebatur : avebat enim aliquid adversus illum audire, et pruriebant illi aures. Ubi etiam casu in calumniatorem illius incidebat, qui vel tenuem de illo obviamve calumniam spargeret, hunc vero mox in album amicorum suorum referebat, magnaque cum voluptate obtrectantem audiebat. Nihil quippe ita capit animos invidia odioque occupatos, quam sinistra de eo quem oderint, narratio. Itaque per familiares et subjectos Ignatii, quotquot ex iis donis et honoribus poterat eblandiri, sibique obnoxios reddere, semper investigabat, contraque justi animam causam quærebat. Ex quibus Ignatius, ille hujus sancti Ignatii discipulus, erat, qui, ut Demas olim, sæculum diligens ad Photii castra transiit; et aliquandiu præfectus cœnobiorum Propontidis, tum ab illo archiepiscopus Hierapolis creatus est. Qui ut beneficium compensaret : Mirari subit, inquit, domine, quonam pacto tantum Ignatii delictum facinusque vel ignores, vel omnino negligas. Nam in media insulæ platea ædes sacra quadraginta martyribus est excitata ; junctum vero est illi Dei Matris oratorium, cujus aram Rhussi nuper, cum insulam depopularentur, everterunt, quam instauravit Ignatius et reposuit. Quid hic Photius? an culpam aut parvam aut nullam ratus subticuit? an leve turbarum incendium hanc ob causam excitavit? Nequaquam vero; sed rem apud imperatorem, velut immane et inexpiabile facinus, exaggerabat : atque consilio cum factione sua communicato, Amphilochium Cyzici, et Theodorum Patrarum, archiepiscopos, quin et Pantaleonem senatorem cognomento Bothrum in insulam ablegat, qui sacrilegis manibus sanctam illam arulam disturbent. Mandarat insuper Photius, ut ara ad litus maris deportata (6), quadragies unda tingeretur, atque ita demum reducta reponeretur. Quid te, mi homo, non demiremur (nam summa me perversitatis tuæ indignitas, quamvis invitum et alienum, cogit te conviciis proscindere)? imo vero quid primum, quid postremum subsannemus? animine tui stuporem, an mentis perversæ pravitatem? invidentiæ magnitudinem, an studium ambitiosæ improbitatis? Hæccine te docet diuturna litterarum meditatio et vigilatæ noctes, codicumque prope innumerabilium copia? legentium item et disputantium vicissitudo, proque eruditionis laude assidua concertatio? Istosne tibi fructus ex litteris capiendos veteris novæque legis tabulæ, sapientum profanorum dicta, sanctorumque Patrum decreta proponunt, uti persequaris hominem inopem et mendicum, et spiritu et corde compunctum quæras ad mactan-

A τας ἐξερεθίζωσεν, οὕτω δὲ καὶ τὸν νῶτον κατηκίσατο, ὡς ὀλίγου δεῖν αὐτὸν ταῖς βασάνοις ἐναποθανεῖν· τούτων δὲ οὐδὲν ἔμελε τῷ μισθωτῷ. Ἡρέμα γὰρ καὶ αὐτὸς συνήδετο τοῖς τελουμένοις, καὶ ἅμα τοῖς μιαροῖς μίμοις ἐκείνοις συνεχέστερον τῷ μειρακίῳ συνερχόμενος καὶ συμποσιαζόμενος, οὐδὲ τῆς διατριβῆς ἐκείνων καὶ καταφρονήσεως μακρὰν ἦν· μέριμνα δὲ αὐτῷ καὶ πολλὴ σφόδρα περὶ τοῦ Ἰγνατίου ἐνέκειτο φροντὶς, καὶ ἐγλίχετο κατ' αὐτοῦ ἀκούειν, καὶ ἐκνήθετο τὴν ἀκοήν· καὶ εἴ τινα διαλοιδορούμενον εἰκῆ ἐώρα, ἢ τινα ψιλὴν κατ' ἐκείνου καὶ ματαίαν κατηγορίαν ἐνιστάμενον, φίλον τοῦτον ἐτίθετο πιστὸν, καὶ ἤκουεν ἡδονῇ πολλῇ· καὶ γὰρ οὐδὲν οὕτως ἡδύνει ψυχὴν ἔχθρᾳ κακῇ καὶ μίσει προκατειλημμένην, ὡς ἡ κατὰ τοῦ μισουμένου λαλιά. Ἀεὶ οὖν ἐκ τῶν τοῦ πατριάρχου συνήθων καὶ ὑπηκόων, ὅσους ἠδύνατο, δώροις καὶ ἀξιώμασι κλέπτων καὶ ὑποποιούμενος, δι' αὐτῶν ἐξιχνίαζε, καὶ ἐπὶ τὴν τοῦ δικαίου ἐθήρευε ψυχήν. Τούτων εἷς καὶ Ἰγνάτιος ἦν ἐκεῖνος ὁ τοῦ ἁγίου μαθητὴς, ὃς κατὰ Δημᾶν ἐκεῖνον τὸν πάλαι, τὸν νῦν ἠγαπηκὼς αἰῶνα, Φωτίῳ προσφεύγει· καὶ ἄρχων μὲν τέως τῶν μοναστηρίων τῶν κατὰ τὴν Προποντίδα, ἔπειτα καὶ μητροπολίτης ὑπ' αὐτοῦ τῆς Ἱεραπόλεως καθίσταται. Οὗτος τῆς τιμῆς αὐτὸν ἀμειβόμενος, Ὦ δέσποτα, ἔφη, θαυμάζω, πῶς τηλικοῦτόν σε τοῦ Ἰγνατίου διέλαθεν ἀτόπημα, καὶ ἀδιόρθωτον παρημελήθη· μέσον γὰρ πλατείας τῆς νήσου ναὸς τοῖς τεσσαράκοντα μάρτυσι ἐνίδρυται, αὐτοῦ δὲ ἐχόμενα τῆς Θεο-
B μήτορος εὐκτήριον. Τούτου τὴν τράπεζαν πρώην οἱ Ῥὼς τὴν νῆσον πορθοῦντες κατέβαλον εἰς γῆν, ὁ Ἰγνάτιος δὲ ταύτην αὖθις ἀνεθρόνισε. Τί οὖν ἐκεῖνος; ἆρα μικρὸν τοῦτο, ἢ οὐδὲν ἄτοπον ἡγησάμενος παρεσιώπησεν, ἢ μικρὰν ὑπὲρ τούτου ταραχὴν ἀνῆψεν; Οὔμενουν· ἀλλὰ καὶ τοῖς κρατοῦσιν ὡς μέγα τι καὶ δεινὸν οἷον ἀνέθετο. Καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ κοινωτάμενος, Ἀμφιλόχιόν τε Κυζίκου, καὶ Θεόδωρον τῶν Πατρῶν, μητροπολίτας, οὐ μόνον δὲ, ἀλλὰ καὶ Πανταλέοντα συγκλητικὸν τὸν ἐπικαλούμενον Βόθρον, εἰς τὴν εἰρημένην ἀποστείλας νῆσον, βεβήλων χερσὶ τὸ ἱερὸν ἐκεῖνο τραπέζιον καθεῖλεν. Ἐνετείλατο δὲ πρὸς τῷ αἰγιαλῷ τῆς θαλάσσης καταγαγεῖν (6), καὶ τεσσαράκοντα πλύσεις δοῦναι, καὶ οὕτως ἀναγαγεῖν καὶ καθιδρῦσαι. Τί σου
D θαυμάσαιμεν, ἄνθρωπε (προάγει γάρ με λοιδορεῖσθαί σοι μὴ βουλόμενον ἡ τῆς κακίας ὑπερβολή); μᾶλλον δὲ τί σου πρῶτον, ἢ τί ὕστατον ἐπιμυκτηρίσαιμεν; τὴν ματαιότητα τῶν λογισμῶν, ἢ τὴν τῆς διανοίας δυστροπίαν; τὴν τῆς μνησικακίας ὑπερβολὴν, ἢ τῆς ἀδικίας τὴν φιλοτιμίαν; Ταῦτα ἡ μακρὰ μελέτη, καὶ νύκτες ἄϋπνοι, καὶ ὁ δυσαρίθμητος τῶν βιβλίων ἐσρὸς, καὶ τῶν ἀμοιβαίων ἀναγνωστῶν καὶ συνομιλητῶν, αἱ ποικίλαι περὶ τοὺς λόγους φιλοτιμίαι καὶ διαπαρατριβαί; τοιαῦτά σε καρποφορεῖν αἱ Παλαιαὶ Διαθῆκαι καὶ Καιναὶ, αἱ τῶν ἔξωθεν σοφῶν γνῶμαι, καὶ τῶν ἁγίων οἱ νόμοι καὶ λόγοι παροτρύνουσιν, ὥστε καταδώκειν ἄνθρωπον πένητα καὶ πτωχὸν τῷ

(6) Cod. G legit, καὶ ἄλλην καθιδρῦσαι, *deportata, alia reponeretur.*

Digitized by Google

πνεύματι, καὶ κατανενυγμένον τῇ καρδίᾳ, τοῦ θανατῶσαι; Οὐκ ἤρκεσέ σου τὸν ἄμετρον ἀποπλῆσαι θυμὸν ἡ βιαία τοῦ θρόνου ῥίψις, αἱ ἀθεσμότατα καθαιρέσεις, αἱ ἀδικώταται ὑπερορίαι αἱ κατὰ τῶν ποδῶν ἀλύσεις, αἱ μυρίαι φυγαὶ, καὶ θλίψεις, καὶ συκοφαντίαι, καὶ διαβολαὶ, αἷς αὐτὸν ἔπλυνας; καὶ γὰρ ἔπλυνας ἀληθῶς τοσοῦτον, ὅσον ἐῤῥύπανας σαυτόν. Οὐκ ἤρκεσε ταῦτα, ἀλλὰ καὶ ἔτι βιάζῃ ῥοῦν ποταμοῦ μάτην ἀπολέσαι φιλονεικῶν, καὶ τὸν ὑπὸ τοῦ Θεοῦ δικαιούμενον κατακρίνειν, καὶ ἀδικώτατα καταδικάζειν ἐπιτιθέμενος, καὶ ταύτῃ τὸν ἔλεγχον τῶν ἰδίων ἀνομημάτων διαδρᾶναι λίαν ἀνοήτως διανοούμενος, ὥσπερ οὐκ ἐφεστώσης Θεοῦ προνοίας τοῖς πράγμασιν, ἢ καιροῖς ἰδίοις ἑκάστῳ πάντως τὴν ἰδίαν ἀποδώσει πρᾶξιν; Ἐγὼ λογίζομαι, ὅτι καὶ αὐτὸς ἐν ἡμέρᾳ ἐπισκοπῆς πρὸς τοῦ λέγοντος ἀκούσῃ Θεοῦ· *Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;* καὶ ὅσα τῆς ἱερολογίας ἑξῆς. Κρεῖττον γὰρ οἶμαι ἀνδρὶ ἀναλφαβήτῳ πάντη καὶ ἀμαθεῖ μετὰ συνειδήσεως ἀγαθῆς ἀνεπιλήπτως βιοῦν, ἢ πάντας θείους καὶ ἀνθρωπίνους λόγους σοφίας ἀνελίττοντι διὰ γλώσσης, καὶ μακροῖς λόγων συντάγμασιν ἐπαινουμένῳ, φονικὴν ἀναῤῥιπίζειν κατὰ τοῦ πλησίον βουλήν. Πῶς οὐδὲ τοῦ μεγάλου Βασιλείου τῶν λόγων κατακούων (7) ηὐλαβήθης, ἐν ἐκπλήξει περί τινος εἰπόντος, ὅτι πλειόνων ἀκμασάντων αἱρεσιαρχῶν κατὰ τὴν οἰκουμένην ἅπασαν, οὐδεὶς ἀναθρονιασμοὺς τελέσαι ἐθάῤῥησεν, εἰ μὴ ὁ Ἀγκυρογαλάτης Εὐστάθιος, οὗτινος τὴν μυσαρότητα ἡ ἐν Γάγγραις ἁγία παρίστησι σύνοδος; Ἀλλὰ τούτοις ὁ σοφώτατος οὐ μόνον οὐκ ἐνεκαλύπτετο, ἀλλὰ τοὐναντίον καὶ ἐνελαμπρύνετο, δόξαν μᾶλλον τὰ ἔργα τῆς αἰσχύνης καὶ ἰδίαν τιμὴν ἡγούμενος, εἴγε καινοπρεπῆ καὶ τῆς ἐκκλησιαστικῆς παραδόσεως ἀλλότρια τεχνάζοιτο. Ἀλλ' ὁ μὲν οὕτως.

Οὐ κατασιγήσω δὲ ἐγὼ τὸν τοῦ Καίσαρος ὄνειρον· οὐδὲ δίκαιον. Εἰ γὰρ καὶ οἱ πολλοὶ μὲν αὐτῶν ἐκ τῶν μεθημερινῶν φροντίδων καὶ ἐνθυμημάτων ἔχουσι τὰς ἀρχὰς, πολλοὶ δὲ καὶ ὑπὸ δαιμόνων καθεύδουσιν ὑποτυποῦνται· ἀλλὰ καὶ ὑπὸ ἀγγέλων Θεοῦ ἔστιν ὅτε προστάγματι σχηματίζονται [Θεοῦ], καὶ ἐπὶ τοῖς ἄρχουσι δὲ μάλιστα καὶ βασιλεῦσιν, εἰ καὶ μὴ εὐσεβεῖς εἶεν. Ἀλλ' οὖν τὸ πνεῦμα τῆς προφητείας, εἴτε πρὸς τὸ αὐτοῖς ἐκείνοις εἴτε τοῖς ὑπηκόοις λυσιτελοῦν, πολλάκις ἐνεργεῖν οἶδεν· ὡς ἐπὶ τοῦ Φαραὼ καὶ τοῦ Ναβουχοδονόσορ μεμαθήκαμεν. Οὕτω καὶ Βάρδας ὁ Καῖσαρ οὗτος Φιλόθεον ἐκεῖνον γενικῶν ποτε λογοθέτην, καὶ φίλον αὐτῷ πιστὸν ὄντα προσκαλεσάμενος, λίαν ἐῴκει τεθορυβημένῳ· καὶ ἄσθματι πυκνῷ συνεχόμενος, Ὦ Φιλόθεε, ἔφη, ὅραμα εἶδον, καὶ πάντα μου συνέτριψε τὰ ὀστᾶ, καὶ τοὺς ἁρμοὺς τῆς ὀσφύος μου ἔλυσεν. Ὅμην γὰρ κατὰ ταύτην τὴν νύκτα, ὡς δῆθεν προελεύσεως οὔσης, εἰς τὴν Μεγάλην Ἐκκλησίαν μετὰ τοῦ βασιλέως εἰσιέναι·

dum? Non satiavit implicabilem animi tui furorem tyrannica de throno dejectio, illicitæ depositiones, iniquissimæ proscriptiones, compedes et vincula, infinita exsilia, calumniæ, ærumnæ, vexationes, quibus illum abluisti? revera enim tantopere illum abluisti, quantopere teipsum inquinasti. Nec his contentus, insuper fontem ipsum fluminis altercando studes exhaurire, et ab ipso absolutum Numine condemnare, modisque indignissimis circumventum veluti reum noxiumve perdere? ut hoc stultissimo consilio scelerum tuorum judicium possis declinare, perinde quasi rebus humanis nullus præsideat Deus, aut ille suo tempore non sit unicuique redditurus secundum opera sua. Ego vero arbitror te quoque in die visitationis tuæ a Deo dicente auditurum: *Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum*[7]? et quæ deinceps in sacra pagina sequuntur. Equidem melius actum iri censeo cum homine imperitissimo, omnisque litteraturæ et disciplinæ experte, si cum pura conscientia inculpatam vitam degat, quam cum eo, qui omnia divinæ et humanæ sapientiæ oracula ore volvat jactetve, longisque logis et logorum voluminibus laudatus, adversus alterum exitialem nocendi foveat voluntatem. Et tu, audita magni Basilii sententia (7), nihil reformidas, cum de quopiam admirabundus dixit, nullum ex omnibus totius orbis hæresiarchis, qui fuere quam plures, ausum fuisse resecrare, præter Eustathium Ancyrogalatam, cujus nefarium scelus synodus Gangrensis exponit. Sed ob hæc sapientissimus (noster Photius) non modo nullo pudore suffundebatur, sed magnifice etiam se ostentabat, ratus ex honore id suo dignitateque fore, si qua nova et ab ecclesiastica disciplina aliena excogitaret. Atque ita quidem se gerebat Photius.

Sed a me, per somnum Bardæ Cæsari objecta species (neque enim fas est), silentio præteriri non debet. Quamvis enim multa a negotiis per diem actis vel cogitatis causam trahant, nec pauca a dæmonibus per imagines subjiciantur; est tamen cum etiam a bonis angelis jussu Dei suggeruntur, præsertim magistratibus et regibus, quamvis impiis. Nam spiritus prophetiæ vim suam, sive ad ipsorum principum, sive illis subjectorum salutem novit sæpe exerere: id quod Pharaoni et Nabuchodonosori accidisse didicimus. Ita Bardas Cæsar familiarem suum certumque amicum Philotheum, quondam genicorum logothetam, perturbatissimus accersivit, multumque anhelans: Mi Philothe, inquit, somnium vidi, quod omnia ossa mea contrivit, omnesque corporis nervos dissolvit. Hac nocte enim videbar tanquam in publica pompa cum imperatore ad magnam basilicam prodire, videreque archangelorum effigies per fenestras omnes supe-

[7] Psal. XLIX, 16.

(7) Vide Basilium 130, *ad Theodotum*.

Digitized by Google

riores et inferiores in templum respicere : et cum ad ambonem venissemus, spectati sunt veluti duo a cubiculis, severi ac truces : quorum alter ipsum imperatorem vinctum capiens, ad dextrum latus tractum, e pavimento cancellis proximo velut noxium damnatumque pellebat : alter vero me pari modo ad sinistram partem abducebat. Et dum repente circumspicio, animadverto in throno patriarchali in adytis virum principi apostolorum Petro forma simillimum, geminosque illi assistentes sane formidabiles, qui præpositorum dignitatem præ se ferebant. Ad sedentis porro genua procumbentem cerno Ignatium supplicem, multisque lacrymis perfusum ; adeo ut ipse quoque Petrus Ignatii vicem miseratus ingemuerit. Porro Ignatius clamitabat : Claviger cœlestis regni, et petra super quam Christus Deus Ecclesiam suam firmavit, si quidem tibi ignotum non est, quam inique mecum actum sit, solare afflictissimam senectam meam. Cui beatus Petrus : Ostende vexatorem tuum, et Deus faciet cum tentatione proventum ; et conversus Ignatius manu me indicabat ; et : Hic, inquit, plus omnibus me afflixit, ut quem nulla satietas mei cruciandi ceperit. Tum qui in throno considebat, cum annuisset illi qui ad dextram assistebat, educta sicula, palam omnibus audientibus sententiam pronuntiavit. Hunc, inquit, invisum Deo Bardam prehende, et foris in atrio frustatim concide. Extemplo ergo ad supplicium abreptus, vidi quod et imperatori minaci manu diceret : Exspecta, impie fili. Atque ita mihi visus sum re vera concidi. Hæc Cæsari attonito et cum lacrymis narranti, Theophilus : Parce, inquit, domine, infelicissimo seni, et ad Dei tribunal respiciens, eum neque jure, neque injuria lædas. Sed Bardas ne sic quidem voluit intelligere, ut bene ageret ; sed formidandis hisce comminationibus oblivione sepultis, properavit peccata sua adimplere, ut justam Dei vindictam in se concitaret. Statim quippe, ipso solemnis jejunii exordio, Leonem illum cognomento Ptaolemen, cognatum Photii, cum satellitio in insulam mittit, adeoque arcte custodiri præcipit Ignatium, ut ne sacris quidem operari posset, neque cuiquam copia fieret illius conveniendi, nec illi exeundi. Cum ad tertium mensem ita circumclusus mansisset, somnii prædictio maturabatur. Michaele namque expeditionem in Cretam suscipiente, Bardas cum illo jam ad Hortorum locum qui dicitur progressus, quod insidias imperatori struere diceretur (cœlesti nempe vindicta illum prosequente), ultimas Deo pœnas exsolvit, gladiisque miserandum in modum membratim est dissectus. Tam infami letho exstinctus est, ut ipsius quoque familiarissimus in eum inveheretur, quamvis ab eo summis beneficiis affectus, patriarchatus dignitatem accepisset. Sed hunc ille vivum quidem mirifice colebat, summumque quasi vitæ præsidem omnibus præconiis efferebat : perempto vero palinodiam cecinit, ac velut exsecrandum quoddam piaculum dignum tali

A κατὰ πάσας δὲ θυρίδας τὰς ἄνω καὶ τὰς κάτω εἰκόνας ὁρᾷν ἐδόκουν ἀρχαγγελικὰς πρὸς τὸν ναὸν βλεπούσας· καὶ ὅτε πλησίον ἦμεν τοῦ ἄμβωνος, ὥφθησαν ὥσπερ κουβικουλάριοι δύο ἀπότομοι καὶ ἐμβριθεῖς· ὧν ὁ μὲν δέσμιον τὸν βασιλέα λαβών, καὶ ἐπὶ τὰ δεξιὰ κατασύρων, ἐξωθεῖτο τῆς σολέας, κατακρίνων ὡς ὑπεύθυνον· ἐμὲ ὁ ἕτερος ὁμοιοτρόπως διὰ τῶν ἀριστερῶν ἀπῆγεν. Ἄφνω δὲ περιβλεψάμενος, ὁρῶ ἐν τῷ συνθρόνῳ τοῦ ἀδύτου καθήμενον ἄνδρα γηραλέον, ἀπαραλλάκτως ἐοικότα τῇ εἰκόνι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, καὶ αὐτῷ δύο τινὲς παρειστήκεισαν σοβαροὶ, πραιποσίτων τάξιν ἐπιφαίνοντες. Ὁρῶ δὲ πρὸς τοῖς γόνασι τοῦ καθημένου τὸν Ἰγνάτιον ἱκετεύοντα, καὶ πολλοῖς δάκρυσι περιῤῥαινόμενον οὕτως, ὥστε κἀκεῖνον αὐτῷ συλλυπούμενον στε-
B νάξαι. Καὶ αὐτὸς ἐβόα· Κλειδοῦχε τῆς βασιλείας τῶν οὐρανῶν, καὶ πέτρα ἐν ᾗ Χριστὸς ὁ Θεὸς τὴν αὐτοῦ Ἐκκλησίαν ἐστηρίξατο, εἰ οἶδας, ὅτι ἠδικήθην, παραμύθησόν μου τὸ πολύθλιπτον γῆρας. Ὁ δὲ πρὸς αὐτὸν, Δεῖξον, ἔφη, τὸν ἀδικήσαντά σε, καὶ ὁ Θεὸς σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν. Καὶ στραφεὶς ὁ Ἰγνάτιος τῇ δεξιᾷ χειρὶ ἐπέδειξεν ἐμὲ, λέγων· Οὗτος περισσότερον πάντων ἐλυμήνατό με· καὶ κόρον τῆς κατ' ἐμοῦ ὕβρεως οὐκ ἔσχεν. Νεύσας οὖν ὁ ἐπὶ τοῦ θρόνου πρὸς τὸν ἐκ δεξιῶν αὐτοῦ καθεστηκότα, καὶ μικρὰν πάνυ μάχαιραν ἐκβαλὼν, εἰς ἐπήκοον πάντων ἀπεφήνατο· Τὸν θεόργιστον Βάρδαν παράλαβε, καὶ πρὸ τοῦ νάρθηκος ἔξω κατάκοψον μεληδόν. Αὐτίκα τοίνυν, ἑλκόμενος ἔνθεν πρὸς θάνατον, εἶδον, ὅτι καὶ τῷ βασιλεῖ τὴν
C χεῖρα ἐπισείων, Ἔκδεξαι, ἔφη, ἀσεβότεκνον· καὶ οὕτως ἐμαυτὸν εἶδον ὡς ὕπαρ καταμελιζόμενον. Ταῦτα μὲν ὁ Καῖσαρ θαμβούμενος ἅμα καὶ κλαίων ἐξηγεῖτο. Πρὸς ὃν ἐκεῖνος, Φεῖσαι, ὦ δέσποτα, τοῦ παναθλίου γέροντος, εἶπε, καὶ πρὸς τὸ τοῦ Θεοῦ κριτήριον ἀφορῶν, μήτε δικαίως, μήτ' οὖν ἀδίκως ἔτι πονηρεύου κατ' αὐτοῦ. Ἀλλ' ὅμως ἐκεῖνος οὐδ' οὕτως ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι· ἀμνηστείᾳ δὲ τὴν φρικώδη ταύτην παραδοὺς ἀπειλὴν, ἐσπευδε τὰς
D οἰκείας ἀναπληρῶσαι ἁμαρτίας, ἵν' ἐνδικον ἄνωθεν ἐφ' ἑαυτὸν ἐπισπάσηται τὴν ὀργήν. Εὐθὺς γὰρ πρὸς αὐταῖς τῶν νηστειῶν ταῖς εἰσβάσεσι, Λέοντα ἐκεῖνον τὸν Πταολήμην ἐπονομαζόμενον, συγγενῆ Φωτίου τυγχάνοντα, μετὰ στρατιωτῶν εἰς τὴν νῆσον ἀποστέλλει, καὶ παραγγέλλει οὕτω τηρεῖσθαι τὸν Ἰγνάτιον, ὡς μὴ ἐξεῖναι αὐτῷ παντάπασι τὴν ἱερὰν ἀναφέρειν λειτουργίαν, μήτ' οὖν εἰσιέναι τινὰ πρὸς αὐτὸν, μήτ' ἐξιέναι συγχωρεῖσθαι. Ἐπὶ τρεῖς δὲ μῆνας ἡ τοιαύτη περὶ αὐτὸν ἐστερεοῦτο φυλακὴ, καὶ οὕτως ἡ τοῦ ὀνείρατος ἔφθασεν ἀπόφασις. Ἐπειγομένῳ γὰρ κατὰ τῆς Κρήτης τῷ Μιχαὴλ καὶ αὐτὸς ὁ Βάρδας ἄχρι τῶν λεγομένων Κήπων συστρατεύων, ἐκεῖ δὴ τὴν ἐσχάτην ἔτισε δίκην. Πρόφασιν γὰρ ὡς ἐπιβουλεύοντα τῷ βασιλεῖ ἡ θεήλατος αὐτὸν μετῆλθεν ὀργὴ, καὶ ξίφεσι μεληδὸν ἀθλίως κατακοπτόμενος, οὕτω δυσκλεὲς τέλος ἀπηνέγκατο, ὥστε καὶ ὑπ' αὐτοῦ στηλιτευθῆναι τοῦ φιλτάτου. Ὁ γὰρ τὰ μεγάλα εὐεργετηθεὶς, καὶ τὴν πατριαρχικὴν ὑπ' ἐκείνου τιμὴν κληρωθεὶς, ζῶντα μὲν ὑπερετίμα,

Digitized by Google

καὶ προστάτην εἶχε τοῦ βίου, παντοίαις εὐφημίαις ὑπερεπαινῶν· ἀποθανόντι δὲ παλινῳδίας ἦδε, καὶ ὡς ἀλιτήριον τοῦτον καὶ τρισκατάρατον, ἄξιον τοιαύτης ἀπεφήνατο τελευτῆς. Τοιοῦτος ὁ δεινὸς ἐκεῖνος ἦν σοφιστὴς, ἀεὶ πρὸς τοὺς καιροὺς μεταβαλλόμενος καὶ τὰ πράγματα, καὶ τοῖς τῶν κρατούντων συμπεριαγόμενος θελήμασιν. Ὁ γὰρ τῆς θεαρχικῆς βουλῆς καὶ ῥοπῆς δι' ἔλλειψιν πίστεως διαμαρτὼν, καὶ τοῖς ἀνθρώποις ἐπηλπικὼς, ἐπειδὴ σαθρῷ θεμελίῳ τὸν νοῦν ἐπερείδεται, ἄπιστός τε πρὸς πάντας καὶ κατήγορος δὲ γινόμενος ταπεινουμένοις· καὶ πρὸς ἓν αὐτὸν ἀρχῆς ἐκπεσεῖν. A morte dictitabat. Hoc ingenio improbus ille veterator et sophista fuit, ut semper foro et tempori, principumque studiis obsequeretur. Qui enim cœlesti spiritu ductuque, fide destitutus, non agitur, et spes suas in mortalibus sitas habet, cum vitioso putrique fundamento mente nitatur, tandem inconstans et perfidus in omnes deprehenditur : potentium palpator, calumniator vero pauperum; qui id unum studet, ut placeat potentibus, ne dignitate spolietur.

Τότε μὲν οὖν ὁ αὐτοκράτωρ παρευθὺς πρὸς τὴν βασιλεύουσαν παλινοστεῖ. Πεντηκοστὴ δ' ἄρ' ἦν, καὶ Βασίλειον πατρίκιον ὄντα καὶ παρακοιμώμενον, στέμματι κατακοσμήσας, ἀναγορεύει βασιλέα. Ὁ πολύφρων δὲ Φώτιος πάμπολλα κατὰ Νικολάου τοῦ πάπα μηχανορράφων, ἐπειδὴ οὐδὲν εἶχεν ἄλλο δρᾷν κατ' αὐτοῦ, πείθει πολλαῖς παραινέσεσι τὸν βασιλέα συναινέσαι, σύνοδον συγκροτῆσαι, καὶ τοῦτον καθαιρῆσαι καὶ τοῖς αὐτῷ κοινωνοῦσιν ἀφορισμὸν ἀντισηκοῦντα τῷ παρ' ἐκείνου πρώην πεμφθέντι διαπέμψασθαι. Συναγαγὼν οὖν πάντας τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ὁ γεννάδας, καί τινας μιαροὺς ἀνθρωπίσκους καὶ ἀσήμους ἐκ τῶν ἀνατολικῶν δῆθεν πατριαρχείων τοποτηρητὰς ἐπαγόμενος, καὶ ψευδοσύλλογον ποιούμενος, καθαίρεσιν, ὡς ἐνόμιζε, καὶ ἀναθεματισμὸν ἐπ' οὐδενὶ λόγῳ ποιεῖται Νικολάου. Δώροις γὰρ λαμπροῖς ὅτι μάλιστα τὸν ῥῆγα Φραγγίας Λοδόηχον, καὶ Ἠγγιβέργαν δὲ τὴν αὐτοῦ γαμετὴν ὑποποιούμενος, βασιλεῖς τούτους ἀνευφημεῖν ἐν Κωνσταντινουπόλει ἐπηγγέλλετο, εἴγε συνεργήσαιεν αὐτῷ πρὸς τὴν ἄτοπον ταύτην καὶ ἄθεσμον ἐπιθυμίαν, καὶ τὸν δίκαιον ἄνδρα τῆς κατ' αὐτὸν Ἐκκλησίας βιαίως ἐξωθήσαιεν. Τούτων δὲ ὑπισχνουμένων λόγου θᾶττον, ἀλόγως ὁ μάταιος μάτην ἀπεφαίνετο. Ἐντεῦθεν ὑπογραφαὶ καὶ φωναὶ κανονικῶν τε προσώπων καὶ πολιτικῶν, μητροπολιτῶν καὶ πατρικίων· πάντα καινὰ, πάντα τῶν ἐπὶ σκηνῆς θρυλλουμένων ματαιότερα καὶ καταγελαστότερα· ἡ γὰρ ἐκ παιδὸς αὐτῷ παρεπομένη τῆς ψυχῆς οἴησις, εἰς ὑπερηφανίαν τε τοῦτον ἐσχάτην καὶ ἀπόνοιαν μετεωρίσασα, ἀδεῶς τε καὶ ἀναιδῶς ἀνέπειθε τὰ τοιαῦτα τολμᾷν. Ὁ μὲν οὖν ταῦτα κατασκευασάμενος, διὰ χειρὸς Ζαχαρίου τοῦ Κωφοῦ, ὃς ὑπ' αὐτοῦ τῆς Χαλκηδόνος κεχειροτόνητο μητροπολίτης, καὶ Θεοδώρου τοῦ ἀπὸ Καρίας εἰς Λαοδίκειαν μετατεθέντος, τὰς παραλόγους αὐτοῦ καὶ ἐναγεῖς πράξεις πρὸς Ἰταλίαν ἐξαπέστειλεν. Αὐτὸς δὲ τῆς ἐμφύτου κατὰ τοῦ ἁγίου μήνιδος εἴχετο, καὶ τῶν γνησίων αὐτοῦ θεραπευτῶν, μᾶλλον δὲ νόθων, ὅσους ἠδύνατο, κλέπτων, καὶ ταῖς ματαιότησι τῶν ἀξιωμάτων δελεάζων, δι' αὐτῶν τὴν πτέρναν τοῦ ἀναιτίου ἐπετήρει· ἡμάρτανε δὲ τῶν ἐλπίδων· πάσης γὰρ ὑψηλότερος κατηγορίας ὁ μακάριος ἦν· ἐν τοῖς ἔργοις δὲ τῶν χειρῶν αὐτοῦ κακουργῶν συνελαμβάνετο. Ἀγνοῶν δὲ ἀληθῶς εἰς τίνα τὸ κράτος τῆς βασιλείας περιίσταται, ποτὲ μὲν πρὸς τὸν Μιχαὴλ διέβαλλε Βασίλειον, αὖθις δὲ τοῦτον πρὸς ἐκεῖνον, ἀμφοῖν, ὡς ἐνόμιζε, φιλίαν καταπραττόμενος, ὁ ἀμφοτέρων τὴν φιλίαν οὐκ ἐν ἀληθείᾳ B C D Imperator tum repente converso itinere Constantinopolim repetit. Erat autem Pentecoste, et Basilium patricium cubiculi sacri præfectum, Cæsarem imposito stemmate renuntiat. Sed versutus Photius plurima in Nicolaum pontificem moliens, cum operam lusisset, imperatori multis verbis incitato fit auctor cogendæ synodi, qua Nicolaus pontifex (eadem sententia in illum lata, quam nuper ille in Photium tulerat) exauctoretur. Evocat ergo præclarus ille Photius episcopos omnes sibi subjectos, aliosque nonnullos fœdos et sordidos homunciones, quasi patriarcharum orientis legatos, pseudoque synodum instituit, et exauctorationem, ut putabat, atque anathema nullam ob rationem in Nicolaum papam pronuntiat : regem quoque Franciæ Lodoechum (seu Ludovicum) et Ingelbertam reginam conjugem sollicitat, et imperatores Constantinopoli creatum iri pollicetur, si operam navarent ad impium suum conatum exsequendum, et virum justum ex ecclesia sua exigendum. Iis vero dicto citius pollicentibus, frustra stultus suam stultitiam ostentabat. Hinc subscriptiones, et vota hominum sacrorum et profanorum, archiepiscoporum et patriciorum : vana omnia, omnia theatralibus fabulis ineptiora. Nam quæ illi a puero adhæserat arrogans sui existimatio, eadem ad summam illum insolentiam extremamque dementiam evectum adducebat, ut talia tam audenter et impudenter auderet. His ille omnibus procuratis, insana et sacrilega (conciliabuli sui) acta per Zachariam Cophum a se Chalcedonensem metropolitam creatum, et Theodorum translatum a Caria ad Laodicensem episcopatum, in Italiam transmisit. Ipse vero insitum contra sanctum virum odium alebat, ac quotquot ex ejus germanis, aut spuriis potius sectatoribus poterat, furtim ad se trahebat, dignitatibusque vesaniæ suæ illiciebat, per quos innocentis calcaneo insidiabatur. Sed enim spe frustrabatur, quod beatus ille jam extra omnem esset aleam calumniarum : Photius autem in operibus manuum suarum malignans capiebatur. Qui cum dubius hæreret, ad quem tandem summa imperii esset perventura, subinde apud Michaelem carpebat Basilium, et vicissim apud Basilium obtrectabat Michaeli, ratus amborum se ita amicitiam sibi comparaturum, dum erga utrumque benevolentiam simularet, ut uter tandem ex illis solus imperium obtineret, illum sibi devinctis-

ἀβέβαιος ἐλέγχεται· ὑψουμένοις μὲν συνήγορος, μόνον ὁρῶν ἀρέσαι τοῖς δυνατοῖς, τοῦ μὴ τῆς κατ'

Digitized by Google

simum haberet. Atqui non probavit se Basilio, qui admodum veteratoris illius strophis offendebatur. Nec ita multo post ipse Michael ad sancti Mamantis martyris ædem per insidias mactatur, merito dignoque sua amentia, scelere et impietate, fato perfunctus; cum imperium una cum matre annos quindecim, menses octo, solus novem prope annos administrasset : cumque malum fecisset in conspectu Ecclesiæ Dei, periit. Initio autem indictionis primæ, IX Kal. Octobris, Basilius regia occupata imperator est consalutatus : qui missis ad revocandum ex itinere Zachariam, illum e media via retraxit. Posteroque die quam renuntiatus erat imperator, Photium de throno deturbatum, in cœnobium Scepen appellatum ejicit; postridieque Eliam splendidissimum regiæ classis drungarium cum dromone regio, seu celoce, ad sanctissimum patriarcham ex insula Constantinopolim ea qua par est honoris pompa reducendum mittit : qui illum tantisper in paternis ædibus suis, quas Mangana appellant, collocat.

A ὑποκρινόμενος, καὶ οἰόμενος, ὡς ὁποῖος ἂν τούτων μονοκράτωρ ἀναδειχθῇ, τοῦτον εἰς οἰκειότητα προστήσεται. Οὐκ ἤρεσκε δὲ τῷ Βασιλείῳ ταῦτα, πάνυ δὲ ταῖς πανουργίαις προσώχθισε τοῦ σοφοῦ. Μικρὸν τὸ ἐν μέσῳ, καὶ αὐτὸς ὁ Μιχαὴλ πρὸς τῷ τεμένει τοῦ Μάρτυρος Μάμαντος δολοφονεῖται, ἀξίαν τῆς ἀνοίας, εἴτουν ἀδικίας αὐτοῦ καὶ ἀσεβείας δεξάμενος τελευτήν· χρόνους μὲν πεντεκαίδεκα καὶ μῆνας ὀκτὼ συμβεβασιλευκὼς τῇ μητρὶ, ἐννέα δὲ παρὰ βραχὺ μόνος; ἔτη κεκρατηκὼς, καὶ τὸ πονηρὸν ἐνώπιον τῆς Ἐκκλησίας Κυρίου πεποιηκὼς, τελευτᾷ. Πρώτῃ μὲν ἰνδικτιὼν εἶχεν ἀρχὴν, εἰκάδα δὲ καὶ τετάρτην ὁ Σεπτέμβριος, καὶ ὁ Βασίλειος πρὸς τὰ βασίλεια κατευθυνόμενος, αὐτοκράτωρ ἀνηγορεύετο. Παρευθὺ δὲ πέμψας εἰς καταδρομὴν, τοὺς περὶ τὸν B Ζαχαρίαν Καλχηδόνος ἐκ μέσης ἀπέστρεψε τῆς ὁδοῦ. Τῇ ἑξῆς δὲ μετὰ τὴν ἀναγόρευσιν, τοῦ πατριαρχικοῦ θρόνου τὸν Φώτιον καταβιβάζει, καὶ ἐν μοναστηρίῳ τινὶ καλουμένῳ Σκέπῃ τοῦτον εὐθὺς ὑπερορίζει· καὶ τῇ ἐπαύριον Ἠλίαν τὸν περιφανέστατον τοῦ βασιλικοῦ στόλου δρουγγάριον σὺν τῷ βασιλικῷ δρόμωνι πρὸς τὸν ἁγιώτατον ἀποστέλλει πατριάρχην, ὅπως αὐτὸν ἐκ τῆς νήσου πρὸς τὴν βασιλεύουσαν μετὰ τῆς πρεπούσης ἀνενέγκῃ τιμῆς· καὶ τέως μὲν ἐν τοῖς γονικοῖς αὐτοῦ παλατίοις τοῖς καλουμένοις Μαγκάνοις ἀποκαθίστησιν αὐτόν.

Ut vero improbæ artes omnes contra virum sanctum omnibus pateant, qui apprehendit sapientes in astutia eorum, et consilium pravorum dissipat, ille etiam imperatori injecit eam mentem, ut ad Photium mitteret, juberetque, omnia quæ a patriarchio sumpsisset, manu sua scripta, quamprimum sibi transmitti. Sed pejerabat ille, nihil se ex patriarchio secum accepisse, eo quod urgeretur ad discessum. Dum hæc ad Baanem præpositum dicerentur, famuli præpositi a tumultuantibus inter se Photii servis, septem saccos refertos, plumboque signatos, in proximum arundinetum condendos ferri animadvertunt, manuque injecta ereptos ad imperatorem deportant. Et dum resignant, duo volumina auro argentoque bracteata, sericoque extrorsum velata, introrsum vero eleganter et scite litteris venustis exarata reperiunt. Alterum continebat actiones septem synodicas contra Ignatium, quæ nec sunt, nec fuerunt unquam celebratæ, sed gratis astuta duntaxat mente confictæ. In quarum singulis initiis, manu ipsius Syracusani D Asbestæ (egregie enim, ad cumulum, reor, malorum, et pingendi artificium didicerat) coloribus artificiosis expressus erat Ignatius. O rabiosum furorem, o furiosam rabiem, cui nihil addi possit! Atque in prima quidem actione raptatum et verberatum Ignatium effinxit, supraque caput inscripsit: Diabolus. Nunquid non maledicti exhorrescitis atrocitatem ? Sed non est, quod miremini. Nam si patremfamilias appellarunt Beelzebub, domesticos ejus quomodo appellarent ? In altera actione sputis fœdatum, magnaque vi tractum efformavit, cum hoc elogio : Principium peccati. In tertia, de throno deturbatum, cum hoc titulo : Filius perditionis. In quarta, vinculis colligatum,

Ἵνα δὲ πᾶσα ἡ κατὰ τοῦ ἁγίου γένηται πονηρία καταφανὴς, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, πολυπλόκων δὲ βουλὰς ἐξιστῶν, αὐτὸς ἐμβάλλει καὶ τῷ αὐτοκράτορι Βασιλείῳ λογισμόν. Καὶ ἀποστέλλει πρὸς Φώτιον, τὰ ἰδιόχειρα πάντα, C ὅσα ἀπὸ τοῦ πατριαρχείου κατιὼν ἔλαβεν, ἀνυπερθέτως αὐτῷ πέμψαι παρεκελευόμενος. Ὁ δὲ ὅρκος ἐψεύδετο, μηδὲν τοιοῦτον ἐκεῖθεν λαβεῖν, τῷ κατεπείγεσθαι πρὸς τὴν κατάβασιν. Ὡς οὖν ταῦτα παρ' αὐτοῦ πρὸς τὸν πραιπόσιτον Βαάνην ἐλέγετο, οἱ αὐτοῦ θορυβούμενοι θεραπευταὶ, ἑπτὰ σάκκους πλήρεις ἐσφραγισμένους μολίβδῳ εἰς τὸν πλησίον ἐνίεσαν καλαμῶνα κατακρύβοντες· οὓς οἱ περὶ τὸν πραιπόσιτον ἰδόντες, καὶ τῆς χειρὸς ἁφαρπάσαντες, πρὸς τὸν βασιλέα ἀπεκόμισαν. Ἀνοίξαντες δὲ τούτους, δύο εὑρίσκουσι βιβλία χρυσῷ καὶ ἀργύρῳ σηρικοῖς ἐνδύμασιν ἔξωθεν κεκοσμημένα, ἔσωθεν δὲ φιλοκάλως καὶ ἐπιμελῶς γράμμασι γεγραμμένα τερπνοῖς. Περιεῖχε δὲ τὸ ἓν πράξεις ἑπτὰ συνοδικὰς, τὰς μηδέποτε οὔσας, ἢ γενομένας, κατὰ τοῦ Ἰγνατίου, μάτην δὲ D κακοδαίμονι μόνον ἀναπεπλασμένας διανοίᾳ. Ἐν ταῖς ἀρχαῖς δὲ τούτων ἑφ' ἑκάστης πράξεως, αὐτουργίᾳ τοῦ Συρακουσίου Ἀσβεστᾶ (ἦν γὰρ καὶ ζωγράφος ὁ γεννάδας, εἰς προσθήκην τῶν αὐτοῦ κακῶν, οἶμαι) διὰ χρωματικῆς ζωγραφίας ἐνεγέγραπτο Ἰγνάτιος. Καὶ (ὢ τῆς ἀκαθέκτου λύσσης! ὢ μανίας οὐδεμίαν ὑπερβολὴν ἀπολειπούσης!) κατὰ τὴν πρώτην μὲν πρᾶξιν συρόμενόν τε αὐτὸν καὶ ῥαβδιζόμενον ἐμόρφωσεν, ἄνωθεν δὲ τῆς κεφαλῆς ἐπέγραψεν· « Ὁ διάβολος. » Ἆρ' οὐκ ἐφρίξατε τὴν ὑπερβολὴν τῆς βλασφημίας; Ἀλλὰ μὴ θαυμάσητε. Εἰ γὰρ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, τί πρὸς τοὺς οἰκιακοὺς αὐτοῦ; Κατὰ τὴν δευτέραν δὲ ἐμπτυόμενον, καὶ βιαίως ἑλκόμενον αὐτὸν, καὶ ἡ ἐπιγραφή· « Ἀρχὴ τῆς ἁμαρτίας. » Κατὰ τὴν τρίτην δὲ καθαιρούμενον, καὶ, « Ὁ υἱὸς τῆς

Digitized by Google

ἀπωλείας, » ἐπιγραφόμενον. Δεσμούμενον δὲ καὶ ἐξοριζόμενον κατὰ τὴν τετάρτην πρᾶξιν εἰκόνισεν αὐτὸν, καὶ πλεονεξίαν τοῦ μάγου Σίμωνος ἐπέγραψε. Κατὰ τὴν ἀρχὴν δὲ τῆς πέμπτης κλοιοὺς αὐτὸν σχηματίζει περικείμενον, καὶ ἡ λοιδορία· « Ὁ ὑπεραιρόμενος ἐπὶ πάντα Θεὸν καὶ σέβασμα. » Κατὰ τὴν ἕκτην δὲ εἰς καταδίκην αὐτὸν ἐμβαλλόμενον εἰκόνισεν. Ἡ δὲ κατ' αὐτοῦ ἀργολογία [*al.* ἀπολογία]· « Βδέλυγμα τῆς ἐρημώσεως. » Κατὰ τὴν ἑβδόμην δὲ καὶ τελευταίαν πρᾶξιν, συρόμενον αὐτὸν καὶ παρατομούμενον διεζωγράφησε· καὶ ἡ ἐπιγραφὴ αὐτοῦ, ἣν ἔγραψεν, ἦν· « Ἀντίχριστος. » Ταῦτα ἐγὼ μὲν αἰσχύνομαι, νὴ τὴν ἀλήθειαν, ἐπὶ γλώσσης ἄγων, καὶ εἰς μνήμην τούτων ἰών· καὶ διὰ τοῦτο παντάπασιν, εὖ ἴστε, κατεσίγησα ἄν, εἰ μὴ ἑώρων τοὺς ταῦτα καταπραξαμένους, καὶ τοὺς αὐτῶν οἰκείους, οὐ μόνον ἐν τούτοις οὐκ ἐγκαλυπτομένους, ἀλλὰ καὶ ἐγκαλλωπιζομένους, καὶ δόξαν ἁγιωσύνης ἐπιψευδομένους αὐτῷ· ἀψευδὴς γὰρ ὁ εἰπών· *Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ*· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος. Ὤμοσαν κατὰ τοῦ φόβου Κυρίου, καὶ κατὰ τῆς ὀξύης τῆς ἰσχύος αὐτοῦ, οἱ ἐπὶ τῇ ἀναγνώσει τῶν ἐναγῶν πράξεων ἐκείνων εὑρεθέντες, πεντήκοντα καὶ δύο ἀναμφίβολα καὶ πᾶσιν ὡμολογημένα ψευδῆ κεφάλαια γεγράφθαι, ἐξ ἀσεβοῦς μᾶλλον ἢ μανικῆς διανοίας εἰς κατηγορίαν τοῦ μάκαρος Ἰγνατίου προσφερόμενα. Ἑκάστης δὲ κατηγορίας πρὸς τῷ τέλει ἄγραφον στίχον κατελίμπανον, εἴ τινά ποτε τῶν ἀξίων ἀγχόνης δώροις ἢ ἀξιώμασιν ἀπατῆσαι δυνηθείεν, ἵν' ἔχῃ τόπον ἐγγράψασθαι τῷ ψεύδει. Καὶ ταῦτα μὲν ἡ μία τοῦ διαβόλου περιεῖχε βίβλος. Ἡ ἑτέρα δὲ συνοδικὴ κατὰ Νικολάου τοῦ πάπα Ῥώμης κατεσκεύαστο, πᾶσιν συκοφαντίαν καὶ βλασφημίαν ἄτοπον εἰς καθαίρεσιν ἀνδρὸς ἁγίου καὶ ἀναθεματισμὸν ἀθέως καὶ πονηρῶς δραματουργοῦσα, ἀξία καὶ αὐτὴ τῆς τε τοῦ πονηροῦ δαίμονος ὑπαγορίας, καὶ τῆς τοῦ Φωτίου ὑπουργίας. Ἀπαραλλάκτως δὲ ταύτας ὁ τολμητίας δὶς ἀναγραψάμενος, τὰς δύο μὲν Ζαχαρίᾳ παρέσχετο καὶ Θεοδώρῳ τοῖς προειρημένοις, μετὰ εὐφημιῶν καὶ δώρων πολλῶν καὶ λαμπρῶν πρὸς τοὺς τῆς Φραγκίας βασιλεῖς ἀπενεγκεῖν, τοῦ τὸν πάπαν Νικόλαον ὡς καθῃρημένον ἐξώσασθαι τοῦ θρόνου. Τὰς δύο δὲ παρ' ἑαυτῷ κατεῖχε. Τούτων τῶν τεσσάρων βιβλίων δραξάμενος ὁ βασιλεὺς, καὶ τῇ συγκλήτῳ πρότερον καὶ τῇ Ἐκκλησίᾳ ποιήσας καταφανεῖς, τὴν ὅλην οὕτω Φωτίου σκευωρίαν καὶ κακίστην συνείδησιν ὑπ' ὄψιν ἁπάσῃ τῇ πολιτείᾳ κατεστήσατο. Ἐξέστη πᾶς ἄνθρωπος ὁρῶν καὶ ἀκούων ταῦτα, οὐ μόνον ἐπὶ τῇ κακονοίᾳ καὶ κακορρημοσύνῃ τοῦ σοφιστοῦ, ἀλλὰ καὶ τῇ ὑπερβολῇ τῆς μακροθυμίας καὶ ἀνοχῆς τοῦ Θεοῦ. Ἀλλὰ ταύτας μὲν τὰς βίβλους ὕστερον ἐνεγκόντες ἐπὶ τῆς συνόδου, καὶ κατὰ πρόσωπον τῷ αὐτουργῷ αὐτῶν παραστήσαντες καὶ παραδειγματίσαντες, οὕτω παρέδωκαν τῷ πυρί.

Τότε δὲ καὶ ὁ αὐτοκράτωρ Βασίλειος σιλέντιον ἐπὶ τῷ παλατίῳ Μαγναύρας ποιούμενος, καὶ τὸν πατριάρχην ἀγαγὼν, [καὶ] πολλοῖς τοῦτον ἐπαίνοις κατέστεψε. Κυριακὴ μὲν τῶν ἡμερῶν ἦν, εἰκάδα δὲ καὶ τρίτην εἶχε Νοέμβριος, ὥσπερ καὶ ὅτε πρῶτον

[19] Prov. XVIII.

A et exterminatum, itaque inscriptum : Avaritia Simonis Magi. In quinta, collari furca inclusum, cum hac calumnia : Qui se extollit supra omne id quod dicitur aut colitur Deus. In sexta depinxit quasi jam damnatum, cum dicto : Abominatio desolationis. In septima et ultima finxit raptatum, capiteque multatum ; et inscriptio erat : Antichristus. Quæ ego per veritatem sine pudore neque pronuntio, neque in mentem revoco : ob eamque causam sciatis, velim, me silentio præteriturum fuisse, nisi viderem horum auctores, auctorumque asseclas hæc non solum non erubescere, sed in his palam etiam gloriari, Photioque sanctitatis opinionem falso tribuere. Sed verax ille non mentitur, qui dixit : *Impius cum in profundum venerit,* B *contemnit*[19] : sed sequitur eum ignominia et opprobrium. Juraverunt per timorem Domini, et gloriam fortitudinis ejus, qui in sacrilegarum actionum illarum lectione adfuerunt, duo supra quinquaginta capita ad beati Ignatii calumniam perscripta fuisse omnium consessione falsa, et ex impia vel potius furiosa mente conficta. Relinquebant et in singulis accusationibus versum ad finem vacuum, ut si quem laqueo dignum donorum et dignitatum largitione irretissent, mendacio is subscribendo haberet locum. Et hæc quidem alter diaboli continebat liber. Alter vero synodicus in Nicolaum pontificem Romanum tela torquebat, omnisque generis calumnias et atrocia maledicta in illius sancti exauctorationem et damnationem C complectebatur, impie et tragico prope modo concinnatus ; sane ipse quoque dictantis Stygii doctoris magisterio et Photii ministerio dignus. Hos eodem exemplo libros cum impudens bis describendos curasset, geminos quidem libros Zachariæ et Theodoro supra indicatis, cum singularibus laudum encomiis, multisque ac splendidissimis muneribus ad Ludovicum Franciæ regem deferendos dedit, ut is Nicolaum pontificem velut exauctoratum de throno deturbaret : duos penes se retinuit. Hæc quatuor volumina imperator illa crepita, prius ad senatum totamque Ecclesiam palam detulit : atque ita omnes Photii machinationes et impiam conscientiam omnium oculis totique reD publicæ spectandam proposuit. Quibus visis et auditis attoniti omnes obstupuere, non solum propter perversam sophistæ mentem, versutamque verbositatem, sed etiam ob incredibilem Dei patientiam et diuturnam vindictæ dilationem. Hosce libros ad œcumenicam postea synodum delatos, auctorique præsenti cum probro ob os objrusos, igni tradiderunt.

Tunc vero Basilius imperator adductum in Magnauræ palatium Ignatium, silentio indicto, multis laudibus cohonestavit. Dies erat Dominica, tertia et vicesima Novembris ; quo etiam anni tempore prius in exsilium pulsus erat, qui Dei præsidio et

Digitized by Google

clementia fretus, novennalem ac perfectam ex virtutis certamine lauream adeptus, ecclesiæ suæ throno restituitur : et lampas magis accensa, clarior quam antea, candelabro imponitur : pastorque rursus oves agnoscit suas, et a suis vicissim ovibus clarius agnoscitur. Ergo tota quasi urbe triumphante, illumque ad templum ascendentem a tergo et fronte prosequente, lætitiaque gestiente, cum per sacrum puteum ad superiora templi duceretur, dextra parte ingredientem ordo patricius occursans venerabundus excepit : res vero tunc divina fiebat. Nec par est, ut sacrum omen, quod in ingressu Ignatii accidit, prætermittamus. Intrantem namque Ignatium populus quidem supplex venerabatur, sacerdos autem in adytis oblationem Domino faciens clamabat : Gratias agamus Domino Deo nostro : et mox populus respondebat ; Dignum et justum est. Ita sacer Ignatius bonis omnibus throno suo recepto, et gubernaculis Ecclesiæ resumptis, arcet a sacris non Photium tantum, et omnes ab illo initiatos, sed omnes etiam illius sectatores cum illo communicantes : precatur insuper imperatorem, ut œcumenicam synodum cogat, qua omnia Ecclesiæ vulnera sanari arbitrabatur. Extemplo igitur Joannes Pergæ episcopus, Ignatii in omnes casus et ærumnas comes, et malorum omnium, quantum in ipso erat, socius : ex Photii vero factione Petrus Sardiensis metropolita, ad Nicolaum pontificem legati mittuntur ; quibus allegatur Basilius cognomento Pinacas, qui spatharii dignitatem obtinebat : usique sunt gemino dromone, cum solverent. Sed Petrus, qui Dilæus, hoc est, miser appellabatur, in Dalmatico sinu periclitatus, miser naufragio periit : Joannes vero cum Basilio incolumis evasit, et Nicolao jam vita functo, Hadrianum papam invenit. Nec diu cunctati pontificis vicarii Constantinopolim venerunt Stephanus et Donatus episcopi, Marino ex septem diaconis adjuncto. Ex orientis vero patriarchiis (imperatore principem Syriæ donis ac litteris propitiante) Josephus archidiacomus et syncellus ex Ægypto, legatus Michaelis patriarchæ Alexandrini ; Thomas metropolita Tyri, vicarius Michaelis patriarchæ Antiocheni Syriæ, Elias presbyter et syncellus vicem Theodosii patriarchæ Hierosolymitani explebat. Hi omnes præsentes fuere cum sanctissimo patriarcha Ignatio Constantinopolitano, et episcopis duodenis, perpetuis in omni fortuna et ærumnis sociis ; qui ad dexteram, ubi locus catechumenorum est, templi quod a sapientia nomen Sophiæ accepit, assidente Basilio imperatore, præsederunt.

A ἐξωρίζετο· καὶ αὐτὸς ὑπερασπισμῷ καὶ χρηστότητι τοῦ Θεοῦ δι' ἐννέα τελείων χρόνων τελείαν ἄθλησιν ὑπὲρ ἀρετῆς ἐπιδειξάμενος, ἀποκαθίσταται τῇ Ἐκκλησίᾳ· καὶ ὁ λύχνος λαμπρότερον ἀναφθεὶς περιφανέστερον ἢ πρώην τῇ λυχνίᾳ ἐπιτίθεται, καὶ ὁ ποιμὴν ἐπέγνω τὰ πρόβατα, καὶ αὐτὸς τοῖς προβάτοις σαφέστερον ἐπέγνωσται. Πάσης οὖν σχεδὸν φάναι τῆς πόλεως ἐπευφρανομένης αὐτοῦ τῇ ἀναβάσει, προαγούσης τε καὶ ἑπομένης ἐν ἀγαλλιάσει, αὐτὸς μὲν διὰ τοῦ ἁγίου Φρέατος ἀνάγεται· πρὸς τοῖς ὑπερῴοις δὲ τοῦ μεγάλου Ναοῦ διὰ τῆς δεξιᾶς πύλης εἰσιόντι προσυπαντᾷ αὐτῷ τῶν πατρικίων ἡ τάξις προσκυνοῦσα καὶ δεξιουμένη· ἡ ἱερὰ δὲ τότε λειτουργία κατὰ τὸ ἔθος ἐτελεῖτο. Ἄξιον δὲ μηδὲ τὴν ἐπὶ τῇ εἰσόδῳ συμπεσοῦσαν ἱερὰν κληδόνα παραλιπεῖν· ὁ μὲν γὰρ ἐσῄει, οἱ δὲ προσεκύνουν· ὁ ἱερεὺς δὲ, Εὐχαριστήσωμεν τῷ Κυρίῳ, τὴν ἀναφορὰν ἐν τοῖς ἀδύτοις ποιούμενος ἀνέκραγεν· ὁ λαὸς δὲ, Ἄξιον καὶ δίκαιον, ἀπεκρίνατο. Οὕτως ὁ ἱερὸς Ἰγνάτιος ὑπ' ἀγαθοῖς συμβόλοις τὸν οἰκεῖον θρόνον ἀπειληφὼς, καὶ τοὺς οἴακας αὖθις τῆς Ἐκκλησίας ἐγχειρισθεὶς, εἴργει μὲν τῆς ἱερᾶς λειτουργίας οὐ Φώτιον μόνον, καὶ τοὺς χειροτονηθέντας ὑπ' αὐτοῦ, ἀλλὰ καὶ πάντας τοὺς κεκοινωνηκότας αὐτῷ· ἐκλιπαρεῖ δὲ τὸν βασιλέα οἰκουμενικὴν σύνοδον κροτῆσαι, δι' ἧς ἔσεσθαι τῶν σκανδάλων πάντων ὑπελάμβανε τὴν ἴασιν. Εὐθέως τοίνυν Ἰωάννης μὲν ὁ τῆς Πέργης, ὡς ἐν πάσαις ταῖς θλίψεσιν Ἰγνατίῳ συγκακοπαθῶν, ἐκ τοῦ μέρους τοῦ κατ' αὐτὸν, ἐκ τοῦ κατὰ τὸν Φώτιον δὲ Πέτρος ὁ τῶν Σάρδεων, πρὸς τὸν πάπαν Νικόλαον ἀποκρισιάριοι προεχειρίζοντο· σὺν αὐτοῖς δὲ καὶ Βασίλειος ὁ καλούμενος Πινακᾶς ἀπῄει, σπαθάριος τὴν ἀξίαν καθεστώς· καὶ ἀπῆσαν ἐν δυσὶ δρόμωσι στελλόμενοι τὸν πλοῦν. Ἀλλὰ Πέτρος μὲν ὁ καλούμενος Δείλαιος, ἐν τῷ κόλπῳ Δαλματίας κινδύνῳ περιπεσὼν, δείλαιος ὤλετο. Ἰωάννης δὲ σὺν Βασιλείῳ διασωθεὶς Ἀδριανὸν εὗρε πάπαν, τοῦ Νικολάου ἤδη τὴν ἐν σώματι καταλιπόντος ζωήν. Οὐ πολὺς οὖν ἐν τῷ μέσῳ χρόνος, καὶ παρῆσαν τοποτηρηταὶ, Στέφανος μὲν καὶ Δονᾶτος ἐπίσκοποι τοῦ πάπα Ῥώμης, καὶ Μαρῖνος εἷς τῶν ἑπτὰ διακόνων σὺν αὐτοῖς. Ἐκ δὲ τῶν τῆς Ἀνατολῆς πατριαρχείων, τοῦ αὐτοκράτορος δώροις καὶ γράμμασι τὸν τῆς Συρίας ἄρχοντα παρακαλέσαντος, Ἰωσὴφ μὲν ἀρχιδιάκονος καὶ σύγκελλος, τοποτηρητὴς Μιχαὴλ ἦλθε τοῦ πάπα τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας· Θωμᾶς δὲ μητροπολίτης Τύρου τόπον Μιχαὴλ ἐπλήρου τοῦ τῆς Ἀντιοχείας τῆς κατὰ Συρίαν πατριάρχου, Ἠλίας δὲ πρεσβύτερος καὶ σύγκελλος εἰς τόπον Θεοδοσίου πατριάρχου τῶν Ἱεροσολύμων παρῆν· οὗτοι πάντες ἅμα Ἰγνατίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ Κωνσταντινουπόλεως, καὶ τοῖς σὺν αὐτῷ δώδεκα τὸν ἀριθμὸν ἐπισκόποις τοῖς συγκεκοπιακόσι, καὶ ἀπ' ἀρχῆς μέχρι τέλους συνηθληκόσιν αὐτῷ, ἐν τοῖς δεξιοῖς μέρεσι τῶν κατηχουμενείων τοῦ περιωνύμου ναοῦ τῆς τοῦ Θεοῦ Σοφίας, μετὰ τοῦ αὐτοκράτορος Βασιλείου προεκάθισαν.

B

C

D

Propositis ergo venerandis vivificæ crucis lignis, sanctisque Evangeliis explicatis, præsente etiam sacro senatu, primum quidem missæ ab Adriano veteris Romæ pontifice, et patriarcharum ex Oriente litteræ ex ordine lectæ, omnem sacro jure requisitum ordi-

Τῶν τιμίων δὲ καὶ ζωοποιῶν ξύλων, τῶν τε ἱερῶν Εὐαγγελίων προκειμένων, συμπαρούσης δὲ καὶ τῆς ἱερᾶς συγκλήτου, πρῶτον μὲν αἱ πεμφθεῖσαι παρὰ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ ἐπιστολαὶ, καὶ αἱ παρὰ τῶν ἀνατολικῶν πατριαρχῶν

Digitized by Google

κατὰ τάξιν ἀναγινωσκόμεναι, πᾶσαν, καὶ ἱερὰν εὐθημοσύνην, τό τε πιστὸν καὶ ἄμωμον, καὶ ἀνεπίληπτον τῶν ἀπεσταλμένων τοποτηρητῶν, τό τε κανονικὸν καὶ ἔνθεσμον τῶν ἀποστειλάντων αὐτοὺς, ἐνώπιον πάντων ἀπέδειξνυσαν. A nem, fidem, innocentiam, integritatemque legatorum, necnon jus et auctoritatem mittentium declarabant.

Ἔπειτα τῇ ἑξῆς ἱερεῖς τε καὶ ἀρχιερεῖς πάντες, ὅσοι Μεθοδίου μὲν καὶ Ἰγνατίου χειροτονίᾳ τῶν ἁγιωτάτων ἐτύγχανον πατριαρχῶν, πανουργίαις δὲ παντοδαπαῖς, καὶ ποικίλαις κολάσεσι καὶ ἐπινοίαις, Φωτίου τῇ κοινωνίᾳ συναπήχθησαν, οὗτοι πάντες λιβέλλους μετανοίας ἐπιδεδωκότες, καὶ μετὰ δακρύων τῇ ἁγίᾳ συνόδῳ προσπίπτοντες καὶ ἐξομολογούμενοι, καὶ μέντοι καὶ συγγνώμης, κατὰ τὴν ὑπὲρ αὐτῶν τοῦ βασιλέως παράκλησιν, καὶ τὴν τῶν Ῥωμαίων ψῆφον, ὡς βιασθέντες, ἀξιούμενοι, ναὶ δὴ καὶ τῷ διωρισμένῳ θέμενοι ἐπιτιμίῳ, οὕτω τῆς τῶν ἐπισκόπων καθέδρας τοῖς ἀνεγκλήτοις ὁμοίως καὶ αὐτοὶ κατηξιοῦντο. B

Deinde postero die sacerdotes et antistites omnes, qui a Methodio et Ignatio sanctissimis patriarchis consecrati erant, artibusque et insidiis, omnique genere tormentorum ad Photii communionem abrepti erant, libellis pœnitentiæ porrectis, cum lacrymis supplices ad sanctæ synodi pedes procubuerunt; et deprecatu imperatoris, quod vim passi essent, de sententia legatorum pontificis Romani venia dignati, præscriptum sibi epitimium seu pœnam susceperunt, perindeque ac alii inculpati, episcoporum sedem locumque receperunt.

Ἐντεῦθεν εἰς ἑκατὸν δύο τὸν ἀριθμὸν ἐπισκόπους ἡ σύνοδος ἐκείνη συγκροτουμένη, καὶ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν, καὶ πάντα σὺν λόγῳ καιρίῳ καὶ κανονικαῖς διατάξεσι λέγειν καὶ πράττειν διαλογιζόμενοι, τὸν ὑπεύθυνον Φώτιον παράγουσι μὴ βουλόμενον· καὶ διελέγχουσι μὲν ἀποτόμως τῆς φονικῆς κατὰ Ἰγνατίου τοῦ ἱεράρχου προαιρέσεως, καὶ τῆς παραλόγου καὶ μανιώδους καθαιρέσεως· ἐλέγχουσι δὲ καὶ τὰς ψευδοπείας αὐτοῦ καὶ δυσφημίας, καὶ ὅσα κατὰ Νικολάου τοῦ πάπα πεφώραται δεδρακώς. Εἶτα πυνθάνονται παρ' αὐτοῦ, εἴ τι ἔχει δικαίωμα πρὸς τὴν κατ' αὐτοῦ πάλαι γενομένην παρὰ τῶν Ῥωμαίων κατάκρισιν ἀνθυπενεγκεῖν. Αὐτοῦ δὲ σιωπῶντος τῷ μηδεμίαν (8) εὔλογον ἔχειν ἀπολογίαν πρὸς τὰ ἐγκαλούμενα, ἐπειδὴ ὑπό τε τῶν τοποτηρητῶν αὐτῶν, ὑπό τε τοῦ βασιλέως καὶ τῆς συγκλήτου παραινούμενος συγγνώμην αἰτῆσαι, ὥστε κἂν τῆς τῶν πιστῶν κοινωνίας ὡς λαϊκὸς ἀξιωθῆναι, παντάπασιν ἐξ αὐθαδείας ἀπεσείσατο τὴν συμβουλίαν· κοινῇ λοιπὸν ψήφῳ καὶ δικαιοτάτῃ κατακρίνουσι, καθαιροῦσί τε τοῦτον καὶ ἀναθεματίζουσιν, ὡς ἐπιβήτορα καὶ μοιχὸν, καὶ διωγμῶν χαλεπωτάτων καὶ σκανδάλων μυρίων ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις αἴτιον γενόμενον. Καὶ ἀποφαίνονται σὺν ἅμα Νικολάου [*al.* συνοδικῷ; τῇ Νικ.] τοῦ πάπα καθαιρετικῇ ψήφῳ, τῇ μετὰ πολλῆς ἀκριβείας πρῶτον καὶ κανονικῆς, ἤτοι συνοδικῆς κρίσεως ἀποφανθείσῃ κατ' αὐτοῦ. Ὑπογράφουσι δὲ τῇ καθαιρέσει, οὐ ψιλῷ τῷ μέλανι τὰ χειρόγραφα ποιούμενοι, ἀλλὰ, τὸ φρικωδέστατον, ὡς τῶν εἰδότων ἀκήκοα διαβεβαιουμένων, καὶ ἐν αὐτῷ τοῦ Σωτῆρος τῷ αἵματι βάπτοντες τὸν κάλαμον, οὕτως ἐξεκήρυξαν Φώτιον, οὕτως αὐτὸν κατεδίκασαν, καὶ πάντας τοὺς κεχειροτονημένους ὑπ' αὐτοῦ. C D

Deinceps illa synodus per episcopos duos supra centum celebrata, omnia ordine decenterque, et ratione optima ex legum et canonicorum decretorum præscripto dicendo agendoque, reum Photium quamvis reluctantem, præsentem adesse cogit. Et severe illi objiciunt consilia exitialia adversus Ignatium inita, factam præter rationem insana mente ejus depositionem; mendacia item, et calumnias, aliaque omnia, quæ clam adversus Nicolaum pontificem fuerat molitus. Deinde quærunt ex eo, quid respondeat ad illam olim Romæ latam contra se damnationis sententiam. Cum obmutescceret, quod nullam criminum suorum veram defensionem reperiret, a legatis Romanis, ipsoque imperatore et toto senatu admonitus, ut veniam precaretur, et saltem tanquam laicus ad fidelium communionem reciperetur, superbo et contumaci animo consilium penitus repudiavit. Ergo communi omnium æquissimo judicio damnatur, abdicatur, anathematequc percellitur, veluti violator et adulter, maximarumque calamitatum et infinitarum offensionum ac scandalorum in Ecclesia Dei auctor; et pronuntiat synodus juxta Nicolai papæ sententiam, qua primum Photius maturo cum judicio, canonicaque seu synodica fuerat depositione damnatus. Subscripsere (episcopi) depositioni calamis, non nudo atramento, sed, in quo penitus contremiscas (ut eos qui rem norant, asseverantes audivi), ipso Salvatoris sanguine tinctis. Ita, inquam, demum Photium exauctorarunt damnaruntque, unaque omnes ab illo sacris initiatos.

Ἐνταῦθα γενόμενος, κατηγορήσειν μοι δοκῶ τῆς συνόδου· μέμψομαι δὲ καὶ τὴν κρίσιν ταύτην, εἰ καὶ τολμηρόν. Πάσας γὰρ τὰς πράξεις καὶ τοὺς διωρισμένους ἐν αὐτῇ κανόνας ὁμοίως τοῖς ἐν ταῖς προλαβούσαις ἑπτὰ συνόδοις οἰκουμενικαῖς, καὶ τούτους ὡς

Hic ego mihi synodum jure quodammodo reprehensurus videor: reprehendam autem, etsi fortasse audacius, hoc ipsum judicium. Actiones enim omnes et definitos in ea canones, perinde ac in aliis septem œcumenicis synodis, ita in hac quoque ut

(8) Alter codex legit, αὐτοῦ δὲ εἰπόντος τὸ μηδεμίαν, *cum vero ille respondisset se nihil habere quod diceret.*

Digitized by Google

sanctos et a Spiritu sancto dictatos valde probo admittoque. Hoc tantum in hac octava non laudo, non quod (ut aliqui censent) gravius commota, durius in reos decreverit ; sed contra potius reprehendenda forsitan sit apud æquum arbitrum, quod multo clementius quam oportebat, judicarit, habita nempe personarum aliqua ratione, non ex lege apostolica sincere lata sententia. Tricesimus canon (9) adhibendus erat, quo innocentem ante Ignatium Photius sycophanta damnarat, quasi per sæcularem potestatem Ecclesiam invasisset. Hoc magis nunc innitendum erat in eum, ut qui non Dei, non mystarum sententia, sed incredibili gloriæ et ambitionis furore correptus, per sæcularem potestatem solium vi tyrannica occupasset. Hanc ille ob causam, et præterea, quod ab exauctorato se consecrari voluerit, de gradu deturbandus erat, omnesque qui cum illo communicabant, secundum apostolicam sanctionem : nec oportuit eos Deo Deique judicio clementiores esse, et sacrosancti Spiritus decretum antiquare. Hæc quippe illorum indulgentia omnia susque deque egit (10). Hoc judicium dici non potest quantum offenderit, quantorumque causam præbuerit malorum. Persuasum enim habeo, si tunc ex apostolorum et canonum auctoritate sententiam rite, et in auctorem schismatis et offensionum, et in totam ejus factionem cum illo communicantem, omnibus exauctoratis, tulissent, futurum fuisse, uti omnis ab Ecclesia impietas in posterum excluderetur. Sed quemadmodum ante, divino Tarasio patriarcha, et synodo contra Iconomachos celebrata, cum indulgentius quam ex præscripto justitiæ hæreticos tractassent, illi arrepta occasione impietatem suam multo magis confirmarunt : ita nunc synodo hac remissius agente, nec sine affectu, neque ex apostolico canone damnationis sententiam ferente, malitia rursus contra Ecclesiam invenit locum. Nam per homines antea corruptos explosus, et per ejectos damnatus quasi familiares, postliminio recurrens, rursus patriarchæ thronum per vim invasit ; sacrisque legibus et apostolicis sanctionibus elusis, traditionibus omnibus ecclesiasticis proculcatis, cum omnes in sua testimonia et chirographa perjuros, et crucis conculcatores, ut ipse erat, fieri coegisset, et extrema primis deteriora fecisset, omnium conscientias inquinavit et profanavit. Atque id in hac synodo desideratur, ut ego sentio, quod et lapsi ad communionem recepti, et lupus præter ipsius exspectationem in ovile est admissus. Quod et quidam ex signis temporibus illis visis sapienter conjecerunt. Nondum enim hac synodo celebrata, sed adhuc sperata, bubalos quondam aliunde huc adductos, perque mediam viam actos, repente furor corripuit, aliisque alio ruentibus, unus recta adversus magnam ecclesiam dela-

A θεοπνεύστους λίαν προσιέμενός τε καὶ ἀποδεχόμενος, τοῦτο μόνον τῆς ὀγδόης συνόδου ταύτης ἐπιμέμφομαι, οὐχ ὅτι θυμῷ βαρεῖ καὶ μνησικακίᾳ, ὥς τινες οἴονται, τῶν ὑπευθύνων ἀνηλεῶς κατεψηφίσατο, μᾶλλον μὲν οὖν τοὐναντίον μεμπτέα τυχὸν αὕτη παρά γε δικαίῳ τῶν τοιούτων κριτῇ, ὅτι φιλανθρωπότερον ἢ ἔδει τὴν κρίσιν ποιουμένη, οὐκ ἀπροσωπόληπτον, οὐδὲ καθαρῶς ἀποστολικὴν ἐπήγαγε ψῆφον· δέον τῷ τριακοστῷ κεφαλαίῳ, ᾧ πρῶτον τὸν ἄμεμπτον ὁ συκοφάντης κατεδίκαζεν, ὡς διὰ κοσμικῆς δυναστείας ἐγκρατῆ γενάμενον τῆς Ἐκκλησίας, τούτῳ μᾶλλον ἰσχυρίσασθαι νῦν κατ' ἐκείνου, ὡς οὐ ψήφῳ Θεοῦ καὶ ἱερέων, ἀλλ' ὑπερβολῇ φιλαρχίας καὶ δοξομανίας, διὰ κοσμικῆς δυναστείας τυραννήσαντος τῆς Ἐκκλησίας. Αὐτόν τε διὰ ταῦτα καθαιρεῖν
B ἔδει, καὶ ὅτι παρὰ καθῃρημένου χειροτονεῖσθαι κατηξίου, καὶ τοὺς κεκοινωνηκότας δὲ αὐτῷ κατὰ τὴν ἀποστολικὴν ἀπόφασιν πάντας· καὶ μὴ φιλανθρωποτέρους Θεοῦ καὶ Θεοῦ γινομένους κρίσεως, τὴν ἀπόφασιν τοῦ παναγίου Πνεύματος ἀκυροῦν. Τοῦτο τὰ ἄνω κάτω πεποίηκε· τοῦτο τὸ κρῖμα οὐκ ἔστιν ὅσων εἰπεῖν κακῶν αἴτιον καὶ σκανδάλων ἐχρημάτισεν. Οἶμαι γὰρ, ὡς εἰ ἀποστολικῶς τότε καὶ κανονικῶς κατὰ πάντων ἀπεφήναντο, οὐ τὸν αἴτιον μόνον τῆς διχοστασίας τε καὶ τῶν σκανδάλων, ἀλλὰ καὶ τοὺς κοινωνήσαντας αὐτῷ πάντας ἐκκηρύξαντες, οὐδεμίαν
C ἂν ἔτι κατὰ τῆς Ἐκκλησίας εἶχε παρείσδυσιν ἡ ἀδικία. Ὥσπερ δὲ πρῶτον κατὰ τὴν ἐπὶ Ταρασίου τοῦ θείου σύνοδον κατὰ τῶν Εἰκονομάχων γενομένην, ἐπειδὴ συμπαθέστερον μᾶλλον ἢ δικαιότερον ἐχρήσαντο τοῖς αἱρετικοῖς, καιροῦ πάλιν ἐκεῖνοι δραξάμενοι, τὴν οἰκείαν δυσσέβειαν χαλεπώτερον ἀνενεώσαντο· οὕτω καὶ νῦν τῆς συνόδου ταύτης πεφεισμένως, ἀλλ' οὐκ ἀπροσπαθῶς καὶ κανονικῶς τὴν κρίσιν ἀποφηναμένης, εὗρεν αὖθις ἡ πονηρία κατὰ τῆς Ἐκκλησίας χώραν. Καὶ διὰ τῶν προειλημμένων ὁ ἀπόβλητος [*al.* προσειλημμένων ἀπ.], καὶ διὰ τῶν ἀποκρίτων [ὑποκριτῶν] ὁ καθῃρημένος, ὡς κοινωνικῶν
D ὄντων αὐτοῦ, καταδραμὼν, καὶ αὖθις τὸν ἱεραρχικὸν θρόνον τυραννήσας, καὶ τῶν ἱερῶν καταπαίξας θεσμῶν, καὶ πάντα μὲν ἀποστολικὸν κανόνα, πᾶσαν δὲ παράδοσιν ἐκκλησιαστικὴν καταπεπατηκώς, καὶ πάντας μὲν τῶν οἰκείων ὁμολογιῶν χειρογράφων ἀθετητὰς, πάντας δὲ σταυροπάτας, οἷος ἐκεῖνος, γίνεσθαι καταναγκάζων, καὶ τῶν πρώτων τὰ ἔσχατα χείρω διαθέμενος, τὰς ἁπάντων συνειδήσεις ἐβεβήλωσε καὶ κατέχρανε. Τοῦτο μὲν, ὡς ὁ ἐμὸς λόγος, τῆς συνόδου ταύτης τὸ ἐλάττωμα, διὰ τῆς καταδοχῆς καὶ κοινωνίας τῶν παραπεσόντων, καὶ τὸν λύκον, ὡς οὐ προσεδόκα, τοῖς προβάτοις ἐπεισαγούσης. Τοῦτο δέ τινες καὶ ἀπὸ τῶν παρηκολουθηκότων τοῖς τότε χρόνοις τεκμηρίων ἐμφρόνως ἐστοχάσαντο. Καὶ γὰρ μήπω ταυτησὶ τῆς συνόδου συγκεκροτημένης, ἔτι δὲ ἐλπιζομένης, βούβαλοι ἔξωθέν ποτε ἐλαυνόμενοι, κατὰ μέσης διήγοντο τῆς πόλεως· ἀθρόως

(9) Canon est 29 Apostolorum. HARD.

(10) *Non damnat Nicetas œcumenicum concilium quasi apostolicos canones violarit, sed ex iis rebus, quæ post concilium evenere, majorem severitatem de iderat : quippe cum clementius egisse videatur quam per canones ipsos agere licuisset, si summo jure agere cum Photio Photianisque voluisset*, inquit P. Raderus.

Digitized by Google

δὲ θροηθέντες, ὧδε κἀκεῖσε διεσκορπίζοντο. Εἷς δὲ αὐτῶν κατὰ τῆς Μεγάλης εὐθυδρομήσας Ἐκκλησίας, καὶ ἔνδον τοῦ ἱεροῦ γεγονὼς, ἄχρις αὐτοῦ τρέχων τοῦ ἄμβωνος κατήντησεν. Ὥρα δὲ ἦν ἐνάτη τῆς ἡμέρας· καὶ αὐτὸς οὐκ ἀγαθὸς ἄγγελος τοῖς τὰ τοιαῦτα κρίνειν εἰδόσι κατεφαίνετο. Τούτου δὲ μείζων ἀπόδειξις, ὁ φρικωδέστατος σεισμὸς, ὃς κατ' ἐκεῖνον συνέβη τὸν καιρόν. Ἐνάτην εἶχεν Ἰανουάριος, καὶ πολλαὶ μὲν ἐκκλησίαι, ἔμβολοι δὲ πλεῖστοι καὶ οἶκοι ἠδαφίσθησαν, κτηνῶν τε καὶ ἀνθρώπων ἀμύθητος γέγονε πανωλεθρία, καὶ αὐτὸς δὲ ὁ μέγας τῆς τοῦ Θεοῦ Σοφίας οἶκος κατὰ πολλὰ μέρη διεκινδυνεύετο ῥηγνύμενος, εἰ μὴ τῆς ἀξίας πρὸς τῶν κρατούντων ἐτύγχανεν ἐπιμελείας. Ταῦτα μὲν πρὸ τῆς συνόδου. Καὶ μετ' αὐτὴν ἐξαίφνης ἐπῆλθε πνεύματος σφοδρὰ καταιγίς. Ὀκτώβριος ἐνίστατο μήν· καὶ οὕτω βιαίως ἐπέθετο τὸ πνεῦμα, ὡς πολλῶν μὲν ἐκκλησιῶν, πολλῶν δὲ παλατίων, καὶ τοῦ πατριαρχικοῦ δὲ οἴκου τὸν μόλιβδον οἷα μεμβράνας συνελίσσειν, καὶ εἰς τοὔδαφος κατασπᾷν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῦ τετραπλεύρου μονολίθου κίονος ἐν τῷ ἱπποδρομίῳ τὸ ἐπὶ τῆς κορυφῆς ἑστηλωμένον χαλκοῦν στρόβιλον βαρύτατον ὂν ὡς πορῥωτάτω συνετρίβη πεσόν. Οὐκ εἰκῆ δὲ ταῦτα παρηκολούθηκε τὰ σημεῖα, ἀλλὰ τῆς μελλούσης αὖθις ἀκαταστασίας καὶ ταραχῆς διὰ τοῦ ταραχοποιοῦ δαίμονος ἐπὶ τῆς Ἐκκλησίας ἑνίστατο τεκμήρια σαφῆ· ἅπερ ἴσως οὐκ ἂν συνέπεσεν, εἰ μετὰ τὸν ἀποστολικὸν, ὡς εἴρηται, τὰ κατ' αὐτὸν ἐκρίθη θεσμόν· ἀλλ' ὅμως οὐ ῥυπαίνει ταῦτα τὴν τοῦ πατριάρχου δόξαν, ὅτι μὴ αὐθεντικῶς εἶχε πᾶν ὃ ἐβούλετο δρᾶν· μᾶλλον δὲ τοῖς Ῥωμαίοις μετὰ τὴν ἄνωθεν ἐκκλησιαστικὴν παράδοσιν, τὴν τῆς κρίσεως ἐξουσίαν παρεχώρει. Ἀλλ' οὐδ' ἡ σύνοδος ἐκείνη τοῖς κεκοινωνηκόσι Φωτίῳ, εἰ καὶ τὰ μάλιστα βιασθεῖσι, τοσοῦτον ἤθελε συμπαθεῖν, ὅσον ἡ τοῦ βασιλέως ἁπλότης, ἵνα μὴ λέγω κουφότης, προσώπων ἡττωμένη παρακλήσεσι, καὶ τοῖς παρὰ τούτων ἐπαίνοις ὑποχαυνουμένη, καὶ φιλανθρωπίας ὀνόματι τῆς ἀκριβοῦς τοῦ Θεοῦ δικαιοσύνης ὡς ἐπίπαν ἀποπίπτουσα. Πλὴν ταῦτα μὲν τοῦτον γέγονε τὸν τρόπον.

tus, irrupit, atque ad ambonem usque curriculo hora diei nona pervenit; qui rem æstimare scientibus visus est malus esse nuntius. Sed majus isto argumentum erat, terrificus plane, qui eadem tempestate nono Januarii accidit, terræ tremor, quo multa templa, plurimæ porticus, ædificiaque conciderunt. Hominum ac jumentorum tanta strages edita est, quanta verbis exprimi nullis potest. Quin et ipsum Sophiæ augustum Dei templum multis in partibus concussum, nisi cura singularis principum antevertisset, ruinæ periculum adiisset. Atque hæc ante synodum evenere. Post synodum vero mense Octobri jam ineunte, repente tantus venit turbo, tantaque ingruit procella, ut multa templa, multaque palatia, atque ipsius etiam patriarchii plumbeum tectum instar membranæ convolutum in terram dejecerit. Imo et obelisci in hippodromo tetragoni ex perpetuo lapide facti aheneus turbo, seu strobilus ingenti pondere columnæ impositus, procul ejectus et elisus est. Nec vana sane hæc, quæ tum acciderunt, fuere prodigia, sed futuri motus et perturbationis per architectum turbarum dæmonem Ecclesiæ impendentis aperta signa et argumenta. Quæ fortasse evenissent nunquam, si causam Photii synodus ex decreto apostolico, ut est dictum, decidisset. Enimvero hæc patriarchæ Ignatii gloriæ labem nullam aspergunt, quod non esset illi auctoritas agendi quæ vellet: Romanis enim pro ecclesiastica antiqua traditione, judicandi potestatem permittebat. Quin et ipsa synodus non tantopere volebat iis qui cum Photio, quamvis inviti et coacti, communicarant, indulgere, quantopere simplicitas, ne dicam levitas, imperatoris, victa nempe hominum precibus, et laudibus inflata humanis, et clementiæ nomine perfecta Dei æquitate penitus destituta. Atque hæc ita tum gesta sunt.

Αὐτὸς δὲ ὁ μέγας Ἰγνάτιος τῶν τῆς Ἐκκλησίας οἰάκων τὸ δεύτερον ἐπιλαβόμενος, ἔδειξε καὶ τοῖς τυφλώττειν ἑκουσίως ἐθέλουσιν, ὡς μάτην ὁ ἐχθρὸς ἐνεκαυχήσατο κατ' αὐτοῦ. Ἐπιστημονικώτερον γὰρ, καὶ μᾶλλον θειότερόν πως καὶ ἀσφαλέστερον ἢ πρώην τὴν Ἐκκλησίαν ἐκυβέρνα· ἅτε δὴ ταῖς μακραῖς ταλαιπωρίαις καὶ ποικίλαις θλίψεσιν ἱκανὴν ἐμπειρίαν ἑαυτῷ συνειλοχώς· ἀδέκαστος μὲν πάντη καὶ ἀπροσωπόληπτος ἐν ταῖς κρίσεσι δεικνύμενος, λίαν δὲ ἀκριβὴς ἐν ταῖς χειροτονίαις, τοῖς ἀδικουμένοις ἐπικουρῶν, τοῖς λυπουμένοις συλλυπούμενος, τοῖς πενομένοις ἐπαρκῶν, καὶ τὴν ἔνδειαν τούτοις ὅση δύναμις ἱλαρῶς παραμυθούμενος· καὶ τοὺς ἀσθενοῦντας μὲν τῇ πίστει ἢ καὶ τῷ σώματι παρακαλῶν καὶ ψυχαγωγῶν, τοὺς ὀλιγοψύχους δὲ τῇ χάριτι τῆς τοῦ Πνεύματος ἀνακτώμενος διδασκαλίας· καὶ πᾶσι πάντα γινόμενος, ἐσπευδε κερδαίνειν, ὅσαν ἐπ' αὐτῷ, πάντας ἐν σπλάγχνοις Ἰησοῦ. Δύο μὲν αὐτῷ διὰ σπουδῆς ἦσαν ὁδοί· ἡ μὲν πρὸς Θεὸν ἰθυτενῶς ὁρῶσα διὰ καθαρᾶς τε καὶ ἀνεκλείπτου προσευχῆς· ἡ δὲ πρὸς τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν καὶ περιποίησιν.

Magnus porro Ignatius denuo gubernaculis Ecclesiæ admotus, vel sua sponte cæcutientibus ostendit, quam frustra hostis contra se gloriatus sit. Peritius enim quodammodo, sanctiusque et securius quam antea, Ecclesiam administravit, ut qui multis et diuturnis variisque casibus et ærumnis usum regendi majorem sibi comparasset. Incorrupte enim nullaque personarum habita ratione jus dicebat. Singularem curam in consecrationibus adhibebat, injuria oppressis ferebat auxilium, afflictos solabatur, egentes sublevabat, eorumque inopiam suis copiis, ut poterat, hilariter recreabat. Infirmos quidem fide, aut etiam corpore, confirmabat et solabatur. Pusillanimes vero Spiritus sancti gratia ad spem per doctrinam erigebat. Denique omnibus omnia factus, pro viribus studebat omnes in visceribus Jesu Christi lucrifacere. Geminas semper propositas habebat vias: alteram, qua recta per puras et assiduas preces tendebat ad Deum: alteram ad Ecclesiæ suæ ædificationem et profectum referebat: verum eadem simul opera utrumque

Digitized by Google

recte administrabat; non perfunctorie, vel, ut nonnulli, oscitanter, sed accurate et decenter a prima juventa ad ultimam usque senectam sacris operabatur; atque in omnibus templis, et laudatissimæ Dei Matri, et divinis apostolis martyribusque, gestienti corde, cum ea qua par erat, ac divinam decebat majestatem, pietate panegyres di sque festos agitabat. Tam pie vero et religiose, Spiritu nempe sancto illum complente, rem divinam faciebat, ut in ipso altari videre esset aperta Spiritus sancti præsentiæ argumenta. Videbatur enim panis divinus penitus immutatus, totusque veluti cœlestis carbo, gratiæ radios spargere cœlestis flammæ. Crucis quoque signum, quod aræ desuper imminebat, sæpe placide concuti cernebatur, cum sacra hostia extollebatur, sancti Spiritus videlicet significans obumbrationem. Sed ipso die Paschæ potissimum adeo vehementer commotum est, uti presbyteri et episcopi omnes, maximeque ii qui ex aliis patriarchiis aderant, mysterio perculsi, ingenti voce diutius Numen laudibus celebrarint. Ita sacerdos magnus sacrificium intemeratum perfecta plenaque fide offerebat, Deoque per illud propitiato, populi salutem, ut sacerdoti par erat, operabatur. Eos porro qui ad illum accedebant, hujuscemodi documentis erudiebat: *Attendite*, inquit, *vobis, fratres, et videte quomodo caute ambuletis, non ut insipientes, sed ut sapientes: et nolite fieri imprudentes, sed intelligentes voluntatem Dei* [8]; et: *Nolite conformari huic sæculo, sed transformamini*, secundum Apostolum, *renovatione mentis vestræ; ut probetis vos, et sciatis, quæ sit voluntas Dei bona et beneplacens et perfecta* [9]: *et quæ vocatio fidei vestræ et spei in Christo Jesu Domino nostro* [10]. Sit lucerna cordis vestri semper ardens Spiritu sancto, pura, sincera, liquida et splendida, ut illa tota anima vestra illuminetur. Sit vobis mens semper intenta ad Dominum, simplex et recta, cujus unicus labor sit et studium, unicusque et primarius finis propositus, boni summi contemplatio. Ad illud, inquam, natura sua verum germanumque bonum mens vestra sit conversa semper, et in illo vivat, moveatur et sit; in illo illuminetur bonaque reddatur: illi, quoad ejus fieri potest, similis efficiatur et deificetur. Ita enim animo supra naturam totam seu corporatam, seu intelligentem elevato, mentem nostram in sanctissimæ Trinitatis majestate, quæ sola inexplicabilis, abscondita, supraque naturam evecta omnem per se est exsistitque, stabiliemus. Sicuti vero unam Patris et Filii et Spiritus sancti naturam divinitatis, ita potentiam, operationem, gloriam et magnificentiam profiteamur et credamus: unum autem divinissimæ Trinitatis intemporaneum, cointemporaneum Patri Verbum, ab oculorum acie remotum, a corporis concretione purum, ejusdem ac Patris essentiæ, potentiæ ejusdem; hunc ipsum scientes hominis quoque Filium

A Διὰ τῆς αὐτῆς δὲ σπουδῆς ἀμφότερα κατώρθου, οὐ μετὰ πάρεργον, οὐδὲ ῥᾳθύμως, ὥσπερ τινὲς, ἀλλὰ καὶ λίαν ἐπιμελῶς καὶ συντόνως ἐκ νεότητος ἕως γήρως καὶ πρεσβείου βαθέος ταῖς ἱεραῖς λειτουργίαις εὐηρέστει, καὶ μετὰ πάντα σεβάσμιον οἶκον τῇ τε πανυμνήτῳ Μητρὶ τοῦ Θεοῦ, τοῖς τε θείοις ἀποστόλοις καὶ μάρτυσιν ἐν ἀγαλλιάσει καρδίας θεοπρεπῶς ἐπανηγύριζεν. Οὕτω δὲ θεοφιλῶς καὶ πνευματοκινήτως ἀνῆγε τὴν προσφοράν, ὡς ἐπ' αὐτῆς ὁρᾶν τῆς θείας τραπέζης ἐναργῆ τῆς τοῦ Πνεύματος παρουσίας τεκμήρια. Ὠρᾶτο γὰρ ὁ θεῖος ἄρτος ὅλος ἠλλοιωμένος, ὅλος ὥσπερ ἄνθραξ οὐράνιος χάριν ἀποστίλβων τοῦ οὐρανίου πυρός. Ὤπταί ποτε κραδαινόμενος καὶ ὁ ὑπεράνω τῆς ἁγίας τραπέζης ἁπαιωρούμενος σταυρός· ἠρέμα μὲν πολλάκις σειόμενος, ὑψου-
B μένου τοῦ ἄρτου, καθωρᾶτο, τὴν τοῦ ἁγίου δηλαδὴ Πνεύματος ἐπισκίασιν ὑποσημαίνων. Ἐν ἡμέρᾳ δέ ποτε τοῦ Πάσχα μάλιστα οὕτω διεκινήθη σφοδρῶς, ὡς πάντας ἱερεῖς καὶ ἀρχιερεῖς, καὶ μάλιστα τοὺς ἐκ τῶν ἄλλων πατριαρχικῶν θρόνων, τὸ μυστήριον ἐκπεπληγμένους, μεγάλῃ φωνῇ δοξάζειν ἐπὶ πολὺ τὸν Θεόν. Οὕτως ὁ μέγας ἱεράρχης ἀχράντου θυσίας ἐν τελειότητι πίστεως γνησίως ἀναφέρων, καὶ ταύταις ἱλασκόμενος τὸν Θεὸν, ἱεροπρεπῶς ἱερούργει τὴν σωτηρίαν τοῦ λαοῦ. Ἀεὶ δὲ τοὺς ἐγγίζοντας αὐτῷ τοιαύταις κατεφώτιζε διδαχαῖς, *Προσέχετε*, λέγων, *ἑαυτοῖς, ἀδελφοὶ, καὶ βλέπετε, πῶς ἀκριβῶς τοῦ βίου περιπατεῖτε τὴν ὁδὸν, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί. Καὶ μὴ γίνεσθε ἄφρονες, ἀλλὰ*
C *συνιέντες τὰ ἀρεστὰ τῷ Θεῷ. Καὶ· Μὴ σχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε*, κατὰ τὸν θεῖον Ἀπόστολον, *τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς καὶ εἰδέναι ὅ τι τὸ θέλημα τοῦ Θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον· καὶ τίς ἡ κλῆσις τῆς πίστεως ὑμῶν καὶ τῆς ἐλπίδος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.* Ἧτω ὁ λύχνος τῆς καρδίας ὑμῶν τῷ Κυρίῳ Πνεύματι ἀεὶ καιόμενος, καθαρὸς, εἰλικρινὴς, ἁπλοῦς ὅλος, διαυγὴς, καὶ φωτοφανὴς, ἵν' ὅλη δι' αὐτοῦ κατα-
D αυγάζηται ὑμῖν ἡ ψυχή. Ἔστω ὁ νοῦς ὑμῖν ἀνατεταμένος ἀεὶ πρὸς Θεὸν, μονότροπος, μονολόγιστος, ἓν ἔργον καὶ μίαν προηγουμένως ἔχων ἐνέργειαν, τὴν θεωρίαν τοῦ ἀγαθοῦ, πρὸς μόνον τὸ φύσει καὶ κυρίως ὂν ἀγαθὸν ἐπεστραμμένος ἀεὶ, καὶ ἐν αὐτῷ ζῶν καὶ κινούμενος καὶ ὤν, αὐτῷ λαμπρυνόμενος καὶ ἀγαθυνόμενος, καὶ κατὰ τὸ ἐφικτὸν ὁμοιούμενος καὶ θεούμενος. Οὕτω γὰρ ὑψοῦ τὸν λογισμὸν αἴροντες, καὶ πάντων μὲν αἰσθητῶν, πάντων δὲ νοητῶν κτισμάτων ὑπεραναβαίνοντες, μόνῃ δὲ τῇ τριαδικῇ θεαρχίᾳ, μόνῃ τῇ ἐν ἀπορρήτοις ἑστώσῃ κρυφιότητι καὶ ὑπερουσιότητι τὸν οἰκεῖον ἱδρυσάμενοι νοῦν· καὶ μίαν μὲν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὥσπερ φύσιν θεότητος, οὕτω καὶ δύναμιν καὶ ἐνέργειαν καὶ δόξαν καὶ μεγαλοπρέπειαν ὁμολογοῦντες καὶ πιστεύοντες· τὸν ἕνα δὲ τῆς τρισυποστάτου θεαρχίας τὸν ἄναρχον καὶ συνάναρχον τῷ Πατρὶ Λόγον τὸν ἀόρατον, τὸν ἀσώματον, τὸν ὁμοφυᾶ τῷ Γεννήτορι καὶ

[8] Ephes. v, 15, 16. [9] Rom. xii, 2. [10] Ephes. i, 18.

Digitized by Google

ὁμοδύναμον, τοῦτον Υἱὸν ἀνθρώπου καθ' ἡμᾶς ἐκ τῆς ὑπεραμώμου γενόμενον Θεομήτορος εἰδότες. Καὶ ἕνα μὲν τῷ προσώπῳ, διπλοῦν δὲ ταῖς φύσεσι καὶ ἐνεργείαις καὶ θελήσεσι κηρύσσοντες· καὶ ταύτῃ σχολάζοντες ἐπιμελέστερον τῇ θεωρίᾳ τῶν θείων καὶ θεολογίᾳ καὶ διὰ τῆς ἱερᾶς τῶν Γραφῶν μελέτης ἀνακαθαιρόμενοι, καὶ δι' ἀενάου προσευχῆς ἁγνιζόμενοι, ὑπεροράσει τῶν ματαίων ὑπερίδωμεν μεριμνῶν, καὶ τοῖς τῆς ἀτιμίας μὴ ὑποκύπτωμεν πάθεσι, καὶ πρὸς ἀνονήτους φροντίδας μὴ καταπίπτωμεν. Καὶ πᾶς θυμὸς θηριώδης, καὶ πᾶσα παράλογος ἐπιθυμία ἀρθήτω ἀφ' ἡμῶν· μᾶλλον δὲ ὁ μὲν θυμὸς ὅπλον ἡμῖν κατὰ τῆς ἁμαρτίας καὶ τοῦ τῆς ἁμαρτίας ἔστω πατρός. Ἡ ἐπιθυμία δὲ πρὸς τὸ κυρίως καὶ ἀληθῶς ἐπιθυμητὸν μετασκευαζομένη πᾶσα, συνεργὸς ἡμῖν γινέσθω πρὸς τήρησιν τῆς Δεσποτικῆς ἐντολῆς. Τοιαύτας οὖν ἔχοντες παραγγελίας, ἀγαπητοὶ, διὰ προφητῶν μὲν πρῶτον, ἔπειτα διὰ τῶν ὑψηλῶν τοῦ Χριστοῦ μαθητῶν καὶ εὐαγγελιστῶν, καὶ διὰ τῶν Πατέρων δὲ μετὰ ταῦτα καὶ ἱερῶν διδασκάλων γινομένας εἰς ἡμᾶς, μᾶλλον δὲ δι' ἑνὸς καὶ τοῦ αὐτοῦ Πνεύματος λαλουμένας ἀεὶ, καὶ πολυτρόπως κηρυσσομένας ἐν ἡμῖν, μὴ καταφρονῶμεν, μηδὲ ῥᾳθύμως καὶ ἐκμελῶς, ἐπιμελῶς δὲ τὴν πρᾶξιν καὶ σπουδαίως μετίωμεν τῆς ἀρετῆς, ἐλεημοσύναις μὲν καὶ πίστει πάσης ἁμαρτίας ἀποκαθαιρόμενοι, ἀγάπῃ δὲ τελείᾳ καὶ ταπεινοφροσύνῃ ἀληθεῖ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἀποδυλιζόμενοι· ἵνα κατὰ πᾶν τὸ θέλημα τοῦ Θεοῦ περιπατήσαντες, ἄξιοι τῆς τοῦ ἐπουρανίου Πατρὸς βασιλείας ἐν Χριστῷ Ἰησοῦ ἀναφανῶμεν. Ἀποθώμεθα τοιγαροῦν πᾶν πάθος, καὶ πάντα πονηρίας ἀποτριψώμεθα λογισμὸν, ἵνα καθαροὶ τῷ καθαριστάτῳ προσενεχθῆναι δυνηθῶμεν. Ἀποῤῥιψώμεθα γαστριμαργίας πάθος ὀλέθριον, ὡς πάσης ἀλλότριον ἀρετῆς, καὶ παντοίας γεννητικὸν κακίας· ἀντ' αὐτῆς δὲ τὴν κοσμιωτάτην ἐγκράτειαν ὡς διπλοΐδα περιθώμεθα, τὴν τῶν ἀγγέλων σύντροφον, τὴν τῶν ἁγίων σύσκηνον, τὴν τῆς ἄνω τερπνότητος πρόξενον καὶ τρυφῆς. Πορνεία δὲ μηδὲ ὀνομαζέσθω ἐν ἡμῖν, οὐ μόνον ἡ κατ' ἐνέργειαν καὶ πρᾶξιν, ἀλλὰ μηδὲ πορνικαῖς φαντασίαις ῥυπαινώμεθα. Πάσῃ δὲ μηχανῇ καὶ σπουδῇ, πάσῃ ταπεινοφροσύνῃ καὶ προσευχῇ τὴν κακὴν ῥίζαν προθέλυμνον ἐκτίλλωμεν, τὴν θολερὰν πηγὴν, τὸ τῆς ἡδονῆς ἐμπύρευμα, τὸ τῆς ἀκολασίας ζώπυρον, τὸ πορνικὸν τῆς καρδίας εἴδωλον πρῶτον ἐξανέλωμεν ἢ μειώσωμεν. Οὕτω γὰρ ἡμῖν τὸ ἱερὸν τῆς σωφροσύνης ἐπανθήσει κάλλος, οὕτω καὶ τὸν νοητὸν Νυμφίον καὶ ἅγιον ἁγιοπρεπῶς ἑαυτοῖς ἐπισπασόμεθα. Φιλαργυρίαν δὲ καὶ πλεονεξίαν πᾶσαν, ὡς εἰδωλολατρείαν ἀποφύγωμεν. Ταυτὸν γὰρ κατὰ τὸν τοῦ Ἀποστόλου πέφυκε νόμον, εἴπερ οἱ ταύτης ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. Εἴπερ οὖν καὶ τῆς σωτηρίου πίστεως ἀλλότριοί, καὶ πολυώδυνον ἡμῖν καθίστησι τὴν ζωὴν, πῶς οὐχὶ φευκτέα μᾶλλον ἁπάντων καὶ βδελυκτὴ τῷ γε μὴ πάντη καπηλικῷ τὴν ψυχήν; Οἱ γοῦν τὸ

A secundum nostram naturam ex immaculata Dei Matre natum, unum quidem persona, gemina porro natura, operatione, voluntate prædicemus : atque his rerum divinarum et theologicarum meditationibus penitus occupati, sacrarumque Litterarum studiis repurgati, atque assidua oratione lustrati, contemptis humanis rebus, curas inanes negligamus, neque nos fœdis cupiditatibus submittamus, neque ad cogitationes stultas prolabamur. Omnis ferina iracundia, omne desiderium a ratione alienum a nobis excludatur : imo ira telum nobis sit in peccatum peccatique auctorem. Cupiditas vero ad verum germanumque bonum translata, ad præcepta Domini custodienda nobis adjutrix fiat. Hæc documenta, dilecti, primum quidem a prophetis, deinde a præ-
B stantibus Christi discipulis et evangelistis, tum vero a Patribus, sive sanctis doctoribus accepta, imo per unum et eumdem Spiritum dictata, variisque modis prædicata, ne contemnamus, nec segniter et ignave exsequamur, sed acriter et studiose virtutis opus persequamur ; ut benignitate in egentes, fideque a peccatis expiati, charitate perfecta, et submissione sincera, ab omnibus animi et corporis inquinamentis defæcati, secundum Dei voluntatem ambulantes, regno supremi Patris in Christo Jesu digni habeamur. Omnes ergo animi vitiositates et malitiæ fibras elidamus, uti puris ad purissimum nobis pateat accessus. Perniciosam ventris ingluviem, veluti pestem virtutis et omnis
C fontem impietatis, procul habeamus : illius loco temperantiam veluti diploidem induamus ; temperantiam, inquam, beatarum mentium sociam, cœlitum contubernalem, cœlestiumque deliciarum ac voluptatum conciliatricem ac pignus. Fornicatio autem ne nominetur quidem in nobis, ut non solum opere et facto, sed ne cogitationum quidem impurarum monstris inquinemur [11]. Totis proinde viribus, omnique connixu, et summa animi depressione, precibusque elementa luxuriæ penitus eradamus, cœnosamque impuritatis scaturiginem, et voluptatis focum, intemperantiæ suscitabulum, idolum cordis obscenissimum evertamus aut minuamus. Sic enim in nobis continentiæ decus efflorescet, sanctumque et divinum spiritalem sponsum ad nos pie san-
D cteque attrahemus. Avaritiam et studium habendi non secus atque idololatriam refugiamus [12]. Idem enim sunt, ut lex Apostoli docet, quando pecuniam appetentes a fide aberrarunt, seipsosque inseruerunt doloribus multis [13]. Cum ergo nobis fidem salutarem tollat, multasque vitæ calamitates pariat ; quomodo non omni ope erit fugienda, et exsecranda ei qui nolit cauponis more animam vendere? Quapropter si conversatio nostra in cœlis est, si cœlum cogitamus, atque ad vitam immortalem ac salutem sempiternam aspiramus [14], habentes victum et amictum, his contenti simus [15]. Sic enim probe instructos expedite arduum virtutis clivum

[11] Ephes. v, 3. [12] Colos. III, 5; Ephes. v, 5. [13] II Tim. III, 2-8. [14] Philipp. III, 20, 21. [15] I Tim. VI, 8.

Digitized by Google

juvabit superare; haud ignaros, ut ales humi retibus implicata ad cœlum eniti non potest, ita perinde fieri nullo modo posse, ut is qui copiis et opibus fortunarum devinctus sit, expedite callem ad cœlum ducentem decurrat [16]. Iram vero, ut insaniæ affinem, ignominiæ parentem, malique dæmonis scintillationem, remis velisque fugiamus, ne hoc olim incendio hauriamur. Sed affectemus mansuetudinem, animi æquitatem, patientiam. Hæc enim sunt vera clementiæ Jesu symbola; et hæc ille cum superessentialiter sit, hæc præcipit. Omnia enim propemodum Christi dominica præcepta continent lenitatis et mansuetudinis, atque in tolerandis malis patientiæ documenta; per quæ et caput omnium virtutum rite constituitur acquiriturque charitas. Mœrorem autem et acediam detestemur, ut quæ viam paliuris obsepiant claudantque. Abjiciamus mœrorem qui fit propter rerum fluxarum non acquisitarum defectum, qui premit mentem, et urit animum, adeoque divexat et affligit, ut non possit in sinceri gaudii largitorem intueri, ad ipsumque in Spiritus sancti gaudio evolare. Abjiciamus tædium, velut pravi mœroris fetum, ignaviæ parentem, et socium desperationis, solutum, remissum, atque ad omnia divina præcepta operaque bona minus idoneum. Imo vero illam pœnitentiæ matrem quæ Deo placet, tristitiam induamus, plenam compunctionis, cœlestique gaudio delibutam. Induamus alacritatem, diligentiam, omnemque cultum virtutis. Simus spiritu ferventes, Domino servientes [17], spe gaudentes, in tribulatione patientes, in oratione perseverantes; ut possimus vanam et exsecratam gloriam, atque hac multo deteriorem ac caput scelerum superbiam, principales diaboli filias in Christo Jesu superare: dum per summam animi demissionem, versutum veteratorem vanæ laudis explodimus et conculcamus, vitiorumque omnium reginam superbiam in fide et virtute Dei prosternimus elidimusque: atque ita totam vitiorum animi sentinam exhaurientes, positis omnibus noxiis affectibus mentis, integritatem sanctam et auctorem integritatis Deum pure induemus. Sicque omni virtutum ornatu exculti dilectus Dei Unigenitus nos diliget [18], et ad nos cum Patre veniet, ut promisit, et mansionem apud nos faciet.

A πολίτευμα ἐν οὐρανοῖς ἀποτιθέμενοι, καὶ πρὸς τὸν ἐκεῖ βίον καὶ τὴν ζωὴν τὴν αἰώνιον μετατατόμενοι, ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκώμεθα. Καὶ γὰρ οὕτω κούφους ἡμᾶς καὶ εὐταλεῖς τῶν ἀρετῶν ἀνιέναι τὴν κλίμακα δεῖ, εἰδότας, ὅτι ὥσπερ ἀμήχανον ὄρνιν ἐπὶ γῆς δεδεμένην ἀναπτῆναι πρὸς οὐρανόν, οὕτως ἀνένδεκτον εἶναι τὸν γηΐνοις κτήμασι καὶ χρήμασιν ἐν προσπαθείᾳ καταδεδεμένον, τὴν πρὸς Θεὸν ὑψοῦσαν εὐθυδόλως οἶμον δραμεῖν. Ὀργὴν δὲ, ὡς ἐκστάσεως οὖσαν παράφυσιν, ὡς ἀσχημοσύνης μητέρα, καὶ ὡς τοῦ πονηροῦ τυγχάνουσαν ἔξαλμα, φυγῇ φύγωμεν, μήποτε τῇ ταύτης ἐξαναλωθῶμεν φλογί. Ἀναλάβωμεν δὲ πραΰτητα, ἐπιείκειαν, μακροθυμίαν. Ταῦτα γὰρ τῆς τοῦ Ἰησοῦ γνωρίσματα φιλανθρωπίας, καὶ ταῦτα ὑπερουσίως B ἐκεῖνος ὢν, ταῦτα νομοθετεῖ. Σχεδὸν γὰρ αἱ ἐντολαὶ πᾶσαι τοῦ Κυριακοῦ στόματος, πραΰτητος διδασκαλία καὶ ἀνεξικακίας εἰσὶν, δι' ὧν καὶ ἡ κορυφαία τῶν ἀρετῶν ἀγάπη συνίσταται καὶ κατορθοῦται. Λύπην δὲ καὶ ἀκηδίαν ἐκτρεπώμεθα, ὡς ἐμπόδιά τε καὶ σκῶλα καθεστῶσας τῆς ὁδοῦ. Ῥίψωμεν λύπην, τὴν δι' ἀποτυχίαν ἢ ἔλλειψιν γεηροῦ πράγματος ἐγγινομένην, καταβαρύνουσάν τε καὶ πυροῦσαν ἡμῶν τὴν ψυχὴν, καὶ οὕτω σκληρῶς ἐκθλίβουσαν καὶ ἐκπιέζουσαν, ὥστε μὴ δύνασθαι πρὸς τὸν δοτῆρα τῆς ἀληθινῆς ἀτενίσαι χαρᾶς, καὶ πρὸς αὐτὸν ἐν ἀγαλλιάσει Πνεύματος ἁγίου δραμεῖν. Ῥίψωμεν ἀκηδίαν τῆς κακῆς λύπης ἔγγονον, τὴν ῥᾳθυμίας μητέρα, τὴν ἀπογνώσεως φίλην, τὴν ἐκλελυμένην, τὴν πάρετον, καὶ πρὸς πᾶσαν ἐντολὴν θείαν, καὶ πρὸς πᾶν ἔργον C ἀγαθὸν ἀδόκιμον. Ἐνδυσώμεθα δὲ μᾶλλον τὴν κατὰ Θεὸν λύπην, τὴν μητέρα τῆς μετανοίας, τὴν κατανύξεως γέμουσαν, τὴν χαρᾶς πλήρη πνευματικῆς. Ἐνδυσώμεθα προθυμίαν, σπουδὴν, εὐσέβειαν πᾶσαν, καὶ ἀρετήν. Καὶ τῷ πνεύματι ζέοντες, τῷ Κυρίῳ δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες, δυνηθείημεν ἂν οὕτω καὶ τῆς ἀνοσίας κενοδοξίας, καὶ τῆς ἀνοσιωτέρας ὑπερηφανίας, τῶν ἀκροτάτων παθῶν, τῶν πρωτογόνων τοῦ διαβόλου θυγατέρων ὑπέρτεροι γενέσθαι ἐν Χριστῷ Ἰησοῦ· καὶ δι' ἄκρας μὲν ταπεινώσεως τὸν πολύπλοκον δαίμονα τῆς κενοδοξίας ἐκκρινόμενοι καὶ συμπατοῦντες, τὸν κολοφῶνα δὲ τῶν κακῶν τὴν ὑπερηφανίαν ἐν πίστει καὶ δυνάμει Θεοῦ D τέλεον ἀνατρέποντες καὶ καταργοῦντες. Καὶ οὕτως ὅλον τὸ σμῆνος τῶν πονηρῶν τῆς ψυχῆς ἀνατρυῶντες Θεὸν καθαρῶς ἐπενδυσόμεθα. Καὶ οὕτως ἡμᾶς διὰ καὶ ἠγαπηκὼς ἐλεύσεται μετὰ τοῦ Πατρὸς, ὡς

παθῶν, τὴν ἱερὰν ἀπάθειαν, καὶ τὸν τῆς ἀπαθείας πάσης κατηρτισμένους ἀρετῆς ὁ Μονογενὴς ἀγαπητὸς ὑπέσχετο, καὶ μονὴν ποιήσει παρ' ἡμῖν.

Hujuscemodi monitis divinus noster Ignatius, hujuscemodi præceptis et documentis utebatur: et separatim quidem religiosos et semotos a turbis viros, ut actioni magis deditos, sermonibus actione firmatis alliciebat, amoremque religiosæ disciplinæ in illis incendebat. Seorsum etiam divitibus præcepta vivendi dabat, ne magnifice et superbe sentirent, neque fluxis rebus et incertis fortunis fide-

Τοιαύταις ἀεὶ παραγγελίαις ὁ θεῖος Ἰγνάτιος, τοιαύταις νουθεσίαις καὶ διδασκαλίαις κεχρημένος, καὶ ἰδίᾳ μὲν τοὺς μοναχικοὺς καὶ ἐρημικοὺς, ὡς πρακτικωτέρους ταῖς ἐμπράκτοις ὁμιλίαις ψυχαγωγῶν, καὶ τὸν πόθον αὐτοῖς τῆς ἀσκήσεως ἐπιτείνων, ἰδίᾳ δὲ τοῖς πλουσίοις παραγγέλλων μὴ ὑψηλοφρονεῖν, μηδ' ἐπ' ἀδηλότητι πλούτου πεποιθέναι· τοῖς ἄρχουσι μὴ φυσιοῦσθαι, μηδὲ κατεπαίρεσθαι τῶν

[16] Coloss. III, 1, 2. [17] Rom. XII, 11. [18] Joan. XIV, 21.

Digitized by Google

πενήτων παραινῶν· ἰδίᾳ δὲ πάλιν ἱερεῖς τε καὶ ἀρχιερεῖς ὡς ἱεραρχικώτατος καὶ γραφικώτατος ταῖς κανονικαῖς θεσμοθεσίαις ἐπανορθούμενος· καὶ πᾶσι, συνόλως εἰπεῖν, δι' ὧν ἐποίει καὶ ἐδίδασκε, τὸν τοῦ Θεοῦ νόμον καὶ τὴν ἐντολὴν ὑποτιθέμενος, εἰς λιπαρὸν ἤδη καὶ πλοῦν ἐληλάκει γῆρας, ἐπεθύμει δὲ τὴν ἀνάλυσιν, καὶ τῶν χρονίων κόπων καὶ νόσων καὶ θλίψεων ἐπόθει τὴν ἀπαλλαγήν. Καὶ μέντοι καὶ τυγχάνει ταύτης, καὶ ἐπ' ἀγαθαῖς ἄγαν ἐλπίσι τοῦ μέλλοντος ἀποτίθεται τὴν παροῦσαν ζωήν. Ἐξίσταται θορύβων καὶ ταραχῆς, καὶ φθόνου, μίσους τε καὶ ἀντιλογίας τῶν ἀτόπων ἀνθρώπων καὶ μοχθηρῶν· ἐν εἰρήνῃ δὲ ἐπὶ τὸ αὐτὸ ἐκοιμήθη καὶ ὕπνωσε· καὶ εἰς χεῖρας Κυρίου τὸ πνεῦμα παραθέμενος, προστίθεται τοῖς ὁσίοις ὁ ὅσιος, τοῖς ἱεράρχαις ὁ μέγας ἱεράρχης, τοῖς ὁμολογηταῖς ὁ ὁμολογητὴς, καὶ μεγάλοις Πατράσιν ὁ ὑπὲρ δικαιοσύνης Θεοῦ καὶ ἀληθείας οὐδενὸς ἧττον ἐκείνων κεκοπιακώς.

Ἄξιον δὲ μηδὲ τὸν τρόπον τῆς αὐτοῦ παραδραμεῖν μεταστάσεως. Ἔκειτο μὲν τὰ τελευταῖα πνέων ὁ ἅγιος, καὶ αὐτὸς κατὰ τὸν μέγαν ἐκεῖνον ὑπὸ τῆς ἄνω χοροστασίας ἐπιζητούμενος· καὶ τὰ τῆς φωνῆς ὄργανα τούτῳ ἤδη παρεῖθη, καὶ ἡ ζωτικὴ δύναμις ἔσβη, καὶ τὰ μέλη νεκρὰ πάντα, καὶ ὅλη τῆς ἐκδημίας ἦν ἡ ψυχή. Καὶ ἰδοὺ ὁ ὑπηρέτης κατὰ τὸν τῆς Ἐκκλησίας τύπον· μέσαι δὲ νύκτες ἦσαν· καὶ μεγάλῃ φωνῇ τὸ, Εὐλόγησον, Δέσποτα, βοῶν ἀνακέκραγεν. Καὶ ὁ μακάριος ἠρέμα τῇ χειρὶ τὸ στόμα σφραγίσας, καὶ τὰ τίμια χείλη βραχὺ κεκινηκώς· μόλις διακουομένῃ τοῖς ἔγγιστα παρεστῶσιν ἐπύθετο τῇ φωνῇ· Τίνος ἁγίου σήμερον μνήμη; Οἱ δὲ, Ἰακώβου, φασὶ, τοῦ ἀδελφοθέου, τοῦ φίλου σου, ὦ δέσποτα. Ὁ δὲ μακάριος πρὸς αὐτοὺς, Τοῦ δεσπότου μου, κατανυκτικῶς ἔφη· λοιπὸν σώζεσθε. Εἶτα λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ ἅμα τῇ δοξολογίᾳ περιαπῆλθε, καὶ τῇ εὐχαριστίᾳ συγκατέληξε τὴν ζωήν. Εὐθὺς οὖν κηδεύουσι τὴν ζωὴν, ὡς ἄν τις εἴπῃ αὐτόν· ζωὴ γὰρ, ἐπεὶ μετέστη πρὸς τὴν ζωὴν, καὶ ἔστι, καὶ γέγονε· καὶ τὴν ἱεραρχικὴν οἱ οἰκεῖοι, ὡς ἔθος, ἀμφιεννύντες στολὴν, ἐπ' αὐτῇ καὶ σεβασμίαν αὐτῷ ἐπωμίδα τοῦ ἀδελφοθέου σεβασμίως ἐπιβάλλουσιν, ἣν πρὸ χρόνων τινῶν ἐξ Ἱεροσολύμων ἀποσταλεῖσαν αὐτῷ οὕτως ἐτίμα καὶ πανευλαβῶς ἐσέβετο, ὡς αὐτὸν ἐκεῖνον Ἰάκωβον τὸν μέγαν Ἀπόστολον καὶ πρῶτον ἱεράρχην ἐν αὐτῇ καθορῶν· ταύτην αὐτῷ διὰ τοῦτο καὶ συνταφῆναι κατεδέξατο. Καὶ μέντοι κατὰ τὴν ἐκείνου μνήμην· εἰκάδι γὰρ τρίτῃ Ὀκτωβρίου καὶ αὐτὸς ἀπῆρε πρὸς Κύριον. Ἔνδειγμα τοῦτο σαφὲς τῆς πρὸς τὸν ἀδελφὸν τοῦ Κυρίου οἰκειώσεώς τε αὐτοῦ καὶ μεταστάσεως. Οὕτω μὲν οὖν τότε τὸ τίμιον ἐκεῖνο δέμας καὶ ἱερὸν ἱερῶς καὶ τιμίως ἐνταφιαζόμενον, γλωσσοκόμῳ ξυλίνῳ κατακρύπτεται, καὶ πρὸς τῷ ναῷ τῆς τοῦ Θεοῦ μεγάλης Σοφίας πρῶτον κατατεθὲν, τῆς προσηκούσης δόξολογίας τε καὶ προσκυνήσεως καταξιοῦται.

rent : principibus, ne fastu turgerent, humiliores-que præ se contemnerent. Sigillatim etiam sacerdotes et antistites ipse maximus antistes divinarum et ecclesiasticarum institutionum cognitione erudiebat. Denique per id omne quod agebat et docebat, cœlestem legem ac præcepta proponebat. Cumque jam ad extremam ultimamque vergeret senectutem, optabat solvi, multorumque laborum ac morborum, atque adeo totærumnarum finem exspectabat, quem tandem etiam est consecutus. Nam spe certa futuræ consequendæ præsentem vitam ponit, turbarumque motus atque invidiæ, odiique et insectationis infelicium et impiorum evadit; atque in pace in idipsum dormit et requiescit, spiritumque in manus Domini commendat; atque apponitur ad sanctos sanctus, ad hierarchas magnus hierarcha, ad confessores confessor, ad magnos Patres ille pro Dei justitia et veritate non minus atque illi certamine fatigatus.

Enimvero par est, ut quo pacto de statione vitæ decesserit, exponamus. Jacebat sanctus extremum ægrumque trahens spiritum, dum et ipse, ut magnus ille (11), a cœlesti choro exspectaretur. Jam vocis instrumenta prope tota ceciderant, vitalisque aura defecerat, omnesque artus exanimati erant; ipsa denique anima nonnisi profectionem spectabat. Cum ecce tibi minister pro ritu Ecclesiæ summa nocte ingenti voce illud solemne : Jube, domine, benedicere, intonat et proclamat : et beatus sensim manu ora signans, modiceque veneranda labia motans, voce intermortua, quam ægre, qui proximi stabant, percipiebant, quærit, cujus ea die memoria sancti celebretur. Jacobi, inquiunt, domine, fratris Domini. Cum magno sensu pietatis inquit : Mei. Valete ergo : tum ait : Benedictus Deus noster omni tempore, et nunc, et semper, et in sæcula sæculorum. Amen. Simulque cum hymno et gratiarum actione animam edidit, mortalemque vitam reliquit. Statim igitur non tam funus, seu mortem dicas, quam vitam curant (nam qui migravit ad vitam, et est, et factus est vita), illumque sacro patriarchæ ornatu ex more domestici vestiunt, et venerandum Jacobi fratris Domini superhumerale cum veneratione illi induunt, quod ante aliquot annos Hierosolymis sibi missum tanta veneratione prosecutus est, ac si ipsum Jacobum apostolum, et primum in eo humerali pontificem spectaret. Hoc propterea voluit ut secum sepeliretur. Et sane illo ipso die memoriæ sancti Jacobi sacro, ipse quoque Ignatius ex hac vita die tertia supra vicesimam Octobris ad Dominum emigravit, certo admodum indicio familiaritatis erga fratrem Domini et migrationis ad illum accepto. Atque sic quidem sacrum illud et venerabile pignus sancte et religiose ad funus compositum, ligneo sarcophago clauditur, atque ad principem Sophiæ ædem deportatum, exsequiis et justis pro dignitate honoratur.

(11) Basilius scilicet, de quo Greg. Naz. sequentia verba protulit orat. fun. in eumdem Basil.

Digitized by Google

Tanta vero pietas populum incesserat, uti et feretri, in quo jacebat, fragmenta reliquiarum loco distraxerit, et velum quo tectus erat, in partes mille discerptum, sacri pignoris loco inter pios sit divisum. Cum ergo corpus ægre e manibus populi esset ereptum, ad nobilem magni martyris Menæ ædem pervenit; ibique aliquandiu depositum, sacris quoque hymnis honorifice, ut par erat, est exceptum. In quo loco binæ feminæ a malis occupatæ dæmonibus, horrendumque exagitatæ, solo tumbæ contactu, spectante universo cœtu, liberatæ, certissimam sanitatem sunt consecutæ; quæ et ingentes Deo magna voce gratias persolverunt. Illinc vero cum familiares nobilem hunc reliquiarum thesaurum navi imposuissent, mareque jam ante vehementer intumuisset, et violenta Noti procella fluctus decumanos tolleret, qui navigationem impedituri viderentur, simul ac sacra arca navem attigit, statim mirum quid est Dominica virtute factum: nam magno illo antistite procellam invisibiliter increpante, fluctibus leniter cadentibus, placida mare constitit aura. Ergo curatores funeris serenatum mare Dominum concelebrando trajiciunt, atque in nobile templum cœlestis militiæ principis atque archangeli ædificatorem illius Ignatium et cultorem deportant, atque ad dexteram ædis partem magna cum veneratione marmoreo conditum tumulo reponunt, morborum nempe variorum medicam quasi officinam, ubi et spiritus infesti pelluntur, omnisque generis ægri (ut compendio dicam) tum corporis, tum animi morbis, cum tumulo admoventur, patenter curantur.

Ita vir Dei in terris multis ærumnis conflictatus, et tanquam aurum in fornace probatus, atque ita dignus Deo exhibitus, cœlestem beatitudinem et honorem in excelsis, quo fruuntur sancti, consecutus est. Stulte vero egerunt tenebræ lumen persecutæ, quod nunquam apprehenderunt: imo tanto magis profuerunt persequendo, quanto magis illud a se vexari putaverunt. Nam dum persequerentur lumen hoc, ut captum conculcarent, et inde illi insultarent, lucem quidem a se quam longissime repulerunt, illamque vel nolentes tanto propius summo bono admoverunt, quanto se magis cum malo extremo deterrimis suis consiliis conjunxerunt.

Ergo Ignatius iterum patriarcha decennio præfuit; tricennium vero, pauloque amplius, universe magnus antistes solium tenuit; annorumque octoginta in pace ad magnum illum pontificem Christum est profectus.

Porro quot ac quantis illum Deus signis ac prodigiis celebrarit, et celebrare semper in illo celebratus Dominus non desinat, non hujus instituti operis est, sed historiæ et justi voluminis labor. Ego de multis pauca (nam singula persequi infinitum sit), quæ tamen Dei gratiam et ipsius fidem mediocriter declarent, compendio exponam.

Puer octennis, sumanum novennis, morbo per-

Ἐπεὶ τοσοῦτον δὲ τὸ εἰς αὐτὸν σέβας ἀνῆπται τοῖς λαοῖς, ὥστε καὶ τὰ ἐπὶ τοῦ σκίμποδος, ἐν ᾧ κατέκειτο, θράνη ἀντὶ λειψάνων διηρπάσθαι, καὶ τὸ ἐπ' αὐτοῦ δὲ κείμενον πέπλον μυρίοις καταδιαιρούμενον τμήμασιν, εἰς ἁγιασμοῦ δῶρον καταμεμερίσθαι τοῖς πιστοῖς· μόγις οὖν τότε τὸ σῶμα τοὺς κρατοῦντας διαφυγὸν, καὶ πρὸς τῷ μεγάλῳ ναῷ τοῦ Μεγαλομάρτυρος καταντῆσαν Μηνᾶ, ἐκεῖ δὴ πάλιν κατατίθεταί τε βραχὺ, καὶ τῆς ἐκ τῶν ὕμνων, ὡς θέμις, τυγχάνει δεξιώσεως. Ὅπου καὶ δύο γυναῖκες ὁμοῦ πονηροῖς πνεύμασιν ὀχλούμεναι, καὶ δεινῶς ἀναβρασσόμεναι, ὡς μόνον ἅψασαν τῇ τοῦ ἁγίου σορῷ, ἐνώπιον παντὸς τοῦ λαοῦ κατέστησαν ὑγιεῖς, ἀναντιῤῥήτου τυχοῦσαι τῆς ἰάσεως, καὶ μεγάλῃ φωνῇ δοξολογοῦσαι τὸν Θεόν. Ἐντεῦθεν τῶν περὶ αὐτὸν ἐν πλοίῳ καταθεμένων τὸν πολύτιμον θησαυρὸν, τῆς θαλάσσης μὲν τότε κορυφουμένης, ἐν ἀνέμῳ δὲ Νότῳ βιαίῳ τῶν κυμάτων εἰς ὕψος αἰρομένων, καὶ ἀπρόσιτον ὑποδεικνύντων τὸν πλοῦν, ὡς μόνον ἡ θεία σορὸς ἐκείνη ἐπιβέβηκε τῆς νηὸς, ἣν ὁρᾷν παραυτὰ γινομένην Δεσποτικὴν θαυματουργίαν. Ἀορά̃τως γὰρ ὑπὸ τοῦ μεγάλου ἀρχιερέως τῆς καταιγίδος ἐπιτιμωμένης, ἴστατο μὲν εἰς αὖραν ἡ θάλασσα, τῶν κυμάτων δὲ κατασιγαζομένων, οἱ τοῦ ἁγίου θεραπευταὶ ἐν γαλήνῃ διαπεραιούμενοι καὶ δοξάζοντες, καὶ πρὸς τῷ ἱερῷ καὶ παγκάλῳ τοῦ ἀρχιστρατήγου ναῷ τὸν πιστότατον οἰκοδόμον ἐκείνου καὶ λάτριν ἀγαγόντες, πρὸς τοῖς δεξιοῖς σεβασμίως ἐν μαρμαρίνῃ κατατιθέασι σορῷ, νόσων τε παντοδαπῶν ἰατήριον, καὶ πνευμάτων πονηρῶν ἐλατήριον, καὶ συντόμως εἰπεῖν, παντοίων παθῶν ψυχῆς τε καὶ σώματος τοῖς ἐγγίζουσιν ἀλεξητήριον.

Οὕτως ὁ ἱερὸς τοῦ Θεοῦ ἄνθρωπος διὰ πολλῶν θλίψεων ἐν γῇ πειρασθεὶς, καὶ ὡς χρυσὸς ἐν χωνευτηρίῳ δοκιμασθεὶς, καὶ ἄξιος οὕτως ἀποδειχθεὶς τοῦ Θεοῦ, τῆς οὐρανίου μακαριότητος καὶ τῆς ἐν ὑψηλοῖς τῶν ἁγίων κατηξιώθη τιμῆς. Ἐματαιώθη δὲ ἡ σκοτία, διώξασα μὲν τὸ φῶς, οὐ καταλαβοῦσα δέ. Τοσούτῳ δὲ μᾶλλον εὐηργέτησεν, ὅσῳ πλέον ᾠήθη λυπεῖν. Διώκουσα γὰρ, ἵνα πατήσῃ καὶ κατακαυχήσηται, ἑαυτῆς μὲν τὸ φεῦγον ἐμάκρυνε, προσεγγίσαι δὲ παρεσκεύασε καὶ μὴ βουλομένη τῷ ἀγαθῷ τοσοῦτον, ὅσον ἑαυτὴν τῷ κακῷ διὰ τῆς πολυμηχάνου στραγγαλιᾶς προσῳκειώσατο.

Δέκα μὲν οὖν ἔτη τὸ δεύτερον, τὰ πάντα δὲ τριάκοντα καὶ μικρόν τι πρὸς, ὁ μέγας ἀρχιερατεύσας Ἰγνάτιος, ὀγδοηκοστὸν δὲ ἤδη γεγονὼς ἔτος, ἐν εἰρήνῃ πρὸς τὸν Ἀρχιερέα τὸν μέγαν ἀνελήφθη Χριστόν.

Ὅσοις μὲν οὖν καὶ ἡλίκοις αὐτὸν τεραστίοις ὁ ἐν αὐτῷ δοξαζόμενος ἐδόξασε Κύριος, καὶ ἔτι δὲ δοξάζων οὐ διαλιμπάνει, ἱστορίας ἔργον, καὶ οὐ τοῦ παρόντος ἂν εἴη διηγεῖσθαι καιροῦ. Ὀλίγα δὲ ἐκ πολλῶν, καὶ ὅσα τὴν αὐτοῦ μὲν πίστιν, τὴν τοῦ Θεοῦ δὲ ἐν αὐτῷ χάριν μετρίως ὑποδείκνυσιν, ἐπιτόμως ὑπομνήσαντες, τὰ κατὰ μέρος ὡς ἀριθμὸν ὑπερβαίνοντα παρήσομεν.

Παῖς γὰρ ὡς ὀκτὼ ἢ καὶ ἐννέα καθεστὼς χρόνων,

Digitized by Google

πνεύματι ἀσθενείας πληγείς, καὶ ἀθρόως παρεθείς ὅλος, οὐ μόνον ἄναυδος πάντη καὶ ἀνήκοος, ἀλλὰ δὴ καὶ ἀκίνητος ὁλοτελῶς γεγονώς, καὶ ὑπὸ τῶν ἰδίων αὐτοῦ βασταζόμενος, τῷ κοινῷ τῶν πιστῶν ἰατρείῳ, τῷ ἱερῷ τοῦ Θεοφόρου Πατρὸς προσρίπτεται τάφῳ. Δι' ἡμερῶν δὲ τεσσάρων τῆς τοῦ ἁγίου καταξιωθείς ἐπισκέψεως, ἐξαπίνης ἰδίοις ἐξανέστη ποσὶ, καὶ δι' ἑαυτοῦ τὴν τοῦ ναοῦ πύλην ἀνοίξας, καὶ ὑγιὴς ὅλος ἐξελθὼν ἔξω, ἐλάλει τοῖς παροῦσι καὶ ἤκουεν, εὐλογῶν τὸν Θεὸν, καὶ τὰ θαυμάσια ἀναγγέλλων τοῦ ἁγίου.

A culsus, ac totus repente fractus, non solum usum linguæ et aurium amiserat, sed membris omnibus captus, a suisque gestatus, ad communem credentium, sacramque curationum officinam, ad sancti (inquam) Patris tumulum projicitur: quartoque die sancti auxilio dignatus, confestim suis insistens vestigiis consurrexit; portaque sua manu aperta, sanus integerque egressus, obviis quibusque loquebatur, et audiebat, immensas Deo gratias agens, et sancti enarrans miracula.

Ἄλλος, πλὴν ἐξ ἐπηρείας, οἶμαι, καὶ τοῦτο τοῦ πονηροῦ, ἐπιληψίας ἐαλωκὼς πάθει, δεινῶς ἐξανέστραπτο μὲν τὸ στόμα, παρῄρητο δὲ καὶ τοῦ κατὰ φύσιν φθέγματος τὴν φωνὴν, ὡς ἐλεεινόν τε αὐτὸν καὶ δυσέντευκτον θέαμα προκεῖσθαι. Οὗτος ἐπεὶ ἀδιστάκτῳ πίστει ἐπεκαλεῖτο τὸν ἅγιον, ὁρᾷ μὲν αὐτὸν ὄναρ ὥσπερ τὴν κλεῖδα κατέχοντα τῇ χειρὶ, καὶ ταύτην τῷ στόματι αὐτοῦ ἐπεμβαλόντα, καὶ ὡς δῆθεν θύραν ἀνοίγοντα, συστρέψαι, καὶ πρὸς αὐτὸν εἰπεῖν· Εἰ οἶδας, τίς εἰμι ἐγώ; Τὸν δὲ μὴ εἰδέναι φάμενον, ἀκοῦσαι πρὸς αὐτοῦ, ὡς αὐτὸς εἴη Ἰγνάτιος πατριάρχης· Καὶ ἰδοὺ, φησὶν, ἀπὸ τοῦ νῦν καθέστηκας ὑγιής· Ἔξυπνον δὲ τοῦτον γενόμενον, ὑγιῆ παντελῶς ἑαυτὸν εὑρεῖν, ὡς μηδέποτε ἴχνος τοιαύτης ἐωρακότα κακώσεως.

B Alius invidia, reor, cacodæmonis epilepsia vehementer correptus, os fœde distorserat, et naturali vocis sonitu orbatus erat, ut miserabile juxta ac triste spectaculum oculis proponeretur. Hic firmissima fide, ope sancti implorata, per nocturnam speciem videt Ignatium manu clavem gestantem, et ori suo admoventem, ac vertentem, quasi inde januam aperiret, ad se dicere: Nostin' qui sim? negantem, postea audivisse ab illo, Ignatium esse patriarcham. Et ecce jam nunc, inquit, es curatus. Postea experrectum, adeo salvum et incolumem repertum, uti ne vestigium quidem in se morbi deprehenderet.

Ἄλλος πάλιν νόσῳ κοιλιακῇ περιπεσὼν, καὶ πρὸς ταῖς ἐσχάταις ἠγγικὼς δι' αὐτὴν ὥραις, τῆς μὲν ἀπὸ τῶν ἰατρῶν βοηθείας λοιπὸν ἀπέγνω, τὸν ἅγιον δὲ πόῤῥωθεν ἐξ ὁλοκλήρου πίστεως ἀνακαλούμενος, ὁρᾷ μὲν τοῦτον ὄναρ αὐτῷ παρεστῶτα, καὶ εὐθυμεῖν ἐπαγγελλόμενον. Αὐτίκα δὲ τῆς ῥύσεως ἀναξηρανθείσης τῆς γαστρὸς, εἰς τροφῆς ἔφεσιν ὁ κάμνων καὶ τελείαν ὑγείαν ἀποκαθίσταται.

C Alius item dyssenteria laborans jam in extremis erat, et a medicis conclamatus: qui tamen, ut sancti opem e longinquo plena fide implorabat, spectat hunc per somnum sibi assistentem, bonumque animum habere jubentem, et illico siccata alvus constitit, cibique orexis reversa, hominem perfectæ restituit incolumitati.

Πάλιν γυνή τις ἀνδρὶ νομίμως συνοικοῦσα, καὶ παίδων μήτηρ γεγονυῖα τριῶν, ξηρὰν πάντη καὶ ἄνικμον προέβαλλε τὴν θηλὴν, ὥστε τὰ ὑπ' αὐτῆς τικτόμενα βρέφη παραυτὰ ξέναις ἐκδίδοσθαι τιθηνεῖσθαι τροφοῖς, ἕως ἐπὶ νοῦν ἦλθε τοῖς οἰκείοις αὐτῆς τῷ ἁγίῳ προσδραμεῖν. Καὶ δὴ τῶν ἁγίων αὐτοῦ τριχῶν ἀπομυρισθεισῶν, καὶ τῇ ἀρτιτόκῳ πιεῖν δεδωρημένων, ἐπὶ τοσοῦτον εὐθὺς γαλοῦχος ἀπεφάνθη, ὡς καὶ πολὺ πλέον τῆς χρείας τὸ γάλα τῶν μαζῶν καταῤῥεῖν. Καὶ τοῦτο οὐκ εἰς μίαν μόνην φασὶ γυναῖκα γεγονέναι, ἀλλὰ καὶ εἰς ἑτέραν πάλιν τῷ αὐτῷ κάμνουσαν ἀῤῥωστήματι τῆς φύσεως, διὰ τῆς ὁμοίας τῶν ἁγίων τριχῶν ἀπομυρίσεως τῆς ὁμοίας ἴασεως τυχεῖν.

D Femina quoque nupta viro, triumque liberorum parens, aridis semper et siccis erat papillis, ita ut statim partus suos cogeretur alienis nutricibus alendos committere; donec propinquis venit in mentem, ut ad sanctum properarent: ubi absterso e sancti viri coma liquore, et recens enixæ ad sorbendum propinato, subito tanta lactis copia redundare visa est, ut plus quam fuerit necesse, papillæ lactis suppeditarent. Atque id non ei soli, sed alteri quoque eodem naturæ laboranti morbo narratur accidisse, quæ pariter ex eodem capillamenti illius desumpto liquore sanitatem recuperarit.

Ἄλλη δὲ πάλιν γυνὴ τῶν εὐγενῶν καὶ περιφανῶν, καὶ αὐτὴ νομίμως ἀνδρὶ ἐπιδόξῳ συνοικοῦσα, ἐν ἔτεσι πλείοσι στεῖρα καὶ ἄπαις ἐγνωρίζετο. Τοῦ ἀνδρὸς δὲ πίστει τῷ τάφῳ προσπεπτωκότος τοῦ ἁγίου, καὶ ἔλαιον ἅγιον ἐκεῖθεν εἰληφότος τῇ γυναικὶ, κἀκείνης ἐκ πίστεως ἀλειψαμένης, καὶ τὴν τοῦ μεγάλου ἀρχιερέως εὐχὴν ἐπικαλεσαμένης, παραυτίκα τῶν τῆς στειρώσεως ἀπελύθη δεσμῶν, καὶ λοιπὸν τέκνων πλειόνων ἀναδείκνυται μήτηρ.

Alia nobilis item et illustris matrona, quæ nobili viro in matrimonium collocata, pluribus annis infecunda sterilisque erat, mariti fide ad cineres viri sancti procumbentis, oleoque sancto indeuxori allato, atque ex fide allito, illa magno pontifice suppliciter invocato, fecunda subito reddita, prolem edidit numerosam.

Αλλ' οὐ μόνον τοῖς τῷ ἱερῷ τάφῳ πελάζουσιν αἱ θαυματουργίαι τοῦ ἱεράρχου πηγάζουσιν· ἀλλ' ἤδη

Enimvero non ii duntaxat, qui sacram complexi tumbam, hæc miracula sunt experti: peregrinis

Digitized by Google

etiam, et ultima terrarum incolentibus, Deo plenus Pater adest imploratus. Cujus rei amplissimus testis prætor est Siciliæ, qui id sanctissime juratus affirmavit. In Agarenos (Siciliam invadentes) pugnaturus, cum ingenti cura pavoreque angeretur, magnum Ignatium in auxilium ardentibus votis invocat: qui (inquit prætor) manifestus in aere velut albo insidens equo me monuit, ut in dexteram partem flecterem agmen, illicoque gloriam Dei me visurum. Quod cum præfectus Musilices nomine fecisset, ingenti prælio devictos hostes cepit.

καὶ τοῖς ἐπ' ἀλλοδαπῆς γῆς, καὶ τὰ ἄκρα τῆς οἰκουμένης οἰκοῦσιν, ἐπικαλουμένοις ὁ θεόληπτος Πατὴρ ἐπιφαίνεται. Καὶ τούτου μάρτυς ἡμῖν ἀψευδὴς ὁ τῆς Σικελίας στρατηγὸς, φρικτοῖς ὅρκοις πληροφορῶν, ὡς μέλλων εἰς πόλεμον συμβαλεῖν ἐν Σικελίᾳ τοῖς Ἀγαρηνοῖς, καὶ ἀγῶνι πολλῷ συνεχόμενος, καὶ τὸν μέγαν Ἰγνάτιον εἰς συμμαχίαν θερμῶς ἐπικαλούμενος, Εἶδον, φησὶν, αὐτὸν ὀφθαλμοφανῶς ἐπὶ τοῦ ἀέρος ὥσπερ ἐφ' ἵππου λευκοῦ καθήμενον καὶ παρεγυώμενον, πρὸς τοῖς δεξιοῖς μέρεσιν ἰδηγεῖν τὸν στρατὸν, καὶ τὴν δόξαν εὐθὺς καθορᾷν τοῦ Θεοῦ. Ὁ καὶ πεποιηκότα τὸν στρατοπεδάρχην (Μουσιλίκης δὲ ὄνομα τῷ ἀνδρὶ), κατακράτος τοὺς ὑπεναντίους ἐλεῖν.

Quo pacto vero feminæ alterius admirandum casum, et stupendum amplius viri sancti in illa auxilium reticebimus? Quæ cum marem ferret utero, et jam doloribus partus proximis urgeretur, puer in pedes editus, et hærens progredi non potest amplius: parturienti interim acutissimi intolerandique cruciatus augentur. Cumque jam in eo res esset, ut femina simul cum puero interiret, medici vulnerarii adsunt, ut fetum membratim divisum per partes extrahant. Sed meliore providentia numinis, magnum nostrum miraculorum patratorem in memoriam revocant. Et forte quidam ex præsentibus minimam ex reliquiis veli illius partem in funeris cura ante populis fidelibus distributi profert, Ignatiique ope implorata, ad ilia admovet, feminaque tacta solum, infans repente in caput versus, indeque salvus et incolumis editus, Ignatius a parentibus, ut ab ipso nomine sibi impositio redirct in memoriam miraculi a patriarcha perpetrati, est appellatus. Et hoc cur apostolicis illis prodigiis inferius ducatur? Quid Petri et Pauli virtuti cedit? Vis enim Spiritus sancti in illis efficiebat, ut sudaria et semicinctia illorum ingentia signa ederent. Hæc eadem modo per apostolicum hunc virum, novum vere deiferum, effecit, ut velamenta feretri, quæ sacras illas reliquias tantum contigerant, compedesque ferreæ, quibus impii homines sacros illius pedes presserant, non minora ad Dei laudem fideliumque salutem fecisse credantur.

Πῶς δὲ τὸ τῆς γυναικὸς ἐκείνης θαυμάσιον πάθος, καὶ τὴν θαυμασιωτέραν ἐπ' αὐτῇ τοῦ ἁγίου παραδοξοποιΐαν σιωπήσαιμεν; Ἥτις ἄῤῥεν ἐγκυμονοῦσα, καὶ ὠδίνουσα ἤδη πρὸς τὸ τεκεῖν, ἐπειδὴ ἐπὶ πόδας τὸ βρέφος κατηνέχθη, οὔτ' αὐτὸ προελθεῖν ἔτι δυνατὸν ἦν, καὶ τῇ τικτούσῃ ὀξυτάτας καὶ ἀνυποίστους τὰς ἀλγηδόνας προσετίθη. Καὶ ἐπεὶ εἰς ἀμηχανίαν περιέστη τὸ πρᾶγμα, ἵνα μὴ καὶ ἡ γυνὴ συναπόληται, παρῆσαν μὲν ἰατροὶ χειρουργεῖν τὸ ἔμβρυον, καὶ ἐξέλκειν τεμνόμενον μεληδόν. Προνοίᾳ δὲ θειοτέρᾳ τοῦ καθ' ἡμᾶς ὑπεμνήσθησαν μεγάλου θαυματουργοῦ. Καί τις ἐκ τῶν παρόντων λείψανον ἔχων τοῦ πέπλου βραχύτατον, τοῦ κατὰ τὴν ἡμέραν τῆς αὐτοῦ κηδείας ἐκ πίστεως καταμεμερισμένου τοῖς λαοῖς, καὶ τοῦτο προαγαγὼν, καὶ τὸν ἅγιον ἐπικαλεσάμενος, ἐπειδὴ μόνον τῇ ὀσφύϊ περιῆψε τῆς γυναικὸς, περιέστραπται μὲν τὸ βρέφος εὐθὺς ἐπὶ κεφαλὴν, ἀκινδύνως δὲ λοιπὸν γεννηθὲν, Ἰγνάτιος πρὸς τῶν γεννητόρων κατωνόμασται, εἰς ὑπόμνησιν ἧκων διὰ τοῦ ὀνόματος τῆς ἐπ' αὐτῷ γενομένης διὰ τοῦ πατριάρχου θαυματοποιΐας. Τοῦτο τί τῶν ἀποστολικῶν τεράτων ἀπολείπεται; Τοῦτο τί τῆς ἐν Πέτρῳ καὶ Παύλῳ δυνάμεως ἐνδεΐ; Ἡ γὰρ ἐν ἐκείνοις ἐνεργοῦσα χάρις τοῦ Πνεύματος, ὡς καὶ διὰ τῶν σουδαρίων καὶ σιμικινθίων ἐκείνων θαυμασιώτατα δρᾷν, αὕτη καὶ νῦν διὰ τοῦ ἀποστολικοῦ τούτου ἀνδρὸς, νέου ὡς ἀληθῶς θεοφόρου, καὶ διὰ τῶν ἐπὶ τοῦ ἀκίμποδος ἱματίων τῶν τῷ ἱερῷ λειψάνῳ ἐγγισάντων, καὶ διὰ τῶν σιδηρῶν κλοιῶν, οἷς τοὺς ἱεροὺς πόδας ἄνδρες κατέκλεισαν ἀσεβεῖς, τὰ ὅμοια πιστεύεται δρᾷν εἰς τὴν τοῦ Θεοῦ δόξαν, καὶ σωτηρίαν τῶν πιστῶν.

Mitto dicere, quot renum doloribus confectos toto animo rogatus curarit, quot elaphanticos seu leprosos absterserit, quod cæcos illustrarit, fractos et jacentes erexerit, et qua manibus, et qua pedibus aridos restituerit. Prætereo febrientes, aut ab improbis spiritibus tortos, quot sanarit, hodieque sanet, ac per veneranda vincula omnes prope morbos, omnesque ægritudines pellat curetque eorum omnium, qui sincera fide ad sacrum illius tumulum confugiunt. Neque sane, quamvis volens, possim omnia dicendo percensere. Unum tamen illud miraculum adjungentes, pauca ex iis quæ post viri sancti mortem evenisse narrantur, historiæ adjiciemus. Etenim quo pacto Lydi illius sacellarii

Ἐῶ λέγειν, ὅσους νεφριτικῷ τετρυχωμένους νοσήματι, καὶ ἐκτενῶς ἐπικαλεσαμένους ἐθεράπευσεν· ὅσους λεπροὺς καὶ ἐλεφαντιῶντας ἐκαθάρισε, καὶ τυφλοὺς ἐφώτισε, καὶ παρειμένους ἀνώρθωσε, καὶ ξηρὰς χεῖρας καὶ πόδας ἔχοντας ἰάσατο. Ἀφίημι καὶ ὅσους ὑπὸ πυρετοῦ καὶ ῥίγους τρυχομένους, καὶ ὅσους ὑπὸ πνευμάτων πονηρῶν ἐταζομένους ἄχρι καὶ τήμερον ἴαται, καὶ διὰ τῆς τιμίας ἀλύσεως πᾶσαν, ὡς εἰπεῖν, νόσον καὶ πᾶσαν μαλακίαν ἀποκαθαίρων τῶν ἐν ἀληθείᾳ καὶ πίστει προσφευγόντων τῇ ἁγίᾳ θεραπεύει σορῷ. Οὐδὲ γὰρ εἰ βουληθείημεν, ταῦτα τῷ λόγῳ δυνατὸν ἐξαριθμεῖσθαι. Ἑνὸς δὲ ἔτι μνημονεύσαντες τῶν θαυμασίων, ὀλίγα τῶν μετὰ τὴν τοῦ ἁγίου κοίμησιν ἱστορουμένων ἔτι τῷ λόγῳ

Digitized by Google

συνάψομεν. Πῶς γὰρ τοῦ Λυδοῦ σακελλαρίου σιωπῇ τὸ πρᾶγμα παραπέμψομεν; ὃς ὑποβολῇ Φωτίου τοῦ ἀναιδοῦς εἰς τὸ μοναστήριον εἰσελθών, ὥστε πάντας τοὺς τῷ ἁγίῳ τάφῳ προσλιπαροῦντας ἀσθενεῖς μετὰ μαστίγων ἐξῶσαι καὶ ὕβρεων· καὶ τοῦτο δεδρακὼς, προστίθησι κακὸν τῷ κακῷ, καὶ προστάσσει πλησιαίτατα τοῦ ἱεροῦ τάφου κατορύσσειν, καὶ εἰς βάθος ἀνασκάπτειν τὴν γῆν, πρόφασιν μὲν, ὡς ἐν αὐτῷ τῷ τόπῳ πρώην ὑπὸ τοῦ πατριάρχου χρυσίου κατακρυβέντος· πολλοῦ, τὸ δ' ἀληθὲς, ὡς ἂν ἀτιμίαν τῷ τιμίῳ λειψάνῳ προστρίψαιτο. Οὕτως αὐτῷ ὁ φθόνος πάντη κατακεκυριευκὼς τῆς μανιώδους ψυχῆς, οὐδὲ μετὰ τὸν θάνατον ἠρεμεῖν εἶα. Ἅμα δὲ τῷ λόγῳ τοῦ ἀθεμίτου ἐκείνου προστάγματος, καὶ θεήλατος τὸν ἀσεβῆ μετῆλθεν ὀργὴ, ἐνταῦθα μόνον οὐκ ἀνασχομένης ἐπ' αὐτῷ τῆς τοῦ Θεοῦ μακροθυμίας, ἀλλ' ὀξυτάτην ἐνδίκως ὑπενεγκούσης τὴν τομήν. Εὐθὺς οὖν μεγάλα βρῶν ὁ σοβαρὸς, οἷα σφαγιαζόμενος, ἄνωθέν τε καὶ κάτωθεν τῷ οἰκείῳ αἵματι κρουνηδὸν περιῤῥαινόμενος, καὶ φοράδην οἴκαδε ἀναγόμενος, ἄφωνος ἐν ἡμέραις τέσσαρσιν ἀπέψυξε τιμωρούμενος.

A facinus silentio prætereamus? qui ab impudente Photio submissus in cœnobium venit, ut ægros omnes ad sepulcrum illius supplicantes, conviciis et flagris exigeret. Quo facto scelus addit sceleri: terram enim proximam sacræ tumbæ alte jubet effodi; in speciem quidem, quasi ingentem auri vim patriarcha illic condiderit; reipsa autem, ut sacris ossibus contumeliam irrogaret, adeo animum hominis furiosum invidia occuparat, uti ne post mortem quidem (Ignatii) ab illo cesserit. Simul ac enim hoc ille verbo impie edixerat, vindicta Numinis impium prosecuta est: hic duntaxat Dei patientia se diutius continere non potuit, sed e vestigio plagam inflixit. Ergo superbus ille horrendum boans, et tanquam victima supra infraque sanguine B diffluens, domumque delatus, clinguis intra quatriduum a Deo punitus exspiravit.

Τοιαῦτα τοῦ ἡμετέρου Πατρὸς τὰ διηγήματα· τοιαῦτα τοῦ καλοῦ ποιμένος τὰ προτερήματα. Οὕτως ὁ μακαριώτατος καὶ ζῶν ἐπὶ γῆς ἐννομώτατός τε ἦν καὶ χριστοφιλέστατος, πάντα λέγων καὶ πράττων εἰς δόξαν Θεοῦ καὶ τῆς Ἐκκλησίας οἰκοδομήν· καὶ πρὸς Θεὸν μεταστὰς, ὠφελιμώτατος καὶ σωτήριος, ὡς ἀμέσως ἐντυγχάνων ὑπὲρ ἡμῶν τῷ Θεῷ.

Hæ sunt rerum a Patre nostro gestarum narrationes, hæc boni pastoris prærogativæ. Ita beatissimus ille dum in terris ageret, se quam sanctissime religiosissimeque gessit, rebus omnibus ad Dei laudem et Ecclesiæ ædificationem relatis: et per mortem ad Deum profectus, nobis apud illum salutaris juxta ac utilissimus est patronus, ut qui Deo præsens citra ullum medium interpellat pro nobis.

Τί δὲ ὁ λεγόμενος Φώτιος; ἆρα τὴν ἐπ' αὐτῷ γενομένην κρίσιν ὡς ἔνδικον καταδεξάμενος, τῶν πολυπλόκων ἀπέσχετο διαβουλίων; ἢ ὑπὸ τὴν κραταιὰν τοῦ Θεοῦ χεῖρα ταπεινωθεὶς, τῆς θείας ἑαυτὸν ῥοπῆς ἐξῆψε λοιπόν; ἢ τέλεον μὲν τῆς αὐτοῦ κακομηχανίας οὐκ ἐξέστη, μετριώτερος δὲ ἑαυτοῦ καὶ ἐπιεικέστερος διὰ τῆς κατακρίσεως κατέστη; Οὐδαμῶς. Πάντα δὲ τὸν δεκαετῆ χρόνον τῆς ὑπερορίας, μυρίας κατὰ τοῦ ἁγίου κακονοίας κινῶν, ἐπειδὴ πανταχόθεν ἀνάλωτον αὐτὸν ἑώρα καὶ ἄληπτον, τοῦ βασιλέως ἐφ' ἑαυτὸν τὴν εὔνοιαν ἐπισπάσασθαι μηχανᾶται· καὶ πᾶσαν μὲν βουλὴν, πᾶσαν δὲ τριβὴν λογισμῶν πρὸς τοῦτο κινῶν, εὗρεν ὁδὸν λοιπὸν, δι' ἧς τῆς ἁπλότητος, ἤτοι κουφότητος κατωρχήσατο τῆς βασιλικῆς· καὶ σκοπεῖτε ὡς πιθανὴν, καὶ τῆς ἐκείνου ψυχῆς ἀξίαν. Τῶν ὀνομάτων γὰρ ἕκαστον περισκεψάμενος, αὐτοῦ τε, φημὶ, Βασιλείου τοῦ βασιλέως, Εὐδοκίας τε τῆς αὐτοῦ γαμετῆς, καὶ τῶν παίδων, Κωνσταντίνου, Λέοντος, Ἀλεξάνδρου, καὶ Στεφάνου· ἐξ ἑκάστου δὲ τὸ πρῶτον γράμμα λαβὼν καὶ συντιθεὶς, ἐντεῦθεν λαμβάνει τῆς ἀπάτης τὴν ἀφορμήν. Ἱστορίαν γὰρ, ἤτοι γενεαλογίαν τὴν μήτ' οὖσαν, μήτ' οὖν ποτε γενομένην ἀναπλάσας, Τηριδάτην μὲν ἐκεῖνον τὸν μέγαν Ἀρμενίων βασιλέα, τὸν ἐπὶ τοῦ ἱερομάρτυρος λέγω Γρηγορίου, προπάτορα τίθεται τῷ λόγῳ, ἐξ ἐκείνου δὲ τὴν γενεαλογίαν ὀνόμασιν, οἷς ἠθέλησεν, ἐπισυνείρων, καὶ ἄλλους ἐξ ἄλλων τῇ πλασματώδει κατάγων ἱστορίᾳ, ἡνίκα δὴ πρὸς τὸν πατέρα κατῆλθε Βασιλείου, τοῦτον ἔγραψεν, ὡς ἄνδρα γεννήσει τοιοῦτον, οἷος αὐτὸς Βασίλειος

Quid autem is qui dicitur Photius? an judicium de se rite factum est veritus, atque impia consilia C abjecit? An sub potenti manu Dei humiliatus, divinæ se deinceps voluntati commisit? An perseveravit quidem in improbis machinationibus suis semper, sed ex damnatione sui scipso æquior et modestior est redditus? Nihil minus. Toto illo decennali exsilio insidias adversus sanctum impia mente molitus est. Cumque illum irretire capereve nullo modo posset, imperatoris animum sibi conciliare tentat. Ergo artibus omnibus strophisque in consilium abhibitis, reperit viam, qua imperatoris simplicitatem levitatemque caperet, et vide quam probabilem et ipsius ingenio dignam. Observatis enim nominibus singulorum, ipsius, inquam, imperatoris Basilii, et Eudociæ Augustæ conjugis, liberorumque, Constantini, Leonis, Alexandri, Stephani; ex primis singulorum nominum litteris compositis componendæ fraudis occasionem arripit. Historiam enim, sive genealogiam, quæ nusquam est, aut fuit, contexens, Tiridatem illum inclytum Armeniæ regem, qui sancti Gregorii martyris ævo imperitavit, stirpis caput fingit. Ex illo, nominibus pro arbitratu excogitatis, gentem deducit, et alios ex alio fabulosa narratione condit. Quando demum ad parentem Basilii pervenit, scripsit, nasciturum ex eo talem plane virum, qualis ipse erat Basilius, eique nomen esse Beclas; quem omnium retro regum felicissime et diutissime regnaturum vaticinatur: innumeraque menda-

Digitized by Google

cia, quibus auditorem capi intelligebat, in librum suum concenturiat, et litteris Alexandrinis in vetustissima charta ad ipsam antiquitatis speciem expressis conscribit, atque theca, seu tegumento ex antiquissimo codice detracto vestit, atque in illa nobili palatinaque bibliotheca clam reponit.

Administer et fidus illi in hac scena et fabula Theophanes erat, palatinus ea tempestate clericus, habensque apud imperatorem eruditionis opinionem, ac postea in improbæ operæ præmium episcopus Cæsareæ Cappadociæ creatus. Hic commentitium hunc libellum in bibliotheca, ut dictum est, repostum, opportuno tempore extrahit, imperatorique librum, velut cæteris omnibus admirabiliorem et arcanis refertiorem, exhibet : simulatque neque se, neque mortalium quemquam ejus mysteria, præter unum Photium, assequi posse. Ergo extemplo ad Photium mittitur. Prætexit ille, nulli posse arcanum illud, nisi soli imperatori committi, de quo illud ipsum perscriptum esset. Quid igitur? capitur imperatoris salicitas hac fabula, et cum Photio in gratiam redit. Solent enim faustæ, quamvis vanissimæ prædicationes excelsam et gloriæ appetentiorem indolem eludere et enervare, penitusque in suam potestatem redigere. Hæc inter Basilium et Photium origo familiaritatis. Hinc Ecclesiæ tranquillus status funditus eversus. Hæc primæ turbæ et dissensionis redintegratio. Hinc assiduus in palatio Photius benevolentiam imperatoris furtim colligebat, et demum suis præstigiis et morum illecebris totum sibi virum vindicavit. Exstitit mox et alia necessitudinis occasio, Theodorus ille habitu vesteque in speciem monachus, omnium autem improborum improbissimus, et versutorum versutissimus, Santabarenus, inquam, de quo, opinor, audivistis omnes. Hunc nescio quomodo repertum (nam pares, ut dicitur, cum paribus facile congregantur), ut virum singulari sanctitate, præscientia, rerumque futurarum cognitione pollentissimum : quibus tamen virtutibus non solum caruit omnibus, sed contra, ut aiunt, magicis præstigiis, et ariolandi, conjectandi, incantandi, animasque evocandi artibus insignis habebatur : hunc imperatori sistit, immensisque celebratum laudibus commendat. Cumque jam imperatore intimo familiarissimoque uteretur, Photius per eum patriarchæ Ignatio insidiatur, sedemque amissam occulte recuperare conatur, sibique denuo reditum sacrilege comparat. Quod tamen ubi fore difficile sensit, aperte, ut in sacerdotium restitueretur, a viro sancto omni ope contendit. Sed patriarcha canonum divinorum, legumque ecclesiasticarum observantissimus, tametsi vehementer sollicitatus, illum tamen haud admisit, nec grassanti lupo reditum ad Christi caulam indulsit, ne secum ipse pugnaret, suasque oppugnaret subscriptiones. meritoque deinde de gradu dignitatis deturbaretur. Nam a synodo rite exauctora-

ἦν · τὸ δὲ ὄνομα εἶναι Βεκλᾶς · ὃν εὐτυχέστατα καὶ πολυχρονιώτατα τῶν ἐξ αἰῶνος βεβασιλευκότων βασιλεύσοντα προφητεύει. Μυρίοις δὲ ψεύδεσιν, οἷς ἥδει γάννυσθαι τοῦτον ἀκούοντα, τὸ σύγγραμμα καταρτισάμενος, ἐπὶ παλαιοτάτων μὲν τοῦτο χαρτίων γράμμασιν Ἀλεξανδρινοῖς, τὴν ἀρχαϊκὴν ὅτι μάλιστα χειροθεσίαν μιμησάμενος, γράφει · ἀμφιέννυσι δὲ καὶ πτύχαις παλαιοτάταις, ἐκ παλαιοτάτου βιβλίου ἀφαιρούμενος, κἀντεῦθεν τῇ μεγάλῃ τοῦτο τοῦ παλατίου ἀποτίθεται βιβλιοθήκῃ.

Ὁ κατὰ ταῦτα δὲ πιστῶς ὑπηρετούμενος, καὶ τὴν ἀπάτην αὐτῷ τοῦ δράματος συγκατασκευαζόμενος Θεοφάνης ἐκεῖνος ἦν, κληρικὸς μὲν τότε βασιλικὸς, καὶ δόξαν σοφίας ἱκανῶς ἔχειν παρὰ τῷ βασιλεῖ νομιζόμενος, ὕστερον δὲ Καισαρείας Καππαδοκίας ἐπίσκοπος γεγονὼς, ἄθλον δηλαδὴ τοῦτο τῆς κακοτεχνίας ταύτης λαβών. Λαβὼν γὰρ τὸ πλασματῶδες ἐκεῖνο βιβλίον, καὶ τῇ βιβλιοθήκῃ, καθὼς εἶπον, ἀποθέμενος, εἶτα ὥρας εὐθέτου δραξάμενος, ἐπιδείκνυσι τῷ βασιλεῖ, ὡς πάντων καὶ βιβλίων θαυμασιώτατον καὶ μυστικώτατον ὄν. Σκήπτεται ἀπορεῖν, οὐκ αὐτὸς μόνος, ἀλλ' οὐδ' ἄλλος τις, φησὶν, ἀνθρώπων, ἢ Φώτιος, τοῦτο διαγνῶναι δύναιτ' ἄν. Τοίνυν εὐθὺς ἀποστέλλεται πρὸς αὐτόν. Σχηματίζεται ἐκεῖνος, μὴ δύνασθαι πρὸς ἄλλον εἰπεῖν τὸ μυστήριον, ἢ πρὸς αὐτὸν ὑπὲρ οὗ καὶ γέγραπται τοῦ βασιλέως. Τί οὖν ; ἡττᾶται λοιπὸν τῆς ῥᾳδιουργίας ταύτης ὁ Βασίλειος, ἀποτίθεται τὴν δυσμένειαν, καὶ εἰς καταλλαγὰς ἐντεῦθεν χωρεῖ. Οἶδε γὰρ ἡ ἀγαθὴ πρόῤῥησις, κἂν ὅτι μάλιστα ψευδὴς ᾖ, καταχαυνοῦν καὶ ἐκλύειν καὶ ὅλην ἑαυτῆς ποιεῖσθαι τὴν μεγαλόφρονα καὶ φιλοδοξοτάτην ψυχήν. Τοῦτο πρὸς Βασίλειον τῆς τοῦ Φωτίου φιλίας ἀρχή· τοῦτο τῆς ἐκκλησιαστικῆς εἰρήνης κατάλυσις, καὶ τῆς πρώτης ἀκαταστασίας ἀνανέωσις. Ἐντεῦθεν συνεχῶς τοῖς βασιλείοις ὁ πολυμήχανος ἐπεχωρίαζε, κλέπτων μὲν τὴν εὔνοιαν τοῦ κρατοῦντος, ὅλον δὲ πρὸς ἑαυτὸν τὸν ἄνδρα ταῖς γοητείαις τῶν λόγων καὶ αἰμυλίαις τῶν τρόπων κατασκευαζόμενος. Ἐπεγένετο δὲ καὶ ἄλλη τις εὐθὺς οἰκειώσεως ἀφορμή. Θεόδωρον γὰρ ἐκεῖνον ἄχρι τοῦ σχήματος τῶν ἱματίων ἀββᾶν, πάντων δὲ δεινῶν ὄντα δεινότατον, καὶ πανούργων πανουργότατον, τὸν Σανταβαρηνὸν οἶδ' ὅτι πάντες ἀκούετε · τοῦτον οὐκ οἶδ' ὅπως ὁ Φώτιος εὑρηκὼς (καὶ γὰρ τῷ ὁμοίῳ αὐτοῦ, κατὰ τὴν παροιμίαν, προσκολληθήσεται ἀνὴρ), ὡς ἄνδρα ἅγιον, καὶ διορατικώτατον, καὶ προφητικώτατον, ταῦτα μὲν οὐκ ὄντα, πόθεν; πολλοῦγε καὶ δεῖ· μαντικῆς δὲ, μᾶλλον δὲ μαγικῆς, φασὶ, καὶ ὀνειροκριτικῆς, ἤτοι δαιμονιώδους σοφίας καὶ ψυχικῆς μετεσχηκότα τῷ αὐτοκράτορι προσάγει, καὶ μυρίοις ἐπαίνοις προσοικειοῖ · καὶ ἐγκόλπιον αὐτῷ ποιησάμενος, τῷ πατριάρχῃ μὲν ἐπεβούλευε, καὶ τὴν ἀπὸ τοῦ πατριαρχείου ῥίψιν δι' αὐτοῦ βαθέως ἐπάγειν ἐπειρᾶτο, ἑαυτῷ δὲ αὖθις ἀνόμως τὴν ἀνάβασιν ἐμνᾶτο. Ἐπεὶ δὲ τοῦτο συνεῖδε σκληρὸν ὄν, φανερῶς εἰς ἱερωσύνην παρὰ τοῦ ἁγίου δεχθῆναι, πᾶσαν ἐμηχανᾶτο μηχανήν. Ἀλλ' ὁ πατριάρχης κανόσι Θεοῦ καὶ θεσμοῖς ἐκκλησιαστικοῖς ἀκολουθῶν, καίτοι γε πολλὰ παρενοχληθεὶς, οὐ κατεδέξατο, οὐδὲ τῷ φονίῳ λύκῳ κατὰ τοῦ ποιμνίου πάροδον παρέσχεν, ἵνα μὴ αὐτὸς ἑαυτῷ περιπεσὼν, καὶ

Digitized by Google

ταῖς ἰδίαις ἐναντιωθεὶς ὁμολογίαις, ἐνδίκως ἀποστερηθῇ τῆς τιμῆς. Τὸν γὰρ ὑπὸ συνόδου κανονικῶς καθηρημένον, οὐ μερικῆς μόνον, ἀλλὰ καὶ οἰκουμενικῆς, μᾶλλον δὲ ὡς μηδὲ τὴν ἀρχὴν ἐνθέσμως τῆς ἱεραρχίας ἁψάμενον πλέον αὐτὸν ἀποκεκτρυγμένον, ἀμήχανον εἶναι διετείνετο ἄνευ συνόδου μείζονος καὶ κυριωτέρας ἀθωοῦσθαι. Ἀλλ' ἐκεῖνος οὐδενὸς λόγον κανόνος ἢ νόμου ποιούμενος, ἑαυτῷ τὰ τῆς ἱερωσύνης ἐπέτρεψε· καὶ ἤδη πρὸς τοῖς βασιλείοις ἐπὶ τῇ καλουμένῃ Μαγναύρᾳ καταμένων, ἐξάρχους τε προεβάλλετο, καὶ χειροτονίας ἐπετέλει, καὶ ὅσα πρὸς ὕβριν μὲν τῆς Ἐκκλησίας τοῦ Θεοῦ, θλῖψιν δὲ τοῦ πατριάρχου, ἀπώλειαν δὲ τῆς ἰδίας ψυχῆς, ἀνοσίως ὁ ἀνοσιώτατος εἰργάζετο. Οὕτω τῆς βασιλικῆς εὐθείας κατεφρόνει, μᾶλλον δὲ τῆς ἀνοχῆς τοῦ Θεοῦ καὶ μακροθυμίας ὁ δοξοχαρὴς ἐκεῖνος καὶ σκανδαλοποιὸς ἄνθρωπος ὑπερφρονῶν, καὶ πᾶν τὸ περὶ τὸν βασιλέα θεραπευτικὸν καὶ οἰκίδιον ὑποποιούμενος, καὶ τὴν ἐνδομυχοῦσαν αὐτῷ κακίαν καὶ πονηρίαν πολὺ μᾶλλον ἢ πρώην ἐντονωτέραν ἐπιδεικνύμενος, καὶ τὴν ἀπὸ τῆς κοσμικῆς δυναστείας πολλῷ πλέον προσλαμβανόμενος ῥοπήν· οὕπω τρίτη μετὰ τὴν τοῦ ἁγίου παρῆλθε μετάστασιν ἡμέρα, καὶ τὸν πατριαρχικὸν ἐπικαταλαμβάνει θρόνον, καὶ τὴν πάλαι ληστρικὴν αὐτοῦ καὶ τυραννικὴν γνώμην, καὶ τὴν κατὰ τοῦ ἁγίου λύτταν ἀνανεούμενος, πάντας μὲν τοὺς οἰκείους ἐκείνου θεραπευτὰς φυλακαῖς καὶ πληγαῖς καὶ ἐξορίαις καὶ θλίψεσιν ἀνηκέστοις περιέβαλεν· πάντας δὲ τοὺς ἀντιλέγοντας αὐτοῦ τῇ ἀνόδῳ, ὡς οὐ κανονικῶς, ἀλλ' ἀθέσμως καὶ παρανόμως γενομένῃ, μυρίαις ἐπινοίαις κατεστρατήγει· οὓς μὲν δώροις καὶ ἀξιώμασι, καὶ θρόνων μεταθέσεσι πρὸς τὴν μετ' αὐτοῦ κοινωνίαν ἐπαγόμενος· οὓς δὲ συκοφαντῶν, καὶ ἐπ' αἰσχρουργίαις ἀῤῥήτοις διασύρων τὸ πρῶτον, καὶ πικρῶς διαλοιδορούμενος, εἴ τις ἀὐτῶν αὐτῷ μετὰ ταῦτα κοινωνεῖν ἀνωμολόγησεν, αὖραις φέρειν ἐξαπίνης ἐκεῖνα πάντα παρεχώρει. Καὶ συλλειτουργὸς αὐτῷ σήμερον ὁ ἱερόσυλος χθές· καὶ ἱεροφάντης μέγας καὶ τίμιος ὁ κλέπτης καὶ πόρνος καὶ βέβηλος πρώην ὑπ' αὐτοῦ μεθ' ὅρκων ἀποδεικνύμενος. Οὓς δὲ πρὸς τὴν αὐτοῦ κοινωνίαν ἑώρα στερρῶς ἀνθισταμένους (ἐνίσταντο δὲ πάντες, ὅσοι ἀληθῶς τῆς Χριστιανικῆς πίστεως ἀντείχοντο, τῷ ὑπὸ ἁγίας καὶ οἰκουμενικῆς συνόδου κανονικῶς ἀνατεθεματισμένῳ καὶ καθηρημένῳ ἐπικινδυνότατον λογιζόμενοι καὶ ὀλέθριον κοινωνεῖν, καὶ εἰς ἓν σῶμα τούτῳ συγκεκρᾶσθαι, τῷ μυριάκις τὸν τίμιον τοῦ Χριστοῦ καταπεπατηκότι σταυρὸν, καὶ πάντας καταπατεῖν διὰ τῆς τῶν χειρογράφων ἀπαιτήσεως καταβιαζομένῳ), τούτων οὖν ὅσους φυλακαῖς καὶ μάστιξι πείθειν οὐκ εἶχε, τῷ ὠμοτάτῳ πάντων ἀνθρώπων καὶ ἀπηνεστάτῳ παρέπεμπε γαμβρῷ· Λέων δὲ οὗτος ἦν ὁ καλούμενος Κατάκαλος, τῆς βίγλας δρουγγάριος ὑπ' αὐτοῦ προβιβασθείς· ὃς τῆς τιμῆς αὐτὸν ἀμειβόμενος, πάντας τοὺς πρὸς αὐτὸν πεμπομένους, ἵνα μικρῷ λόγῳ τὴν μιαιφονίαν παραστήσω, ἴσα Λικινίῳ τῷ πάλαι τῇ κατὰ τῶν ἁγίων ὠμότητι ἐχρῆτο. Καὶ πολλοὺς μὲν ἀνεῖλεν ἄχρι τέλους τὴν ὑπὲρ τῆς ἀληθείας ἔνστασιν ἐνδειξαμένους· πλείους δὲ τῶν ἀνυποίστων βασάνων ἡτ-

A tum, non modo provinciali, sed etiam generali, imo qui nec ab initio quidem unquam legitime sedem sacram occupasset, atque insuper publice damnatus esset, nisi majori et amplioris auctoritatis synodo non posse absolvi contendebat. At ille canonibus legibusque contemptis, ultroque sibi sacerdotio denuo arrogato, sedebat in regia Magnaura dicta, constituens exarchos, et sacros ordines conferens. Nam quidquid ad Ecclesiæ contumeliam, virique sancti afflictionem, suumque ipsius exitium spectabat, sacrilege profanissimus audebat: adeo imperatoris simplicitate, imo longa Dei patientia et pœnitentiæ exspectatione abusus homo ambitiosus pessimique exempli, et palatinis omnibus sibi conciliatis, suasque in partes traductis, latente intus

B scelere multo quam antea magis apertiusque prodito, multoque majore quam antea vi sæcularis potestatis comparata, non toto, quam Ignatius obierat, triduo elapso, tribunal patriarchale, revocata pristina et patricidali tyrannicaque mente, occupavit; et furore adversus sanctum renovato, cunctos illius domesticos ac servos custodiis, verberibus, exsiliis, aliisque intolerandis malis et ærumnis oppressit. Provectioni porro illius contra leges et sanctiones ecclesiasticas factæ quicunque repugnabant, hos mille artibus expugnavit. Alios quippe muneribus et honoribus permulcendo, vel sedium episcopalium permutationibus, ad societatem et communionem attraxit. Alios primum criminationibus inauditisque calumniis traducendo, graviter-

C que lancinando; quos tamen eosdem mox, si se ad ejus partes adjunxissent, causa tota ventis commissa, absolvit. Ita qui modo illi sacrilegus erat, is eidem mox symmysta et comminister fiebat. Qui prius fur, adulter, et profanus ab illo juratissimo probabatur, ille mox eidem magnus et venerandus sacrorum antistes habebatur. Quos autem in sententia firmos suam communionem penitus aversari videbat: aversabantur autem omnes qui vere Christiani erant, quique persuasum habebant, se cum eo qui a sancta et œcumenica synodo rite sancteque damnatus esset et depositus, sine summo salutis periculo et exitio communicare non posse, neque cum illo in unum Christi corpus coalescere, qui

D millies venerandam Christi crucem pedibus conculcasset, aliosque omnes per chirographa vi extorta conculcare coegisset: hos, inquam, omnes quotquot vinculis flagrisque frangere non poterat, affini suo Leoni cognomento Catacalo, biglæ seu vigiliarum præfecto, quem ipse ad eam dignitatem provexerat, homini sævissimo immanissimoque tradebat: qui ut se de beneficio gratum exhiberet, missos ad se cunctos (ut brevi carnificinam illam comprehendam) Liciniana quadam immanitate excruciabat. Ex quibus multos pro veritate ad necem usque propugnantes sustulit: plures tamen intolerandis victos tormentis, præclari muneris loco, mittenti remittebat. Quis, per Deum immortalem, temporis hujus tempestatem et iniquitatem, imo quis tortuosi

Digitized by Google

draconis illius insidias et machinationes dicendo assequatur ? Multos veterator ille perjura lingua calumniatus, aut per falsas criminationes exauctoratos, mox ut cum eo rursum communicabant, commendatos restituebat, et nonnunquam ad majores dignitates transferebat. Deinde si quis iterum vesana illius insania offensus, se denuo ab illius societate abstinuisset, hunc rursum damnabat ; et damnatum, si cessisset, mox admittebat. Tanta gloriæ dominandique siti æstuabat, ut illius causa per furiosam ambitionem leges divinas, jura omnia, sacraque permisceret. In primis autem hoc agebat, ut ordinationes patriarchæ transmutaret, atque ab eo damnatos sedibus restitueret. Sed cum id imperatori non probaretur, videte quid tentarit. Consecratos a sancto Ignatio resecrare conatur. Quod cum æque parum succederet, omnesque indignissime ferrent, atque exsecrarentur; ne ita quidem defecit iniquitas. Humeralibus et orariis, et aliis status sacerdotalis coemptis insignibus, secreto preces super ea quasdam (si tamen preces, et non potius diræ exsecrationes appellandæ sunt) pronuntiabat : sicque ea singulis loco muneris largitionisque dabat. Atque ut peccatum fieret supra modum peccans, ubique jurisjurandi sacramenta, ubique chirographa exigebat, sive initiaret, sive honores et dignitates ecclesiasticas conferret, sive episcopatus permutaret. Quibuscunque demum se beneficium præstare censebat, hos sibi obstringebat, et testatissimis chirographis exactis sibi cavebat, ubique suam duntaxat gloriam affectando, novisque rebus studendo. Neque Dei nutu vel providentia sibi bene fore unquam credebat, aut sperabat ; sed per multiplex ingenium suum seu artificium, imo maleficium, sese communiebat : adeoque totum Ecclesiæ statum permiscebat, omniumque mortalium animos pessimis exemplis offendebat ; atque ut Christi nomen blasphemaretur, impiis artibus suis efficiebat.

Ergo ubi iterum patriarchatum invasit, Theodorum illum (quem ipse exsul Patrarum metropolitam creavit, quem quidam facete Aphantopolis, hoc est, nusquam exstantis civitatis metropolitam nuncupabant), hunc, inquam, Theodorum ad Joannem papam apocrisiarium destinavit ; per quem scripsit, se per vim a tota Ecclesia totaque republica coactum, tribunal sacrum denuo perinvitum conscendisse. Atque ut mendacium in epistola scriptum stabiliret, per Petrum a secretis, qui postea ob figmenta Sardium pontifex præmii loco dictus est, omnium metropolitarum signa furatur ; adeoque ipsos sibi metropolitas suffuratur ignaros se libello subscripsisse, cum arcanam fundi emptionem prætendisset. Tantus ille et tam insignis fraudum omnium et nequitiarum artifex erat. Sed qua ratione taciti causam Euphemiani illius Euchaitarum episcopi dissimulabimus, cujus episcopatum propter vicinitatem Santabarenus appetebat ? Hunc ergo episcopatu cedere cogit, et illi Santabarenum suffícit. Ne-

τωμένους, ὡς δῶρα τίμια πρὸ; τὸν πέμποντα τούτους ἀνταπέστελλε. Τίς ἱκανῶς τοῦ τότε καιροῦ τὴν κακίαν, μᾶλλον δὲ τίς τοῦ σκολιοῦ δράκοντος ἐκείνου τὰς ἐνέδρας ἐξείποι καὶ μηχανάς ; Πολλοὺς πολλάκις ὁ δόλιος δολίᾳ γλώσσῃ συκοφαντῶν, ἢ ἐπ' ἐγκλήμασι δῆθεν καθαιρῶν, εἰ συνέθεντο μετὰ ταῦτα κοινωνεῖν, τούτους αὖθις ἀποκαθίστη συνιστῶν, καὶ ἐπὶ μείζους ἐνίοτε θρόνους μεθιστῶν. Καὶ μετὰ ταῦτα δὲ πάλιν εἴ τις αὐτοῦ προσωχθηκὼς ταῖς ἀπονοίαις ἀπέσχετο τῆς κοινωνίας, αὖθις καθῄρει τοῦτον, καὶ ὑποκύπτοντα προσίετο πάλιν. Οὕτως ἔτρεχεν ἐν δίψει πάντα κανόνα θεῖον καὶ πᾶσαν θεσμοθεσίαν ἱερὰν διὰ τῆς αὐτοῦ φιλαρχίας συγχέαι καὶ δοξομανίας. Πρὸ τούτων δὲ πάντων πειρᾶται τὴν τοῦ πατριάρχου προχείρισιν μεθιστᾶν, καὶ τοὺς κατ' αὐτὸν καθῃρημένους ταῖς ἐκκλησίαις ἀντικαθιστᾶν · ἐπεὶ δὲ οὐκ ἤρεσκεν οὕτω τῷ βασιλεῖ, ὁρᾶτε οἷον ἐτόλμα· Τοὺς ὑπὸ τοῦ ἁγίου τετελεσμένους ἐπειρᾶτο ἀναχειροτονεῖν · ἐπεὶ δὲ καὶ τοῦτο τῶν ἀτοπωτάτων ἔδοξε καὶ ἀπευκτῶν, οὐδ' οὕτως ἠπόρησεν ἡ πονηρία · ὠμοφόρια δὲ καὶ ὡράρια ὠνούμενος, καὶ ὅσα τῆς ἱερατικῆς σύμβολα χρηματίζει τελειώσεως, καὶ τούτοις ἐν μυστηρίῳ οἰκείας ἐπιλέγων εὐχάς · εἶγε ταύτας εὐχὰς, ἀλλ' οὐ δυσφημίας ἐναγεῖς ὀνομάζειν χρεών · οὕτως ἑκάστῳ λόγῳ φιλοτιμίας ἐδίδου καὶ χαρίσματος. Ἵνα δὲ καθ' ὑπερβολὴν ἁμαρτωλὸς γένηται ἡ ἁμαρτία, πανταχοῦ ὅρκος, πανταχοῦ τῶν χειρογράφων ἀπαίτησις, ἐν χειροτονίαις, ἐν ἀξιώμασιν, ἐν μεταθέσεσιν · ἐν πᾶσιν οἷς εὐεργετεῖν ἐνομίζετο, κατεδεῖτό τε καὶ ἰδιοχείροις ἰσχυροτάτοις ἠσφαλίζετο, πανταχόθεν τὴν ἰδίαν δόξαν ζητῶν, καὶ χαίρων ταῖς καινοτομίαις · καὶ οὐ διὰ τοῦ Θεοῦ, οὐδὲ διὰ τῆς ἐκείνου συστῆναί ποτε προνοίας ἢ πιστεύων, ἢ προσδοκῶν, διὰ τῆς οἰκείας δὲ πολυτεχνίας ἢ κακοτεχνίας ἑαυτὸν ἐπιχειρῶν συνιστᾶν, καὶ πᾶσαν οὕτω συγχέων Ἐκκλησίαν, καὶ πᾶσαν οὕτω σκανδαλίζων ψυχὴν, καὶ τὸ ὄνομα τοῦ Χριστοῦ βλασφημεῖσθαι διὰ τῆς αὐτοῦ κακομηχανίας παρασκευαζόμενος.

Μετὰ γοῦν τὸ τὸν θρόνον τὸ δεύτερον κατασχεῖν Θεόδωρον ἐκεῖνον, ὃν ἐν ἐξορίᾳ καθήμενος αὐτὸς μὲν εἰς τὰς Πάτρας ἐχειροτόνησε μητροπολίτην · Ἀφαντοπόλεως δὲ τοῦτον ἀστείως οἱ παρ' ἐκείνῳ κατωνόμαζον · τοῦτον πρὸς Ἰωάννην τὸν πάπαν ἀποκρισιάριον προεχείρισατο γράψας, ὅτι βίᾳ πολλῇ τῆς Ἐκκλησίας ὅλης καὶ τῆς πολιτείας ἀναγκασθεὶς, ἐπὶ τὸν θρόνον ἀνῆλθε καὶ μὴ βουλόμενος · ἵνα δὲ βεβαιώσηται τὸ ψεῦδος τῶν ἐπιστολῶν, διὰ τοῦ μυστογράφου Πέτρου, ὃς καὶ τὰς Σάρδεις ὕστερον ἔπαθλον τῶν πλασμάτων ἠνέγκατο, δι' αὐτοῦ κλέπτει μὲν τὰς σφραγῖδας τῶν βουλωτηρίων τῶν ὅλων μητροπολιτῶν · συναρπάζει δὲ καὶ αὐτοὺς μὴ εἰδότας ὑπογράψαι τῷ λιβέλλῳ, πρόφασιν ὡς ἐπὶ μυστικῇ ἀγορασίᾳ · τοσοῦτος τὴν πανουργίαν ἐκεῖνος, καὶ τηλικοῦτος ὑπῆρχε τὴν δεινότητα. Πῶς δὲ καὶ τὰ κατὰ τὸν Εὐφημιανὸν ἐκεῖνον παρέλθωμεν σιωπῇ ; Ὃς Εὐχαϊτῶν μὲν ἐπίσκοπος ἦν, ἐπειδὴ δὲ ὁ Σανταβαρηνὸς τῆς ἐπισκοπῆς ἐκείνης ὡς γείτων ὠρέγετο, τὸν μὲν βίᾳ σχολάζειν ἀναγκάζει, τὸν δὲ ἀντ' αὐτοῦ χει-

Digitized by Google

ρετονεῖ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐπισκοπὰς ἐκ τῶν γειτνιαζουσῶν μητροπόλεων, ὅσας ἐκεῖνος ἤθελεν, ἀφαιρεῖται, καὶ δίδωσιν αὐτῷ. Καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ παρ' ἑαυτῷ καθίζων πρωτόθρονον τοῦτον κατωνόμαζε· καὶ Νικηφόρου μὲν Νικαίας μητροπολίτην ὄντα βιάζεται παραιτησάμενον ὀρφανοτρόφον εἶναι, Ἀμφιλόχιον δὲ τὸν Κυζίκου πρὸς τὴν Νίκαιαν μεθίστησι. Καὶ ταχὺ θανόντος αὐτοῦ, τὸν Συρακούσιον ἀντικαθίστησι Γρηγόριον· ὃν καὶ αὐτὸν μετ' οὐ πολὺ θανόντα οἷοις ἐσέμνυνεν ἐπιταφίοις, ὡς τῶν μεγάλων Πατέρων ἐφάμιλλον βεβιωκότα βίον, δι' οὐδὲν ἄλλο τοσοῦτον, ὅσον ὅτι κατὰ τοῦ ἁγίου καθώσπερ ξυρὸν ἄχρι τέλους τὴν γλῶσσαν ὁ δύστηνος παρέθηξε.

Διὰ ταῦτα καὶ ἔτι πλείω τούτων ἀτοπώτερα ἦλθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· καὶ εὐθὺς μὲν τότε τῷ βασιλεῖ τέθνηκε Κωνσταντῖνος ὁ τριπόθητος καὶ πρωτότοκος υἱὸς, ὃν καὶ ἅγιον ὁ τολμητίας οὗτος εἰς τὴν τοῦ πατρὸς χάριν ἐξ ἑαυτοῦ χειροτονῶν, μοναστηρίοις τε καὶ ναοῖς ἀνθρωπαρεσκίᾳ τιμῶν οὐκ ηὐλαβεῖτο.

Αὐτίκα δὲ καὶ ἡ μεγάλη πόλις Συρακοῦσαι τὴν φρικτὴν ὤλετο πανωλεθρίαν· καὶ πᾶσα νῆσος, καὶ πᾶσα πόλις καὶ χώρα προνομεύεται καὶ καταφθείρεται μέχρι καὶ τήμερον τοῖς ἐχθροῖς, οὐδεμιᾶς ἐκ τῶν ἱερᾶσθαι δοκούντων ἱλεουμένης τὸν Θεὸν προσευχῆς· ἀλλὰ κατὰ τὸ γεγραμμένον, *Ἐγενόμεθα ὄντως πρόβατα, οἷς οὐκ ἔστι ποιμήν*. Χρονίσασα γὰρ ἡ κακία, καὶ πολλοῖς ὑποδείγμασι παγιωθεῖσα, νόμος νενόμισται τοῖς ἀνομοῦσι, καὶ τὸ ἄθεσμον ἔθος εἰς φύσιν τρόπον τινὰ τοῖς καταφρονηταῖς καταστὰν, ὅλην ἐπισπᾶται τοῦ Θεοῦ τὴν ὀργήν.

Ἀλλὰ τὸ μὲν καθέκαστον ἐπεξιέναι τὰς καινοτομίας καὶ παρανομίας αὐτοῦ τε Φωτίου τοῦ πρωτοστάτου τῶν ὑποκριτῶν καὶ σταυρομάχων, καὶ πάντων καθεξῆς τῶν αὐτοῦ διαδόχων καὶ τῆς φιλαρχίας κοινωνῶν, ἱστορίας ἔργον, καὶ οὐ τοῦ παρόντος τῷ λόγῳ σκοποῦ.

Ἡμεῖς δὲ τὴν ὑπεράπειρον μακροθυμίαν καὶ ἀνοχὴν ὑμνοῦντες τοῦ τῶν ὅλων Θεοῦ, εὐχώμεθα τῆς μερίδος ἐξαιρεθῆναι τῶν τὰ σκάνδαλα καὶ τὰς διχοστασίας διὰ τῆς κακίστης αὐτῶν ἐπιθυμίας κατεργαζομένων, κοινωνοὶ δὲ γενέσθαι τοῦ τῶν ἁγίων κλήρου, τῶν διὰ πίστεως καὶ ἀγάπης Θεοῦ, ταπεινοφροσύνης τε καὶ πραΰτητος, τῆς ἐπουρανίου βασιλείας καὶ ἱεραρχίας ἁγίας τοῦ ὑπεραγίου καταξιουμένων, πρεσβείαις τῆς ὑπεράγνου καὶ παναμώμου Θεομήτορος, καὶ τῶν ἐκλεκτῶν καὶ ἱερῶν ἀγγέλων καὶ τῶν πανευφήμων ἀποστόλων καὶ τῶν πανενδόξων ἀθλοφόρων, καὶ ὅλων τῶν ἁγίων ταῖς εὐπροσδέκτοις καὶ ἱεραῖς ἱκετηρίαις. Πρὸς τούτοις πᾶσι δὲ καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰγνατίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ νέου ἀληθῶς ὁμολογητοῦ καὶ θεοφόρου, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις ἅμα τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ συνανάρχῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[19] Matth. IX, 36.

A que id tantum, sed episcopatus etiam, quoscunque ille expetebat, vicinis metropolitis ereptos, huic donat: insuperque juxta collocatum primatem nominabat. Præterea Nicephoro Nicææ metropolitæ, per vim abdicato orphanotrophi curam ac tutelam pupillorum committit. Amphilochium vero Cyzici præsulem Nicæam transfert; cui mox exstincto Gregorium Syracusanum subrogat: quem et ipsum mox sublatum hujusmodi Photius epitaphiis ornavit ut magnis illum Patribus vita et virtute æquarit: nec id aliam ob causam, quam quod infelix linguam suam sicut novaculam acuerit in sanctum Ignatium usque in finem.

Has et his multo plures ac deteriores ob causas venit ira Dei super filios diffidentiæ. Subito namque B imperatori filius et charissimus et natu maximus Constantinus est ereptus; quem audax Photius in gratiam imperatoris, per se in sanctorum censum relatum, templis cœnobiisque, ad aucupandam hominum gratiam, colere nihil veritus est.

Deinde etiam magna Syracusanorum civitas horrenda clade periit: insulæque omnes, et cuncta oppida, et omnis provincia hostili manu fœde etiamnum hodie vastatur, diripitur et pessumdatur, nullo ex iis qui rem sacram administrare videntur, Deum precibus placante, sed, ut scriptum est: *Facti sumus sicut oves errantes sine pastore* [19]. Etenim inveterata tempore iniquitas, multisque exemplis corroborata, pro lege impiis et exlegibus habetur, ipsoque usu et consuetudine corruptelarum C in morem et naturam abit, atque adeo iram in se Dei provocat universam.

Enimvero sigillatim percensere omnia quæ novata et impie gesta sunt a Photio architecto et magistro hypocritarum hostiumque crucis, et omnibus successoribus illius et sociis ambitionis, justæ sit opus historiæ, non hujus loci argumentum.

Nos vero infinitam Dei patientiam clementiamque memorantes, Dominum universorum deprecemur, uti nos a sorte eorum qui tot scandalorum offensionumque et dissensionum cupiditatibus suis pessimis auctores exstitere, ereptos, sortis sanctorum, qui per fidem et charitatem Dei, humilitatem et manD suetudinem, regno et sacerdotio sancto Dei, qui sanctorum caput est omnium, sunt dignati; precibus intemeratæ purissimæque Dei Matris, selectorumque cœlitum angelorum, gloriosissimorum apostolorum victorumque nobilissimorum martyrum, sanctorumque omnium; cumque omnibus nostri sancti Patris Ignatii patriarchæ CP. vere novi confessoris ac deiferi Patris, consortes efficiat in Christo Jesu Domino nostro: cui laus, honor, adoratio cum æterno Patre, pariterque æterno et vivificante ipsius Spiritu, nunc et semper, et in omnes omnium sæculorum æternitates. Amen.

Digitized by Google

NICETÆ PAPHLAGONIS

QUI ET DAVID

EXPOSITIONIS IN EVANGELIUM LUCÆ FRAGMENTA

(Mai, *Script. Vet.* tom. IX, p. 668, 670, 702.)

Cap. VI, vers. 32. *Et si diligitis eos qui vos diligunt*, etc.

Nicetæ, qui et David. Ex tribus constat amicitia, testantibus philosophis; ex voluptate scilicet, ex necessitate, et virtute; quarum duæ priores instabiles sunt, et minime constantes, quippe quæ in filiis hominum fundamentum suum non habeant. Ubi enim primum voluptas valedixit, ac necessitas cessavit, philtrum quoque transvolat: quare etiam temporis et spatii distantia amantibus nocet, amicitiam oblivione ceu densa caligine obvelando. Econtra quæ virtute nititur non pari modo offuscatur, imo per omne tempus ac spatium durat inconcussa, et ubi in obstaculum aliquod incidit, vi et splendore augescit. Hinc jam non amicitia, sed charitas plerumque nuncupatur, quæ, secundum Apostolum, nunquam deficit. Benevolentia enim amicitiæ initium est, sicut visio concupiscentiam parit. Amicitia porro charitatis principium et fons; charitas autem caput est legis et prophetarum. Id quidem multis persuasum est, amicitiam inanibus sæpe verbis contentam esse, charitatem autem re vera probari. Quocirca etiam veræ charitatis discipulus nos monet ut re ipsa ac veraciter, nec verborum illecebris, nos adamemus.

Cap. VIII, vers. 5. *Exiit qui seminat seminare*, etc.

Nicetæ Paphlagonis. Vide ne semen divinum per volatilia cœli, id est per spiritus æthereos, disseminetur, neve cordis tui fomes exstinguatur. Id quoque cura ne spiritus vitalis qui in te est affectuum aut passionum flagrantia, ceu igne solari, exsiccetur, neque committas ut semen divinum, timor, inquam, Domini, corporis tui miseriis et curis sicut carduis et zizaniis delitescat. Sic enim fides tua, sicut campus sterilis, pessum ibit.

Nicetæ, qui et David. Caveamus igitur ne nos quoque hujusmodi periculis succumbamus, imo mentis agrum omni noxa purgemus. Sic enim mentibus nostris culturam sicut pluviam matutinam ac serotinam infundemus; sic calorem qui e sole justitiæ fluit, lacrymis nostris mitigabimus. Hinc, sicut ager fecundus, Dei benedictionis compotes erimus, virtutum nostrarum fructum, si non centu-

Κεφ. Ϛ', στίχ. λβ'. *Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς*, κ. τ. λ.

Νικήτου τοῦ καὶ Δαβίδ. Τὴν φιλίαν ἐκ τριῶν συνεστάναι τούτων, ἡδονῆς, φημὶ, καὶ χρείας, καὶ ἀρετῆς, παῖδες σοφῶν ἀπεφήναντο· ἀλλὰ τὰς μὲν πρώτας δύο αἰτίας, εὐκινήτους εἶναι, οὐ μονίμους, οὐδὲ τὸ βέβαιον ἐν υἱοῖς ἀνθρώπων ἐχούσας. Ὁμοῦ γὰρ τὸ ἡδῦνον πέπαυται, καὶ ἡ χρεία παρελήλυθε, καὶ τούτοις συγκαταλέλυται τὸ φίλτρον. Ὅθεν καὶ χρόνου καὶ τόπου διάστασις τοῖς οὕτω φιλοῦσι ἐπιβουλεύειν οἶδε, τὴν φιλίαν ὥσπερ ὁμίχλῃ παχείᾳ καὶ ζόφῳ, τῇ λήθῃ συγκαλύπτουσα. Οὐ μὴν καὶ ἡ κατὰ ἀρετὴν συνεστῶσα τὸν ἴσον τρόπον ἀμαυροῦται, ἀδιάπτωτος δὲ καὶ ἀνεπηρέαστος παντὶ χρόνου καὶ τόπου μένει διαστήματι, καὶ οὐδ' ἡτινιοῦν προφάσει διαπίπτει, μᾶλλον μὲν οὖν καὶ ἰσχυροτέρα καὶ λαμπροτέρα γίνεται πολεμουμένη· ὡς μηκέτι φιλίαν μόνον αὐτὴν, ἀλλὰ καὶ ἀγάπην κυριώτερον ὀνομάζεσθαι· ἥτις κατὰ τὸν Ἀπόστολον, οὐδέποτε ἐκπίπτει. Εὔνοια μὲν γὰρ, φιλίας ἀρχή· ὡς ὄψις, ἐπιθυμίας· φιλία δὲ, ἀγάπης ἀρχὴ καὶ πηγή· ἀγάπη δὲ, τὸ κεφάλαιον νόμου καὶ προφητῶν. Διὸ τὴν μὲν, καὶ ἄχρι χειλέων μόνον, καὶ ψιλοῖς συνίστασθαι λόγοις οἱ πολλοὶ νομίζουσιν, ἀγάπην δὲ τῷ ὄντι μὴ εἶναι, εἰ μὴ ἔργῳ καὶ ἀληθείᾳ μαρτυροῖτο· καθὼς ὁ τῆς ἀληθινῆς ἀγάπης παρεγγυᾷ μαθητὴς, μὴ ἀγαπᾷν λόγῳ καὶ γλώσσῃ παραγγέλλων, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ.

Κεφ. Η', στίχ ε'. *Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι*, κ. τ. λ.

Νικήτου Παφλαγόνων. Ὅρα μήπως ἡ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τοῖς τοῦ ἀέρος, φημὶ, πνεύμασι, τὸ θεῖον σπέρμα διαρπαγῇ, εἴτουν ἐναποσβεσθῇ σου τῆς καρδίας ἡ θρυαλλὶς· ἢ ἡλιακῷ καύσωνι, εἴτουν ἐμπυρίοις πάθεσι καὶ ἐνδομυχοῦσι πιεσμοῖς, ἡ ζωτικὴ ἐναποξηρανθῇ σοι ἰκμάς· ἢ μήπως ὡς ῥάμνοις τισὶ καὶ ἀκάνθαις ταῖς ποικίλαις μερίμναις καὶ φροντίσι τοῦ σώματος τὸ θεῖόν σοι τοῦτο σπέρμα τοῦ φόβου Κυρίου καὶ τῆς πίστεως ἐναποπνιγὲν, ἄκαρπον καὶ ἀδόκιμον ἀπελέγξῃ τῷ γεωργῷ.

Νικήτου, τοῦ καὶ Δαβίδ. Φυλαττώμεθα τοίνυν καὶ ἡμεῖς μηδεμιᾷ τούτων κινδυνεῦσαι τῶν ἀποπτώσεων, ἀλλ' ἀνακαθαίρωμεν πάσης ἐπηρείας τοιαύτης, τῆς διανοίας· τὴν ἄρουραν· καὶ ὑετὸν πρώϊμον καὶ ὄψιμον τὴν ποικίλην τοῦ πνεύματος διδαχὴν ταῖς μελέταις ἐπισπώμενοι, καὶ τὴν ἀπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης σύμμετρον θέρμην ἀνακαλούμενοι δάκρυσιν, οἷα καλὴ καὶ ἀγαθὴ γῆ, τῆς ἀπὸ τοῦ Θεοῦ εὐλογίας ἐπιτυγχά-

Digitized by Google

νοιμεν· εἰ καὶ μὴ ἐν ἑκατὸν, ἀλλ' ἐν ἑξήκοντα, ἤγουν ἐν τριάκοντα, τὸν καρπὸν ἀποδιδόντες τῶν ἀρετῶν.

Κεφ. ΙΗ', στίχ. κδ'. *Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον*, κ. τ. λ.

Νικήτου τοῦ Παφλαγόνος. Καρδιακὴ γὰρ διαθέσει τῷ ἀργυρίῳ προσπεπερονημένης αὐτῷ τῆς ψυχῆς, καί τινα τρόπον προσκεκολλημένης, καὶ ἓν γενομένης ἐπὶ αὐτῷ, οὐκ ἐβούλετο εὐχερῶς τοῦ φιλουμένου διασπᾶσθαι, εἰ μὴ μετὰ μείζονος πόνου· ὥσπερ καὶ μελῶν σώματος βιαίως ἀφαίρεσις γίνεται διαιρουμένης συμφυΐας.

A plum, at saltem sexagesimum tricesimumve reddendo.

Cap. XVIII, vers. 24. *Videns autem Jesus illum tristem factum*, etc.

Nicetæ Paphlagonis. Anima quæ simul cum corde aurum sitit eique unite dedita est, non sine magno labore inde divellitur. Sic etiam corporis membra haud amputantur, quin tota eorumdem coadunatio penitus solvatur.

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΥΡΟΥ ΝΙΚΗΤΑ

ΕΠΙΣΚΟΠΟΥ ΔΑΔΥΒΡΩΝ

ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΕΠΩΝ ΤΟΥ ΜΕΓΑΛΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

—

DOMINI NICETÆ PHILOSOPHI

EPISCOPI DADYBRORUM

EXEGESIS CARMINUM ARCANORUM MAGNI GREGORII THEOLOGI.

—

ΠΡΟΟΙΜΙΟΝ.

B Οἱ μὲν παρ' Ἕλλησι φιλοσοφώτατοι εἶναι δόξαντες καὶ λογιώτατοι, ἡνίκα ἂν ταῖς ὑπὲρ τὸ βλεπόμενον καὶ τὴν αἴσθησιν θεωρίαις ἐπιβαίνοντες φυσιολογίας τινὸς ἢ θεολογίας ὡς αὐτῷ... νῦν ἐπελαμβάνοντο, πλείους ὅτι μάλιστα βίβλους ἐπετείνοντο· ὡς ἂν αὐτοὶ τῆς κατ' αὐτοὺς ἐντρυφῶντες πολυνοίας καὶ θεωρίας, καὶ τοῖς ἐγγίζουσι δὲ αὐτοῖς τῆς ἀπὸ τῶν θεωρημάτων μεταδιδοῖεν ὠφελείας· ἀλλ' οὐδὲν τοσοῦτον εἰς οἰκοδομὴν καὶ κατόρθωσιν τῆς τε ἰδίας αὐτῶν διανοίας καὶ τῆς τῶν μαθητευομένων... φιλοσοφεῖν ἐδοκίμασαν, ὅσον εἰς βλάβην... τῆς ὄντως ἀληθογνωσίας δι' ἁμαρτίαν... ἐπειδὴ γὰρ τὴν πάσης σοφίας καὶ... πηγὴν κατ' ἀρχὴν εἰς τοὺς περὶ τῶν ὄντων γινομένων λόγους προκατεβάλλοντο, οὐδ' ἐπιγνῶναι... καὶ οὕτως ἐν αὐτῇ καὶ δι' αὐτῶν πρὸς πᾶC σαν ἀληθογνωσίαν ὁδηγεῖσθαι καὶ κατε... κατηξίωσαν· διὰ τοῦτο οὔτε περὶ ἀρχῶν, οὔτε περὶ τῶν μετὰ τὰς ἀρχὰς, οὔτε περὶ τοῦ τῶν γινομένων τέλους ἀξιόλογον ἢ ἀξιόθεόν τι φιλοσοφήσαντες ἀπελέγχονται· ὅθεν τῆς μιᾶς καὶ μόνης τοῦ ὄντως ὄντος Θεοῦ σοφίας καὶ ἀληθείας διαμαρτόντες, μυρίαις δόξαις καὶ πλάναις καὶ ἐναντιότησι πρός τε ἑαυτοὺς καὶ ἀλλήλους διενεχθέντες, ἀπεδοκιμάσθησαν οὔτε τοῖς περὶ Θεοῦ λόγοις συμβαίνοντες (πῶς γὰρ καὶ ἔμελλον οἱ μὴ παρ' αὐτοῦ περὶ αὐτοῦ μυούμενοι, τὸ πᾶν

PROŒMIUM (*a*).

Qui apud Græcos philosophiæ et ratiocinationis peritissimi esse putant, quando in speculationibus de visu et sensatione aggredientes quamdam physiologiam aut theologiam ut illi ... nunc incurrebant plures quam maxime libros protendebant : ita ut ipsi intra se de sapientia et speculatione sua gloriantes, his qui ad ipsos accedunt suarum demonstrationum utilitatem communicent ; sed minime tantum ad efformationem et directionem sui ipsorum et discipulorum conscientiæ ... philosophari sibi proposuerunt, quantum ad perversionem veræ et rectæ cognitionis propter culpam ... Quoniam enim omnis sapientiæ fontem a principio in sermonibus de entibus exsistentibus instituerunt, non cognoscere ... et ita in ipsa et per illa ad omnem veram cognitionem perduci et ... æstimaverunt. Ideo neque circa principia, neque circa res quæ principiis succedunt, neque circa entium finem aliquid rationabile vel probabile philosophari inveniuntur. Unde sola et unica Dei vere exsistentis sapientia et veritate carentes, multis opinionibus et erroribus et contradictionibus cum seipsis et cum aliis agitati, reprobati sunt in sermonibus circa Deum non convenientes : quomodo enim evenire debebat his qui non ab illo de illo

(*a*) Mai, *Spicileg. Rom.* V, 397, ex codice Vaticano qui, utpote ex antiquiore Sfortiano descriptus, lacunis aliquot laborat, propter veteris exemplaris damna. Deest hoc proœmium in Commentario Nicetæ quod post Gregorii Nazianzeni carmina edidimus (tom. XXXVIII). EDIT.

Digitized by Google

edocti, in omni re suis propriis cogitationibus se permittebant? neque de his quæ ad Deum attinent concordem et firmum sermonem et determinatum per veritatis amorem elucubrati sunt.

Quamobrem certe sapienter et recte supernaturaliter supernaturale Dei Patris Verbum, ut indignos fide et insanos factos illos esse arguit et contemptibiles, homoque per paterni Spiritus in purissimam Mariam obumbrationem, et sine peccato humanam ingressus vitam, sermonibus quæ ad unam et solam in Trinitate divinam hierarchiam attinebant, revelavit; quæ autem in ipso fiebant aut facta erant similibus verbis ac prophetæ patefecit; et quæ de suo fine erant grandibus et dignis sermonibus rectas et intelligentes aures edocuit; operibus autem omnibus et divinis signis suos sermones confirmavit et fidem adeptus est, itaque stultam omnem mundi sapientiam cum manifestasset quantum potest aliquis per crucem et sepulturam et resurrectionem, ad Patrem a quo exivit, et ad propriam gloriam ascendit; suum vero in locum ejusdem naturæ Spiritum famulis suis mittens, per omnes, qui cunctis generationibus surgent, servos suos, sanctas et arcanas de Deo revelationes et sapientiæ veritates et magnificentias diffundit. Videntur quidem diversæ quædam esse et multiformes, fortasse etiam contradici quædam reputarentur a quibusdam, de Deo doctrinæ, quæ per prophetas et apostolos et hos qui secuti sunt plures sanctos doctores institutæ sunt: ne una quidem apud illos qui veram gloriam annuntiant occurrit contradictio. Omnes enim a Deo inspiratæ theologiæ, ex uno et ejus sancto Spiritu principium assumentes, et ad unum veritatis propositum tendentes, concordes secum et cum aliis consonæ esse debent; veteribus quoque Scripturis novæ insequuntur et veteres novis consentiunt, et nullam hominibus sensu præditis contradictionem præbent; nisi quis ab aliis theologis dictum, aliis attribuerit; quod apud prophetas obscure et ænigmatice dictum est propter tempus, clare et sine ambiguitate per evangelistas dicatur; aut, ad hæc quoque, nisi quid concise et rapide apud apostolos dictum, explicatis, amplis et diffusis verbis per Ecclesiæ ædificationem a doctoribus tractatum sit.

Si quis igitur talia discordantiam in sacris Litteris reputaverit, omnino ille longe a veritatis proposito decidit. Non ergo discordantia quædam aut contradictio inest in veritatis theologis circa simplex et unum veritatis verbum, aut ad invicem, quemadmodum in philosophis extraneis esse demonstratur; semper enim qui unius Domini sunt veritatis spiritus suis prædecessoribus in fide et pietate ceu patribus et ducibus suis post Christum devote inhærentes, et illorum gratiam et sapientiam ad se adducentes, et si quid necesse est vel aliud a se adjici, non sibi sed patribus prudenter referentes, merito Patrum laudis hæredes et ipsi exhiben-

A δὲ τοῖς ἰδίοις ἐπιτρέψαντες λογισμοῖς;), οὔτε δὲ τῶν παρὰ Θεοῦ γινομένων σύμφωνον καὶ ἑστῶτα λόγον καὶ ὡρισμένον φιλαλήθως διεπονήσαντο.

Διὸ δὴ σοφῶς τε καὶ ἀγαθοπρεπῶς ὑπερουσίως ὁ ὑπερούσιος τοῦ Θεοῦ Πατρὸς Λόγος, ὡς ἀναξίους πίστεως καὶ μεματαιωμένους αὐτοὺς ἐξελέγχων, καὶ ἐξουδενωκὼς, ἀνδρωθεὶς τε διὰ τῆς τοῦ πατρικοῦ Πνεύματος ἐπὶ τὴν ὑπέραγνον Μαριὰμ ἐπελεύσεως, καὶ χωρὶς ἁμαρτίας τὸν ἀνθρώπινον ὑπελθὼν βίον, λόγοις μὲν τὰ περὶ τῆς μιᾶς καὶ μόνης τριαδικῆς θεαρχίας διηγγελκώς· τά τε περὶ τῶν δι' αὐτοῦ γεγονότων, ἢ γινομένων ὁμολόγως τῷ λόγῳ καὶ τοῖς προφήταις ἀνηγγελκώς· τά τε περὶ τοῦ τέλους αὐτοῦ μεγαλοπρεπῶς· καὶ ἀξιοπρεπῶς εὐθέσι καὶ συνετοῖς ἐνηχήσας ὠσὶν· ἔργοις δὲ πᾶσι καὶ σημείοις ἀξιοθέοις ἐπισφραγίσας τοὺς αὐτοῦ λόγους καὶ πιστωσάμενος, καὶ μωρὰν οὕτω πᾶσαν τὴν κοσμικὴν σοφίαν ἀποφήνας, ὁπόση τις διὰ σταυροῦ καὶ ταφῆς καὶ ἀναστάσεως, πρὸς τὸν Πατέρα, παρ' οὗ ἐξελήλυθεν, καὶ τὴν ἰδίαν ἐπανῆλθε δόξαν· ἑαυτοῦ δὲ ἀντάλλαγμα τὸ συμφυὲς Πνεῦμα τοῖς οἰκείοις παρεχόμενος διὰ τῶν ἐφ' ἑκάστης γενεᾶς ἐξεγειρομένων αὐτοῦ θεραπευτῶν, τὰς ἱεροκρυφίους θεορρημοσύνας καὶ ἀληθοσοφίας αὐτοῦ καὶ μεγαλουργίας ἀναφέρει· δοκοῦσι μὲν οὖν ποικίλαι τινὲς εἶναι καὶ πολυσχεδεῖς, ἴσως δέ ποτε καὶ ἐναντιοῦσθαί τινες ὑπονοηθεῖέν τισιν, αἵ τε διὰ προφητῶν καὶ ἀποστόλων καὶ τῶν ἐφεξῆς διδασκάλων ἁγίων πλείων ἀναταττόμεναι θεηγορίαι· οὐδεμία δὲ παρὰ τοῖς τὴν ἀληθῆ δόξαν πρεσβεύουσιν ἐναντιότης· πᾶσαι γὰρ αἱ θεόπνευστοι θεολογίαι, ἅτε ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου Πνεύματος τὴν ἀρχὴν ἀφορμώμεναι, καὶ πρὸς ἕνα τὸν τῆς ἀληθείας σκοπὸν συντεινόμεναι, σύμφωνοί τε πρὸς ἑαυτὰς καὶ ἀλλήλαις ὁμόλογοι· ταῖς τε Παλαιαῖς Γραφαῖς αἱ Καιναὶ συνεπόμεναι, αἵ τε Παλαιαὶ συνᾴδουσαι ταῖς Καιναῖς, καὶ μηδεμίαν τοῖς γε νοῦν ἔχουσιν ἐναντίωσιν ὑποφαίνουσαι· πλὴν εἰ μή τις τὸ παρ' ἄλλοις τῶν θεολόγων ῥηθὲν, ἄλλοις δὲ παρεθέν· καὶ τὸ παρὰ τοῖς προφήταις ἀσαφῶς ἢ αἰνιγματωδῶς εἰρημένον διὰ τὸν καιρὸν, σαφῶς δὲ καὶ ἀνακεκαλυμμένως διὰ τῶν εὐαγγελιστῶν· ἢ πρὸς τούτοις ἔτι, εἰ τὸ συντετμημένως καὶ γοργῶς διὰ τῶν ἀποστόλων, ἀνηπλωμένως δὲ καὶ πολυμερῶς διεξοδικῶς πρὸς τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ὑπὸ τῶν διδασκάλων ἐξεργαζόμενον.

Εἴ τις οὖν τὰ τοιαῦτα διαφωνίαν τῶν ἱερῶν Λογίων ὑπολογίζοιτο, παντάπασιν ὁ τοιοῦτος τοῦ τῆς ἀληθείας πόῤῥω πίπτει σκοποῦ· οὐκουν διαφωνία τις ἢ ἐναντίωσις τοῖς ἀληθινοῖς θεολόγοις περὶ τοῦ ἁπλοῦ καὶ ἑνὸς τῆς ἀληθείας λόγου, ἢ πρὸς ἀλλήλους, καθάπερ τοῖς τῶν θύραθεν φιλοσόφοις παρίσταται· ἀεὶ γὰρ οἱ τοῦ ἑνὸς ὄντες Κυρίου τῆς ἀληθείας Πνεύματος, τοῖς αὐτῶν πρεσβυτέροις τῇ πίστει καὶ τῇ εὐσεβείᾳ, ὡς πατράσιν ἑαυτῶν καὶ καθηγηταῖς, μετὰ τὸν Χριστὸν, εὐλαβῶς ἑπόμενοι, καὶ τούτων τὴν χάριν καὶ τὴν σοφίαν εἰς ἑαυτοὺς ἐπισπώμενοι, καὶ εἴ τι προσθεῖναι δέον παρ' ἑαυτῶν, καὶ τοῦτο, οὐχ ἑαυτοῖς, ἀλλὰ τοῖς Πατράσιν εὐγνωμόνως ἀναφέροντες, ἀξίως

Digitized by Google

τῶν Πατρικῶν εὐλογιῶν κληρονόμοι καὶ αὐτοὶ καταδείκνυνται. Διὸ καὶ ἡμεῖς οἱ πάντων ἔσχατοι καὶ μικρότεροι, πρὸς τὸν ὑπὲρ πάντας τοὺς πρεσβυτέρους καὶ διδασκάλους τετιμημένον ἡμῖν Γρηγόριον τὸν Θεολόγον τὸν νοῦν ἐπερείδοντες, ὡς τῆς ἡμετέρας καθηγεμόνα ψυχῆς, καὶ ὡς περισσοτέρως ἐκ τῶν αὐτοῦ θεολογιῶν οἰκοδομούμενοι, ὀλίγους τινὰς ἐκ τῶν αὐτοῦ δυσφράστων καὶ δυσθεωρήτων λόγων, ἤτοι θεοφράστων ἐπῶν, τὰ ἀπορρητότερα καὶ τοῖς πολλοῖς ἀνεπίοπτα εἰς ἐξήγησιν προὐθήκαμεν ἑαυτοῖς· ὁμοῦ μὲν τὸν θεῖον Πατέρα ταῖς ἱεραῖς τιμῶντες μνημοσύναις, ὁμοῦ δὲ καὶ πρὸς τὸν ἐκείνου θεόσοφον νοῦν τὸν οἰκεῖον διὰ τῆς ἑρμηνείας τῆς λέξεως ἐξ ἀνάγκης παρενείραντες ἢ παρεκτείναντες νοῦν, εἰ καὶ ἀληθῶς τὸ ἐγχείρημα τολμηρόν· καὶ δι' αὐτοῦ πρὸς τὸ πλάτος τῆς κατ' αὐτὸν ἀληθογνωσίας κατευθυνόμενοι, οὕτω δ' ἂν καὶ ἄλλοις τῶν πεπαιδευμένων οὐ μικρὰν ἴσως τὴν ὠφέλειαν διὰ τῆς τῶν θεολογικῶν δογμάτων ἐξηγήσεως προξενήσοιμεν. Πρόκειται δὲ πρῶτον ἡμῖν ἔπος εἰς ἐπίσκεψιν *Περὶ ἀρχῶν.*

tur. Ideo et nos qui his omnibus posteriores et longe minores ad virum super omnes veteres et doctores nobis honoratum Gregorium Theologum mentem nostram applicavimus, ut ad animi nostri ducem, et tanquam abundantius ex illius libris theologicis refecti, in paucis quibusdam inter illius sermones stylo et intelligentia difficiles, certe divinos tamen sermones, loca arcana magis et multis impervia per exegesim explanavimus; simul divinum Patrem sacra memoria honorantes, simulque ad illius Dei sapientia plenam mentem, propriam per interpretationem orationis necessario applicantes et intendentes nostram mentem, etsi vere temerarium fuerit susceptum : et per hoc ad amplitudinem cognitionis secundum illum veritatis directi, sic aliis discipulis non parvam forte utilitatem per theologicorum dogmatum exegesim procurabimus. Proponitur autem nobis primus sermo ad disquisitionem *De principiis.*

Οἱ τῆς κοσμικῆς σοφίας τὴν ἀκροτάτην καταλαβεῖν κατοιόμενοι περιωπὴν, πάντα τὰ ὄντα καὶ τὰ γινόμενα εἰς τρεῖς τὰς κυριωτάτας καὶ πρωτίστας αἰτίας καὶ ἀρχὰς ἀναφέροντες ἐκκορυφοῦνται· ταύτας δὲ νοῦν, καὶ ὕλην, καὶ εἶδος καλοῦντες, συνανάρχους καὶ συναιτίους τῶν πάντων ὑποτίθενται, κατ' οὐδεμιᾶς τρόπον ἐννοίας ἢ ἀρχὴν ἢ τέλος δεδέξεσθαι πώποτε δυναμένας ἢ δυνησομένας· τὸν νοῦν μὲν καὶ Θεὸν κατωνομάκασιν, ὡς διὰ πάντων χωροῦντα, καὶ καταθεώμενον τὰ πάντα· ὕλην δέ φασι τῶν καλουμένων στοιχείων τὴν τετρακτύν· πρὸς δὲ καὶ πέμπτον ἔτι σῶμα τὸ οὐράνιον· εἶδος δὲ τὴν ἰδιότροπον ἑκάστου καὶ συμπληρωτικὴν τῆς οὐσίας ἰδιότητα, ἣν οἱ μὲν οὐσιώδη ποιότητα, οἱ δὲ ἰδέαν ὠνομάκασι· τρεῖς οὖν ταύτας τῶν ὄντων καὶ τῶν γινομένων αἰτίας συνανάρχους ἀεὶ ἑστώσας καὶ συναϊδίους, μήτ' ἀρχὴν μήτε τέλος ἐχούσας διηρημένως καθ' ἑαυτὰς θεωρεῖσθαι διορίζουσιν· ἐξ ὧν ἐκ ποιητικοῦ ὑλικοῦ τε καὶ ἰδικοῦ αἰτίου, ἀνθρώπους τε καὶ ζῶα πάντα, καὶ τὰ ἐπὶ μέρους φυτὰ πάντα, ἄλλοτε ἄλλα διὰ γενέσεως εἰς τὸν κόσμον ἀεὶ παραγόμενα, καὶ διὰ φθορᾶς ἀποιχόμενα, κατὰ συντυχικήν τινα καὶ ἄπειρον καὶ ἀόριστον ἐκ διαδοχῆς ἀνακύκλησιν· οὕτως ἀνάρχως καὶ ἀτελευτήτως ἐς τὸ διηνεκὲς ἀποτελεῖσθαι. Τοιαύτη μὲν ἡ τῶν οἰη[σι]σόφων ματαιότης, ὡς δι' ὀλίγων ὑπομνῆσαι, ἄξια τῷ ὄντι τῆς αὐτῶν ἀθεότητος ἀναρχίας τε καὶ ἀταξίας ὑποτιθεμένη· καὶ τῇ ἀρχηγικωτάτῃ τῶν ὅλων ἀρχῇ καὶ αἰτίᾳ τὸ ἀνίδεον αἶσχος τὴν ὕλην, καὶ τὸ ἀνυπόστατον εἶδος ὁμοσθενῶς ἀεὶ συνυπάρχειν δογματίζουσα· ὧν τῆς παραλόγου ματαιοσοφίας τὸ αἴσχιστον καὶ παράλογον ἱκανῶς τοῖς θεολόγοις ἐξελεγμένον παρέντες ἡμεῖς τῇ τοῦ μεγάλου θώμεθα Γρηγορίου ἀληθοσοφίᾳ, κ. τ. λ.

Qui mundanæ sapientiæ summam accipere præsumunt cognitionem, omnia entia et creata ad tres principales et primarias causas seu principia referentes enumerant; has vocant mentem, materiam, et speciem, quas communia principia et communes causas omnium supponunt, cum nullo qui concipi queat modo, aut principium aut finem accipere unquam possunt aut poterunt. Mentem quidem Deum appellaverunt, ut per omnia diffusum, et omnia commoventem; materiam vero dicunt eorum quæ vocantur elementa, quaternitatem; quintum autem adjicitur corpus cœleste : speciem denique propriam formam cujusque et perfectam substantiæ proprietatem, quam substantialem qualitatem alii, alii ideam nominaverunt. Tres igitur illas entium et creatorum causas coprincipales, semper exsistentes et coæternas, neque principium neque finem habentes distincte per se demonstrari exponunt; e quibus sunt ex activa materia et propria causa, homines et animalia cuncta, et particulares omnes plantæ, et aliunde alia per productionem in mundum semper inducta, et per destructionem consumpta, secundum fortuitam quamdam, infinitam et illimitatam circularem successionem; ita absque principio et fine in continuum perficiuntur. Talis quidem est horum superborum insania, ut paucis memorem, illi qui est digna attribuens atheistæ eorum anarchiæ et confusionis; et supremo omnium principio et causæ per... contumeliam materiam, et sine substantia speciem pari virtute semper consociari dogmatizans; quorum stultæ sapientiæ turpitudinem et stultitiam merito theologis condemnatam linquentes, nos ad veram magni Gregorii sapientiam incumbamus, etc.

Digitized by Google

NICETAS BYZANTINUS.

MONITUM EDITORUM.

Circa ætatem Nicetæ Byzantini parum consentiunt qui scriptorum ecclesiasticorum historiam enarrarunt. D. Cellier eum floruisse putat post medium sæculum XII; sed id inconsulto scripsit. Allatius, quem sequitur Maius, eum ad finem sæculi IX floruisse asserit, et quamvis suam sententiam nullo argumento confirmet, a veritate tamen non aberrat.

Duo tantum supersunt Nicetæ Byzantini opera, quæ ex certis notis intrinsecis ad hanc ætatem referri debent; adeo ut mirum sit, tot viros oculatos qui de ætate Nicetæ disputarunt, eas non perspexisse.

In Refutatione epistolæ principis Armeniæ et Apologia concilii Chalcedonensis, eam fere agitat controversiam quam Photius in scriptis suis ad Armenos tractat. Refellit epistolam principis Armeniæ, cujus verba singillatim recitat; quæ quidem epistola alibi exstare non memini, sed scriptam fuisse ex historiis Armeniæ narrat doctissimus Serpos (*a*). Adeo ut omnino verisimile sit principem Armeniæ quem Nicetas refutat, illum ipsum esse *Asutium* vel Aschodum, ad quem Photius sibi scribendum esse existimavit (*b*).

Id vel inde colligi potest, quod Basilius Macedo pacem conclusit cum Aschod, rege Armeniæ, quem *dilectissimum suum filium* appellabat, ut narrat Joannes Catholicos, celeber Armeniæ historicus (*c*). At Nicetas pariter principem Armeniæ, quem refellit, nomine *filii dilectissimi* appellat, sive nomine imperatoris Constantinopolitani scripserit, sive, quod verosimilius, tanquam episcopus Ascotum filium in Christo nominaverit. Porro Basilius Macedo obiit anno 886, Aschod vero, anno 889. Refutatio ergo Nicetæ ante illam ætatem in publicam lucem prodiit.

Nec recentiora sunt opuscula quæ Nicetas Byzantinus scripsit contra Mahometanos. Quamvis enim nulla nota temporis in capite libri appareat, occurrit tamen infra *confutatio epistolæ secundæ ab Agarenis missæ ad Michaelem imperatorem, Theophili filium.* Atqui agitur hic de Michaele III qui anno 836 natus est, et an. 867 a Basilio Macedone trucidatus est. Epistola illa secunda scripta est ergo ante annum 867, nec diu post a Niceta confutata, siquidem de ea loquitur quasi recenter scripta. Præterea ab initio summis laudibus extollit imperatorem cujus jussu se librum illum exarare declarat; quæ laudes maxime ad ætatem Basilii convenire videntur, vel ad initia regni Leonis Sapientis qui anno 886 patri Basilio successit.

Falso igitur Nicetæ opera recenserentur inter scripta sæculi XI (*d*) vel XII (*e*), etsi et illis ætatibus Græci cum Armenis de dogmatibus fidei disputaverint, sed prorsus collocanda erant inter monumenta exeuntis sæculi IX; quod nemo hactenus demonstravit.

Postquam Allatius in sua *Græcia orthodoxa* (*f*) asseruisset, Nicetam Byzantinum a Niceta Davide non esse distinguendum, quin opinionis suæ momenta exponeret, postea tamen ubi de Nicetarum scriptis ex industria disserit (*g*), duos esse auctores distinctos affirmat. Allatium sive affirmantem sive negantem identitatem utriusque auctoris cæce et candide sequitur card. Mai. Nobis autem longe verosimilior videtur secunda opinio, non tantum ideo quod scribendi ratio utriusque diversa sit, sed etiam quia Nicetas David e Paphlagonia oriundus, Nicetas vero philosophus Constantinopoli natus esse videtur. De iis penes doctos judicium esto.

J-B. M.

(*a*) Vid. *Compendio storico di Memorie chronologiche concernenti la religione e la morale della nazione Armena. Opera del marchese Giovanni di Serpos.* T. II, p. 44. Venezia 1786. Notat, epistolam quam Aschod I Constantinopolim misit, scriptam fuisse ab Isaaco Mrud, doctore ferocis indolis, qui ex odio suo erga Græcos multa incongrue dixit, et sic Nicetæ, ut conjicimus, eum refellendi ansam præbuit.

(*b*) Vid. Opera Photii, t. II, p. 714, *Patrolog. Græc.* t. CII.

(*c*) *Histoire d'Arménie par Jean Catholicos* (l'historien), pag. 126, Paris 1841.

(*d*) *Histoire d'Arménie de Matthieu d'Edesse*, traduite par Dulaurier, part. II, chap. 93, p. 135, Paris 1858, ubi Matthæus Edessenus narrat quomodo Kakig Ascoti filius, tempore Ducæ imperatoris, id est inter an. 1059 et 1067, Constantinopoli pro Armenis disputavit, et Græcis satisfecit.

(*e*) Conferantur disputationes Theoriani.

(*f*) *Græciæ orthod.* t. I in notis, ad calcem voluminis, ubi lectorem remittit ad Disquisitionem suam, postea edendam, *De Nicetis.*

(*g*) Apud Mai *Nova Bibl. Patr.*, t. VI, p. 9.

Digitized by Google

DE SCRIPTIS NICETÆ BYZANTINI.

(Ex Leonis Allatii *Diatriba de Nicetis*, ap. Maium, *Biblioth. nov. Patr.* tom. VI, part. II, p. 8).

Habetur : Νικήτα Βυζαντίου φιλοσόφου ἔκθεσις κατασκευαστικὴ μετ' ἀποδείξεως τοῦ Χριστιανικοῦ δόγματος, ἐκ κοινῶν ἐννοιῶν, καὶ διαλεκτικῆς μεθόδου, καὶ φυσικῶν ἐπιχειρημάτων, καὶ συλλογιστικῆς πολυτεχνίας προαγομένη· καὶ ἀντίῤῥησις τῆς σταλείσης ἐπιστολῆς ἐκ τῶν Ἀγαρηνῶν πρὸς Μιχαὴλ βασιλέα υἱὸν Θεοφίλου, ἐπὶ διαβολῇ τῆς τῶν Χριστιανῶν πίστεως· *Nicetæ Byzantini philosophi expositio confirmans cum demonstratione Christianum dogma ex communibus notionibus, et dialectica methodo, et naturalibus argumentis, et artificio syllogistico producta. Et confutatio epistolæ ab Agarenis ad Michaelem imperatorem, Theophili* (non Theophylacti, ut Possevinus et Epitomatores Gesneriani vertunt) *filium missæ, qua Christianam fidem calumniabantur.* P. : Δυσθήρατόν τι χρῆμα ἀλήθεια, καὶ τούς γε λίαν ὀξυωποῦντας.

Alius est ejusdem tractatus : Ἀντίῤῥησις, καὶ ἀνατροπὴ τῆς δευτέρας ἐπιστολῆς τῆς σταλείσης παρὰ τῶν Ἀγαρηνῶν πρὸς Μιχαὴλ βασιλέα υἱὸν Θεοφίλου, ἐπὶ διαβολῇ τῆς τῶν Χριστιανῶν πίστεως· *Confutatio et eversio secundæ epistolæ ab Agarenis ad Michaelem imperatorem Theophili filium missæ, qua fidem Christianam calumniabantur.* P. : Ἐβουλόμην, ὦ φίλος, τὸν περὶ πίστεως ἡμῶν, τοῦ Χριστιανικοῦ λέγω δόγματος, λόγον.

Tertius est : Ἀνατροπὴ τῆς παρὰ τοῦ Ἄραβος Μωάμεθ γραφείσης βίβλου ἐν κεφαλαίοις λ' · *Refutatio libri ab Arabe Mohameto conscripti, capitibus triginta.* P. : Μεγάλων καὶ τῶν ὑπὲρ ἡμᾶς ἀξίων ὑπαρχόντων. Hos tractatus contra Agarenos dicunt asservari in bibliotheca Vaticana Possevinus, et Epitomatores (*a*).

Est præterea pro synodo Chalcedonensi adversus epistolam Armeniæ regis, qua ille dictam synodum hæreseos incusare veritus non fuerat : Νικήτα Βυζαντίου φιλοσόφου καὶ διδασκάλου ἔλεγχος καὶ ἀνατροπὴ τῆς σταλείσης ἐπιστολῆς ἐκ τοῦ ἄρχοντος τῆς Ἀρμενίας, ἐπὶ διαβολῇ τῆς ὀρθοδόξου ἡμῶν πίστεως, καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, ἐξ ἐπιτροπῆς τοῦ φιλοχρίστου καὶ εὐσεβεστάτου βασιλέως ἡμῶν. Ἐγράφη δὲ πρὸς τὸν ἄρχοντα ἐκ προτώπου τοῦ πατριάρχου· *Nicetæ Byzantini philosophi et doctoris refutatio epistolæ ab Armeniæ principe missæ, qua invidiose fidem nostram orthodoxam, et sanctam atque œcumenicam quartam synodum criminatur, jussu Christi amantis et piissimi nostri imperatoris. Scripta est ad principem, et patriarcham inducit loquentem.* Epistolam hanc doctissimam tum argumentorum copia et vi, tum sententiarum gravitate, et sanctorum Patrum auctoritatibus refertissimam, et vere auream, non passus inter meæ litterariæ supellectilis latebras diutius immorari, Latinitate donatam, edi curavi in primo tomo scriptorum *Græciæ orthodoxæ* hic Romæ typis sacræ Congregationis de fide propaganda anno 1652, in 4, Græce et Latine.

Ejusdem etiam sunt : Προλεγόμενα, καὶ ἐξήγησις τῶν πέντε φωνῶν· *Prolegomena et expositio quinque vocum.* P. : Μέλλοντες σὺν Θεῷ ἄρχεσθαι. In bibliothecis Italicis.

(*a*) Mirari licet, magnum Allatium, loqui nunc ex aliena potius notitia, quam ex propria. Atqui codex Vaticanus DCLXXXI, qui illa Nicetæ Byzantini adversus Mohametum Agarenosque opera continet, jamdiu exstat ante Allatium in bibliotheca Vaticana, ut nos diximus in hac *nova Patrum bibl.* T. IV, part. I, p. 321, ubi tamen nostra aliqua secundum hanc Allatii dissertationem reformanda videntur. Neque enim hic Byzantinus Nicetas idem est ac Nicetas David ; quod cum in calce tomi I *Græciæ orthodoxæ* affirmasset Allatius, nosque cum sectati fuerimus, nunc idem aliter sentit, eique nos ipsi obsequenter rursus consentimus. — Idem Allatius ignoravit codicem Latinum CCCXIV, qui pariter in bibliotheca Vaticana jamdiu exstabat ; ideoque neque A Nicetæ Aquileiensis episcopi, neque nobilium ejusdem scriptorum meminit, quæ nos, Deo laboribus nostris favente, illinc deprompsimus, scilicet *de ratione fidei, de Spiritus sancti potentia, et de diversis Christo Domino convenientibus appellationibus.* — Denique Allatius nullam facit mentionem Nicetæ episcopi Naupacti, quem pariter omnino ignorat Lequinius in *Or. ch.* T. II, col. 198 seq., ubi scribit illius urbis episcopos. Atqui ego in bibliotheca Vaticana manibus non semel contrectavi ms. ad quatuor Evangelia et ad apostolorum Actus copiosum Græcum Nicetæ episcopi Naupacti commentarium, quod egregium opus accurate posteā describam, ejusque aliquem saltem fructum cum Ecclesia publice communicabo. A. M.

Digitized by Google

ΝΙΚΗΤΑ ΒΥΖΑΝΤΙΟΥ

ΕΛΕΓΧΟΣ ΚΑΙ ΑΝΑΤΡΟΠΗ

ΤΗΣ ΣΤΑΛΕΙΣΗΣ ΕΠΙΣΤΟΛΗΣ ΕΚ ΤΟΥ ΑΡΧΟΝΤΟΣ ΤΗΣ ΑΡΜΕΝΙΑΣ
ΕΠΙ ΔΙΑΒΟΛΗ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΗΜΩΝ ΠΙΣΤΕΩΣ
ΚΑΙ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΤΕΤΑΡΤΗΣ ΣΥΝΟΔΟΥ,
ΕΞ ΕΠΙΤΡΟΠΗΣ
ΤΟΥ ΦΙΛΟΧΡΙΣΤΟΥ ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΒΑΣΙΛΕΩΣ ΗΜΩΝ.

Ἐγράφη δὲ πρὸς τὸν ἄρχοντα ἐκ προσώπου τοῦ πατριάρχου.

—

NICETÆ BYZANTINI

REFUTATIO ET EVERSIO

EPISTOLÆ AB ARMENIÆ PRINCIPE MISSÆ

QUÆ INVIDIOSE FIDEM NOSTRAM ORTHODOXAM
ET SANCTAM ET ŒCUMENICAM QUARTAM SYNODUM CRIMINATUR
JUSSU
CHRISTI AMANTIS ET PIISSIMI NOSTRI IMPERATORIS.

Scripta est ad principem, et patriarcham inducit loquentem.

(Ex Leonis Allatii *Græcia orthodoxa* t. I, p. 663.)

—

1. Cum Dei humanitate, et divinis judiciis, nec non piissimorum atque orthodoxorum nostrorum imperatorum benignitate supremam pontificatus sedem reginæ urbium gubernare in me receperim, omni studio animique alacritate rationis compotem gregem Christi nostri, inter pastores primarii, uti fas est, regere dirigereque adnitor, et ut vires ministrant, et oratio in oris apertione ab universorum Domino suggeritur, divinis sæpenumero dogmatibus instruere contendo, ne zizaniorum satori dæmoni in sincero ac purissimo frumento, vera scilicet rectaque fide et doctrina, super quam firma atque inconcussa catholica et apostolica Ecclesia fundata est, zizanias, hæreticas nempe opiniones disseminandi, noxamque divino gregi afferendi, locus sit. Quapropter licet nonnulli aulam Domini ingressi, nostrorumque arcanorum participes facti, postea ab aliquibus temerariis hominibus seducti, sive ex ignorantia, sive avita morositate oppressi, non ita recte exquisitam veritatis rationem, puramque Christianorum sententiam profitentur, hos nunc quidem consueta oris allocutione corrigere, et in veritatis rectique dogmatis norma constabilire incumbimus, nunce vero eos, quos ob longum locorum intervallum præsentes alloqui non possumus, per epistolas confirmare studemus, et

α'. Θεοῦ φιλανθρωπίᾳ, καὶ θείοις κρίμασι, καὶ εὐμενείᾳ τῶν πανευσεβῶν καὶ ὀρθοδόξων ἡμῶν βασιλέων, τὸν ἀρχιερατικὸν βαθμὸν τῆς βασιλίδος πόλεως πηδαλιουχεῖν ἀναδεδεγμένος, πάσῃ σπουδῇ καὶ προθυμίᾳ τὸ λογικὸν ποίμνιον τοῦ ἀρχιποίμενος ἡμῶν Χριστοῦ ἐννόμως διέπειν καὶ διιθύνειν ἐπείγομαι· καὶ, ὡς ἡ δύναμις ἐγχωρεῖ, καὶ λόγος ἐν ἀνοίξει τοῦ στόματος παρὰ τοῦ τῶν ὅλων χορηγεῖται, καὶ θείοις δόγμασι καταρτίζειν πυκνῶς τοῦτο ἐσπούδακα, ὡς ἂν χώραν μὴ λάβῃ ὁ τῶν ζιζανίων σπορεὺς διάβολος, καὶ τῷ ἀδόλῳ καὶ καθαρωτάτῳ σίτῳ, τουτέστι τῇ εἰλικρινεῖ καὶ ὀρθῇ πίστει καὶ διδασκαλίᾳ, ἐν ᾗ βεβαία καὶ ἀσάλευτος ἡ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία ἔστηκε, ζιζάνια, ἤγουν αἱρετικάς τινας ἐννοίας ἐπισπείρῃ, καί τινας τοῦ θείου ποιμνίου καταλυμήνηται. Διά τοι τοῦτο, εἰ καί τινες τῆς αὐλῆς Κυρίου ἐντὸς γενόμενοι, καὶ τοῦ καθ' ἡμᾶς μυστηρίου μετασχεῖν καταξιωθέντες, εἶτα ὑπό τινων εἰκαίων ἀνδρῶν καταφυρέντες, ἢ καὶ ἐξ ἀμαθείας, ἢ καὶ ἐκ προγονικῆς δυστροπίας κεκρατημένοι, καὶ μὴ λίαν ὀρθῶς τὸν ἀκριβῆ λόγον τῆς ἀληθείας καὶ καθαρᾶς δόξης τῶν Χριστιανῶν πρεσβεύοντες τυγχάνοιεν, τούτους πῇ μὲν τῇ κατὰ στόμα ὁμιλίᾳ ἐπανορθοῦν, καὶ ἐπιβεβαιοῦν εἰς τὸν τῆς ἀληθείας καὶ τοῦ ὀρθοῦ δόγματος λόγον προθυμούμεθα· πῇ δ' οἷς κατὰ πρόσωπον ὁμι-

Digitized by Google

λεῖν, ὡς πόῤῥω που διεστῶτες, ἐξαδυνατουμεν, τούτους διὰ γραμμάτων ἐπιστηρίζειν σπουδάζομεν· καὶ ἁπλῶς εἰπεῖν, πάντα τὸν περιούσιον λαὸν, καὶ τὸ βασίλειον ἱεράτευμα χρηματίσαν Κυρίου, καὶ δεομένους ὠφελείας τῆς κρειττονος, ὡς οἷόν τε, ὁδηγεῖν ἡμᾶς ἐπάναγκες. Τουτὶ γὰρ χρέος ἀφωσιωμένον ἀρχιερεῦσιν ἀεὶ καθέστηκε. Ταύτῃ τοι διαθέσει ψυχῆς καὶ πρὸς τὴν εὐκλειαν τοῦ πεποθημένου ἡμῶν τέκνου, καὶ χρονίας ἡμῖν ἀγάπης πρὸς αὐτὸν καθισταμένης, καὶ πλείστων, ὡς εἰκὸς, πρὸς τὸ γράφειν ἡμῖν συνωθούντων, ἔδοξε μᾶλλον διὰ τὸ, οὐκ οἶδ' ὅπως, ἐκ πολλοῦ χρόνου ἐν τοῖς τῆς Ἀρμενίας κλίμασι δόγματος οὐκ ὀρθοῦ ἐπεισρυέντος καὶ ἐπισκήψαντος, Σεβήρου τινὸς, φημὶ, αἱρεσιάρχου καὶ τοὺς ἐκεῖσε πάντας καταλυμηναμένου πρὸς τὸ γράφειν παρορμηθῆναι. Ὅθεν δὴ τῆς ἡμετέρας ἐπιστολῆς πολλαῖς ἀποδείξεσι χρησάμενοι, ἐν αἷς θᾶττον πρὸς τὸ δέον καὶ ὑμᾶς πεισθήσεσθαι ἐδόκουν, καὶ ἀναμυηθέντας τὸ ἀληθὲς τῆς ἀμώμου καὶ καθαρᾶς πίστεως τοῦ κατὰ Χριστὸν μυστηρίου μεθ' ἡμῶν στῆναι· καὶ ἅμα τὸν ἕνα Χριστὸν καὶ Κύριον, καὶ Θεὸν ἡμῶν τὸν ἐκ δύο φύσεων, καὶ ἐν δύο φύσεσι, καὶ δύο φύσεις ἔχοντα, μιᾷ δὲ τῇ ὑποστάσει ὄντα κυρίως δοξάσαι. Ὅπερ ἀνέκαθεν καὶ σχεδὸν εἰπεῖν ἡ ὑφήλιος πᾶσα, καὶ οἱ ἀρχιερατικοὶ πέντε θρόνοι τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας τὸ τηνικάδε ἐν τῇ Χαλκηδονέων μητροπόλει συναθροισθέντες, καὶ κατὰ πάντα ὁπαδοὶ καὶ ὁμόφρονες ταῖς πρώην τρισὶν ἁγίαις συνόδοις γενόμενοι, κατὰ μηδὲν διαφωνήσαντες συνοδικῶς ὥρισάν τε καὶ ἐθέσπισαν. Τοιγαροῦν ἕκτοτε καὶ μέχρι τῆς σήμερον οἱ ὀρθῶς καὶ εὐσεβῶς μετὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας βιοῦν ἐθέλοντες, τὴν ἐκεῖσε συγκροτηθεῖσαν σύνοδον ἁγίαν καὶ οἰκουμενικὴν τετάρτην πρὸς ταῖς ἄλλαις τρισὶν ἀσμένως ὑποδεχόμενοι, διαπαντὸς σέβουσι. Μενοῦνγε ἐλπὶς ἡμῖν οὐχ ἡ τυχοῦσα παρῆν, ὅπως ἐκ τῆς ἡμετέρας ἐπιστολῆς πεισθέντες, ὅτι τάχιστα τῆς χείρονος δόξης μεταστήσητε, καὶ πρὸς τὸ παρ' ἡμῶν ὀρθὸν δόγμα τῆς ἀληθείας πρεσβευόμενον, ἤγουν τὸ δοξάζειν δύο φύσεις καὶ μίαν ὑπόστασιν ἐπὶ τῆς οἰκονομίας Χριστοῦ, εὐμαρῶς μεταπέσοιτε.

β'. Ἐπεὶ οὖν τὸ ἐλπιζόμενον ἡμῖν εἰς πέρας οὐκ ἐκβέβηκεν, ἀλλὰ καὶ πρὸς τὰ γραφέντα ἐδυσχέρανας· καὶ οὐ μόνον τοντὶ, ἀλλὰ καὶ ἀντειπεῖν καὶ ἀντιῤῥητικοὺς ἡμῖν λόγους γράψαι ἐπειράθης, τούτου χάριν πυρωθεὶς τῷ θείῳ ζήλῳ, καὶ τὴν τῆς σιωπῆς ὑφορώμενος δίκην, οὐδ' ἐνταυθοῖ ἀτημέλητόν σε καὶ ἀθεράπευτον καταλιπεῖν ᾠήθημεν. Διὸ ὅσα μὲν ἐν τῷ γράμματί σου ἐπὶ διαβολῇ τῆς ἡμετέρας ἀληθινῆς ὁμολογίας ἐμφέρεται, καὶ ἄξια ποσῶς λόγου ὄντα, ταῦτα εἰς μέσον ἀγαγόντες, ἀνατρέψαι πειρασόμεθα. Τοιγάρτοι μικρὸν μετὰ τὸ προοίμιον τῆς σῆς ἐπιστολῆς οἱονεὶ ἐπισφίγγων καὶ ἐπισυνδέων τὴν τῆς ἀγάπης κτῆσιν μετὰ τὴν εἰς μίαν ὁμολογίαν τῆ; ἀληθινῆς καὶ ἀμωμήτου πίστεως, σπουδάζων τοὺς ὁμοτρόπους ἐν οἴκῳ Κυρίου φωτίζεσθαί τε καὶ καταρτίζεσθαι· *Εἰ καί τινες ἀπέδρασαν ἐκ ταύτης τῆς καλῆς καὶ ὀρθῆς ὁμολογίας, ἧς παρέδωκαν οἱ ἅγιοι ἀπόστολοι, καὶ κατώρθωσαν αἱ ἅγιαι τρεῖς σύνοδοι*, καὶ τὰ ἑξῆς, ἀριδηλότατα ἡμῖν διὰ τούτων

ut verbo extricem universo populo accepto, et regio sacerdotio, quod fuerat Domini, necnon potioris utilitatis indigenti pro viribus viam commonstrare necessarium est: hoc etenim semper est proprium antistitum munus atque officium. Propterea tum inclinatione voluntatis qua ad gloriam nostri desideratissimi filii propendemus, tum amore diuturno, quo eum prosequimur, plerisque etiam ad scriptionem compellentibus, visum est satius, propter nescio qua ratione multo ab hinc tempore in regionibus Armenorum dogma non rectum, Severi cujusdam hæresiarchæ jam per omnes eas partes introductum, quod desæviens omnes ibi habitantes summopere lædit, ad scribendum animum applicare, ut inde nostræ epistolæ plerisque demonstrationibus usi, quibus quantocius vos ad id, quod æquum est, reduci existimo: et de novo veritatem inculpatæ sinceræque fidei Christiani mysterii edocti una cum nobis sentiatis, et simul unum Christum et Dominum, et Deum nostrum, qui ex duabus naturis, et in duabus naturis, et duas naturas habet cum unica hypostasi, uti est, teneatis, quod ab antiquo tempore, et fere, ut ita dicam, universus terrarum orbis, et quinque archieraticæ sedes catholicæ et apostolicæ Ecclesiæ tum in Chalcedonensium metropoli coacti, in omnibus consortes ac concordes, et a primis tribus synodis minime in aliquo discrepantes ex synodi sententia decreverunt et determinarunt. Quapropter ex eo tempore ad hunc diem, qui recte pieque cum catholica et apostolica Ecclesia vivere satagunt, ibi coactam synodum sanctam, et œcumenicam quartam, præ aliis tribus lubenter exosculati per omnia venerantur. Spes itaque certa nos tenet, vos nostra hac epistola persuasos, abjecta omni cunctatione a pessima vestra sententia recessuros, et ad rectum veritatis dogma, quod nos profitemur, nempe in œconomia Christi duas naturas, et unam hypostasim esse, facili negotio relapsuros.

2. Cum ergo, quod nos sperabamus, finem non habuerit, imo scriptis etiam nostris exasperatus tum et contra ire, et refutatoriam quoque orationem scribere conatus es, ideo divino zelo succensi, crimen silentii et accusationem effugientes, te neglectum et incuratum deserere operæ pretium esse non duximus. Quare quæcunque in epistola tua nostram veram professionem calumniatus attexuisti, aliquo tamen modo non indigna consideratione in medium afferentes, redarguere conabimur. Atqui paulo post tuæ epistolæ proœmium, quasi astringens et alligans mutuam amicitiam cum una veræ et immaculatæ fidei professione, studensque ut tui similes in domo Domini illuminentur et instruantur: *Licet nonnulli*, ais, *ex proba hac rectaque professione recesserint, quam sancti apostoli tradiderunt, et sanctæ tres synodi perfecerunt*, etc., manifestissime nobis per hæc tuam opinionem indicasti, laudibus extollens et beatos eos existimans, quibus cum divino

Digitized by Google

amore veræ fidei professio una est. At quænam hæc fuerit verissima professio, quam apostoli tradiderunt, et tres sanctæ synodi constabiliverunt, licet aliqui ex hac recta fide rebellarint, omnino dices tuam, quæ unius naturæ unum Christum et Deum nostrum ex diversis naturis post unionem factum profitetur, et ex duabus naturis et duas naturas habere in una hypostasi pernegat. Hunc enim compositionis modum in divini Verbi unione cum carne factum fuisse palam infra declamas. Heu rem miram! Quanam tu ratione testes oculatos et divinos veritatis præcones, necnon sanctos ac deiferos viros aliis atque aliis temporibus ad synodos congregatos tandem culpas et contumelia oneras? Quis enim ex iis, qui res dijudicandi peritia pollent, traditam esse, aut confirmatam dicet apud Verbi ministros, aut Patres divinos, quam tu profiteris sententiam, quæ asserat, Christum unius naturæ post unionem esse, et ex duabus unionem confectam, in duabus vero, aut duas esse naturas post unionem inficietur? Propterea accedat princeps apostolorum Petrus per suam confessionem, te quæ dixisti mentitum esse manifesto evincens et, per eum universus apostolorum cœtus. Etenim Christus Dominus et Deus noster dixit apostolorum principi Petro: *Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam, et portæ inferi non prævalebunt adversus eam* [1]. Hæc porro Dominus Petro dixerat, cum Domino semetipsum hominem nuncupanti Petrus enuntiasset, *Tu es Christus Filius Dei vivi* [2]. Tum vero in Christo Domino et Deo nostro hæc duo dicta copulata sunt, confirmatumque est, et Deum esse, et hominem. Si itaque ambæ hæ deitatis et humanitatis rationes, cum Christus Dominus et Deus noster unus exsistat, post ipsius unionem de eo dicuntur, et unus et idem est sempiternus Filius ante omnia sæcula a Patre sine tempore et mutatione prognatus, qui est una sanctissimæ Trinitatis hypostasis, Deus Patri secundum æternitatem æqualis, paternam essentiam et naturam in se perpetuo habens, sed qui extremis temporibus ex Spiritu sancto et Maria Virgine carnem et humanitatem assumpsit, hic æternus Filius sine ulla mutatione factus tanquam unus ex hominibus, per omnia præ uno peccato, nostra, quam ipse non habebat, natura acceptа, in eo divina, quam ab æterno possidebat, permanente, manifestum est, in duabus naturis, et duas naturas possidere, qui unus est hypostasi Christus post unionem, si modo compellationes *Deus* et *homo* naturas indicant, tanquam quæ de multis dicuntur. Confessionis itaque de Christo verum dogma in Chalcedone celebratæ divinæ synodi sanctorum Patrum definitio recte decernit, Christum determinans, unam esse ex sancta Trinitate hypostasim duas naturas habentem, naturam divinam et naturam humanam.

A ἐνέφηνας τὴν σεαυτοῦ δόξαν ἀποσεμνύνων, καὶ μακαριστοὺς εἶναι οἰόμενος, οἷς ἂν μετὰ τῆς ἐνθέου ἀγάπης καὶ ἡ τῆς ἀληθοῦς πίστεως ὁμολογία μία πάρεστι. Τίς δὲ αὕτη ἡ ἀληθεστάτη ὁμολογία, ἣν οἱ ἀπόστολοι παρέδωκαν, καὶ αἱ ἅγιαι τρεῖς σύνοδοι κατώρθωσαν, εἰ καί τινες ἐκ ταύτης τῆς ὀρθῆς πίστεως ἀπεδυσπέτησαν; Πάντως ἐρεῖς τὴν σεαυτοῦ, ἥτις μιᾶς φύσεως τὸν ἕνα Χριστὸν καὶ Θεὸν ἡμῶν ἐκ διαφόρων φύσεων μετὰ τὴν ἕνωσιν ἀποτελεσθέντα ὁμολογεῖ, καὶ ἐκ δύο φύσεων, καὶ δύο φύσεις ἔχοντα ἐν μιᾷ ὑποστάσει ὄντα ἀρνεῖται. Τοῦτον γὰρ τὸν τρόπον τῆς συνθέσεως παρακατιὼν ἐν τῇ τοῦ Θείου Λόγου πρὸς σάρκα ἑνώσει γεγενῆσθαι σαφῶς διαγορεύεις. Βαβαὶ τοῦ θαύματος! Πῶς εἰς τοὺς αὐτόπτας καὶ θείους κήρυκας τῆς ἀληθείας, ἀλλὰ μὴν καὶ τοὺς B κατὰ διαφόρους χρόνους συνοδικῶς συνειλεγμένους ἁγίους καὶ θεοφόρους ἄνδρας τοσοῦτον ἐπιχέεις τὸν μῶμον; Τίς γὰρ τῶν ὑγιῶς κρίνειν εἰδότων, παραδεδόσθαι, ἢ βεβαιοῦσθαι φήσειε παρὰ τοῖς ὑπηρέταις τοῦ λόγου, ἢ τοῖς θείοις Πατράσι τὴν οὑτωσὶ παρὰ σοῦ πρεσβευομένην δόξαν, τὴν φάσκουσαν τὸν Χριστὸν μιᾶς φύσεως μετὰ τὴν ἕνωσιν εἶναι, καὶ ἐκ δύο μὲν ἀποτελεσθεῖσαν τὴν ἕνωσιν, ἐν δύο δὲ, ἢ δύο εἶναι τὸ φύσει μετὰ τὴν ἕνωσιν ἀπαγορεύουσαν; Διὸ εἰσαχθήτω ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος, διὰ τῆς ἑαυτοῦ ὁμολογίας ψευδηγοροῦντά σε δεικνύων, καὶ δι' ἐκείνου ἅπας ὁ τῶν ἀποστόλων σύλλογος. Καὶ γὰρ Χριστὸς ὁ Κύριος καὶ Θεὸς ἡμῶν τῷ τῶν ἀποστόλων ἔφη κορυφαίῳ Πέτρῳ· *Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι* C *ᾅδου οὐ κατισχύσουσιν αὐτῆς*. Τοῦτον δὲ τὸν λόγον ὁ Κύριος ἔφη τῷ Πέτρῳ, ἡνίκα πρὸς τὸν Κύριον, ἑαυτὸν Υἱὸν ἀνθρώπου κεκληκότα, Πέτρος εἶρηκε· *Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος*. Καὶ συνήχθησαν ἐπὶ Χριστοῦ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν ἀμφότεροι οἱ λόγοι, καὶ πεπίστωται, ὅτι καὶ Θεὸς καὶ ἄνθρωπός ἐστιν. Εἰ οὖν ἀμφότεροι οἱ λόγοι, τῆς θεότητος, φημὶ, καὶ τῆς ἀνθρωπότητος τοῦ ἑνὸς ὄντος Χριστοῦ καὶ Κυρίου καὶ Θεοῦ ἡμῶν, μετὰ τὴν ἕνωσιν αὐτοῦ κατηγοροῦνται, καὶ εἷς καὶ ὁ αὐτός ἐστιν ὁ ἀΐδιος Υἱὸς, ὁ πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς ἀχρόνως καὶ ἀπαθῶς γεγεννημένος, ὅς ἐστιν ὑπόστασις μία τῆς ἁγίας Τριάδος, Θεὸς ἴσος τῷ Πατρὶ κατὰ τὴν ἀϊδιότητα, τὴν πατρικὴν οὐσίαν καὶ φύσιν ἀϊδίως ἐν ἑαυτῷ ἔχων, ἐπ' ἐσχάτων δὲ τῶν D ἡμερῶν ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου σαρκωθεὶς, καὶ ἐνανθρωπήσας, οὗτος ὁ ἀΐδιος Υἱὸς ἀτρέπτως καὶ ἀναλλοιώτως, καὶ γεγονὼς ὡς εἷς τῶν ἀνθρώπων κατὰ πάντα, χωρὶς ἁμαρτίας, προσειληφὼς τὴν ἡμετέραν, ἣν οὐκ εἶχε, φύσιν, μεμενηκυίας αὐτῷ τῆς θείας, ἣν ἀϊδίως προεῖχε, φύσεως· φανερὸν, ὅτι ἐν δύο φύσεσι καὶ δύο φύσεις ἔχων ἐστὶν ὁ εἷς τῇ ὑποστάσει Χριστὸς μετὰ τὴν ἕνωσιν· εἴπερ τὸ *Θεὸς* ὄνομα καὶ *ἄνθρωπος* φύσεών εἰσι δηλωτικά, ὡς κατὰ πολλῶν φερόμενα. Οὐκοῦν τὸ τῆς εἰς Χριστὸν ὁμολογίας τοῦ Ἀποστόλου ἀληθινὸν δόγμα ὁ τῆς ἐν Χαλκηδόνι συγκεκροτημένης θείας συνόδου τῶν ἁγίων Πατέρων ὅρος ὀρθοτομεῖ, τὸν Χριστὸν ὁρίζων μίαν ὑπόστασιν ἐκ τῆς ἁγίας Τριάδος εἶναι, δύο φύσεις ἔχοντα, φύσιν θείαν καὶ φύσιν ἀνθρωπίνην.

[1] Matth. xvi, 18. [2] Ibid. 16.

Digitized by Google

γ'. Καὶ σαφὲς τούτου παράδειγμα, εἰ θέλεις συνορᾷν, ὧδε· Προκείσθωσαν οὖν χρύσινοι τρεῖς, ὁ εἷς ἐμβληθεὶς πυρὶ, καὶ πυρωθεὶς ἐγένετο πῦρ, μεμενηκὼς χρυσὸς, οἷος ἦν. Σὺ οὖν εἰ θείης ἐν μέρει μὲν τοὺς ἄλλους δύο χρυσίνους, ἐν μέρει δὲ πολλοὺς ἀνθρακας πυρίνους, εἶτα τὸν χρύσινον τὸν πυρωθέντα, καὶ πῦρ γενόμενον μεταξὺ τῶν ἄλλων δύο χρυσίνων καὶ τῶν ἀνθράκων, τὸν διάμεσον ἐὰν θείης χρύσινον ἔχοντα τήν τε φύσιν τῶν ἄλλων δύο χρυσίνων τελείαν, τουτέστιν ὄντα χρυσὸν, ὡς τοῖν δυοῖν ἐκείνοιν τοῖν χρυσίνοιν ἑκάτερον, καὶ τῶν ἀνθράκων φύσιν, ἐπειδὴ πῦρ ἐστιν, ὥσπερ τῶν ἄλλων ἀνθράκων ἕκαστος· τὸν αὐτὸν δὴ τρόπον ὁ ἀΐδιος Υἱὸς ἐξ οὐρανοῦ καταβὰς, οὐχ ὑπόστασιν ἐξ ἡμῶν, ἀλλὰ τὴν ἡμετέραν φύσιν ἔλαβε, καὶ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, ὡς ὁ θεῖος ἀπόστολος Παῦλος λέγει, *πεπειρᾶσθαι κατὰ πάντα καθ' ἡμετέραν ὁμοιότητα χωρὶς ἁμαρτίας*. Τοίνυν οὖν ὁ ἀΐδιος Υἱὸς ἔχει τήν τε τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, ἣν ἀεὶ προεῖχε φύσιν, τὴν ἡμετέραν ἀνθρωπίνην φύσιν μετὰ καὶ τὴν ἑαυτοῦ σάρκωσιν, μία ὑπάρχων ἐκ τῆς ἁγίας Τριάδος ὑπόστασις, τῆς ἁγίας Τριάδος προσθήκην οὐκ εἰσδεξαμένης. Εἰ δὲ τοῦτο φανερὸν καὶ τοῖς μικρὰ δυναμένοις συνορᾷν ἔστιν, ὅτι τὴν σεαυτοῦ δόξαν, τὴν περὶ μιᾶς φύσεως τοῦ Χριστοῦ, οὔτε τῶν ἁποστόλων ὁ χορὸς παρεδέδωκεν, οὔτε μὴν αἱ ἅγιαι τρεῖς σύνοδοι, αἱ κατὰ διαφόρους καιροὺς παρ' εὐσεβῶν βασιλέων προνοίᾳ Θεοῦ συναθροισθεῖσαι, αἷς καὶ αὐτὸς διὰ τοῦ σοῦ γράμματος συνομολογεῖς, καὶ ἀποδέχῃ, ἐπεὶ καθαιρέσει μὲν τῆς τοῦ Ἀρείου, καὶ Μακεδονίου, καὶ Νεστορίου κακοδοξίας πρῶτον σύνοδοι συναγηγερμέναι, αἱ μὲν πρότεραι δύο τὴν ἐπὶ θεολογίᾳ ὀρθὴν ὁμολογίαν ἐτράνωσάν τε καὶ ἐθέσπισαν, τοῦ ὁμολογεῖν ἀληθῶς τὸν ἀΐδιον Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσια τῷ Πατρὶ καὶ ὁμοφυῆ, καὶ τῆς αὐτῆς καὶ μιᾶς θεότητος, ἰσοκλεῶς τῷ Πατρὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα μετέχειν, καὶ ἕνα Θεὸν τὰ τρία δοξάζειν, κἂν τρία ταῖς ἰδιότησι πιστεύηται, καὶ μηδέτερον εἰς κτίσμα τούτων κατάγειν. Λῦται δὲ περὶ μιᾶς φύσεως τοῦ κατὰ Χριστὸν μυστηρίου οὐδαμῶς ἐθέσπισάν τε καὶ ὥρισαν. Ἡ δὲ πρώτη μὲν ἐν Ἐφέσῳ, τρίτη δὲ πρὸς ταῖς δυσὶν οἰκουμενικὴ ἁγία σύνοδος, αὕτη μὲν τὴν τοῦ Νεστορίου κακοδοξίαν θριαμβεύσασα, ἥτις τὸν ἕνα Χριστὸν καὶ Κύριον καὶ Θεὸν ἡμῶν εἰς δύο υἱοὺς καὶ δύο πρόσωπα κατατεμεῖν ἐτόλμησε, καὶ τὴν πάναγνον καὶ ἁγίαν Παρθένον *Θεοτόκον* καλεῖν ἀπηρυθριασμένως ὁ δείλαιος οὐκ ἠξίου, μᾶλλον μὲν οὖν *Χριστοτόκον*, ὡς ψιλὸν ἄνθρωπον γεννήσασαν. Τὰς γὰρ δύο φύσεις τοῦ Ἐμμανουὴλ, ἐξ ὧν καὶ ἐν αἷς ὁ Χριστὸς ἐθεωρεῖτο, ἤγουν τὴν θεότητα, φημὶ, καὶ τὴν ἀνθρωπότητα, ἀνὰ μέρος τιθεὶς, καὶ ἰδιοσυστάτως ταύτας ὁμολογῶν, καὶ φύσιν ἀπρόσωπον μὴ δοξάζων, καὶ διὰ τοῦτο ὅσαι μὲν αἱ φύσεις, τοσαῦτα καὶ τὰ πρόσωπα συνεισάγων, καὶ σχετικὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τὸν ἐκ Μαρίας γεννηθέντα ὁμολογεῖ. Τοιγάρτοι τοῦτον ἀναθεματίσασα, ἐθέσπισέ τε καὶ ἐκύρωσε τὴν κατ' ὑπόστασιν

3. Et præclarum hujusce rei exemplum, dummodo id non rennas, tibi habeto. Sint aurei nummi tres : unus in ignem conjectus et ignitus factus est ignis, remanens id quod prius erat aurum. Tu porro si seposueris alios duos nummos aureos in una parte, et ex alia multos carbones ignitos, postmodum ignitum illum aureum, et ignem jam factum inter alios duos aureos et carbones conjicias, medium nummum aureum intueberis naturam aliorum duorum aureorum habentem perfectam, tanquam qui aurum est, quemadmodum et duo alii aurei, carbonum quoque naturam, quando ignis est, sicut et ex aliis carbonibus quilibet. Non alia ratione sempiternus Filius de cœlo descendens non a nobis hypostasim, sed naturam accepit, et factus est tanquam unus ex nobis. Et divinus Paulus apostolus asseverat, *tentatum fuisse per omnia secundum nostram similitudinem absque peccato* [3]. Igitur sempiternus Filius habet Patris et Spiritus sancti, quam semper antea possederat, naturam, et nostram humanam, post suam incarnationem, cum sit una sanctæ Trinitatis hypostasis, nullo sanctæ Triadis additamento. Id si ita est, manifestum sit iis, qui pusilla etiam capere possunt, tuam de una Christi natura sententiam, neque apostolorum cœtum, neque tres sanctas synodos diversis temporibus a piis imperatoribus divina Providentia congregatas, quas et ipse per tuam epistolam recipis, et eodem atque nos animo voluntateque probas, tradidisse. Ad refellendas equidem Arii, Macedonii et Nestorii vesanas opiniones illæ coactæ sunt, primæ duæ professionem de Deo rectam exposuerunt, et decreverunt, ut omnes vere profitentur, sempiternum Filium et Verbum Dei et Patris, necnon et sanctum Spiritum ejusdem essentiæ naturæque esse cum Patre, et eamdem et unam divinitatem æquali gloria cum Patre Filium et Spiritum sanctum participare, et unum Deum tria hæc confiteri, licet proprietatibus tria esse credantur, et ex his neutrum ad creaturas deferre. Et hæ de una natura mysterii secundum Christum nihil sanciverunt, aut definiverunt. Prima autem Ephesina, sed tertia ordine œcumenica sancta synodus, Nestorii hæresi debellata, qui unum Christum et Dominum et Deum nostrum in duos filios, et duas personas dividere ausus, immaculatissimam sanctamque Virginem vocitare *Deiparam* inverecunde nimis miser renuebat, sed potius *Christiparam*, tanquam, quæ purum hominem genuisset : namque duas Emmanuelis naturas, ex quibus et in quibus Christum contemplamur, deitatem nempe et humanitatem per se unam quamque separans, et æque ac si propria hypostasi subsisterent asseverans, et absque persona naturam nullam agnoscens, et propterea tot personas, quot erant naturæ, introducens, secundum habitudinem unionem Dei Verbi ad eum, qui ex Maria prognatus erat, asserebat, eumdem anathemate feriit, decre-

[3] Hebr. IV, 15.

Digitized by Google

vitque et constituit unionem essentialem et secundum hypostasim duarum naturarum, deitatis scilicet et humanitatis, in uno Christo, una nempe hypostasi observari. Nullo itaque modo sancta synodus, vesani Nestorii opinionem, quæ duas in Christo personas astruebat, condemnans, unam in Christo naturam prorsus asserendam esse decernit. Etenim neque prima sancta synodus, quæ tres naturas in divinis, quæ erat Arii opinio, sustulit, protinus et triadem hypostaseon denegavit. Sic et Ephesina tertia synodus de duabus hypostasibus sententiam anathemate feriens, non statim et naturarum diversitatem condemnavit. Quinimo ad stabiliendam secundum hypostasim et essentialem unionem naturarum unius Christi, deitatis et humanitatis, hominis exemplum usurpavit, qui ex duabus naturis, corporea atque incorporea conflatus, in duabus naturis consideratur, licet una tantum hypostasis sit quicunque homo. Et quamvis exemplum de homine particulari non in omnibus assimilatur unioni Christi, eo tamen solummodo ad insanam Nestorii opinionem refellendam usa est, qui palam affirmabat nullam esse absque propria persona naturam, fierique non posse, ut duæ naturæ secundum hypostasim et essentialiter unitæ in una hypostasi observentur, quæ non inferant et duas personas, quod unionem schesticam, sive secundum habitudinem, efficit, ideoque duos filios et duos Christos miser deprædicabat. Hanc falsam opinionem dirimens, hominis exemplum usurpavit. Imo plerosque deiferos Patres in sancta tertia synodo Ephesina divus Cyrillus in medium adduxit, stabiliens secundum hypostasim unionem in una hypostasi, qui est Christus in diversis naturis agnitus. Quod vero in diversis naturis agnoscitur, omnino in illis est, in quibus agnoscitur. Cum itaque oratio demonstraverit de una Christi natura confessionem, neque ab apostolis fuisse assertam, neque a sanctis tribus synodis constabilitam, frustra falsa fabularis enuntians, eam a sanctis apostolis traditam, et a sanctis tribus synodis fuisse confirmatam : nam oratio potius naturarum diversitatem in uno Christo repræsentavit. Illud autem rursum asserere, *etsi nonnulli ex hac sententia* nempe affirmante, unius esse naturæ Christum post unionem, *transfugerunt*, ad eos scilicet, qui duas naturas Christum habere post unionem profitentur, quosnam ignorantiæ terminos non exsuperat? Quis enim non novit partem a toto, minus a multesimo decedere? Et non contra. Quapropter qui vestræ sunt sententiæ, si ad eos, qui nostræ sunt, comparentur, minimam atque infimam partem occupare comperientur. Quare indecore agis dicens nos ex vestra sententia aufugisse. Quin, ut potius verum dicam, vos a nobis decessistis.

4. Infra etiam in epistola tua nolens sanctam et universalem synodum admittere, quam nos inter reliquas alias sanctas tres synodos annumeramus,

A καὶ οὐσιώδη ἕνωσιν τῶν δύο φύσεων, τῆς θεότητος, λέγω, καὶ τῆς ἀνθρωπότητος ἐν τῷ ἑνὶ Χριστῷ, ἤγουν τῇ μιᾷ ὑποστάσει θεωρεῖσθαι. Οὐδαμῶς οὖν ἡ ἀναιροῦσα ἁγία σύνοδος τὸ τοῦ ματαιόφρονος Νεστορίου φρόνημα, τὸ δοξάζον ἐπὶ Χριστοῦ δύο πρόσωπα, συνεισάγει ἐξάπαντος τὸ μίαν φύσιν ἐπὶ Χριστοῦ ὁμολογεῖν. Καὶ γὰρ ἐπὶ τῆς θεολογίας, οὐχ ἡ ἀναιροῦσα πρώτη ἁγία σύνοδος τὸ τρισσὸν τῆς ὁμολογίας τῶν φύσεων τὸ τοῦ Ἀρείου φρόνημα, ἤδη καὶ τὸ τρισσὸν τῆς ὑποστάσεως ἀνῄρει. Οὕτως καὶ ἡ ἐν Ἐφέσῳ ἁγία τρίτη σύνοδος ἀναθεματίσασα τὸ διττὸν τῶν ὑποστάσεων φρόνημα, οὐκ ἤδη καὶ τὸ τῶν φύσεων διάφορον ἀνεῖλε. Μενοῦνγε πρὸς βεβαίωσιν τῆς καθ' ὑπόστασιν καὶ οὐσιώδους ἑνώσεως τῶν φύσεων τοῦ ἑνὸς Χριστοῦ, φημὶ δὲ τῆς θεότητος καὶ ἀνθρω-
B πότητος, καὶ τόν τινα ἄνθρωπον ὑποδείγματος χάριν προσείληφεν, ὃς ἐκ δύο μὲν φύσεων, σώματός τε, φημὶ, καὶ ἀσωμάτου, τὴν σύνθεσιν ἔσχηκε, καὶ ἐν δύο φύσεσι θεωρεῖται, μία τις ὑπόστασις οὖσα ὁ καθέκαστα ἄνθρωπος. Καὶ οὐ κατὰ πάντα ἐξομοιούμενον τὸ παράδειγμα τοῦ τινος ἀνθρώπου πρὸς τὴν κατὰ Χριστὸν ἕνωσιν, ἀλλὰ μόνον πρὸς τὴν τοῦ Νεστορίου κακόνοιαν ἀποτεινομένη, ὃς τρανῶς ἔφασκε, μὴ εἶναι φύσιν χωρὶς οἰκείου προσώπου, καὶ ἀδύνατόν ἐστιν ἰδεῖν δύο φύσεις καθ' ὑπόστασιν, καὶ οὐσιωδῶς ἡνωμένας ἐν μιᾷ ὑποστάσει, μὴ συνεισαγούσας καὶ δύο πρόσωπα, ὅπερ ποιεῖ σχετικὴν ἕνωσιν, καὶ διὰ τοῦτο δύο υἱοὺς, καὶ δύο Χριστοὺς, ὁ δείλαιος ἐκήρυττε. Ταύτῃ τοι τὴν ψευδῆ δόξαν ἀναι-
C ροῦσα τῷ τινος ἀνθρώπου παραδείγματι ἐχρήσατο. Ἀλλὰ καὶ πολλοὺς τῶν θεοφόρων Πατέρων εἰς τὴν κατ' Ἔφεσον ἁγίαν τρίτην σύνοδον προκεκόμικεν ὁ ἐν ἁγίοις Κύριλλος, συνιστῶν τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐν μιᾷ ὑποστάσει, ὃς ἐστιν ὁ Χριστὸς ἐν διαφόροις φύσεσι γνωριζόμενος. Τὸ δ' ἐν διαφόροις φύσεσι γνωριζόμενον πάντως καὶ ἐν ἐκείναις ἐστὶν, ἐν αἷς καὶ γνωρίζεται. Ἐπεὶ οὖν ὁ λόγος παρέστησεν, ὅτι τὴν περὶ μιᾶς φύσεως τοῦ Χριστοῦ ὁμολογίαν, οὔτε τις τῶν ἀποστόλων εἴρηκεν, οὔτε μὴν ἐκ τῶν ἁγίων τριῶν συνόδων ἐβεβαιώθη, Μάτην ψευδοεπεῖς, λέγων, ὅτιπερ ἐκ τῶν ἁγίων ἀποστόλων παρεδόθη, ἐκ δὲ τῶν ἁγίων τριῶν συνόδων ἐβεβαιώθη· ὁ λόγος γὰρ μᾶλλον τῶν φύσεων τὸ διάφορον ἐν τῷ ἑνὶ Χριστῷ παρέστησε. Τὸ δὲ πάλιν εἰρηκέναι, *εἰ καί τινες*
D *ἐκ ταύτης* (ἤγουν τῆς δόξης, τῆς λεγούσης μιᾶς φύσεως εἶναι τὸν Χριστὸν μετὰ τὴν ἕνωσιν) *ἀπέδρασαν*, ὡς δῆθεν τοὺς δύο φύσεις τὸν Χριστὸν ἔχειν μετὰ τὴν ἕνωσιν ὁμολογοῦντας, ἐξ αὐτῶν ἀποδεδρακέναι, ποίας ἀμαθίας ἀνάμεστον οὐκ ἂν εἴη; Τίς γὰρ οὐ σύνοιδεν, ὅτι τὸ μέρος ἐκ τοῦ ὅλου, τὸ ὀλιγοστὸν ἐκ τοῦ πολλοστοῦ ἀποδρᾷν εἴωθεν· οὐ μὴν ἔμπαλιν; Διὸ οἱ τὴν ὑμετέρας δόξης πρὸς τοὺς τὴν ἡμετέραν πρεσβεύοντας εἰ παραβληθείεν, τὸ ὀλιγοστὸν ἂν καὶ ἐλάχιστον μόριον ἔχοντες φανεῖεν. Ὥστε οὐ δεῖ ἀποφαίνεσθαί σε, ἡμᾶς ἀποδεδρακέναι ἐκ τῆς ὑμετέρας δόξης, ἀλλὰ μᾶλλον τἀληθὲς εἰπεῖν, ὑμᾶς ἐξ ἡμῶν.

δ'. Παρακατιὼν δὲ ἐν τῷ γράμματί σου, καὶ ἀποδυσπετῶν πρὸς τὴν ἀποδοχὴν τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, διὰ τὸ ἡμᾶς συναριθμιον

Digitized by Google

ποιῆσαι τῷ ἀριθμῷ τῶν λοιπῶν ἁγίων τριῶν συνόδων, καὶ ὥσπερ ἐξ εὐλόγου αἰτίας ταύτην ἀπαναινόμενος, τοιάδε γράφεις· *Οἶδα μὲν, ὅτι οὐκ ἔστι κεκρυμμένος εἰς ὑμᾶς ὁ τρόπος τῆς τετάρτης συνόδου, ὅτι ἐν τῷ γράμματι αὐτῆς ἡ ἁγιωσύνη σου ἐμνήσθη ταύτην τὴν σύνοδον, καὶ ἔταξεν αὐτὴν μετὰ τῶν λοιπῶν τριῶν συνόδων, καὶ θέλει καὶ ἡμᾶς ταύτην δέχεσθαι, ἣν οὐκ ἐδέξαντο οἱ Πατέρες ἡμῶν, οὔτε οἱ διδάσκαλοι ἡμῶν, ἐπιστάμενοι τὴν κενοφωνίαν αὐτῆς ἐκ τῶν λοιπῶν τριῶν συνόδων, τῶν διαγνωσθέντων, καὶ κηρυξάντων ὅλῳ τῷ κόσμῳ τὸν ἕνα Χριστὸν καὶ Υἱὸν καὶ Κύριον, ἑνωθέντα ἐκ δύο φύσεων, ἀσυγχύτως, καὶ ἀτρέπτως, καὶ ἀχωρίστως, τῆς αὐτῆς συνόδου εἰς δύο φύσεις κεχωρισμένας λεγούσης, καὶ ἐνεργείας, καὶ θελήσεις, ὁμοφωνήσασα τῷ Νεστορίῳ, πλὴν εἰς τὰ δύο πρόσωπα· ἐκείνου μὲν λέγοντος δύο πρόσωπα, αὐτῆς δὲ δοξαζούσης ἕν, καὶ διὰ τοῦτο τοὺς ὀρθοδόξους χλευάσασα, ὅτι οὐ συμφωνεῖ τῷ Νεστορίῳ.* Θαυμάζειν μοι ἔπεισι τοιαῦτα γράφοντός σου· οὐδὲ γὰρ συνῆκας, ὡς γέ μοι δοκεῖ ἐκ τῶν σῶν ῥημάτων, τῆς ἁγίας τετάρτης συνόδου τό τε βούλημα καὶ τὴν πραγματείαν. Οὐδαμοῦ γὰρ φαίνεται ἡ τοιαύτη ἁγία σύνοδος, δύο φύσεις κεχωρισμένας ἰδιοσυστάτως οὔσας, καὶ καθ' ἑαυτὰς ἀνὰ μέρος ὑπαρχούσας ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου δοξάζουσα, εἰ καὶ ἀδίκως παρ' ὑμῶν συκοφαντεῖται, μᾶλλον μὲν οὖν τὰς παρ' ἑκάτερα τῆς μεσότητος, ἤγουν τῆς ἀληθείας, δόξας, ψηφιεῖ δὲ τὸν πλεονασμὸν καὶ τὴν ἔνδειαν, ἐκτροπὰς οὔσας τῆς μεσότητος, καὶ διὰ τοῦτο ψευδεῖς οὔσας ἐξοστρακίσασα, τὴν μέσην τάξιν ἔχουσαν δόξαν, ἀληθείας ἐχομένην ἐκράτυνε. Καὶ γὰρ ὥσπερ ἐπὶ τῆς θεολογίας ἡ μεσότης φαίνεται ἔχουσα τἀληθὲς δόγμα τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ὁ δὲ πλεονασμὸς καὶ ἡ ἔνδεια τὸ ψεῦδος (ὃς γὰρ διὰ τὸ τρισσὸν τῆς ὑποστάσεως καὶ διάφορον, καὶ τὸ τρισσὸν τῶν φύσεων δοξάσειε, ναὶ μὴν καὶ ὃς διὰ τὸ ἑνιαῖον τῆς φύσεως, καὶ τὸ μοναδικὸν τῆς ὑποστάσεως συνεισφέροι, τάχα μοι δοκεῖ καὶ τῇ ἀληθείᾳ, τῇ κατὰ πλεονασμὸν καὶ ἔνδειαν δόξῃ νενοσηκέναι. Ὅπερ πέπονθεν Ἄρειός τε καὶ Σαβέλλιος ὁ Λίβυς, τὰ ἐκ διαμέτρου κακὰ, καὶ ὁμότιμα τὴν ἀσέβειαν. Ἡ δὲ τῆς ἀληθείας ὁδὸς μέση τις οὖσα, καὶ τοῦ μὲν τὸ τρισσὸν τῶν φύσεων, τοῦ δὲ τὸ συγχυτικὸν καὶ μοναδικὸν τῆς ὑποστάσεως ἐξοστρακίσασα, ἕνα Θεὸν, ἤγουν μίαν οὐσίαν καὶ φύσιν, καὶ τρεῖς ὑποστάσεις ὁμοουσίους ἐπὶ τῆς θεολογίας τρανῶς ἀνακηρύττει. Ὅπερ εὐσεβῶς ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος ἐθέσπισέ τε καὶ ὥρισε)· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς ἁγίας τετάρτης συνόδου θεωρεῖν ἔνεστι. Τοῦ γὰρ Νεστορίου διὰ τὸ δισσὸν τῆς ὁμολογίας τῶν φύσεων, καὶ τὸ δισσὸν τῆς ὑποστάσεως εἰσάγοντος, καὶ διὰ τοῦτο δύο υἱοὺς ἐπὶ τῆς οἰκονομίας δοξάζοντος, τοῦ γε μὴν Εὐτυχοῦς, καὶ Διοσκόρου, καὶ Σεβήρου καὶ τῆς ἀμφ' αὐτὸν συμμορίας, διὰ τὸ ἑνιαῖον τῆς ὑποστάσεως, καὶ τὸ μοναδικὸν τῆς φύσεως λέγοντος· φανερὸν δήπουθεν, ὅτι ὁ μὲν τῇ κατὰ πλεονασμὸν ψευδεῖ δόξῃ νενόσηκεν, ὁ

A quasi ex rationabili causa eam respuas similia scribis : *Sat novi apud vos non esse in occulto quartæ synodi modum, cujus sanctitas tua in epistola mentionem induxit, eamque una cum aliis tribus synodis collocavit : cupitque nos eam recipere, quam neque Patres, neque doctores nostri receperunt, scientes eam aliis tribus synodis, quæ determinarunt, et universo terrarum orbi promulgarunt, unum Christum et Filium et Dominum unitum ex duabus naturis inconfuse, immutabiliter et inseparabiliter, absona ac diversa censuisse, cum asserat duas naturas divisas, et operationes, et voluntates, Nestorio ipsi, duas personas si excipias, consentiens ; ille enim fatetur duas personas, synodus unam, sicque orthodoxis fucum faciens quasi non consentiat Nestorio.* Admiratio B sane me tenet, te similia scribere. Neque enim intelligis, ut ipse ex tuis verbis conjicio, sanctæ quartæ synodi neque propositum, neque scopum. Siquidem sancta hæc synodus duas naturas ex se subsistentes separatimque exsistentes in Christi mysterio nunquam tenuit, licet vos illam non sine calumniæ ignominia criminamini, quinimo inter extrema medium veritatis duntaxat sequens, excessum et defectum, quæ sunt e medio diverticula, ideoque falsa abjudicans, medium locum occupantem sententiam veritati innixam constabilivit. Quemadmodum enim in divinis medium obtinet verum catholicæ et apostolicæ Ecclesiæ dogma, ita excessus et defectus falsum. Qui namque, propter hypostaseon triadem ac diversitatem, naturarum item triadem persenserit, vel propter naturæ unitatem singulare etiam hypostaseos introduxerit, næ is mihi videtur a veritatis opinione in ea, quæ ex excessu et defectu consequitur, falsitate graviter aberrare. Quod perpessi sunt Arius et Afer Sabellius, mala ex diametro se invicem adversantia, juncta tamen impietate. Sed veritatis via media, et hujus quidem triade naturarum, illius confuso ac hypostaseos singulari proscriptis, unum Deum, unam scilicet essentiam, et naturam, et tres ejusdem naturæ hypostases in divinis palam deprædicat, quod pie sancta et œcumenica prima synodus decrevit et determinavit. Simili ratione et de sancta quarta synodo philosophandum est. Nam Nestorio, propter geminam naturam, geminam etiam hypostasim in- D troducente, ideoque duos filios in œconomia asserente : Eutyche vero ac Dioscoro, necnon Severo, aliisque ejusdem doctrinæ consortibus, propter unitatem hypostasis, singulare quoque naturæ fatentibus, manifestum est, hunc quidem ex excessu, alios ex defectu mala opinione laborasse. Sed definitio sanctæ Chalcedonensis synodi mediam veritatis viam ingressa, sanctamque et œcumenicam primam synodum secuta, quæ mediam veritatis viam constabilivit, absurda penes extrema, duplex nempe hypostaseos, quod duos filios facit et duos Christos, quod est per excessum, imo et defectum, qui propter singulare hypostasis, naturæ quoque unitatem exhibet, corrigens, veritatis viam, quæ medium

Digitized by Google

occupat confirmavit, et palam confitetur in unione Christi secundum hypostasim, duas naturas convenisse partium locum in uno Christo continentes, et unam hypostasim : quando medium aliquid obtineat cum extremis commune, et in aliquo differat, et in quibus cum excessu disconvenit, cum defectu concordat; in quibus autem a defectu discordat, cum excessu convenit. Exempli causa : Ecclesiæ opinio, quæ ab Ario secundum naturas dissentit, cum Sabellio unam naturam asserente consentit; quæ cum Sabellio pugnat secundum singulare et confusum hypostasis, non abhorret ab Ario secundum triadem hypostaseon. Sic etiam discurrendum est in œconomia de media via, veritatis nempe sententiam in aliquo cum extremis concordare, in aliquo differre, et in quibus differt ab excessu, cum defectu concordare, in quibus a defectu, cum excessu. Sit pro exemplo. Ponantur opiniones, Nestorii, inquam, et Eutychetis, et Severi, quarum altera duas naturas et duas personas fatetur, altera unam naturam et unam hypostasim asserit. Manifestum inter eas secundum excessum atque defectum nimium interesse, siquidem earum longissime diversa ratio est, nihilque est, quo natura, vel hypostasis inter se communicent. Quare assumatur ea opinio, quæ medium veritatis occupat; ea omnino in aliquo cum extremis convenire debet, et in aliquo discrepare, et in quibus ab excessu disconvenit, cum defectu consentire, in quibus defectui non concordat, cum excessu conjungi. Talis est sanctæ quartæ synodi sententia, in Christo duas naturas et unam hypostasim enuntians, quæ a Nestorio secundum hypostasim dissentiens (ille enim duas, hæc unam profitetur), cum Eutyche atque Severo consentit, quod et ipsi unam hypostasim confitentur. Sed rursum a Dioscoro, et Eutyche, et Severo disconveniens secundum naturam, quod illi unam naturam in œconomia asserant, illa duas, non dissidet a Nestorio, qui duas tantummodo naturas in Christo posuit. Nemoque ex eo quod in aliquo quis communicat cum alio, omnino cum eo communicare opinetur, et tanquam una sentientem eum, qui in aliquo cum quopiam sentit, in eodem habeat, atque exsecretur; quandoquidem et vera Ecclesiæ opinio, quod in aliquo cum extremis concordat, Ario et Sabellio, ut oratio comprobavit, proscribetur. Et quis tantam blasphemiam ferre poterit? Pari ratione et de sancta quarta synodo pie disserendum est. Quia consentit in aliquo cum Nestorio, ideone et una cum eo sentire dicemus? Apage. Hæc itaque synodus hoc modo mediam veritatis viam evulgans non est improbo consilio, et summa ignoratione calumnianda, abjudicandaque, sed potius ubi prius rectum ipsius dogma amplexus fueris, exosculanda, annumerandaque cum aliis sanctis tribus synodis, quod, ut oratio demonstravit, nihil præ aliis sanctis tribus synodis innovavit; quinimo, si verum fateri volumus, eadem prorsus, æquequo omnia

A δὲ τῇ κατ' ἔνδειαν. Ἡ δὲ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου θεσμοθεσία μέσην ὁδὸν τῆς ἀληθείας βαδίσασα, καὶ μιμησαμένη τὴν ἁγίαν καὶ οἰκουμενικὴν πρώτην σύνοδον, ἥτις τὴν μέσην ὁδὸν τῆς ἀληθείας ἐβεβαίωσε, καὶ αὐτὴ τὰ παρ' ἑκάτερα ἄτοπα, τὸ διττὸν τῶν ὑποστάσεων, ὅπερ ποιεῖ δύο υἱοὺς καὶ δύο χριστοὺς, ὃ ἐστι κατὰ πλεονασμὸν, ἀλλὰ μὴν καὶ τὴν ἔνδειαν, ὅπερ διὰ τὸ ἑνιαῖον τῆς ὑποστάσεως τῇ φύσει τὸ μοναδικὸν δίδωσι, τὴν μέσην τάξιν ἔχουσαν ὁδὸν ἀληθείας ἐκράτυνε, καὶ ἀνακηρύττει ἐπὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως τοῦ Χριστοῦ δύο φύσεις τὰ συνελθόντα, μερῶν τάξιν ἔχοντα ἐν τῷ ἑνὶ Χριστῷ, μίαν δὲ τὴν ὑπόστασιν. Ἐπειδὴ ἡ μεσότης ἐπί τι κοινωνεῖ τοῖς ἄκροις, καὶ ἐπί τι διαφέρει, καὶ ἐν οἷς διαφέρεται τῷ πλεονασμῷ, κοινωνεῖ τῇ ἐνδείᾳ, ἐν οἷς B δὲ διαφέρεται τῇ ἐνδείᾳ, κοινωνεῖ τῷ πλεονασμῷ. Οἷόν τί φημι· Τὸ τῆς Ἐκκλησίας φρόνημα, διαφερόμενον τῷ τοῦ Ἀρείου κατὰ τὰς φύσεις, κοινωνεῖ τῷ Σαβελλίου, τῷ μίαν φύσιν δοξάζειν· τοῦ δὲ δὴ Σαβελλίου διαφερόμενον κατὰ τὸ μοναδικὸν καὶ συγχυτικὸν τῆς ὑποστάσεως, συμφρονεῖ τῷ τοῦ Ἀρείου κατὰ τὸ τρισσὸν τῶν ὑποστάσεων. Οὕτως ἔνεστι σκοπεῖν καὶ ἐπὶ τῆς οἰκονομίας τὴν μέσην ὁδὸν τῆς ἀληθείας δόξαν, ἐπί τι κοινωνεῖν καὶ διαφέρεσθαι τοῖς ἄκροις· καὶ ἐν οἷς διαφέρεται τῷ πλεονασμῷ, κοινωνεῖ τῇ ἐνδείᾳ, ἐν οἷς δὲ διαφέρεται τῇ ἐνδείᾳ, κοινωνεῖ τῷ πλεονασμῷ. Οἷόν τι λέγω· Προκείσθωσαν δόξαι, τοῦ Νεστορίου, φημὶ, καὶ Εὐτυχοῦς, καὶ Σεβήρου, ἡ μὲν δύο φύσεις καὶ δύο πρόσωπα κηρύττουσα, ἡ δὲ μίαν φύσιν καὶ μίαν ὑπόστασιν δοξάζουσα. Φανερὸν ὅτι κατὰ πλεονασμὸν καὶ ἔνδειαν ἐξονται ἀντικείμεναι· εἴπερ τὰ οὕτωσὶ πάντη ἀντίκεινται, καὶ οὐδεμίαν κοινωνίαν φύσεως ἢ ὑποστάσεως πρὸς ἀλλήλας κέκτηνται. Οὐκοῦν λεχθήτω τις δόξα, ἡ τὸ μέσον τῆς ἀληθείας ἔχουσα· αὕτη οὖν ἐπί τι τοῖς ἄκροις ἐποφείλεται κοινωνεῖν, καὶ ἐπί τι διαφέρειν, καὶ ἐν οἷς διαφέρεται τῷ πλεονασμῷ, κοινωνεῖν τῇ ἐνδείᾳ, ἐν οἷς δὲ διαφέρεται τῇ ἐνδείᾳ, κοινωνεῖν τῷ πλεονασμῷ. Τοιαύτη τίς ἐστι καὶ ἡ τῆς ἁγίας τετάρτης συνόδου ἐπὶ Χριστοῦ, δύο φύσεις καὶ μίαν ὑπόστασιν κηρύττουσα, ἥτις διαφερομένη τῷ Νεστορίῳ κατὰ τὴν ὑπόστασιν (ὅτι ὁ μὲν δύο, ἡ δὲ μίαν κηρύττει), κοινωνεῖ τῷ Εὐτυχεῖ καὶ Σεβήρῳ, κατὰ τὸ μίαν ὑπόστασιν ὁμολογεῖν καὶ αὐτούς. Πάλιν δ' αὖ διαφερομένη τῷ Διοσκόρῳ, καὶ Εὐτυχεῖ, καὶ Σεβήρῳ κατὰ τὴν φύσιν (ὅτι οἱ μὲν μίαν φύσιν ἐπὶ τῆς οἰκονομίας κηρύττουσιν, ἡ δὲ δύο), κοινωνεῖ τῷ Νεστορίῳ, κατὰ τὸ τὰς δύο καὶ μόνον φύσεις δοξάζειν ἐπὶ Χριστοῦ. Καὶ οὐ δεῖ ἐκ τοῦ κατά τι κοινωνεῖν, καὶ τὸ ἁπλῶς κοινωνεῖν λογίζεσθαι, καὶ ὡς ὁμόφρονα τὸν κατά τι κοινωνοῦντά τινι, ταυτὸν ἐκείνῳ λογίζεσθαι καὶ μυσάττεσθαι. Ἐπεὶ καὶ τὸ ἀληθὲς φρόνημα τῆς Ἐκκλησίας, διότι ἐπί τι κοινωνεῖ τοῖς ἄκροις, Ἀρείῳ, φημὶ, καὶ Σαβελλίῳ, καθὼς ὁ λόγος παρέστησεν, ἀποκηρυχθήσεται. Καὶ τίς ἂν ὑποίσῃ τὸ βλάσφημον; Οὕτωσὶ καὶ ἐπὶ τῆς ἐν Χαλκηδόνι ἁγίας τετάρτης συνόδου εὐσεβῶς συνορᾶν ἔνεστι· διότι κοινωνεῖ ἐπί τι τῷ Νεστορίῳ, ἤδη ὁμο-

Digitized by Google

φρονεῖν δώσομεν; Οὔμενουν. Οὐκοῦν τὴν οὕτωσι ἁγίαν σύνοδον, τὴν μέσην ὁδὸν τῆς ἀληθείας κηρύξασαν, οὐ δεῖ κακοβουλίᾳ καὶ ἀμαθείᾳ συκοφαντεῖν καὶ ἀποπέμπεσθαι, ἀλλὰ μᾶλλον τὸ ταύτης ὁρθὸν δόγμα ὁμολογήσαντα, ἀποδέχεσθαι, καὶ μετὰ τῶν λοιπῶν ἁγίων τριῶν συνόδων καταριθμεῖν. Διὸ ὁ λόγος ἔδειξε μηδεμίαν κενοφωνίαν εἰσάγουσαν τὴν ἁγίαν τετάρτην σύνοδον πρὸς ταῖς λοιπαῖς ἁγίαις τρισὶ συνόδοις, μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, μεγίστην συμφωνίαν διὰ τὸ καὶ αὐτὴν τὴν μέσην ὁδὸν τῆς ἀληθείας βαδίσαι, ὥσπερ ἐκεῖναι.

A studuit, et concorditer voluit cum illis, tanquam quæ mediam veritatis viam inierit.

ε'. Ἔνεστι δὲ σκοπεῖν καὶ ἐξ αὐτῆς τῆς συνόδου, τί ἄρα βούλεται κηρύττειν ἐπὶ Χριστοῦ. Ἑπομένη γὰρ, ὡς αὐτή φησι, τοῖς Πατράσι, κατὰ λέξιν ἅδε φάσκει· Ἕνα καὶ τὸν αὐτὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ὁμολογεῖν ἐκδιδάσκει· διὰ μὲν τοῦ *συμφώνως* ἐκείνην τὴν ὑποψίαν προϋποτεμνομένη, τὴν οὐκ ἐκ πάντων οἰομένην τῶν συναγηγερμένων ἐπισκόπων ἐν αὐτῇ τὴν ὑποκειμένην ἔκθεσιν γεγονέναι, ἀλλ' ἐξ ἐνίων, οἷς καὶ μόνοις ἀρέσαι τὰ εἰρημένα. Μετὰ δὲ τοῦτο ὥσπερ συνεκτικωτάτην πλάνην ἐξιωμένη, λέγω δὴ τὴν τῆς τοῦ Νεστορίου δυσσεβείας διαίρεσιν, ἐπεισαγομένην τῇ ἀχράντῳ οἰκονομίᾳ. Διὸ λέγει, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· διὰ τῆς τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ προσηγορίας, *πρόῤῥιζον* τὴν τῆς διαιρέσεως ἐξαίρουσα δόξαν· καὶ μᾶλλον διὰ τῆς ἀῤῥενικῆς προφορᾶς. *Ἕνα* γὰρ εἶπεν, οὐχ *ἕν*· καὶ ταύτῃ τὴν ὅλην σύνθεσιν ἀποσημαίνουσα, καὶ οὐ κατὰ μέρος αὐτῆς, ὅπερ εἰκὸς ἦν τὴν ἄλλην ἐνδείκνυσθαι προφοράν, κἂν τούτῳ μιμουμένη τὸν ἐν ἁγίοις Γρηγόριον· διὰ μὲν τοῦ, *ἄλλος καὶ ἄλλος*, τὸ ὅλον σημαίνουσα, διὰ δὲ τοῦ, *ἄλλο καὶ ἄλλο*, τὰ μέρη. Μετὰ ταῦτα δὲ τῆς ἐκ τοῦ ἐναντίου φαύλης δόξης ὑπονοίας, φησὶ, *Τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι*, ἕτερον, οἶμαι, λέγουσα οὐδὲν, εἰ μή τι νομίσῃ τις διὰ τῆς τοῦ ἑνὸς προσηγορίας, ἢ γυμνὴν ἀνθρωπίνης φύσεως τὴν θεότητα πληρῶσαι τὴν οἰκονομίαν, ἢ τροπὴν ὑπομείνασαν εἰς ἀνθρώπου φύσιν, ἀλλὰ τέλειον τὸν αὐτὸν κατ' ἄμφω ὑπάρχοντα, τήν τε θεότητα, φημὶ, καὶ τὴν ἀνθρωπότητα, ὡς ὅλον ἐν τοῖς οἰκείοις μέρεσι γνωριζόμενον Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς, τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· καὶ οὐχ ἁπλῶς δὴ Θεὸν, ἢ ἄνθρωπον, ἀλλ' ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ἡμῖν κατὰ τὴν ἀνθρωπότητα τὸν αὐτόν. Καὶ τοῖς μὲν ὀρθῶς προσέχουσι τοῖς εἰρημένοις, οὐδὲν ἔτι ἦν εἰς ἐξήγησιν ὑπολελειμμένον τῆς ἀχράντου οἰκονομίας τῇ συνόδῳ, ἤτις καὶ τὸ μέλλον προϋπιδομένη, λέγω δὴ τὸ ἀπαθὲς καὶ ἀθάνατον ἐνίους καὶ ἄφθαρτον ἐκ πρώτης συλλήψεως, τὸ θεῖον ἐκεῖνο καὶ ἄχραντον τοῦ Κυρίου σῶμα τολμᾷν ὁμολογεῖν, καὶ ταύτῃ ἀνατρέπειν τὴν ὅλην οἰκονομίαν, λέγει· *Κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας*. Ὅπερ τῆς μὲν ἁγίας ἐστὶ Γραφῆς, εὐκαίρως δὲ κείμενον ἐνταῦθα, ἐπιστομίζει τοὺς τὰ τοιαῦτα φρονοῦντας. Εἰ γὰρ οὔτε πάθος σώματος, οὔτε θάνατος, οὔτε μὴν διάλυσις, ἣν δὴ φθορὰν ἰδίως ἀξιοῦμεν καλεῖσθαι, ἁμαρτία· χωρὶς δὲ μόνης ἁμαρτίας κατὰ πάντα τὰ ἄλλα τῆς αὐτῆς ἡμῖν φύσεώς ἐστι τὸ ἄχραντον ἐκεῖνο καὶ πανάγιον σῶμα· εὔδηλον ὅτι ὁ εὐδοκήσας Θεὸς τὴν ἡμετέραν πτωχείαν λαβεῖν, τοιαύτην ἔλαβεν, ἣν καὶ πτωχείαν καλεῖσθαι δικαίως, ἅπαντα

5. Possumus etiam ex eadem synodo colligere, quid ipsa de Christo profiteatur. *Patrum enim insistens vestigiis*, ut ipsa ad verbum refert, *unum et eumdem Dominum nostrum Jesum Christum concorditer confiteri*, nos edocet: per verbum *concorditer* suspicionem illam tollens, qua existimabatur non ab omnibus episcopis eodem coactis præpositam fidei expositionem compositam, sed ab aliquibus tantummodo, quibus ea dicta in integro fuere. Postmodum veluti primario, et reliquos continenti errori, impii duntaxat Nestorii divisioni, in immaculatam œconomiam intruso medicina admovens, ait: *Unum et eumdem confiteri Filium Dominum nostrum Jesum Christum*, *unius ejusdemque* compellatione funditus divisionis opinionem evertens, et potissimum masculine pronuntians: *unus* enim illi dicitur, non *unum*, atque universam compositionem, et non partem ipsius exprimit, quod insinuari necesse erat, si aliter extulisset; in hoc quoque divum Gregorium secuta, per illud, *alius et alius*, totum, per illud, *aliud et aliud*, partes indicavit. Postea adversæ pravæ opinionis suspiciones tollit dicens, *perfectum ipsum in deitate, et perfectum eumdem in humanitate*: tantummodo asserens, nisi quispiam existimaverit per unius appellationem, aut humana natura denudatam deitatem, œconomiam adimplesse, aut mutationem passam in humana natura perfectum eumdem secundum utraque exsistentem, deitatem, inquam, et humanitatem, tanquam qui totus ac perfectus in propriis partibus agnosceatur, vere Deum, et vere ex animo rationis compote, et corpore hominem, neque simpliciter Deum, aut hominem, sed unius cum Patre essentiæ secundum deitatem, et nobis eumdem secundum humanitatem; ut qui recta mente dictis animum applicat, nihil præterea ad perfectam immaculatæ œconomiæ expositionem a synodo desideret. Quæ ultra præcognoscens nonnullos nec passioni, nec morti, nec corruptioni obnoxium ab ipsa prima conceptione, divinum illud et nullis sordibus contaminatum Domini corpus astruere, sicque totam œconomiam evertere ausuros annectit, *per omnia nobis similem absque peccato*. Quod sacræ Scripturæ est, opportuneque hic appositum similia sentientium effrenem contumaciam reprimit. Etenim si neque passio corporis, neque mors, neque dissolutio, quam proprie corruptionem appellare consuevimus, peccatum est, absque vero solo peccato per reliqua omnia ejusdem cum nobis naturæ est, purissimum illud et sanctissimum corpus, manifestum fit, Deum, cui nostram pauperiem assumere complacuit, talem assumpsisse, quam non male nos pauperiem nun-

Digitized by Google

cupabimus, omnibus nostris naturalibus passionibus atque proprietatibus obnoxiam. Propterea que dixit, *Per omnia similem nobis absque peccato.* Rursus vero cum Nestorianis non placeret Deiparam esse immaculatam Virginem, subdidit : *Ante sæcula ex Patre genitum, postremis vero diebus eumdem propter nos et nostram salutem ex Maria Virgine et Deipara prognatum secundum humanitatem.* Et pauca hæc ex quarta synodo, ne prolixiora afferam, satis sint. Poterit vero quilibet multo plura, si voluerit, ex ea colligere, quibus constabit compertissime, nulla in re a tribus sanctis synodis discrepasse, sed in omnibus concordem, eumdem unum Christum, et Dominum, et Deum nostrum professam ex duabus, et in duabus naturis, et duas naturas post unionem, extrema a medio inepta absurditatesque, quæcunque illæ fuerint, procul amandasse, mansisseque in veritatis medio firmam atque inconcussam. Iis a quarta sancta synodo ipsissimis verbis sancitis, enuntiatis et promulgatis de Christi mysterio, quisnam, dummodo non delirus est et mente captus, asseverabit quartam synodum una cum Nestorio sentire, illius falsa opinione deceptam? Illud potius asseverandum est, ab eadem anathemate ictos, et Dioscorum, et Nestorium, et Eutychem, ex diametro sese adversantia, sed impietate mala paria.

6. Quando vero te duplex naturarum turbat, et numeri dualis enuntiatio statim tibi rerum divisionem suggerit, opinarisque omnem numerum per sese subsistentes indicare, ignavius potius quam prudenter, determinemus, sed breviter, quonam modo de binario et reliquo omni numero exquisita cognitio haberi possit. Numerus dupliciter dicitur, alius simpliciter, et per se solus : alius in relatione et rebus consideratur, quemadmodum album albedinem et albedine præditum notat. Natura numeri per se neque conjungit, neque dividit, neque enim habet res sibi subjectas : nam numerus ipse per se neque copulat, neque separat, sed utrumque admittit, tali vel tali respectu, veluti binarius, et quaternarius numerus, si unitates respicias, ex quibus componitur, in eas dividitur ; si unitatem horum quæris, ex iis componitur : duo etenim et duo, si ita fuerit, in quatuor abit, quatuor vero in duo et duo dividitur. Quare verissimum fuerit naturam numeri nihil præscriptum habere, neque separatum, neque unitum, sed in rerum complexu et compositione subire. Inscite itaque improbeque determinaveris naturam numeri necessario rerum divisionem subsequi, et non rerum unitæ, aut divisæ naturæ numerum, ut quot sint subjecta innotescant, signum statuere, cum alia ratio, et non numerus ea subdividat et copulet. Namque decem ulnas ligni continui, si ita fuerit, dicimus, non numero dividentes unionem, quæ in decem ulnarum ligno est ; rursumque decem modios dum dicimus, divisos eos agnoscimus. Ita res se habet et rebus in aliis. Si numerus de naturis prædicetur,

A ξουσαν τὰ φυσικὰ πάθη ἡμῶν καὶ ἰδιώματα. Διὰ τοῦτό τοι ἔφη· *Κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας.* Πάλιν δ' αὖ ὅτι τοῖς ἀπὸ Νεστορίου Θεοτόκος οὐκ ἐδόκει ἡ ἄχραντος εἶναι Παρθένος, προσέθηκε· *Τὸν πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Παρθένου καὶ Θεοτόκου γεννηθέντα κατὰ τὴν ἀνθρωπότητα.* Καὶ ταῦτα μὲν ὀλίγα ἐκ τῆς τετάρτης συνόδου διὰ τὸ μῆκος τοῦ λόγου· ἐπεὶ ἔνεστι πλεῖστα ὅσα, εἴ τις βούλεται, ἐξ αὐτῆς ἀναλέγεσθαι, ἐν οἷς τρανότατα φαίνεται ταῖς τρισὶν ἁγίαις συνόδοις κατὰ μηδὲν διαφωνήσασα, ἀλλ' ὁπαδὸς κατὰ πάντα γενομένη, τὸν αὐτὸν ἕνα Χριστὸν καὶ Κύριον καὶ Θεὸν ἡμῶν κηρύττει, ἐκ δύο φύσεων, καὶ ἐν δύο, B καὶ δύο φύσεις εἶναι μετὰ τὴν ἕνωσιν, καὶ τὰς παρ' ἑκάτερα τῆς μεσότητος ἀτοπίας, ὅσαι ἂν καὶ εἶεν, ἐξοστρακίζει, καὶ μένει βεβαία καὶ ἀμετακίνητος ἐν τῇ τῆς ἀληθείας μεσότητι. Ταῦτα παρὰ τῆς ἁγίας τετάρτης συνόδου αὐταῖς λέξεσιν ὁρισθέντα, καὶ ἐκφωνηθέντα, καὶ κηρυχθέντα περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου, τίς ἐστιν ὃς, καὶ ὑγιεῖς τὰς φρένας ἔχων, φήσειε, τὴν τετάρτην σύνοδον συμφρονεῖν τῷ Νεστορίῳ, καὶ τῇ ἀπ' αὐτοῦ κακοδοξίᾳ συναπάγεσθαι ; μᾶλλον μὲν οὖν ὑπὸ ταύτης τῆς συνόδου ἀναθεματισθέντα τόν τε Διόσκορον, καὶ Νεστόριον, καὶ Εὐτυχέα, τὰ ἐκ διαμέτρου κακὰ καὶ ὁμότιμα τὴν ἀσέβειαν.

ς'. Εἰ δέ σε τὸ δισσὸν τῶν φύσεων ἐκταράττει, καὶ ἡ τῆς δυάδος τοῦ ἀριθμοῦ ἐκφώνησις παραυτίκα τὸ C διῃρημένον τῶν πραγμάτων ὑποτίθησί σε νοεῖν, καὶ λογίζῃ, ὅτι πᾶς ἀριθμὸς τῶν ἰδιοσυστάτων πραγμάτων ἐστὶ δηλωτικὸς, ἀμαθαίνοντός ἐστι τοῦτο, ἢπερ εἰδότος. Οὐκοῦν διορισώμεθα διὰ βραχέων, πῶς δεῖ περὶ δυάδος καὶ τοῦ λοιποῦ παντὸς ἀριθμοῦ ἀκριβῆ ἔννοιαν ἔχειν. Ὁ γὰρ ἀριθμὸς διττῶς λέγεται, ὁ μέν τις ἁπλῶς καὶ καθ' ἑαυτὸν, ὁ δὲ ἐν σχέσει καὶ πράγματι θεωρούμενος, ὥσπερ λευκὸν, ἥ τε λευκότης καὶ τὸ λελευκασμένον. Αὐτὴ τοίνυν ἡ φύσις τοῦ ἀριθμοῦ καθ' ἑαυτὴν οὔτε συνάπτει, οὔτε διαιρεῖ· οὐ γὰρ ἔχει ὑποκείμενα πράγματα. Καὶ γὰρ ὁ ἀριθμὸς αὐτὸς καθ' ἑαυτὸν, οὔτε συνάπτει, οὔτε διαιρεῖ, ἀλλ' ἀμφότερα δέχεται τῇ ποιᾷ σχέσει. Οἷον ἡ δυὰς, καὶ ἡ τετρὰς, εἰ μὲν τὰς μονάδας θεωρεῖς, ἐξ ὧν συνέστηκεν, εἰς ταύτας διαιρεῖται· εἰ δὲ τὴν μονάδα τούτων ζητεῖς, D ἐκ τούτων συνάπτεται· δύο γὰρ καὶ δύο, εἰ τύχοι, εἰς τέσσαρα συνάπτεται, τὰ δὲ τέσσαρα εἰς δύο καὶ δύο διαιρεῖται. Ὥστε παντὸς ἀληθέστερον εἰπεῖν τὴν φύσιν τοῦ ἀριθμοῦ μηδὲν ἀφωρισμένον ἔχειν, μήτε τὸ κεχωρισμένον, μήτε τὸ ἡνωμένον, ἐν δὲ τῇ τῶν πραγμάτων ἐπιπλοκῇ καὶ συνθέσει τοῦτο ὑφίστασθαι. Ἀμαθὲς οὖν τὸ τῇ φύσει τοῦ ἀριθμοῦ ἀναγκαίως τὴν διαίρεσιν τῶν πραγμάτων ἕπεσθαι νομοθετεῖν, ἀλλὰ μὴ τῇ τῶν πραγμάτων ἡνωμένῃ γε, ἢ διῃρημένῃ φύσει, τὸν ἀριθμὸν σημεῖον ποιεῖσθαι τοῦ ποσοῦ τῶν ὑποκειμένων, ἄλλου λόγου καὶ οὐ τοῦ ἀριθμοῦ ταῦτα διαιροῦντος καὶ συνάπτοντος. Καὶ γὰρ δέκα πήχεις λέγομεν τοῦ συνεχοῦς, εἰ τύχοι, ξύλου, οὐ συνδιαιροῦντες τῷ ἀριθμῷ καὶ τὴν ἑνότητα τὴν ἐν τῷ δεκα-

Digitized by Google

πήχει ξύλῳ. καὶ πάλιν δέκα μοδίους λέγοντες, ἐν διαιρέσει τούτους ἐπιστάμεθα. Οὕτως οὖν καὶ ἐπὶ τῶν ἑτέρων ἔχει πραγμάτων· εἰ μὲν ὁ ἀριθμὸς φύσεσιν ἐπιφημισθῇ, οὐ τὸ ποσὸν αὐτῶν προηγουμένως, ἀλλὰ τὸ ἑτερογενὲς παρίστησιν. Ἵππου γὰρ, καὶ ἀνθρώπου, καὶ βοὸς τρεῖς λέγοντες φύσεις, οὐ τὸ διῃρημένον αὐτῶν κατὰ τὸ ποσὸν, ἀλλὰ τὸ παρηλλαγμένον κατὰ τὸ εἶδος σημαίνομεν· τρεῖς δὲ ἀνθρώπους, εἰ τύχοι, Πέτρον, καὶ Παῦλον, καὶ Ἰωάννην τὸ διῃρημένον αὐτῶν μᾶλλον, καὶ ὅτι τόσοι, οὐ τοιοῦτοι δὲ, παριστῶμεν. Οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας δύο λέγοντες τὰς φύσεις, τὸ ἑτεροειδὲς αὐτῶν, οὐ τὸ κεχωρισμένον δηλοῦμεν, ἐκβάλλοντες δὲ αὐτῶν, εἰ καὶ μὴ εἶεν ἐνυπόστατοι, τὸν τῶν ὑποστάσεων ἀριθμὸν. εὖ μάλα εἰδότες, ὅτι οὐδ' ἐπὶ τῶν ὑποστάσει καὶ οὐσίᾳ κεχωρισμένων, οἷον τοῦδε τοῦ ἵππου, καὶ τοῦδε τοῦ βοὸς ἡ φύσις, οὐ τὸ διῃρημένον, ἀλλὰ τὸ διάφορον, ὥσπερ καὶ ἡ ὑπόστασις τὸ διῃρημένον, ἤπουγε ἐπὶ τῶν μὴ καθ' ἑαυτὰ ἐμφαινομένων, ἀλλὰ ἅμα τε καὶ ἐν ἀλλήλοις ὄντων μὲν καὶ γινομένων, ἡ φύσις, οὐ τὸ κεχωρισμένον, ἀλλὰ τὸ διάφορον δηλώσει, εἴτε ἐπὶ θεολογίας, εἴτε ἐπὶ τῆς οἰκονομίας, εἴτε ἐπὶ παντὸς πράγματος. Καὶ ἄλλως, ὅτι εἰ καὶ ἀριθμοῦμεν τὰς τοῦ Χριστοῦ δύο φύσεις, δύο ταύτας λέγοντες, οὐκ εἰσάγομεν διαίρεσιν, ἐνεργείᾳ τῶν φύσεων καὶ τῶν ἰδιοτήτων. Πᾶς γὰρ ἀριθμὸς τῶν διαφερόντων ἐστί· καὶ ἀδύνατον ἀριθμεῖσθαι τὰ κατὰ μηδὲν διαφέροντα, καθ' ὃ δὲ διαφέρουσι, κατὰ τοῦτο καὶ ἀριθμοῦνται· οἷον ὁ Πέτρος, ἢ ὁ Παῦλος, καθ' ὃ μὲν ἥνωνται, οὐκ ἀριθμοῦνται τῷ λόγῳ γὰρ τῆς οὐσίας ἡνωμένοι, δύο φύσεις οὐ δύνανται λέγεσθαι, καθ' ὑπόστασιν δὲ διαφέροντες, δύο ὑποστάσεις λέγονται. Ὥστε ὁ ἀριθμὸς τῶν διαφερόντων ἐστὶ, καὶ ᾧ τρόπῳ διαφέρουσι τὰ διαφέροντα, τούτῳ τῷ τρόπῳ καὶ ἀριθμοῦνται. Ἥνωνται μὲν αἱ τοῦ Κυρίου φύσεις ἀσυγχύτως καθ' ὑπόστασιν, διῄρηνται δὲ ἀδιαιρέτως λόγῳ καὶ τρόπῳ τῆς διαφορᾶς. Καὶ ᾧ μὲν τρόπῳ ἥνωνται, οὐκ ἀριθμοῦνται· οὐ γὰρ καθ' ὑπόστασιν δύο φαμὲν εἶναι τὰς φύσεις τοῦ Χριστοῦ. ὯΙ δὲ τρόπῳ ἀδιαιρέτως διῄρηνται, ἀριθμοῦνται· δύο γάρ εἰσιν αἱ φύσεις τοῦ Χριστοῦ λόγῳ καὶ τρόπῳ τῆς διαφορᾶς, ἡνωμέναι μὲν καθ' ὑπόστασιν, καὶ τὴν ἐν ἀλλήλαις περιχώρησιν ἔχουσαι, ἀσυγχύτως ἥνωνται, τὴν οἰκείαν ἑκάστη φυσικὴν διαφορὰν διασώζουσαι. Τῷ τρόπῳ τοιγαροῦν τῆς διαφορᾶς καὶ μόνον ἀριθμούμεναι ὑφ' ἡμῶν, οὐ διαιροῦνται ἐνεργείᾳ καὶ ὑπάρξει, καὶ ὡς σὺ ὑπονοεῖς. Καὶ ἄλλως εἰς τὸ αὐτὸ, ὅτι οὐχὶ πᾶς ἀριθμὸς τῶν ἰδιοσυστάτων πραγμάτων ἐστὶ δηλωτικός· καὶ τοῦτο δῆλον ἐντεῦθεν. Εἴ τι μὲν γὰρ ἰδιοσύστατόν ἐστι, τοῦτο πάντως ἐν ἀριθμῷ τυγχάνει ὄν· οὐ πᾶν δὲ τὸ ἐν ἀριθμῷ τυγχάνον, ἰδιοσύστατον ἂν εἴη. Τὰ γοῦν ἐν τοῖς συνθέτοις, ἵνα μὴ πολλὰ λέγω, ἑνὸς ὄντα συμπληρωτικὰ, καὶ κατὰ μίαν συγκείμενα τὴν συνέχειαν, ὅμως αὐτὰ μὲν ἐφ' ἑαυτῶν ἰδίαν ὕπαρξιν οὐκ ἔχει· ἑνὸς δὲ συμπληρωτικὰ γενόμενα ἐν τῷ συλλόγῳ τὴν οἰκείαν ὕπαρξιν ἐπιδείκνυται. Ὥσπερ ἀμέλει τὸ ζῷον, τὸ λογικὸν, τὸ θνητὸν, οὐ μὴν ἔτι γε καὶ καθ' αὐτὰ ὑπάρχοντα ὁρᾶται, ἀλλ' ἐν τῷ ὅλῳ γε τῷ ἀνθρώπῳ, φημὶ, σαφῆ τὴν οἰ-

A non earum quantitatem antecedenter, sed naturam diversam importat: equi enim et hominis, et bovis tres naturas asserentes, non eorum secundum quantitatem divisionem, sed sejunctum ac separatum in specie significamus: tres vero homines dicentes, si fuerint, Petrum, et Paulum, et Joannem, eorum potius divisionem, et tot eos esse, non tales ostendimus. Sic et in œconomia duas ponentes naturas diversam eorumdem formam, non separationem exprimimus, ex ipsis ejicientes, licet absque hypostasi non essent, hypostaseon numerum, pulchre callentes in hypostasi et essentia divisis, hujus scilicet equi, et hujus bovis naturam non divisum, sed diversum, quemadmodum et hypostasis divisum, et multo magis in iis, quæ ex sese non apparent, sed sunt simul, unumque alii inest, et fiunt, naturam non separationem, sed diversitatem indicaturam, tum in divinis, tum in œconomia, tum in quacunque alia re. Item, licet nos numeremus duas Christi naturas, duas illas dicentes, non ideo actu inducimus divisionem naturarum et proprietatum. Omnis enim numerus eorum est, quæ differunt, nequitque fieri, ut numero comprehendantur ea, quæ per omnia sibi similia sunt, verum secundum id, quo differunt, numero subjiciuntur, veluti Petrus vel Paulus secundum id, quo conjunguntur, non cadunt sub numero: ratione enim essentiæ uniti non possunt duæ naturæ dici: sed hypostasi differentes, duæ hypostases dicuntur, adeo ut numerus differentium sit, et modo, quo differunt differentia, eodem et numerentur. Junctæ sunt Domini naturæ inconfuse secundum hypostasim, divisæ vero sunt indivise ratione modoque differentiæ; quo uniuntur modo non numerantur: non enim duas secundum hypostasim dicimus esse Christi naturas: quo vero modo indivise separantur, numerantur: duæ etenim sunt Christi naturæ ratione modoque differentiæ, junctæ quidem secundum hypostasim, et sese invicem penetrantes inconfuse uniuntur, et propriam singulæ naturalem differentiam conservant. Modo itaque differentiæ tantummodo a nobis numerantur, non dividuntur actu et exsistentia, ut ipse tibi fingis. Aliter etiam de hoc eodem philosophamur. Non omnis numerus res per se subsistentes indicat: idque manifestum erit ex sequentibus. Quidquid enim per se subsistit, id omnino et sub numero est, non autem omne quod sub numero est, item per se subsistere dicetur. Quæ ergo in compositis sunt, ne pluribus rem agam, cum unum compleant, et una continuitate constent, ex semetipsis nihilominus propriam exsistentiam nullam habent, sed unum dum constituunt in coitione propriam exsistentiam commonstrant, quemadmodum animal rationis compos, mortale: non præterea vero et per sese exsistentia conspiciuntur, sed in toto homine apertam patentemque propriam sui exsistentiam ostendunt: et ratione modoque differentiæ numerata, divisionem hominis non important; partes enim dicentur hominis, sed

Digitized by Google

non per sese exsistentiam habebunt. Quare manifestum fit, non omnem numerum res per se subsistentes indicare.

δήπου μὲν καὶ καθ' ἑαυτὰ τὴν ὕπαρξιν ἔχει. Ὥστε δῆλον, ὅτι οὐ πᾶς ἀριθμὸς τῶν ἰδιοσυστάτων πραγμάτων ἐστὶ δηλωτικός.

7. Cum autem præterea propter divisionem naturarum et proprietatum, sanctam et œcumenicam quartam synodum criminose calumniaris, quasi illa probans duas naturas et proprietates naturarum, omnimodis cum Nestorio conveniat, naturarum divisionem introducens, propterea que non esse hanc synodum a nobis recipiendam, nos respondentes, et divisionis proprietatisque rationem explanantes, dicimus Christi naturas, deitatem nempe et humanitatem, ex quibus et in quibus unicum hypostaseos veluti totum contemplamur, si quis intellectu et ratione, proprietates, inquam, cum naturis diviserit, non vero exsistentia et actu, neque absurde, neque inerudite fecerit; hoc enim, ut ita dicam, omnes Patres aperte clamant. Audi Gregorium Theologum dicentem : *Cum naturæ cogitationibus separantur, subdividuntur et nomina*, quasi diceret, quod cogitatione asseritur fit ad differentiam divisionis, quæ actu et exsistentia est, eam, quam longissime abjicientes actu quidem naturas esse et dici tradunt, harum vero divisionem cogitatione acceperunt : quæ rebus ipsis divisa non sunt, tanquam divisa ratione supponentes propter immutabilem unitorum, etiam post unionem, differentiam et proprietatem ; ut jam clarum sit, dici de naturis et proprietatibus divisionem, quæ ex intellectu est, neque in quoquam a vero aberrabimus, licet de ea sancta et œcumenica quarta synodus nihil tradidit ; nihilominus nos dicimus : cum enim integritatem hypostasis Christi contemplamur, totum animo agitamus, quando totum ex partibus conflatur, et in partibus consideratur, et tum potissimum cum ex dissimilibus componitur, servatis nempe inconfuse partibus in unione, quando et partes, quæ in toto sunt, totius reputantur, et proprietates partium totius reputabuntur, licet partium propria sermo cogitatione dividens judicat. Verbi gratia : Visus in sensorio, oculo nempe fieri solet, sic etiam ambulatio in cruribus, sed non dicimus aut oculum videre, aut crura ambulare ; sed homo, qui ea tanquam partes possidet, videre dicitur et ambulare. Eodem modo et de Christi hypostasi : namque ad integritatem illius mentis aciem figentes dicimus Ejusdem unius sanctæ Triadis Filii Dei sunt et res mirabiliter gestæ, et passiones. Etsi secundum aliam partem passiones subit, humanitatem scilicet, secundum aliam mira efficit, ut ejusdem naturæ cum Deo et Patre, et Spiritu est. Rursus partes, ex quibus totum constituitur, conservatis illis inconfuse in unione considerantes, et differentiam in unione invenientes, ubi vero differentia, ibidem omnino et numerus introducitur, tot dicimus partes esse, ratione discriminis, nec a scopo aberramus. Quandoquidem unio est eorum, quæ

κείαν ὕπαρξιν ἐπιδείκνυται, καὶ ἀριθμούμενα λόγῳ καὶ τρόπῳ τῆς διαφορᾶς, διαίρεσιν τοῦ ἀνθρώπου οὐκ εἰσάγουσι. Μέρη μὲν γὰρ ῥηθείεν ἀνθρώπου, οὐ

ζ'. Ἐπειδὴ δὲ καὶ περὶ διαιρέσεως τῶν φύσεων καὶ τῶν ἰδιοτήτων μῶμον συνῆψας τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ, ὡς δῆθεν λέγουσα δύο φύσεις καὶ ἰδιότητας τῶν φύσεων, ἐξάπαντος συμφωνεῖ τῷ Νεστορίῳ, διαίρεσιν τῶν φύσεων ἐμποιοῦσα, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀποδεκτέα αὕτη ἡ σύνοδος παρ' ἡμῶν, ὑπεραπολογούμενοι οὖν, καὶ διασαφοῦντες τὸν περὶ διαιρέσεως καὶ ἰδιότητος λόγον, φαμὲν, τὰς φύσεις τοῦ Χριστοῦ, ἤγουν φημὶ τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα, ἐξ ὧν καὶ ἐν αἷς ὁ εἷς τῆς ὑποστάσεως ὡς ὅλος ἐνθεωρεῖται, εἰ μὲν τῇ ἐπινοίᾳ τις καὶ τῷ λόγῳ τὰς ἰδιότητας μετὰ τῶν φύσεων διαιρεῖ, καὶ οὐχ ὑπάρξει καὶ ἐνεργείᾳ, οὐκ ἔξω τοῦ εἰκότος ποιήσειε· τοῦτο γὰρ σχεδὸν εἰπεῖν πάντες οἱ Πατέρες διαῤῥήδην κεκράγασι. Καὶ γὰρ Γρηγορίου τοῦ Θεολόγου ἄκουσον λέγοντος· *Ἥτικα γὰρ αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιροῦνται καὶ τὰ ὀνόματα*, ὡς εἶναι τὸ τῇ ἐπινοίᾳ λεγόμενον, πρὸς ἀντιδιαστολὴν τῆς κατ' ἐνέργειαν καὶ ὕπαρξιν διαιρέσεως, ἣν ὡς πορῥωτάτω ἀποπεμψάμενοι τῇ μὲν ἐνεργείᾳ τὰς φύσεις εἶναί τε καὶ καλεῖσθαί φασι, τὴν δὲ τούτων διαίρεσιν κατ' ἐπίνοιαν ἔλαβον, τὰ μὴ διῃρημένα τοῖς πράγμασιν ὡς διῃρημένα τῷ λόγῳ ὑποτιθέμενοι, διὰ τὴν ἄτρεπτον τῶν ἑνωθέντων, καὶ μετὰ τὴν ἕνωσιν, διαφοράν τε καὶ ἰδιότητα. Ὥστε δῆλόν ἐστι λέγειν ἐπὶ τῶν φύσεων καὶ τῶν ἰδιοτήτων διαίρεσιν, τὴν κατ' ἐπίνοιαν λεγομένην, καὶ οὐδὲν τοῦ εἰκότος ἀποσφαλούμεθα, εἰ καὶ περὶ ταύτης ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος οὐδὲν ἐξεφώνησε, πλὴν οὖν ἡμεῖς λέγομεν. Ὅταν γὰρ εἰς τὴν ὁλότητα τῆς κατὰ Χριστὸν ὑποστάσεως ἀποβλέψωμεν, τὸ ὅλον ἀνασκοποῦντες, ἐπειδὴ τὸ ὅλον ἐκ μερῶν σύγκειται, καὶ ἐν τοῖς μέρεσι θεωρεῖται, καὶ μάλιστα ὅταν ἐξ ἀνομοιομερῶν σύγκειται τὸ ὅλον, σωζομένων δηλονότι ἀσυγχύτως τῶν μερῶν ἐν τῇ ἑνώσει, ἐπειδὴ τὰ μέρη ἐν τῷ ὅλῳ ἐνυπάρχοντα τοῦ ὅλου λογίζονται, καὶ τὰ ἰδιώματα τῶν μερῶν τοῦ ὅλου λογισθήσονται, εἰ καὶ τῶν μερῶν ὡς ἴδια εἶναι ὁ λόγος τῇ ἐπινοίᾳ διαιρῶν κρίνει· οἷόν τί φημι· Ἡ ὅρασις ἐν τῷ αἰσθητηρίῳ, ἤγουν τῷ ὀφθαλμῷ, πέφυκε γίνεσθαι· ὡσαύτως δὲ καὶ ἡ βάδισις ἐν τοῖς σκέλεσιν· ἀλλ' οὐ λέγομεν, ὅτι ὁ ὀφθαλμὸς ὁρᾷ, ἢ τὰ σκέλη βαδίζει, ἀλλ' ἄνθρωπος ὁ ταῦτα ἔχων ὡς μέρη λέγεται βλέπειν καὶ βαδίζειν. Οὕτωσὶ καὶ ἐπὶ τῆς ὑποστάσεως τοῦ Χριστοῦ. Ὅταν γὰρ εἰς τὴν ὁλότητα αὐτῆς βλέπωμεν, λέγομεν, Αὐτοῦ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος, τουτέστι τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰσὶ τά τε θαύματα, καὶ τὰ πάθη, εἰ καὶ κατ' ἄλλο μέρος τὰ πάθη ἀναδέχεται κατὰ τὸ ἀνθρώπινον, κατ' ἄλλο δὲ τὰ σημεῖα ποιεῖ, ὡς ὁμοούσιος, δηλονότι τῷ Θεῷ καὶ Πατρὶ, καὶ τῷ Πνεύματι. Ὅταν δ' αὖ πάλιν εἰς τὰ μέρη, ἐξ ὧν τὸ ὅλον σύγκειται, σωζομένων αὐτῶν δηλονότι ἀσυγχύτως ἐν τῇ ἑνώσει σκοπῶμεν, καὶ τῆς διαφορᾶς ἐν τῇ ἑνώσει, εὑρισκομένης (ὅπου

Digitized by Google

δὲ διαφορὰ, ἐκεῖ πάντως καὶ ὁ ἀριθμὸς συνεισάγεται)· δηλονότι τόσα λέγομεν τὰ μέρη ὑπάρχειν τῷ λόγῳ τῆς διαφορᾶς, καὶ οὐδὲν σφάλλομεν. Ἐπειδὴ ἡ μὲν ἕνωσις τῶν πρός τί ἐστι. Καὶ γὰρ ἡ ἕνωσις ἑνουμένων ἐστὶν ἕνωσις, καὶ τὰ ἑνούμενα ἑνώσει ἑνοῦνται· ὡσαύτως δὲ καὶ τὸ ὅλον, μερῶν ὅλον, καὶ τὰ μέρη ὅλου μέρη. Τὰ δὲ πρός τι, ἐὰν θάτερον ἐνεργείᾳ ᾖ, καὶ τὸ ἕτερον δηλονότι ἐξ ἀνάγκης. Ἐπεὶ οὖν ἡ κατὰ Χριστὸν ὁλότης καὶ ἡ ἕνωσις ἐνεργείᾳ πρόσεστι καὶ τὰ μέρη ἐνεργείᾳ ἔσονται, καὶ ἡ τούτων διαφορά. Εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ οὖν καὶ ἀληθὲς, ὁ μὴ ὁμολογῶν τὰ μέρη τόσα εἶναι, δηλονότι οὐδὲ τὸ ὅλον φήσειεν ἂν εἶναι, ἀλλὰ τῶν μερῶν τῆς διαφορᾶς ἀναιρουμένης, καὶ τὸ ὅλον φθαρήσεται. Καὶ τίς ἂν οὐ συνήσει τὸ ἄτοπον; Φανερὸν ἄρα, ὅτι ὅσοι τὴν μίαν ὑπόστασιν τοῦ Χριστοῦ ὡς ὅλον τι ἐκ θεότητος καὶ ἀνθρωπότητος συγκειμένην ὁμολογοῦσι, καὶ τὰ μέρη δύο φύσεις εἴποιεν ἂν ἐξ ἀνάγκης, κἂν ὑμεῖς μὴ βούλησθε, ὅπερ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος τρανῶς ἐξεφώνησε.

A ad aliquid sunt : unio enim eorum, quæ uniuntur, unio est, et quæ uniuntur, unione uniuntur. Sic etiam totum partium totum est, et partes totius partes. Ea porro quæ ad aliquid sunt, si unum ex iis actu est, necesse est, et alterum esse. Cum itaque Christi integritas et unio actu est, erunt et partes omnino actu, et eorum discrimen. Hoc si verum est, quemadmodum verum est, qui non confitetur partes tot esse, neque totum fatebitur esse, sed partium differentia sublata, totum quoque destruet. Et quis absurdum rei ineptumque non capiet? Patet itaque eos, qui unam Christi hypostasim, veluti totum quoddam ex deitate et humanitate compositum profitentur, partes duas scilicet naturas necessario fassuros, licet vos id abnuatis. Quod sancta Chalcedonensis synodus palam promulgavit.

η'. Τὸ δὲ πάλιν λέγειν, ὅτι *Ἡ τετάρτη σύνοδος συμφωνεῖ τῷ Νεστορίῳ, ὅτι δύο φύσεις λέγουσα, κἀκεῖνος ὡσαύτως δύο φύσεις λέγων, ὁμοφρονεῖ τῷ Νεστορίῳ. Πλὴν διαφέρονται εἰς τὰ δύο πρόσωπα, ἐκείνου μὲν λέγοντος δύο πρόσωπα, αὐτῆς δὲ δοξαζούσης ἕν· καὶ διὰ τοῦτο τοὺς ὀρθοδόξους χλευάσασα, ὅτι οὐ συμφρονεῖ τῷ Νεστορίῳ*, αὐτόθεν φανερωτάτην ἔχει τὴν ἐπίληψιν ἐκ τοῦ σου λόγου, ὅτι οὐχ ὁμοφρονεῖ τῷ Νεστορίῳ, καθὼς ψευδοεπῶν κατηγορεῖς. Εἰ γὰρ ὁ μὲν δύο πρόσωπα δοξάζει, δηλονότι καὶ τὰς δύο φύσεις κεχωρισμένας ἰδιοσυστάτους οὔσας ὁμολογεῖ, διά τοι τοῦτο καὶ τὴν ἕνωσιν τούτων σχετικὴν λέγει. Ἡ δὲ ἁγία σύνοδος, ὡς σὺ φῂς, ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν θεσπίζουσα, φανερὸν ὅτι τὰς φύσεις ἐν τῷ ἑνὶ προσώπῳ οὐσιωδῶς καὶ καθ' ὑπόστασιν ἡνωμένας φαίη ἄν· οὐ γὰρ ἂν ἄλλως ἐγχωρεῖ, δύο φύσεις λέγειν ἐν ἑνὶ προσώπῳ καὶ μιᾷ τῇ ὑποστάσει, εἰ μὴ καθ' ὑπόστασιν καὶ οὐσιωδῶς ἡνωνται. Εἰ δὲ τοῦτο, φανερὸν δέδεικται ἐκ τοῦ σοῦ λόγου, ὅτι οὐ κεχωρισμένας τὰς φύσεις καὶ τὰς ἐνεργείας ἐπὶ Χριστοῦ λέγει ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, ἀλλ' ἡνωμένας καθ' ὑπόστασιν. Καὶ ἄλλως τὸ αὐτό· Εἰ διὰ τὴν ἕνωσιν καὶ μόνην, λέγω δὴ τὴν καθ' ὑπόστασιν, οἱ τῆς Ἐκκλησίας τρόφιμοι διαφέρονται τῷ Νεστορίῳ, καθὼς καὶ ὁ ἐν ἁγίοις Κύριλλος φάσκει, καὶ οὐ διὰ τὰς δύο φύσεις, σὺ δὲ αὐτὸς ἔφης, ὅτι ἡ σύνοδος διαφέρεται τῷ Νεστορίῳ κατὰ τὸ ἓν πρόσωπον, καὶ τὰ δύο, ὅπερ ποιεῖ τὸ μὲν ἓν, τῶν φύσεων τὴν ἕνωσιν, τὰ δὲ δύο τὴν διαίρεσιν· φανερὸν ὅτι κατὰ τὸ ὀρθὸν τῆς Ἐκκλησίας διαφέρεται ἡ σύνοδος τῷ Νεστορίῳ. Εἰ δὲ τοῦτο, δηλονότι οὐδὲ συμφωνεῖ. Ἀδίκως ἄρα παρὰ σοῦ συκοφαντεῖται. Καὶ ὅτι τοῦτο ἀληθὲς, Κυρίλλου ἄκουσον πρὸς Εὐλόγιον δι' ἐπιστολῆς αὐταῖς λέξεσιν· *Ἐπιλαμβάνονταί τινες τῆς ἐκθέσεως, ἣν πεποίηνται οἱ Ἀνατολικοί· καὶ φασι· Διὰ τί δύο φύσεις ὁμολογοῦντων αὐτῶν, ἠνέσχετο καὶ ἐπήνεσεν ὁ τῆς Ἀλεξανδρείας; Οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσι κἀκεῖνον οὕτω φρονεῖν, συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. Χρὴ δὲ τοῖς*

8. Præterea illud item, *quartam synodum una cum Nestorio sentire, quod duas naturas fateatur : similiter etiam cum Nestorio concordare quicunque duas naturas fatetur : in eo tantummodo differre, quod ille duas, synodus unam tantam personam teneat, et per id fucum orthodoxis fecisse, jactans se a Nestorio dissentire*, ex tua ipsius oratione apertissime refellitur, comprobaturque eam a Nestorio discrepare, etsi ipse falso eam criminaris. Etenim Nestorium duas naturas existimantem palam est duas naturas diversas per se subsistentes fateri : ideoque eorum unionem secundum habitudinem vocat. Sancta vero synodus, ut tu ais, unam personam et unam hypostasim sanciens, duas naturas in una persona per essentiam et secundum hypostasim unitas, ut ipse mihi persuadeo, asseveratura est : neque enim fieri potest duas naturas in una persona et una hypostasi dicere, nisi eæ secundum hypostasim et essentiam uniantur. Quod si id nemini dubium est, ex tua ipsius oratione demonstratur, non separatas naturas et actus in Christo dicere sanctam et œcumenicam quartam synodum, sed unitas secundum hypostasim. Alia etiam ratione id idem probatur. Si propter unionem solam, eam duntaxat, quæ secundum hypostasim est, et non propter duas naturas Ecclesiæ alumni cum Nestorio altercantur, ut sanctus Cyrillus refert, tu quoque ipse affirmasti synodum de persona unica et bina cum Nestorio litem habere, quarum una unionem naturarum efficit, duo divisionem, palam est, secundum rectam Ecclesiæ sententiam synodum Nestorio adversari, eoque patet evidentissime eamdem cum eo non convenire. Immerito itaque abs te et calumniose proscinditur. Hoc porro verum esse audi a Cyrillo epistola ad Eulogium his iisdem verbis loquentem : *Accusant nonnulli expositionem, quam Orientales fecerunt, aiuntque, Quam ob causam duas naturas illis asserentibus sustinuit, assensumque præbuit Alexandrinus? Qui vero Nestorium sequuntur, tradunt, eum hoc idem tenere, eos, qui rem meram non noverunt,*

Digitized by Google

rapientes in fraudem : reprehensoribus vero respondendum est, Non omnia quæcunque hæretici tradunt, fugienda vitandaque sunt : multa enim ipsi profitentur, quæ et nos profitemur, quemadmodum dum dicunt Ariani de Patre, Creator est omnium, et Dominus. Num propterea nos has voces declinare debemus ? Sic et de Nestorio, licet tradat duas naturas, discrimen carnis et Dei Verbi innuens ; namque alia est Verbi natura, alia carnis ; at non item unionem nobiscum probat : nos etenim unientes, unum Deum novimus, unumque Deum eumdem profitemur. Et paucis interjectis : *Quare naturarum discrimen agnoscere, non est Christum unum in duo subdividere.* Et ad Nestorium hic rursus scribit : *Ne dividas naturas*, post unionem scilicet, *alienatione, non numeratione.*

9. Cum autem incusaveris sanctam quartam synodum tanquam res novas inducentem, ideoque una cum Nestorio sentientem : neque tantum id affirmasti, sed sancti Leonis pontificis ex epistola, qua quarta synodus constabilita est, nec non ejusdem synodi Nestorii dictis uniformia produxisti, ut inde colligas pontificis Leonis epistolam, quartamque ipsam synodum non absimilia Nestorio statuisse, age hæc eadem in medium proposita perpendamus, an, ut ipse ais, sententia, Nestorio conformia alloquuntur, an secus. Auctoritates verbotenus ita se habent. Scribit Nestorius primo orationis suæ præceptoriæ capite : *Ipse immutabiles duas naturas Dei profiteor, Deum verum de Deo vero, et hominem perfectum ex filio David et Abraham.* Scribit item in sua epistola hoc modo : *Deum ipse profiteor, namque scriptum est : In principio Verbum, hominem quoque profiteor, quod Verbum caro factum est, et habitavit in nobis.* Ante alia Nestorii verba examinemus, rectene an secus enuntiata sint. Namque *Duas Verbi naturas absolute profiteor*, dicere, neque post incarnationem determinare, haud recte dictum esse videtur. Quandoquidem sempiternus Filius et Verbum Dei ante carnem assumptam unius naturæ, divinæ scilicet, solius erat : post incarnationem, et nostram assumpsit. Non decuit ipsum absolute dicere, *Verbi*, non determinantem post Incarnationem, vel humanitatem assumptam. Si rursus duas dicens immutabiles, post carnem assumptam intelligeret : si unionem affirmaret non secundum habitudinem, sed hypostaticam et essentialem in uno, nempe Christo, considerari, et eumdem unum Christum, et Dominum, et Deum diceret, Deum verum de Deo vero, et hominem eumdem perfectum, veluti ex homine perfecto, Virgine, et Filium David et Abraham, ut divina testantur eloquia, verum attingere videretur : cum vero duas Verbi naturas asserens, eas unitas esse non secundum hypostasim in uno Verbo, in una scilicet Christi hypostasi, sed per relationem et respectivam unionem, sive dignitatem,

A *μεμφομένοις, ἐκεῖνα λέγειν, ὅτι οὐ πάντα, ὅσα λέγουσιν οἱ αἱρετικοὶ, φεύγειν καὶ παραιτεῖσθαι χρή. Πολλὰ γὰρ ὑμολογοῦσιν, ὧν καὶ ἡμεῖς ὁμολογοῦμεν, οἷον ὅταν λέγωσιν οἱ Ἀρειανοὶ τὸν Πατέρα, Δημιουργός ἐστι τῶν ὅλων καὶ Κύριος. Μὴ διὰ τοῦτο φεύγειν ἡμᾶς ἀκόλουθον τὰς τοιαύτας ὁμολογίας ; Οὕτως καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ Θεοῦ Λόγου (ἑτέρα γὰρ ἡ τοῦ Λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκὸς), ἀλλ' οὐκ ἔτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. Ἡμεῖς γὰρ ἑνώσαντες, ἕνα Θεὸν οἴδαμεν, ἕνα Κύριον τὸν αὐτὸν ὁμολογοῦμεν.* Καὶ μετὰ βραχέα· *Οὐκοῦν οὐ τὸ εἰδέναι τῶν φύσεων τὴν διαφορὰν ὁρᾷν, διατεμεῖν ἐστιν εἰς δύο τὸν ἕνα Χριστόν.* Καὶ πρὸς Νεστόριον
B αὐτὸς πάλιν λέγει· *Παῦσαι διαιρεῖν τὰς φύσεις, μετὰ τὴν ἕνωσιν δηλαδὴ, τῇ ἀπαλλοτριώσει, οὐ τῇ ἀπαριθμήσει.*

θ'. Ἐπειδὴ δὲ ἔσκωψας τὴν ἁγίαν τετάρτην σύνοδον, ὡς καινοφωνίαν ποιήσασαν, καὶ διὰ τοῦτο ὁμοφρονοῦσαν τῷ Νεστορίῳ· οὐχ ἁπλῶς δὲ τοῦτο ἀπεφήνω, ἀλλὰ καὶ χρήσεις τοῦ τε ἐν ἁγίοις πάπα Λέοντος ἐκ τῆς ἐπιστολῆς, δι' ἧς ἐκυρώθη ἡ τετάρτη σύνοδος, καὶ ταύτης τῆς συνόδου πρὸς τὰ τοῦ Νεστορίου ὁμοιοτρόπως ἐχούσας προκεκόμικας, ὡς ἐντεῦθεν συνάγων, ὅτι ἥ τε τοῦ πάπα Λέοντος ἐπιστολὴ, καὶ ἡ τετάρτη σύνοδος τῆς αὐτῆς ὁμολογίας ἐστὶ τοῦ Νεστορίου· φέρε δὴ, καὶ αὐτὰς εἰς μέσον
C θέντες, ἐπισκεψώμεθα, εἰ οὕτως συνῳδὰ τῷ Νεστορίῳ κατὰ διάνοιαν φθέγγονται, εἴγε καὶ μή. Ἔχουσι δὲ αἱ χρήσεις κατὰ λέξιν ὧδε. Γράφει Νεστόριος εἰς τὸ πρῶτον κεφάλαιον τοῦ διδασκαλικοῦ αὐτοῦ λόγου οὕτως· *Ἐγὼ ἀδιαλλάκτως τὰς δύο φύσεις τοῦ Θεοῦ ὁμολογῶ, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, καὶ ἄνθρωπον τέλειον ἐξ υἱοῦ Δαυὶδ καὶ Ἀβραάμ.* Γράφει δὲ ἐν τῇ ἐπιστολῇ αὐτοῦ οὕτως· *Θεὸν ὁμολογῶ κατὰ τὸ, Ἐν ἀρχῇ ὁ Λόγος· ἄνθρωπον ὁμολογῶ, ὅτι Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.* Ἐπισκεπτέον πρότερον τὴν χρῆσιν Νεστορίου, εἰ ὀρθοτόμως ἔχει, ἢ οὔ. Τὸ μὲν οὖν λέγειν, ὅτι *Δύο φύσεις τοῦ Λόγου ἀπολύτως ὁμολογῶ*, καὶ μὴ διορίσασθαι μετὰ τὴν σάρκωσιν, οὐκ ὀρθῶς εἰρῆσθαι δοκεῖ. Ἐπειδὴ ὁ ἀΐδιος Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ πρὸ τῆς ἐνσάρκου οἰκονομίας μιᾶς
D φύσεως τῆς θεϊκῆς μόνης ἦν, μετὰ δὲ τὴν ἐνανθρώπησιν προσελάβετο καὶ τὴν ἡμετέραν, οὐκ ἔδει αὐτὸν ἀπολύτως εἰπεῖν, τοῦ Λόγου, μὴ προσδιοριζόμενον μετὰ τὴν σάρκωσιν, ἤτοι ἐνανθρώπησιν. Εἰ δ' αὖ πάλιν δύο λέγων ἀδιαλλάκτους, καὶ νοῶν μετὰ τὴν ἐνανθρώπησιν, εἰ μὲν τὴν ἕνωσιν ὁμολόγει, οὐ σχετικήν φημι, ἀλλὰ τὴν καθ' ὑπόστασιν καὶ οὐσιώδη, ἤγουν ἐν τῷ ἑνὶ Χριστῷ θεωρεῖσθαι, καὶ τὸν αὐτὸν ἕνα Χριστὸν καὶ Κύριον καὶ Θεὸν ἔλεγε, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, καὶ ἄνθρωπον τὸν αὐτὸν χρηματίσαντα τέλειον ὡς ἐξ ἀνθρώπου τῆς Παρθένου καὶ υἱὸν Δαυὶδ καὶ Ἀβραὰμ γεγονότα, καθὰ τὰ Λόγια μαρτυρεῖ, τάχα ἂν ἐντὸς ἦν τῆς ἀληθείας. Ἐπεὶ δὲ δύο φύσεις ὁμολογῶν τοῦ Λόγου, ταύτας οὐ καθ' ὑπόστασιν ἡνῶσθαι ἔλεγεν ἐν τῷ

Digitized by Google

ἐνὶ Λόγῳ, ἤγουν ἐν τῇ μιᾷ ὑποστάσει Χριστοῦ, ἀλλὰ κατὰ ἀναφορὰν καὶ σχετικὴν ἕνωσιν, ἤτοι κατὰ ἀξίωμα, ἢ ταυτοβουλίαν, ἢ εὐδοκίαν ἔλεγεν εἶναι τοῦ Λόγου πρὸς τὴν σάρκα, καὶ ἀνὰ μέρος ταῦτα ποιῶν ἕτερον εἶναι τὸν Λόγον ἔφασκε, καὶ ἕτερον τὸν ἐκ Μαρίας, καὶ προσωπικὴν ἕνωσιν λέγων, οὐ τὸ ταυτιζόμενον τῇ ὑποστάσει πρόσωπον, ὅπερ ἐπὶ τοῦ καθέκαστον ἁρμόττει, ἀλλ' ἑτέρως κατὰ τὸ οἰκεῖον βούλημα ἐδόξαζεν (οἷον ὡς ὅταν τις τὸ τοῦ ἑτέρου ὑποδυόμενος πρόσωπον, ἀντ' αὐτοῦ τοὺς ὑπὲρ αὐτοῦ ποιῆται λόγους, ἣν οὐ δεῖ κυρίως ἕνωσιν ἡγεῖσθαι, ἀλλὰ σχετικὴν ἕνωσιν τὸ ὅλον. Καλοῦσι γάρ τινες πρόσωπα τὴν τινων σχέσιν πρὸς ἀλλήλους. Οὐκ ἀγνοεῖ δὲ ἡ συνήθεια τούτου τοῦ προσώπου τὸ σημαινόμενον. Λέγομεν γὰρ τὸν ἄρχοντα, τοῦ βασιλέως ἐπέχειν τὸ πρόσωπον, κατὰ τοῦτο ὁ Νεστόριος τὴν προσωπικὴν ἐπρέσβευεν ἕνωσιν)· διά τοι τοῦτο δικαίως τῷ ἀναθέματι καθυποβέβληται. Ὁ δὲ δὴ πάπας Λέων, ἐπειδὴ τὸν αὐτὸν ἕνα Χριστὸν καὶ Κύριον καὶ Θεὸν ἡμῶν ἐν μιᾷ ὑποστάσει ὄντα ὁμολογεῖ, τὸν καὶ Θεὸν ὄντα καὶ ἄνθρωπον, Θεὸν μὲν ὡς συναΐδιον, καὶ ἀχρόνως ἐκ τοῦ Πατρὸς φυέντα, καὶ ὁμοούσιον τῷ τε Θεῷ καὶ Πατρὶ, καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν σάρκα γεγονότα, ἤτοι ἐνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καθὼς ἡ θεολόγος γλῶττα ἐκφωνεῖ, καὶ τὰ λοιπὰ Λόγια μαρτυρεῖ, καὶ αἱ τῶν ἀποστόλων φωναὶ ὑφηγοῦνται, καὶ αἱ τῶν θεοσόφων Πατέρων διδασκαλίαι τρανοῦσι· φανερὸν, ὅτι ὁ πάπας Λέων μετὰ τῆς ἀληθείας ἔστηκε, καὶ οὐ συμφωνεῖ τῷ Νεστορίῳ. Καὶ πάλιν γράφει Νεστόριος, ὅτι *Οὐχὶ ὁ Λόγος τοῦ Θεοῦ διὰ χειρῶν Ἰωσὴφ ῥάκη ἐνεδύθη, ἀλλὰ τὸ σῶμα τοῦ Κυρίου.* Γράφει Λέων, ὅτι τὸ μὲν ἔλαμπε διὰ τῶν σημείων, τὸ δὲ ὑπέπιπτε τοῖς παθήμασιν. Ἐναργέστατα διὰ τῆσδε τῆς χρήσεως ὁ μὲν Νεστόριος ἄλλον ποιεῖ τὸν Θεὸν Λόγον, καὶ ἄλλον τὸν ἐκ Μαρίας, ᾧ καὶ ἰδικῶς πρόσωπον ἴδιον ὁμολογῶν, Ἰησοῦν ἐκάλει. Ἔδει γὰρ αὐτὸν, εἴπερ ὀρθοτόμως ἔλεγεν, οὕτως εἰπεῖν· Οὐχὶ ὁ Λόγος τοῦ Θεοῦ, καθὸ Λόγος, ἀκατάληπτος καὶ ἀπερίγραπτος καὶ συναΐδιος τῷ Πατρὶ ὤν, ῥάκη ἐνεδύθη ὑπὸ χειρῶν Ἰωσὴφ, ἀλλ' ἡ καθὸ διὰ τὴν ἡμετέραν σωτηρίαν ἄνθρωπος γέγονε, κατὰ πάντα ὅμοιος ἡμῖν χωρὶς ἁμαρτίας, καὶ νηπιάσας, ἐνεδύθη ῥάκη ὑπὸ χειρῶν Ἰωσήφ. Οὕτως δὲ μὴ εἰπὼν, φανερὸν ὅτι διαίρεσιν τὴν οὐ πρέπουσαν ἐποιήσατο τῆς μιᾶς ὑποστάσεως τοῦ Χριστοῦ, εἰς δύο πρόσωπα ταύτην τεμών· διά τοι τοῦτο ἀναθέματι δικαίως καθυποβέβληται. Ὁ δὲ δὴ Λέων, ὅτι τὸ μὲν ἔλαμπε διὰ τῶν σημείων, τὸ δὲ ὑπέπιπτε τοῖς παθήμασιν, οὐ δύο φησὶν ὅλα, ἵνα καὶ διαίρεσιν τῶν φύσεων εἰσάξῃ ἰδιοσυστάτως θεωρούμενα, καὶ διὰ τοῦτο δύο πρόσωπα καὶ δύο ὑποστάσεις, ἀλλὰ δύο ἑνὸς ὅλου συμπληρωτικά. Οὐδὲ γὰρ εἶπεν, Ὁ μὲν, καὶ ὁ δέ· οὐδὲ (καὶ ἵνα τι συγχωρήσας εἴπῃ), τὸ μὲν, ἁπλῶς ἄνευ προσθήκης, καὶ τὸ δέ. Ἀλλὰ τί φησι; Τὸ μὲν αὐτοῦ, καὶ τὸ δὲ, δηλονότι αὐτοῦ διά τινος τοῦ ὅλου φησὶ, τὸ μὲν τὸ συμ-

A aut proprium consilium, aut beneplacitum fateretur esse Verbi ad carnem, et eas postmodum secundum partes dividens, aliud esse Verbum affirmaret, et aliud, quod ex Maria ortus suos agnosceret, et personalem unionem decantans non personam, quæ una cum hypostasi est, et singulis convenit, sed alio modo, ut illi videbatur, confingat. Verbi gratia, veluti cum quis alterius personam induens, loco illius et pro eodem sermonem habet, quæ propric unio vocanda non est, sed mera respectiva unio; appellant enim nonnulli personas aliquorum inter se respectum seu relationem, nec usus ab hujus personæ significatu abhorret: dicimus namque principem regis sustinere personam: cum inquam hac ratione Nestorius personalem profiteretur unionem, propterea jure merito anathemate B ictus est. At Leo pontifex eumdem unum Christum et Dominum, et Deum nostrum in una hypostasi esse affirmans, Deum simul et hominem, Deum coæternum Patri, et absque tempore a Patre genitum, et ejusdem cum Deo et Patre, et Spiritu sancto essentiæ; postremis vero diebus propter nostram salutem carnem factum, sive hominem, prognatum ex Spiritu sancto, et Maria Virgine, quemadmodum divina tractans lingua enuntiat, et reliqua eloquia testantur, et voces apostolorum docent, et divina sapientia præditorum Patrum doctrina commonstrat, manifestum est Leonem pontificem a veritate stare, et cum Nestorio non concordare. Rursum scribit Nestorius: *Verbum Dei* C *per manus Josephi pannis amictum non est, sed corpus Domini*, Leo autem, hoc quidem resplenduisse miraculis, illud vero passionibus obnoxium fuisse. Apertissime per hæc verba Nestorius alium Deum Verbum constituit, et alium ex Maria prognatum, cui et singulariter propriam personam constituens Jesum nuncupabat: debebat enim, si quid ille rectum exprimere volebat, hac ratione enuntiare: Verbum Dei qua Verbum est incomprehensibile et incircumscriptum et Patri coæternum, pannis non est circumvestitum, per manus Josephi, qua vero propter nostram salutem homo factus est per omnia nobis similis absque peccato, et infans, pannis per manus Josephi obvolutus est. Quod cum non dicat, manifesto D evincitur divisionem unius Christi hypostasis intulisse, eam in duas personas subdividens, propterea que jure merito anathemate subactus est. Leo autem hoc miraculis resplenduisse, aliud disciplinis addictum fuisse, dicens, non duo inquit integra per se subsistentia, ut et divisionem naturarum afferat, propterea que duas personas; et duas hypostases: sed duo unius integri completiva; neque enim dixit, hic et ille, neque ut aliquid etiam concederet hoc simpliciter absque addito, et hoc. Verum sic, hoc quidem illius, et hoc vero, hoc est illius de aliquo integro sermonem habens, hoc quidem ait completivum, et in compositionem ipsius assumptum resplendet miraculis, hoc vero, similiter et ipsum totius completivum, in compositio-

Digitized by Google

nem illius acceptum passionibus obnoxium est. Ea quicunque sic intelligit, quemadmodum et a sancto pontifice Leone exponuntur, is nihil neque ineptum neque blasphemum pronuntiabit. Rursum scribit Nestorius: *Et Verbum caro factum est, et habitavit in nobis.* Leo vero: *Sapientia ædificavit sibi domum, nam Verbum caro factum est, et habitavit in nobis.* Has voces neque impius Nestorius ex propriis attulit, neque ipse Leo elocutus est, sed ex divinis Litteris haurientes, in propria commentaria retulerunt. Verumtamen Nestorius contra consilium ecclesiasticum, et ex sua depravata mente verba evangelica sumpsit: namque, *Verbum caro factum est*, sensum hunc pium obtinet: Idem divinum Verbum, unum ex sancta Triade hypostasi cum mansisset immutabile immotumque quod erat, Deus scilicet, assumpsit carnem animatam anima rationis compote et intellectuali, et hanc divinæ naturæ in propria hypostasi, deitatis nempe, univit, secundum essentiam et hypostasim unione effecta, ut una hypostasis ipse post incarnationem, vel assumptum hominem crederetur nullo additamento personæ aucta sancta Trinitate, is cum carne comprehenditur, et est. Hoc sensu dictum evangelicum exquisita sinceraque Ecclesiæ commentatio interpretatur. Ad illud vero, *habitavit in nobis*, recte Theologus statim subjunxit: ut duo, quæ significantur, intelligens habitantem, et in quo habitatio fit, ipsum in carnem immutatum non fuisse mente concipias, sed potius in carne inhabitasse, ac tanquam proprio usum corpore, quod ex sancta Virgine principium habuit, templo.

σάρκα περιτετράφθαι νοήσῃς αὐτὸν, σκηνῶσαι δὲ μᾶλλον ἐν σαρκὶ ὡς ἰδίῳ προσχρησάμενον σώματι, τῷ ἐκ τῆς ἁγίας Παρθένου ναῷ.

πληρωτικὸν, καὶ εἰς τὴν σύνθεσιν αὐτοῦ παραλῃφθὲν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ὁμοίως καὶ αὐτὸ συμπληρωτικὸν ὂν τοῦ ὅλου ἐν τῇ συνθέσει ἐκείνου παραλαμβανόμενον, ὑποπίπτει τοῖς πάθεσι. Καὶ οὕτως νοοῦντι, ὥσπερ οὖν καὶ εἴρηται, παρὰ τοῦ ἐν ἁγίοις πάπα Λέοντος, οὐδὲν ἄτοπον, οὐδὲ βλάσφημον ἀπαντήσει. Καὶ πάλιν γράφει Νεστόριος· *Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.* Γράφει Λέων, ὅτι *Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον· καὶ γὰρ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.* Ταύτας τὰς χρήσεις οὔτε Νεστόριος ὁ ἐναγὴς οἴκοθεν προσέβαλετο, οὔτε μὴν ὁ Λέων ἐφθέγξατο, ἀλλ' ἐκ τῆς θείας Γραφῆς λαβόντες, τοῖς οἰκείοις συγγράμμασιν ἐνέθηκαν. Ἀλλ' ὁ μὲν Νεστόριος οὐ κατὰ βούλημα ἐκκλησιαστικὸν τὸ εὐαγγελικὸν ῥητὸν ἐξείληφεν, ἀλλὰ κατὰ τὸν ἑαυτοῦ διεστραμμένον νοῦν. Τὸ γὰρ, *Ὁ Λόγος σὰρξ ἐγένετο*, τοιαύτην ἔχει εὐσεβῆ διάνοιαν· ὅτι αὐτὸς ὁ θεῖος Λόγος, ὁ εἷς τῇ ὑποστάσει τῆς ἁγίας Τριάδος, μείνας ἀναλλοίωτος καὶ ἄτρεπτος, ὅπερ ἦν, Θεὸς δηλονότι, προσείληφε σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ· καὶ ταύτην ἥνωσε τῇ θείᾳ φύσει ἐν τῇ οἰκείᾳ ὑποστάσει, δηλονότι τῆς θεότητος, οὐσιώδη καὶ καθ' ὑπόστασιν τὴν ἕνωσιν ἐργασάμενος, ὡς μίαν ὑπόστασιν αὐτὸν ὄντα πιστεύεσθαι καὶ μετὰ τὴν σάρκωσιν, ἤτοι ἐνανθρώπησιν, τῆς ἁγίας Τριάδος προσθήκην οὐκ εἰσδεξαμένης προσώπου, καὶ μετὰ σαρκὸς νοοῖτο καὶ ἔστι. Ταύτῃ τῇ ἐννοίᾳ τὸ εὐαγγελικὸν ῥητὸν ἡ τῆς Ἐκκλησίας ἀκριβὴς διάλῃψις ἐξηγεῖται. Τὸ δὲ, *ἐσκήνωσεν ἐν ἡμῖν*, καλῶς γε ποιῶν ὁ Θεολόγος εὐθὺς ἐπήγαγεν, ἵνα δύο νοήσας τὰ σημαινόμενα, τόν τε σκηνοῦντα, καὶ τὸ ἐν ᾧ ἡ σκήνωσις, μὴ εἰς

10. Cum porro de Dei Verbi habitatione in carne propria locutus sit Evangelista, determinandum est, quot modis dicitur Deus in nobis inhabitare: vocantur siquidem et sancti templum Dei, in quo Deus habitat: sed in illis actione habitare probe recteque dixeris. Vocatur item et Virgo templum Dei: in ipsa etenim Deus Verbum essentia habitavit, quod plus habet et sine comparatione eximium præ aliis sanctis; in propria vero carne, qua ut proprio usus est corpore ex sancta Virgine templo secundum essentiam et hypostasim illi Deus Verbum unitum, habitare dicitur. Et hæc quidem Ecclesiæ pia sententia est. Sed Nestorius perverse dictum accepit; namque, *Verbum caro factum est*, familiaritate et relatione dignitatis, aut consilio, aut beneplacito factum fuisse dixit: cum duos constituat Filios, alterum Deum Verbum, et alterum singularem hominem ex Maria; sic et illud, *habitavit in nobis*, operatione, aut beneplacito exponebat, quare et parum hominem enuntiabat Jesum: propterea que jure merito anathemate ictus est. Leo vero dicens, *Sapientia ædificavit sibi domum: nam Verbum caro factum est, et habitavit in nobis*, pie intelligens, et ad Ecclesiæ mentem, ut antea declaravimus, non a perverso Nestorii intellectu abripitur, propterea

ι'. Ἐπειδὴ δὲ περὶ σκηνώσεως, ἤτοι κατοικήσεως τοῦ Θεοῦ Λόγου πρὸς τὴν ἑαυτου σάρκα ἐρρέθη τῷ εὐαγγελιστῇ, διοριστέον κατὰ πόσους τρόπους ὁ Θεὸς λέγεται ἐνοικεῖν ἐν ἡμῖν. Λέγονται γὰρ καὶ οἱ ἅγιοι ναὸς Θεοῦ, ἐν ᾧ ὁ Θεὸς κατοικεῖ, ἀλλ' ἐν τούτοις κατ' ἐνέργειαν φήσειεν ἂν ὁ ὀρθὸς λόγος εἰρῆσθαι. Λέγεται δὲ πάλιν καὶ ἡ Παρθένος ναὸς Θεοῦ. Ἐν ταύτῃ γὰρ ὁ Θεὸς Λόγος οὐσιωδῶς κατῴκησεν, ὅπερ πλέον ἐστὶ τῶν λοιπῶν ἁγίων, καὶ ἀσυγκρίτως· ἐν δὲ τῇ οἰκείᾳ σαρκὶ, ᾗ ὡς οἰκείῳ προσεχρήσατο σώματι, τῷ ἐκ τῆς ἁγίας Παρθένου ναῷ, οὐσιωδῶς καὶ καθ' ὑπόστασιν ἑνωθεὶς αὐτῷ ὁ Θεὸς Λόγος κατοικεῖν ἐν αὐτῷ λέγεται. Καὶ ταύτῃ μὲν τῆς Ἐκκλησίας τὸ εὐσεβὲς φρόνημα. Ὁ δὲ Νεστόριος διεστραμμένως τὸ ῥητόν. Τὸ γὰρ, *Ὁ Λόγος σὰρξ ἐγένετο*, ἐν οἰκειώσεως λόγῳ, καὶ κατὰ ἀναφορὰν ἀξιώματος, ἢ ταυτοβουλίαν, ἢ εὐδοκίαν τοῦτο ἔφη. Ἐπειδὴ δύο ποιεῖ υἱοὺς, ἄλλον τὸν Θεὸν Λόγον, καὶ ἄλλον ἄνθρωπον ἰδικὸν, τὸν ἐκ Μαρίας· ὡσαύτως δὲ καὶ τὸ, *ἐσκήνωσεν ἐν ἡμῖν*, κατ' ἐνέργειαν, ἢ εὐδοκίαν ἔφασκεν· ὅθεν καὶ ψιλὸν ἄνθρωπον ὡμολόγει τὸν Ἰησοῦν· διά τοι τοῦτο δικαίως τῷ ἀναθέματι καθυποβέβληται. Ὁ δὲ δὴ Λέων λέγων, ὅτι *Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον· καὶ γὰρ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν*, εὐσεβοφρόνως

Digitized by Google

νοήσας κατὰ τὸ βούλημα τὸ ἐκκλησιαστικὸν, ὃ καὶ φθάσαντες εἴπομεν, οὐ συναπάγεται τῇ διεστραμμένῃ νοήσει τοῦ Νεστορίου· διά τοι τοῦτο οὐδὲ συμφρονεῖ αὐτῷ ἐν τούτοις. Γράφει Νεστόριος, τὰς δύο φύσεις τοῦ Χριστοῦ χωρίζων, ὅτι *Διπλῆ ἐστιν ἡ φύσις εἰς ἓν ἀξίωμα.* Γράφει Λέων· *Τὸ πειρῆσαι, καὶ διψῆσαι, καὶ κοπιάσαι, ἀνθρώπινον, τὸ δὲ ἐκ πέντε ἄρτων ἄνδρας πεντακισχιλίους χορτάσαι, καὶ τὸ ὕδωρ τὸ ζῶν χαρίσασθαι τῇ Σαμαρείτιδι, τοῦτο θεότητος.* Ἀλλ' ὁ μὲν Νεστόριος οὐ διὰ τὸ εἰπεῖν, *Διπλῆ ἐστιν ἡ φύσις*, ἤδη κατακέκριται· πλείστοι γὰρ ὅσοι, μᾶλλον δὲ πάντες οἱ θεοφόροι Πατέρες τοῦτ' διατρανοῦσιν ἐπὶ Χριστοῦ, ὅτι διπλοῦς ἦν. Καὶ ἄκουσον τοῦ ἐν θεολογίᾳ Γρηγορίου λέγοντος· *Διπλοῦς ἦν, ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐδίψησε, καὶ ὅσα νόμῳ σώματος ἦν.* Ἀλλ' ὅτι ἐπήνεγκεν, *εἰς ἓν ἀξίωμα*, ἐναργῶς ὑποδηλῶν τὰς φύσεις κεχωρισμένας, καὶ ἰδιοσυστάτους ποιῶν, καὶ σχετικὴν, λέγω δὴ τὴν κατὰ ἀναφορὰν ἀξιώματος πρὸς τὸν θεῖον Λόγον τὴν ἀνθρωπίνην φύσιν τὴν ἕνωσιν κεκτῆσθαι· διά τοι τοῦτο καὶ ἀπόβλητος. Ὃ δὲ δὴ Λέων ὀρθοδόξως τὸ μὲν διψῆσαι, καὶ πεινῆσαι, καὶ κοπιάσαι τὸν Χριστὸν κατὰ τὸ ἀνθρώπινον εἴρηκε, τὸ δὲ θαυματουργῆσαι κατὰ τὸ θεῖκὸν μέρος ἐξέθετο. Ταύτῃ τῇ ἐννοίᾳ ἡ καθολικὴ Ἐκκλησία ἐπὶ Χριστοῦ νοεῖν ἡμᾶς ἐκδιδάσκει, τὰ μὲν ταπεινὰ τῇ ἀνθρωπότητι προσάπτουσα, τὰ δὲ ὑψηλὰ τῇ θεότητι. Εὐσεβὴς ἄρα ὁ Λέων ἀποδέδεικται, καὶ οὐ συμφωνῶν τῷ Νεστορίῳ, κἂν ἀδίκως παρὰ σοῦ συκοφαντῆται. Εἰ δὲ τοῦτο, μάτην προφασίζῃ προφάσεις ἐν ἁμαρτίαις, καὶ οὐκ ἀποδέχῃ τὴν ἁγίαν τετάρτην σύνοδον, καὶ τὸ παρ' αὐτῆς ὀρθὸν δόγμα, τὸ ἐπὶ τῆς οἰκονομίας Χριστοῦ ὁρισθέν. Οὐ γὰρ τὸν ἕνα Χριστὸν εἰς δύο διαιρεῖ, καὶ χωρισμὸν ἀπὸ Θεοῦ ἐμποιεῖ, ὡς σὺ φανερῶς διαψεύδῃ, μᾶλλον μὲν οὖν ἑνοῖ, καὶ βασιλείας οὐρανῶν πρόξενον τὸν ταύτην ἀσμένως ἀποδεχόμενον καθίστησιν, εἴπερ καὶ αὐτὴν ὀρθοφρόνως ἐτράνωσε καλῶς τὸ κατὰ Χριστὸν μυστήριον.

ια'. Ἐπεὶ δὲ οὐ μόνον ἐκ τῆς παραθέσεως τῶν χρήσεων τοῦ ματαιόφρονος Νεστορίου, καὶ τοῦ ἐν ἁγίοις πάπα Λέοντος ἐπειράθης διαβαλεῖν τὴν ἁγίαν τετάρτην σύνοδον, εἰ καὶ ὁ λόγος σου γέγονεν ἀπίθανος καὶ ἀσύμβατος, ἀλλ' ἢ καὶ ἐξ αὐτῆς τῆς συνόδου παρακεκομμένας λαβὼν ῥήσεις, ἔτι γε μὴν καὶ τοῦ ἁγίου Κυρίλλου, διὰ τῆς παραθέσεως τὴν διαφωνίαν ἐνδείξασθαι βούλει· φέρε δή, καὶ ταύτας αὖθις εἰς μέσον θέντες, τὸ σύμφωνον τῆς τε συνόδου καὶ τοῦ ἁγίου Κυρίλλου σαφέστατα παραστήσωμεν. Ἔχει ἡ σύνοδος κατὰ λέξιν ὧδε, ὡς σὺ ἐπέστειλας· *Γράφει ἡ σύνοδος τῆς Χαλκηδόνος, ὅτι οὐκ ἠλλοίωσε τῶν φύσεων τὴν διαφορὰν διὰ τῆς ἑνώσεως, ἀλλ' ἐφύλαξε τὸ ἴδιον τῆς ἑκάστου φύσεως. Γράφει ὁ ἅγιος Κύριλλος ἐν τῇ πρώτῃ ἐπιστολῇ τῇ πρὸς Σούκενσον· Ἕνα λέγομεν Υἱόν, ὡς καὶ οἱ Πατέρες ἐλάλησαν, μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην. Ποίαν οὖν κοινωνίαν ἔχει ἡ τῆς Χαλκηδόνος σύνοδος μετὰ τοῦ ἁγίου Κυρίλλου; Ὅτι ἐκεῖνος μὲν μίαν φύσιν ἑνώσας ἐκ δύο, ἐλάλησε κατὰ τὴν ἁγίαν σύνοδον τὴν ἐν Ἐφέσῳ· ἡ δὲ*

A neque in hisce cum eo consentit. Scribit Nestorius duas in Christo naturas separans: *Duplex est natura in una dignitate.* Scribit Leo: *Cumque fame, siti, et laboribus depugnasse, humanum est: quinque vero panibus, quinque hominum millia exsaturasse, et aquam vivam Samaritanæ elargitum fuisse, hoc vero deitatis est.* Et Nestorius quidem, non quod dixerat: *Duplex est natura*, ideo condemnatus est: cum plurimi etiam ex sanctis Patribus hoc idem de Christo asseverarunt, duplicem esse. Audi in divinis pertractandis egregium Gregorium. *Duplex erat*, ait; *nam et laboravit, et sitivit, aliaque, quæ ex lege corporis tenebatur, perpessus est.* Sed quod addidit, *in una dignitate*, aperte divisas naturas innuens, et per se subsistentes enuntians, et respectivam, eam, in-

B quam, quam secundum dignitatis relationem ad divinum Verbum humana natura unionem possedit confirmans; propterea quæ proscriptus est. Leo vero satis pie, et cum recte sentientibus, cum fame, siti, et laboribus depugnasse Christum humana natura asseruit, at miracula effecisse de divina parte interpretatus est. Similia catholica Ecclesia de Christo nos docet, humilia humanitati ascribens, sublimia deitati vindicans. Pie itaque Leo sentit, uti demonstratum est, nec cum Nestorio convenit, licet a te immerito de eo insimuletur. Id si ita est, frustra prætextus prætexis in peccatis, et sanctam quartam synodum ipsiusque probam assertionem non recipis, quam illa de œconomia Christi præscripsit: neque enim unum Christum in duo divi-

C dit, et a Deo separationem introducit, ut tu aperte mentiris; quinimo potius unit, hospitemque regni cœlorum, qui eam libenter amplectitur, constituit; si et ipsa recte sentiens cum sanctis tribus synodis decrevit, probeque Christi mysterium publicavit.

μετὰ τῶν ἁγίων τριῶν συνόδων ἐδογμάτισε καὶ

11. Quando vero non tantum ex comparatione dictorum amentissimi Nestorii, et sancti pontificis Leonis conatus es sanctam quartam synodum criminari, quamvis id neque probabilibus, neque concludentibus rationibus egeris, sed ex ipsius etiam synodi obtruncatis ac mutilis assertis, necnon et

D sancti Cyrilli invicem comparatis dissensionem ostendere contendis, age ipsis in medium positis et examinatis, synodi sanctique Cyrilli consensionem quam compertissime comprobemus. Verba ipsa synodi sunt, ut ipse scripto tuo significasti: *Scribit Chalcedonensis synodus: Non immutavit naturarum differentiam per unionem, sed proprium uniuscujusque naturæ conservavit. Scribit sanctus Cyrillus prima ad Sucensum epistola: Unum dicimus Filium, quemadmodum et Patres locuti sunt, unam naturam Dei Verbi incarnatam. Quid itaque Chalcedonensi synodo cum sancto Cyrillo commune est? Ille unam naturam uniens ex duabus secundum sanctam synodum Ephesinam locutus est; at Chalcedonensis synodus ex duabus naturis separatis enuntiavit. His,*

Digitized by Google

ut tibi videris, sanctum Cyrillum a Chalcedonensi synodo discrepare, et diversa ab ea tenere probas : quod existimas eum unam asseruisse Verbi naturam post carnem assumptam, synodo duas naturas post unionem acclamante. Sed, ut verba inferunt, hoc dicto magis ac magis sanctæ quartæ synodo Cyrillus consentit, tantum abest, ut ab ea dissideat. Quandoquidem Nestorius statim atque quispiam duas de Christo naturas enuntiasset, dictum in proprium sensum trahebat, concludebatque duas personas : asserebat siquidem nullam esse naturam absque persona, propria nempe. Hujus ingenii perversitatem prævidens sanctus Cyrillus, unam dixit Verbi naturam, eamque incarnatam, non id innuens, Verbum cum carne unitum secundum hypostasim totum unam naturam factum fuisse ; si enim id innuens ita locutus fuisset, quemadmodum vos contenditis, ipse, sibi ipsi adversa atque contraria pronuntiasset, hic inquiens, unam esse naturam Dei Verbi post incarnationem, hoc est, deitatem et humanitatem in unum ambas coactas, unam effecisse naturam, ut vos dicitis, compositam : alibi vero non tantum in secunda ad Sucensum epistola, sed fere, ut ita dicam, locis omnibus, in quibus de œconomia Christique mysterio agit, deprehenditur in duabus naturis Christum, et duas esse naturas post unionem, palam aperteque dicere : neque id solum, sed aliis quoque Patribus adversabitur, quod sane falsum est tantoque viro injurium. Fere enim omnes clare intonant Christum, hoc est, unam hypostasim in duabus naturis, et duas naturas esse post unionem : si ille Deus et homo idem perfectus est post unionem. Sed obiter totum, Christum, nempe unam naturam Verbi incarnatam tradens, ex partibus totum significavit : una siquidem natura Verbi eadem est, atque Dei, et Patris, et Spiritus sancti ; cum vero annectitur incarnata, quod notat animata anima rationis compote, et intellectuali, ut et ipse dicit, omnino nostram naturam indicat, quod exprimit, duas Christi naturas esse, divinam atque humanam : hoc si ita est, manifestum fit eum potius sanctæ quartæ synodo conformari, duas et ipsam obiter significantem naturas habere unum hypostasi Christum, et Dominum, et Deum nostrum. Audi nihilominus quid divus Cyrillus secunda ad Sucensum epistola tralat respondens, quod dixerat unam Verbi naturam incarnatam. *Si unam dicentes Verbi naturam tacuissemus, non adnectentes incarnatam, quasi œconomiæ mysterium adulterantes, esset fortasse ipsis oratio non absque verosimilitudine, cum fingant se interrogare : Ubi est perfectum in humanitate? aut quomodo subsistat secundum nos essentia? Cum vero et in humanitate perfectio, et nostræ naturæ indicatio introducta est, quod dicamus incarnatam, quiescant arundineum calamum sibi ad incumbendum supponentes.* Ecce jam considera incarnatam ad nostram essentiam manifestandam appositam fuisse, doctorem asse-

τῆς Χαλκηδόνος σύνοδος, ἐκ δύο φύσεων κεχωρισμένων ἐλάλησεν. Ἐνταῦθα μὲν δοκεῖς παριστᾷν ἀσύμφωνον, καὶ ἀνομόλογον τὸν ἐν ἁγίοις Κύριλλον πρὸς τὴν σύνοδον τὴν ἐν Χαλκηδόνι, διὰ τὸ οἴεσθαί σε, μίαν αὐτὸν εἰρηκέναι τοῦ Λόγου φύσιν μετὰ τὴν σάρκωσιν, τῆς συνόδου δύο φύσεις μετὰ τὴν ἕνωσιν ἐκφωνησάσης. Ἀλλ', ὡς ὁ λόγος παρίστησι, σύμφωνος ἔσται μᾶλλον ὁ Κύριλλος διὰ τῆσδε τῆς χρήσεως τῇ ἁγίᾳ τετάρτῃ συνόδῳ, ἥπερ ἀσύμφωνος. Ἐπειδὴ ὁ μὲν Νεστόριος, ἡνίκα ἂν δύο φύσεις ἔλεγέ τις ἐπὶ Χριστοῦ, παραυτὰ συνήρπαζε τὴν φωνὴν εἰς τὸ οἰκεῖον βούλημα, καὶ συνῆγε δύο πρόσωπα. Ἔλεγε γάρ· Οὐκ ἔστι φύσις ἀπρόσωπος, ἤγουν χωρὶς οἰκείου προσώπου. Τούτου οὖν τὴν δυστροπίαν προορῶν ὁ ἐν ἁγίοις Κύριλλος, μίαν φύσιν τοῦ Λόγου εἴρηκε, καὶ ταύτην δηλονότι σεσαρκωμένην, οὐ τοῦτο λέγων, ὅτι ὁ Λόγος μετὰ σαρκὸς ἡνωμένος καθ' ὑπόστασιν, τὸ ὅλον μία φύσις γέγονε. Εἰ γὰρ οὕτως ἐννοῶν εἴρηκεν, ὡς ὑμεῖς φατε, τάχα ἂν ἀσύμφωνος καὶ διαμαχόμενος αὐτὸς ἑαυτῷ ἔσται, ὧδε μὲν οὕτως λέγων μίαν εἶναι φύσιν τοῦ Θεοῦ Λόγου μετὰ τὴν σάρκωσιν, ἤγουν τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα συνελθούσας ἀμφοτέρας ἀποτελέσαι μίαν φύσιν καθ' ὑμᾶς σύνθετον. Ἀλλαχόσε δὲ αὐτὸς ἐκεῖνος οὐ μόνον ἐν τῇ δευτέρᾳ ἐπιστολῇ τῇ πρὸς Σούκενσον, ἀλλὰ καὶ σχεδὸν εἰπεῖν ἐν οἷς διείληπται περὶ τῆς οἰκονομίας, καὶ τοῦ κατὰ Χριστὸν μυστηρίου φαίνεται πάλιν, ἐν δύο φύσεσι τὸν Χριστὸν, καὶ δύο φύσεις εἶναι μετὰ τὴν ἕνωσιν, τρανῶς διαγορεύων. Καὶ οὐ μόνον τοῦτ', ἀλλὰ καὶ τοῖς ἄλλοις ἔσται Πατράσιν ἐναντίος· ὅπερ ἐστὶ λέγειν ψευδές τε καὶ δύσφημον. Σχεδὸν δὲ εἰπεῖν πάντες διαῤῥήδην κεκράγασιν, ὅτι ὁ Χριστὸς, ἤγουν ἡ μία ὑπόστασις ἐν δύο φύσεσι, καὶ δύο φύσεις ἐστὶ μετὰ τὴν ἕνωσιν· εἴπερ Θεὸς καὶ ἄνθρωπος ὁ αὐτὸς τέλειός ἐστι μετὰ τὴν ἕνωσιν. Ἀλλ' ἐκ περιόδου τὸ ὅλον, ἤγουν τὸν Χριστὸν μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην εἰπών, ἐκ τῶν μερῶν τὸ ὅλον ἐνέφηνεν. Ἡ γὰρ μία φύσις τοῦ Λόγου ἡ αὐτή ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τοῦ ἁγίου Πνεύματος, προσκειμένου δὲ ὅτι σεσαρκωμένη, ὅπερ δηλοῖ ἐψυχωμένη ψυχῇ λογικῇ τε καὶ νοερᾷ, ὡς καὶ αὐτὸς λέγει, πάντως τὴν καθ' ἡμᾶς φύσιν δηλοῖ· ὅπερ ἐμφαίνει, ἤγουν τοῦ Χριστοῦ δύο φύσεις εἶναι, θείαν τε καὶ ἀνθρωπίνην. Εἰ δὲ τοῦτο, φανερὸν ὅτι μᾶλλον συμῳδεῖ τῇ ἁγίᾳ τετάρτῃ συνόδῳ, δύο καὶ αὐτὸς διὰ περιόδου ἐμφήνας φύσεις ἔχειν τὸν ἕνα τῇ ὑποστάσει ὄντα Χριστὸν, καὶ Κύριον, καὶ Θεὸν ἡμῶν. Πλὴν οὖν ἄκουσον τί φησιν ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῇ δευτέρᾳ ἐπιστολῇ τῇ πρὸς Σούκενσον ὑπεραπολογούμενος, διὰ τὸ εἰπεῖν μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην· *Εἰ μὲν μίαν εἰπόντες τοῦ Λόγου φύσιν σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ, σεσαρκωμένην, ἀλλ' οἷον ἔξω τιθέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που οὐκ ἀπίθανος ὁ λόγος, προσποιουμένοις ἐρωτᾷν· Ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι, ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; Ἐπεὶ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν σεσαρκωμένην, παυσάσθωσαν*

Digitized by Google

καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστηρίσαντες. Ἰδοὺ σκόπει τὸ σεσαρκωμένην εἰς δήλωσιν τῆς καθ' ἡμᾶς οὐσίας εἰσκεκομίσθαι λέγοντα τὸν διδάσκαλον, ὡς εἶναι τὴν μίαν τοῦ Λόγου φύσιν καὶ τῆς καθ' ἡμᾶς οὐσίας τὴν δήλωσιν, διὰ τὸ, σεσαρκωμένην, δύο φύσεων θεότητος καὶ ἀνθρωπότητος παραστατικόν. Καὶ μετ' ὀλίγα ἐν τῇ αὐτῇ ἐπιστολῇ· *Ὀρθότατα δὲ καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, καθὸ νοεῖται καὶ ἔστι Θεὸς, παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει. Δεῖ γὰρ πάντως ἀμφότερα σώζεσθαι ἐν τῷ ἑνὶ καὶ κατὰ ἀλήθειαν Υἱῷ, τὸ μὴ πάσχειν θεϊκῶς, καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ.* Σκόπει πῶς φύσιν θείαν εἶπε καὶ φύσιν χοϊκὴν ἐν τῷ ἑνὶ Χριστῷ σώζεσθαι καὶ μετὰ τὴν ἕνωσιν, κἂν σὺ ἀγανακτῇς, καὶ οὐ συγχωρῇς φύσιν θείαν καὶ φύσιν χοϊκὴν δύο φύσεις εἶναι. Καὶ πάλιν ἀλλαχοῦ ἄκουσον Κυρίλλου ἐκ τοῦ περὶ Τριάδος λόγου· *Διττὸν τὸν ἐφ' Υἱῷ λόγον ὁ σοφώτατος Παῦλος, μᾶλλον δὲ σύμπας ὁ τῶν ἁγίων χορὸς ἐγνώκασί τε καὶ εἰσκομίζουσι μετὰ τὸ ἑνωθῆναι σαρκί.* Ἆρά γε τὸν διττὸν ἐφ' Υἱῷ λόγον κατὰ τὴν ὑπόστασιν φῆς εἰρηκέναι, ἢ κατὰ τὴν φύσιν; Εἰ μὲν κατὰ τὴν ὑπόστασιν, ἰδοὺ τὸ τοῦ Νεστορίου φρόνημα, ὅπερ ἐστὶν ἀσεβές. Εἰ δὲ κατὰ τὴν φύσιν, σύμφημι, ὅτι καὶ Κύριλλος ὧδε συμφωνεῖ τῇ ἁγίᾳ τετάρτῃ συνόδῳ, δύο φύσεις ἐπὶ Χριστοῦ εἰπούσῃ. Καὶ σχεδὸν ἐν πᾶσι τοῖς τοῦ ἁγίου συγγράμμασιν εὕροι ἄν τις αὐτὸν, διπλοῦν λέγοντα τὸν Χριστὸν μετὰ τὴν ἕνωσιν κατὰ φύσιν. Πλὴν εἰσαχθήτω αὖθις Γρηγόριος ὁ ἐπὶτῇ θεολογίᾳ περιβόητος ἐν τῷ περὶ Υἱοῦ λόγῳ συνῳδὰ τῇ ἁγίᾳ τετάρτῃ συνόδῳ φάσκων· *Θεὸς δ' ἂν λέγοιτο, οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ. Πῶς γὰρ ἂν εἴη τοῦ κυρίως Θεοῦ Θεὸς, ὥσπερ καὶ Πατὴρ, οὐ τοῦ ὁρωμένου, τοῦ Λόγου δέ; Καὶ γὰρ ἦν διπλοῦς, ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως.* Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὰ Γενέθλια· *Ἀπεστάλη μὲν γὰρ, ἀλλ' ὡς ἄνθρωπος· διπλοῦς γὰρ ἦν.* Εἰσαχθήτω καὶ τοῦ Ἀμβροσίου Μεδιολάνων ἐπισκόπου πρὸς Γρατιανὸν βασιλέα, ἥντινα χρῆσιν προήγαγε Κύριλλος ἐν τῇ κατ' Ἔφεσον συνόδῳ κατὰ Νεστορίου· *Φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος καὶ τῆς σαρκός· εἷς γὰρ ἐν ἑκατέρᾳ λαλεῖ ὁ τοῦ Θεοῦ Υἱός· ἐπειδὴ ἐν αὐτῷ ἑκατέρα φύσις ἐστίν.* Ἱκανὰ μὲν καὶ ταῦτα παραστῆσαι τὴν συμφωνίαν τῆς ἁγίας τετάρτης συνόδου μετὰ Κυρίλλου καὶ τῶν λοιπῶν Πατέρων, καὶ τῆς ἐν Ἐφέσῳ συνόδου. Καὶ εἰ μή τις λόγου ἔκτασις διεκώλυε, τάχα ἂν πολλαῖς καὶ σχεδὸν εἰπεῖν ἀπείροις μαρτυρίαις, ἔκ τε Γραφικῶν λογίων, καὶ Πατρικῶν συγγραμμάτων, καὶ συλλογισμοῖς ἀποδεικτικοῖς χρησάμενοι, παριστᾷν εἴχομεν τῆς ἁγίας τετάρτης συνόδου τὴν συμφωνίαν πρὸς ταῖς ἄλλαις τρισὶν ἁγίαις συνόδοις, καὶ πρὸς αὐτὴν ἀλήθειαν. Ἐπεὶ οὖν ὁ λόγος ἐναργῶς τουτὶ παρέστησεν, ἀπόστηθι τοῦ διασύρειν τὴν ἁγίαν τετάρτην σύνοδον, εἴπερ τὴν ἑαυτοῦ ἐπισπᾷ σωτηρίαν, καὶ τοὺς κατ' ἐκεῖνο

A rentem; ut sit una Verbi natura, et nostræ essentiæ manifestatio per illud incarnatam, quod duas naturas, deitatis atque humanitatis, constituat. Et paucis interjectis in eadem epistola: *Rectissime vero, et satis scite tua perfectio salutaris passionis rationem exponit, non ipsum unigenitum Dei Filium secundum quod intelligitur et est Deus, passum fuisse in propria natura, sed in terrena contendens. Omnino enim utraque conservanda sunt in uno et vere Filio, non pati secundum divinitatem, et pati secundum humanitatem: illius enim caro passa est.* Naturam divinam, ut vides, dixit et naturam terrenam in uno Christo conservari etiam post unionem, licet tu id ægre feras, neque concedas naturam divinam et naturam terrenam duas esse natu-

B ras. Et rursum alio in loco, audi Cyrillum ex oratione de Trinitate: *Duplicem de Filio rationem sapientissimus Paulus, imo universus sanctorum cœtus agnoverunt et tradunt post unionem cum carne.* Duplicemne ille de Filio rationem secundum hypostasim posuit, an secundum naturam? Si secundum hypostasim, Nestorii hæresim firmas, quod impium est; si secundum naturam, et tunc aio Cyrillum etiam hoc loco cum sancta quarta synodo concordare, quæ duas in Christo naturas edixit, et fere eumdem in omnibus suis commentariis offendes, duplicem Christum asserentem post unionem secundum naturam. Accedat nihilominus rursus Gregorius in rebus theologicis tractandis percelebris, oratione de Filio, sanctæ quartæ synodo con-

C formia scribens: *Deus vero dicetur non Verbi, sed illius, qui conspicitur: qua enim ratione Dei proprie Deus fuerit, quemadmodum et Pater, non illius qui conspicitur, sed Verbi? namque erat duplex, ut hoc quidem proprie de ambobus, hoc vero non proprie.* Ejusdem in Christi diem natalem: *Missus enim est, sed ut homo, duplex enim erat.* Accedat quoque Ambrosius Mediolanensis episcopus ad Gratianum imperatorem, cujus verba Cyrillus in Ephesina synodo adversus Nestorium produxit: *Conservemus deitatis et carnis discrimen: unus enim in utraque loquitur Dei Filius, cum in eo utraque natura sit.* Et hæc quidem satis fuerint ad probandam consensionem sanctæ quartæ synodi cum Cyrillo,

D et aliis Patribus, necnon et synodo Ephesina. Quod si sermonis prolixitas non prohiberet, forte plerisque, et fere innumeris, ut ita dicam, testimoniis ex divinis Eloquiis, et Patrum operibus petitis, necnon gravissimis ac firmissimis argumentationibus in medium allatis sanctæ quartæ synodi cum aliis tribus et ipsa veritate concordiam comprobaremus; sed cum oratio aperte id demonstraverit, finem ponito, sanctam quartam synodum conviciandi, si tuæ te salutis studium tenet, nec eos aversaris, qui eo temporis hominum frequentia conspicuam illam synodum cogi decreverunt, et legitime, quæcunque in ea acta sunt, decreto etiam suo stabiliverunt, Marcianum, inquam, et Pulcheriam, qui summopere majestatem imperatoriam

Digitized by Google

rectæ fidei sensibus cæteraque recti ordinis conservatione condecorarunt. Tanto enim Pulcheria immaculatissimam Deiparam Mariam, Matrem eam Domini fideliter compellans, et Dei genitricem, et ingenti fide venerans, cultu prosequebatur, ut templa, et potissimum in regina hac urbium sub illius nomine, quam maxima, pulcherrima, omnique ornatu conspicua, singulis cognomine ex loco, in quo exstructa sunt, indito, exædificaverit per ea intensam fidei in immaculatissimam, et Deiparam Mariam voluntatis inclinationem suæ omnibus ostendens. Propterea improbe eam, nec uti par est, quasi cum Nestorio sentiret, insimulas, dummodo et ipse Deiparam Domini Matrem agnoscas.

A καιροῦ τὴν πολύανδρον ἐκείνην συναθροισθεῖσαν σύνοδον βασιλεῖς ὁρίσαντας, καὶ ἐννόμως πάντα τὰ ἐν αὐτῇ πραχθέντα κελεύσαντας, Μαρκιανόν φημι καὶ Πουλχερίαν, οἳ μεγάλως τὴν βασίλειον ἐξουσίαν ὀρθοδοξίᾳ μετὰ καὶ τῆς λαιπῆς εὐταξίας ἐκόσμησαν. Τοσοῦτον γὰρ περιῆν τὸ σέβας τῇ Πουλχερίᾳ πρὸς τὴν πάναγνον καὶ Θεοτόκον Μαρίαν, μητέρα τε τοῦ Κυρίου ταύτην πιστῶς ἀποκαλούσῃ καὶ Θεοτόκον, καὶ μετὰ πίστεως πολλῆς ταύτην σεβομένῃ, ὡς καὶ ναοὺς κατ' ἐξαίρετον ἐν τῇ βασιλευούσῃ πόλει ἐπ' ὀνόματι τῆς Θεομήτορος μεγίστους καὶ περικαλλεῖς καὶ κατηγλαϊσμένους δείμασθαι, τὴν ἐπωνυμίαν ἐκ τῶν τόπων ἕκαστον, ἐν ᾧ ᾠκοδόμηντο, λαβόντα, δι' αὐτῶν τὸ θερμὸν τῆς πίστεως αὐτῆς τῆς πρὸς τὴν πάναγνον καὶ Θεοτόκον Μαρίαν πᾶσιν ἐνδεικνυμένη. Διά τοι τοῦτο, οὐδὲ ὡς τὰ Νεστορίου φρονοῦσαν δεῖ σε αὐτὴν διασύρειν, εἴγε καὶ αὐτὸς Θεοτόκον ὁμολογεῖς τὴν τοῦ Κυρίου Μητέρα.

12. Illud quoque in epistola tuæ magnanimitatis inserebatur : *Multa possemus testimonia de ea, quam nos statuimus, una nempe Christi natura post unionem sententia producere, nec ab ea aliena in medium afferre : verumtamen cum in tuæ sanctitatis scripto nulla inessent divinorum Patrum testimonia, neque nos ea recollegimus.* Nos nihilominus tuæ gloriæ consulentes, nunc pro iis ita enuntiamus : Haud decet te, utcunque et ut occasio tulerit, de fide et dogmatibus testimonia Patrum recolligere : sic enim et divinos illos Patres in crimen adduces, et tibi sartam tectam fidei rationem non conservabis. Multa siquidem Patribus sive per metaphoram, sive per æquivocationem, sive per conversionem, sive alio quopiam modo vocabulis abutentibus excidisse comperientur. Quinimo, et divinæ Litteræ, et usus ita nomina pertractant. Et conspicito mihi ipsum beatum Cyrillum hypostases naturarum, et naturas hypostaseon loco accipientem. Quale illud est : *Si quis dividit hypostases.* Rursumque idemmet dicit : *Inconfusæ permanserunt naturæ, hypostases nempe.* Magnus etiam Athanasius, et personas in Christo duas esse contendit, quæ nisi quis asserat, dicta esse a Patribus, sic vocabulis abutentibus, eosdem hæreseos nota infamabit, et ex iis orationibus testimonia congerens sibi ipsi et aliis maxima incommoda comparabit. Verumtamen dictæ auctoritates, si cui id in animo fuerit, ex divinis Patribus seligendæ sunt, cum illi de rebus decernunt, et determinant, propriamque sententiam declarant, quale fuerit de natura et hypostasi a magno Basilio decretum, qui inter ea discrimen apponit non aliud, quam quo universale et singulare inter se differunt : vel quo ipsi, licet in aliis plurimis operibus abutuntur, in alio tamen opere, quid ipsi sentiant, et quamnam ipsi ob causam abusi sunt, explanant : vel ea, in quibus plerique Patrum concordant, vel quæ synodali decreto firmata sunt, non autem ea, quæ ipsi aliud agentes scripto tradiderunt, in quibus sæpius exponendis, dum aliquis negligentius se gerit, dictionibus abutitur a vestris cogitationibus ad hoc ipsum distractus, vel quod aptitudinum nullam habens in promptu, vel cum

B ιβ'. Ἐνεφέρετο δὲ καὶ τοῦτο ἐν τῷ γράμματι τῆς σῆς μεγαλονοίας, ὅτι *Πολλὰς εἴχομεν μαρτυρίας περὶ τῆς παρ' ἡμῖν δογματιζομένης, ἤγουν τῆς μιᾶς φύσεως τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν ὁμολογίας παριστᾶν, καὶ πολλὰ τοῦ λέγειν, ἀλλὰ διὰ τὸ μηδὲ ἐν τῷ γράμματι τῆς σῆς ἁγιωσύνης τῶν θεοφόρων ἀνδρῶν οὐ περιεῖχε μαρτυρίας, οὐδὲ ἡμεῖς ἐνεγράψαμεν.* Πλὴν οὖν διευθετοῦντες τὴν σὴν εὐκλειαν, καὶ ἐν τούτοις τανῦν λέγομεν· Οὐχ ἁπλῶς, καὶ ὡς ἔτυχε, δεῖ σε μαρτυρίας Πατέρων περὶ πίστεως καὶ δογμάτων ἀναλέγεσθαι. Ἐπεὶ καὶ τοὺς θείους Πατέρας ἐγκλήματι περιγράψειας, καὶ σὲ ἀσινῆ εἰς τὸν τῆς πίστεως λόγον οὐ διατηρήσειας. Πολλὰ γὰρ τοῖς Πατράσι πρὸς κατάχρησιν, ἤτοι κατὰ C μεταφορὰν, ἢ ὁμωνυμίαν, ἢ ἀντιστροφὴν, ἢ ἄλλως πως ἔστιν εὑρεῖν λέγοντας, καὶ οὐ μόνον τουτὶ, ἀλλὰ καὶ αἱ θεῖαι Γραφαὶ καὶ ἡ συνήθεια οὕτως τὰ ὀνόματα μεταχειρίζεται. Καὶ θέα μοι καὶ αὐτὸν τὸν μακάριον Κύριλλον τὰς ὑποστάσεις ἀντὶ τῶν φύσεων, καὶ τὰς φύσεις ἀντὶ τῶν ὑποστάσεων ἑκλαμβάνοντα. Οἷόν φημι· *Εἴ τις διαιρεῖ τὰς ὑποστάσεις.* Καὶ πάλιν ὁ αὐτὸς λέγει· *Ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν ὑποστάσεις.* Ὅ τε μέγας Ἀθανάσιος καὶ *πρόσωπα* ἐπὶ Χριστοῦ δύο εἶναι διισχυρίζεται, εἰ μή τις τοῦτο εἴποι, ὅτι καταχρηστικῶς τοῖς Πατράσιν ἐρρήθη, αὐτούς τε τούτους αἱρετικοὺς ἀποφήσειε, καὶ ἐκ τῶνδε τῶν λόγων ἀναλεγόμενος χρήσεις, ἑαυτόν τε καὶ ἄλλους μεγάλως βλάψειεν. D Ἀλλὰ χρὴ τὰς τοιαύτας χρήσεις, εἴτις βούλοιτο ἐκ τῶν θείων Πατέρων ἀναλέγεσθαι, οἷον νομοθετοῦντας περί τινων πραγμάτων, καὶ ὁροθετοῦντας εὑρισκομένους, καὶ τὴν οἰκείαν γνώμην ἀνακαλύπτοντας. Οἷόν ἐστι τὸ περὶ οὐσίας καὶ ὑποστάσεως ὄνομα παρὰ Βασιλείου τοῦ πάνυ λαβὼν διάκρισιν, ταύτην ἔχοντα τὴν διαφορὰν πρὸς ἄλληλα, ἣν ἔχει τὸ κοινὸν πρὸς τὸ καθέκαστον, ἢ καὶ αὐτοὺς καταχρησαμένους; ἐν ἄλλοις ὅτι πλείστοις αὐτῶν συγγράμμασι διασαφοῦντας κυρίως, ὅπερ ἀλλαχόσε κατεχρήσαντο, ἢ καὶ ἐν οἷς σύμφωνοι οἱ πλεῖστοι τῶν Πατέρων γεγόνασιν, ἢ καὶ συνοδικῶς ἐκυρώθη, ἀλλὰ μὴ τῷ ἐξοδικῷ λόγῳ, ᾧ πολλάκις ἄν τις κατὰ τὴν ἑρμηνείαν καὶ ἀμελέστερον διακείμενος καταχρήσοιτο λέξεσιν, ὑπὸ ὑμετέρων νοημάτων πρὸς τοῦτο ἀγόμενος, ἢ καὶ μὴ

Digitized by Google

πρόχειρον ἔχων τὴν ἐπιτηδειότητα, ἢ καί τισι τῶν ἑτεροδόξων ἀντικαθιστάμενος, καὶ κατ' ἄλλας δὲ παραφάσεις τῆς τῶν ὀνομάτων ἀκριβείας μὴ φροντίσοι, οὐ δεῖ ἐκ τοιούτων χρήσεις ἀναλέγεσθαι, ἀλλ' ὡς ἀνόπιν ἔφαμεν. Τοῦτο δὲ καὶ σὺ ποιῶν, οὐκ ἂν εὕροις παραστῆσαι χρήσεις συνιστώσας τὸ περὶ μιᾶς φύσεως τοῦ Χριστοῦ παρὰ σοῦ δογματιζόμενον.

ιγ'. Παρακατιὼν δὲ ἐν τῷ γράμματί σου, καὶ οἱονεὶ ἀχθόμενος πρὸς ἡμᾶς, διότι γεγράφαμεν, ὅτι οἱ λέγοντες μίαν φύσιν εἰς Χριστὸν Εὐτυχιανισταί εἰσι, καὶ τῷ αὐτῷ ἀναθέματι καὶ κρίματι καθυποβάλλονται, τοιάδε γράφεις· *Καὶ λέγομεν, δέσποτα, οὐκ ἐποιήσω ἐν τούτῳ εὐθεῖαν κρίσιν*, διὸ καὶ πειρᾶσαι τοῦ Εὐτυχοῦς τὴν δόξαν ἐκτίθεσθαι, διασαφηνίζειν τε, ὅτι ἀνάχυσιν καὶ ἀνάκρασιν δοξάζει ἐπὶ τῆς οἰκονομίας, καὶ ἐκ τῶν ἁγίων καὶ ἀχράντων αἱμάτων μηδὲν τὸν Θεὸν Λόγον προσλαβέσθαι λέγει, ἑαυτὸν δὲ παραστῆσαι μὴ εἶναι συγχυτικὸν, καὶ ἑτέρωσε δοξάζοντα μίαν φύσιν ἐπὶ Χριστοῦ, δι' αὐτὸ τοῦτο, μηδὲ τῷ αὐτῷ ἀναθέματι δικαίως καθυποβάλλεσθαι. Ἀλλ' εἰ μὲν ὁ λόγος ὁ σὸς τὸ διάφορον τῆς δόξης, φημὶ δὴ τοῦ Εὐτυχοῦς καὶ τῆς σῆς ὁμολογίας, βούλεται παριστᾶν, ὡς ἐντεῦθεν μηδὲ τῷ αὐτῷ ἀναθέματι συναπάγεσθαι, ὁ γοῦν ἡμέτερος λόγος τῆς ἀποδείξεως οὕτω λέγοντά σε μίαν φύσιν ἐπὶ τῆς ἑνώσεως Χριστοῦ, κἂν μὴ ἐκ πρώτης οὕτως εὕροι δοξάζοντα, ἀλλ' ἐξ ὧν λέγεις, ἐξάπαντος εἰς τὸν τῆς ἀναχύσεως τρόπον περιάξει, καὶ τοῦτό σοι δῆλον ἐντεῦθεν. Τρεῖς τοίνυν αἱ ἀνωτάτω δόξαι περὶ τῆς ἑνώσεως τῶν ἐν Χριστῷ φύσεων κατεβλήθησαν, διαιρετική, συγχυτική, καὶ ἡ κυρίως ἑνωτικὴ λεγομένη. Αἱ μὲν οὖν δύο παισὶν αἱρετικῶν ἐπαίχθησαν, καὶ παιζέσθωσαν. Καλῶς γὰρ προλαβὼν αὐτοὺς ὁ θεῖος Γρηγόριος ἐστηλίτευσεν. Ἥ τε γὰρ διαιρετικὴ σχετική τις οὖσα, καὶ μηδὲ τὴν ἀρχὴν τὰς φύσεις συνάπτουσα, κεχωρισμένα πρὸς ἄλληλα καταλείπει τὰ πράγματα, μηδὲ ὅσα ἴδια τούτοις διδοῦσα, ἢ ἀντιδιδοῦσα. Ὡς ἐντεῦθεν δύο φύσεις πάντη χωριστὰς ἀλλήλων ὁρίζεσθαι, πλὴν ὅσον ἀξίᾳ, καὶ γνώμῃ, καὶ ταυτοβουλίᾳ τὸν τῶν φύσεων χωρισμὸν φενακίζει τοὺς ἄφρονας. Τοιαύτη ἡ τοῦ ματαιόφρονος Νεστορίου δόξα, ἡ δὲ κατὰ διάμετρον ταύτης καὶ συγχυτικὴ πλεῖστα ἀφανίζουσα, καὶ συγχέουσα, ἕν τι πρᾶγμα νόθον ἀναπλάττει τε καὶ φαντάζεται, ἐν οὐδ' ὁποτέρῳ τῶν ἡνωμένων καθαρῶς τὸ ἴδιον ἀποσώζουσα, ἀλλὰ τοῦτο ἐκεῖνο, κἀκεῖνο τοῦτο, καὶ διὰ τοῦτο οὐδὲ τοῦτο, οὐδὲ ἐκεῖνο συγχωροῦσα. Νόθον γὰρ ἅπαν τὸ ἐκ τῆς συγχύσεως ἀναφαίνεται, οὐδὲν ἔχον καθαρὸν, οὐδὲ ἐν τῇ μονίμῳ ἱδρυμένον ἑαυτοῦ ἰδιότητι. Ἡ δὲ τούτων μέση ἀσύγχυτός τε καὶ ἀδιαίρετος ἕνωσις οἶδε μὲν τὰ ὁραθέντα ἀνελλιπῶς ἔχοντα κατὰ τὴν αὐτῶν ἰδιότητα διὰ τὸ ἄτρεπτον, κοινῶς δὲ ταῦτα καὶ ἑνὸς εἶναι ποιεῖ δι' αὐτήν γε τὴν οὐσιώδη ἕνωσιν, ὡς εἰ καὶ τὰ μὲν κυρίως ἴδια θατέρου, κοινὰ τοῦ ὅλου, τὰ δὲ τοῦ ὅλου κοινά, θατέρου ἴδια διὰ τὴν ἐν θατέρῳ τοῦ αὐτοῦ ἀσύγχυτον ἰδιότητα. Οὐ γὰρ ἂν ἀντίδοσις τῶν ἰδιωμάτων ἐγένετο, εἰ μὴ ἐν ἑκατέρῳ ἔμεινεν ἐν τῇ ἑνώσει ἡ ἰδιότης ἀκίνητος. Ἔστιν οὖν ἡ τοιαύτη ἕνωσις τῶν μὲν πάντη διαιρετῶν ἐνικωτέρα, τῶν δὲ πάντη συγχυτικῶν πλου-

A aliis opposita, sentientibus decertans, alias quoque ob causas nominum accuratam significationem neglexit. Ex similibus testimonia congerenda non sunt, sed, ut supra diximus. Id tu quoque ubi feceris, nulla comperies testimonia Patrum, quæ sententiam tuam de una Christi natura comprobent.

13. In epistola vero tua progressus, veluti indignatus molesteque ferens, quod nos scripserimus, asserentes unam in Christo naturam Eutychianos esse, eodemque anathemate ac judicio subjici, hæc scribis : *Et dicimus, domine, in hoc te non recte judicium tulisse ;* ideoque Eutychetis opinionem exponere conaris, declarareque eum confusionem commutationemque in œconomia ponere, nihilque ex immaculatis sanctisque sanguinibus Deum Verbum assumpsisse, te ipsum vero probare non introducere confusionem, et alibi, unam naturam affirmantem in Christo, non propterea anathemati merito subjici. Et licet sermo tuus opinionis Eutychianæ tuæque confessionis discrimen extricare nitatur, ut inde ab anathemate contra Eutychem lato immunis esse videaris, nostræ tamen demonstrationis ratio te unam naturam in unione Christi asserentem, etsi ipso primo aspectu te ita confiteri non compererit, omnino in confusionis modum adducet : quod tibi hisce manifestum fuerit. Tres ergo supremæ opiniones de unione naturarum in Christo conceptæ sunt, divisiva, confusiva, et quæ proprie appellatur unitiva : quarum duæ ab hæreticis quasi joci ridiculi divenditæ sunt et divenduntur. Probe enim eos præoccupans divinus Gregorius infamavit : namque divisiva, cum relativa sit, et neque in ipso initio naturas conjungat, separatas inter se res relinquit, neque illis communia, neque peculiaria exhibet, aut reddit, ut inde duæ naturæ omnino a seipsis dispertitæ constituantur, et hæc tantummodo dignitate, et opinione, et consilio naturas dividens fucum insipientibus facit, estque stolidi Nestorii. Quæ vero illi ex diametro opponitur, plura dirimens et confundens, spurium nescio quid sibi fingit, et imaginatione complectitur, in neutra unitorum parte pure proprium conservans, sed hoc illud est, et illud hoc : ideoque neque hoc, neque illud concedens : quod enim ex confusione oritur, spurium est, nihil purum continens, in ipsa sui stabili proprietate minime firmum. Harum media inconfusa et indivisa unio agnoscit equidem conspecta integra esse propter suas proprietates, quæ immutatæ non sunt. Communiter autem hæc, et unius esse fatetur propter essentialem unionem, et propria unius, totius communia: quæ vero totius communia, alterius quoque propria propter illius in utroque inconfusam proprietatem. Neque enim proprietatum mutua compensatio fieret, nisi in utroque remaneret, in unione proprietas immota. Est itaque similis unio eorum, quæ penitus dividuntur, magis unitiva, eorum, quæ prorsus con-

Digitized by Google

fundantur affluentior; ut neque omnino idem esse faciat simul unita, neque prorsus aliud. Si itaque nihil omnino idem, neque ex omnibus aliud, quod ex unione oritur, est, quærendum ubinam idem, ubi vero aliud veritatis norma cognoscit, idem quidem secundum hypostasim, aliud vero secundum naturam; opposito namque modo, quam in Trinitate, ut divinus refert Gregorius, se habet. Quod si id adversariis non probatur, quod sequitur ipsi concludant. Omnino etenim si hypostasi non esset idem, ergo natura, concedent, et si hoc una omnino, et eadem fuerit ratio deitatis, et humanitatis per unionem; etsi id idem fuerit unio et natura: idem enim de utrisque prædicatur. Quemadmodum enim quorum natura una est, horum et ratio eadem: sic necessario sequitur; quorum unio simul, et in eodem, eorum secundum ipsos et naturam esse communem. Ergo et oppositum, quorum natura una, horum hypostases diversæ; cum vero unam naturam una persona circumscribat, quid inde colligitur? unam esse naturam carnis, et deitatis, ideoque confusionem: hypostases vero duas. Quod si neque natura, neque hypostasi, et numero unum habent, quæ convenerunt, ubinam fuerit per unionem unitorum identitas? Quod si et natura, et hypostasi unum invicem sunt, ubinam immutabilitatis et inconfusionis ratio unioni conservabitur? Colligitur igitur omnimodis adversus eos, qui dicunt unam in Christo naturam, confusionis ipse modus, licet ipsi id renuant. Alia quoque ratione hoc idem probatur, asserentes scilicet unam in Christo naturam in confusionis modum incidere. Interrogamus itaque vos: Quæ in unum convenerunt inconfusa in unione, agnoscuntur a vobis, vel non? Omnino asseretis inconfusa, nisi cum Eutychianis sentire velitis: quæ vero convenerunt, etiam secundum vos duo sunt, deitas nempe et humanitas: qua vero ratione, quæ confusa non sunt in unione duo, etiam post unionem duo non agnoscitis? Et si agnoscitis, quare id non fatemini? et si fatemini, quare ea abnuistis numerare, quorum naturæ proprietatem inconfusam etiam post unionem scitis? *Quod enim confitentur*, ait divus Basilius, *idipsum et numerent*. Quod si non numeratis, patet vos illud non confiteri: quod si non confitemini neque agnoscitis, et si non agnoscitis, non dicitis duo esse, quæ convenerunt: sicque jam immutata est eorum, quæ convenerunt, una natura in aliam. Hoc idem alia ratione, Universa integritas vel ex partibus similibus consistentiam habet, vel ex dissimilibus. Si ex similibus, omnino hoc eodem est, et incomposita: si ex dissimilibus et diversis naturis consistit, omnino composita est: si quæ ex diversis naturis conflantur, composita sunt. Cum itaque Christi integritas ex partibus dissimilibus, differentibus scilicet naturis sui compositionem habet, deitatis mente humanitatisque, et hæc diversa in unione remanserunt, in quibus vero differentia est, omnino ibi, et binarius ad minus numerus

σιωτέρα, ὡς μήτε πάντη ταυτὸν εἶναι ποιεῖν τὰ ἑνωθέντα ἀλλήλοις, μήτε πάντη ἕτερον. Εἰ τοίνυν μηδὲ πάντη ταυτὸν, μηδὲ ἐξ ὅλων ἕτερον τὸ ἐκ τῆς ἑνώσεως ἀποφαίνει, ζητητέον, πῇ μὲν ταυτὸν, πῇ δὲ ἕτερον ὁ τῆς ἀληθείας λόγος οἶδε. Τὸ μὲν ταυτὸν κατὰ τὴν ὑπόστασιν, τὸ δὲ ἕτερον κατὰ τὴν φύσιν. Ἐμπαλιν γὰρ ἡ ἐπὶ τῆς Τριάδος ἔχει κατὰ τὸν θεῖον Γρηγόριον. Εἰ δὲ τοῦτο τοῖς ἐναντίοις ἀπαράδεκτον, τὸ ἑξῆς αὐτοὶ συναγέτωσαν. Πάντως γὰρ εἰ μὴ ὑποστάσει τὸ ταυτὸν, ἄρα φύσει δώσουσιν. Εἰ δὲ τοῦτο, εἷς δήπου καὶ ὁ αὐτὸς ἔσται λόγος θεότητος καὶ ἀνθρωπότητος διὰ τὴν ἕνωσιν. Καὶ εἰ τοῦτο, ταυτόν ἐστιν ἕνωσίς τε καὶ φύσις. Κοινὸν γὰρ τὸ ἐπ' ἀμφοῖν κατηγόρημα. Ὥσπερ γὰρ ὧν ἡ φύσις μία, τούτων καὶ ὁ λόγος ὁ αὐτὸς, οὕτως ἀνάγκη, καὶ ὧν ἡ ἕνωσις ἅμα καὶ ἐν ταυτῷ, τούτων κατ' αὐτοὺς καὶ τὴν φύσιν εἶναι κοινήν. Οὐκοῦν καὶ τὸ ἔμπαλιν, ὧν ἡ φύσις μία, τούτων ὑποστάσεις διάφοροι. Ἐπεὶ δὲ μίαν φύσιν ἓν πρόσωπον περιγράφει, ἐντεῦθεν τί συνάγεται; μίαν μὲν εἶναι φύσιν σαρκὸς καὶ θεότητος, καὶ διὰ τοῦτο ἀνάχυσις, ὑποστάσεις δὲ δύο. Εἰ δὲ μήτε φύσει μήτε ὑποστάσει καὶ ἀριθμῷ τὸ ἓν ἔχοιεν τὰ συνελθόντα, ποῦ ἡ διὰ τῆς ἑνώσεως τῶν ἑνωθέντων ταυτότης; Εἰ δὲ καὶ φύσει, καὶ ὑποστάσει τὸ ἓν ἀλλήλοις εἰσὶ, ποῦ ὁ τῆς ἀτρεψίας καὶ τοῦ ἀσυγχύτου λόγος τῇ ἑνώσει σωθήσεται; Συνῆκται ἄρα ἐξάπαντος τοῖς λέγουσιν ἐπὶ Χριστοῦ μίαν φύσιν, καὶ ὁ τῆς ἀνάχυσεως τρόπος, κἂν αὐτοὶ μὴ βούλοιντο. Καὶ ἄλλως εἰς τὸ αὐτὸ, ὅτι οἱ μίαν φύσιν λέγοντες ἐπὶ Χριστοῦ εἰς τὸν τῆς συγχύσεως τρόπον ἐμπίπτουσιν. Ἐρωτητέον οὖν ὑμᾶς, Πότερον ὑμῖν τὰ συνελθόντα ἀσύγχυτα ἐν τῇ ἑνώσει γινώσκεται, ἢ οὔ; Πάντως ἐρεῖτε ἀσύγχυτα, εἴπερ μὴ Εὐτυχιανίζειν ἐθέλετε. Δύο δὲ τὰ συνελθόντα καὶ καθ' ὑμᾶς εἰσι, θεότητά φημι καὶ ἀνθρωπότητα. Τίνι δὲ λόγῳ τὰ μὴ συγχυθέντα ἐν τῇ ἑνώσει δύο, καὶ μετὰ τὴν ἕνωσιν οὐ δύο γνωρίζετε; Εἰ δὲ καὶ γνωρίζετε, πῶς οὐχ ὁμολογεῖτε; Εἰ δὲ καὶ ὁμολογεῖτε, πῶς ἀριθμεῖν ταῦτα παραιτεῖσθε, ὧν τὴν τῆς φύσεως ἰδιότητα ἀσύγχυτον καὶ μετὰ τὴν ἕνωσιν ἐπίστασθε; *Ὃ γὰρ ὁμολογοῦσι*, φησὶν ὁ θεῖος Βασίλειος, *τοῦτο καὶ ἀριθμείτωσαν*. Εἰ δὲ οὐκ ἀριθμεῖτε, δῆλον ὅτι οὐχ ὁμολογεῖτε. Εἰ δὲ οὐχ ὁμολογεῖτε, οὐδὲ γνωρίζετε. Εἰ δὲ οὐ γνωρίζετε, οὐ δύο τὰ συνελθόντα λέγετε. Καὶ οὕτως μεταβέβληται ἡ τῶν συνελθόντων φύσις θατέρα ἐπὶ θατέραν. Καὶ ἄλλως εἰς τὸ αὐτό· Ἡ πᾶσα ὁλότης ἢ ἐξ ἀνομοιομερῶν τὴν σύστασιν εἴληφεν, ἢ ἐξ ὁμοιομερῶν· καὶ εἰ μὲν ἐξ ὁμοιομερῶν πάντως κατ' αὐτὸ, τουτέστι καὶ ἀσύνθετός ἐστιν, εἰ δὲ ἐξ ἀνομοιομερῶν καὶ διαφόρων φύσεων συνέστηκε, πάντως σύνθετος ἔσται, εἴπερ τὰ ἐκ διαφόρων φύσεων συγκείμενα σύνθετα. Ἐπεὶ οὖν ἡ κατὰ Χριστὸν ὁλότης ἐξ ἀνομοιομερῶν, ἤγουν διαφερόντων φύσεων τὴν σύνθεσιν ἔσχηκε, θεότητος, φημὶ, καὶ ἀνθρωπότητος, ταῦτα δὲ διάφορα καὶ ἐν τῇ ἑνώσει μεμενήκασιν, ἐν οἷς δὲ διάφορα, πάντως ἐκεῖ καὶ ὁ τῆς δυάδος ἀριθμὸς τοὐλάχιστον συνάγεται. Εἰ δὲ τοῦτο, δηλονότι καὶ ἀριθμεῖ. Εἰ δὲ καὶ καθ' ὑμᾶς ἐν τῇ ἑνώσει τοῦ ὅλου ἡ διαφορὰ τῶν μερῶν οὐκ ἀριθμεῖται, δῆλον ὅτι οὐδὲ ἔστιν. Εἰ δὲ οὐκ

Digitized by Google

ἔστι, σαφὲς ὅτι συγκέχυται τὰ μέρη, ἐν οἷς ἡ διαφορὰ οὐχ εὕρηται. Φανερὸν ἄρα, τοῖς λέγουσι μίαν σύνθετον ἐπὶ Χριστοῦ φύσιν συνάγεται, τὸ συγκεχύσθαι λέγειν τὰς φύσεις, κἂν μὴ βούλοιντο. Καὶ ταῦτα μὲν ἐν τούτοις.

A colligitur; idque si est, manifestum quoque est numerari. Quod si per vos in unione totius, partium differentia non numeratur, palam est neque esse. Quod si non est, clarum est confusas esse partes, in quibus differentia non reperitur. Patenter itaque compositam affirmare, confusas etiam naturas fuisse,

concluditur asserentes unam in Christo naturam licet ipsi negent. Et hæc quidem ita se habent.

ιδ'. Ἐπειδὴ δὲ τὸ συγχυτικὸν τοῦ Εὐτυχοῦς διὰ τῆς ἐκθέσεως ἐν τῷ γράμματί σου μυσαττόμενος ἀπεσείου, τὴν δὲ οἰκείαν ὁμολογίαν δι' ὀλίγων ἐπειράθης ἐκθέσθαι, ὡς ἐντεῦθεν ἀκατάγνωστος δειχθῆναι, καὶ δοκῶν τὸ ὀρθὸν δόγμα τῆς Ἐκκλησίας προσβεύειν, διὸ καὶ γράφεις ὧδε· Ἀρτίως δὲ δι' ἁπλῶν λόγων λαλήσομεν τὴν ἡμετέραν ὁμολογίαν, διότι λέγομεν μίαν φύσιν εἰς Χριστὸν, ὅπερ πᾶσι φανερόν ἐστιν. Ἥτις μία φύσις εἰς δύο τρόπους νοεῖταί τε καὶ λέγεται, τῆς μὲν ἁπλῆς καὶ ἀσωμάτου καὶ χωρὶς ἁρμονίας, ἤγουν Μιχαὴλ, καὶ Γαβριὴλ, τῆς δὲ μετὰ τῆς ἁρμονίας, ὥσπερ Ἀδὰμ καὶ Νῶε. Οὓς δύο τρόπους ἀποσκευασάμενος, μὴ ἐφαρμόττειν ἐπὶ τῆς κατὰ Χριστὸν ἑνώσεως τὸν μὲν πρότερον, ἤγουν τῆς ἁπλῆς καὶ ἀσωμάτου μιᾶς φύσεως διὰ τὸ συμβαίνειν, μὴ ἐνηνθρωπηκέναι τὸν Κύριον, ἀλλὰ γυμνὸν εἶναι δίχα σαρκώσεως, τὸν δ' αὖ δεύτερον, ἤγουν τὸν ἐναρμόνιον, καὶ κατ' ἐκεῖνον μὴ εἶναι τὸν Χριστὸν, Θεὸν, ἀλλὰ ψιλὸν ἄνθρωπον, τρίτον τινὰ ὑποτιθεὶς τρόπον μιᾶς συνθέτου φύσεως ὄντα, ὃν καὶ ἐπὶ Χριστοῦ ὁμοιοτρόπως ἔχειν ὁμολογεῖς. Διὸ καὶ παραδειγματικῶς τὸν ἄνθρωπον λαβὼν, ὑποτιθέμενος γράφεις ὧδε· Καὶ γίνεται ὁ ἄνθρωπος παράδειγμα, καθὼς καὶ οἱ Πατέρες ἐλάλησαν καὶ διήγγειλαν, τί ἐστι τοῦ σώματος, καὶ τί ἐστι τῆς ψυχῆς. Ἀλλ' ὁ ἄνθρωπος οὐ λέγεται δύο φύσεις ἔχειν. Εἰ δὲ ἀνθίσταταί τις καὶ λέγει δύο φύσεις ἐπὶ ἀνθρώπου, λοιπὸν καὶ ὁ Χριστὸς τρεῖς φύσεις ἔχει, δύο τῆς ἀνθρωπότητος, καὶ μίαν τῆς θεότητος. Ἀρτίως οὖν ἐκ τῶν τριῶν τρόπων τούτων, ποῖον ἐπαιρεσθαι εἴπομεν ἐκ τῶν λεγομένων τούτων φύσεων; Εἰ μὲν τὸ σῶμα, Εὐτυχιανιζόμεν, εἰ δὲ τὴν ἀνθρωπίνην ψυχὴν γινόμεθα ὡς ὁ Ἀπολινάριος, εἰ δὲ τὴν θεότητα, ὁμοιούμεθα τοῖς Ἰουδαίοις λέγουσι, Σὺ ἄνθρωπος ὤν, πῶς ποιεῖς ἑαυτὸν Θεόν; Ἀρτίως οὖν φανερῶς λέγομεν, ὅτι μία φύσις ἐπὶ τῆς ἑνώσεως δύο ἀπαράχων φύσεων. Ἐλήλυθας ὡς ἐπί τι φρούριον ἀκαταγώνιστον, παραδείγματος χάριν τῆς σῆς ὁμολογίας τὸν ἄνθρωπον λαβών. Τοιγαροῦν ἐπειδὴ διελογίσω τὸν τρόπον σαφηνίσαι τῆς μιᾶς φύσεως, [καθ'] ἣν ὁ Χριστὸς μιᾶς εἶναι φύσεως μετὰ τὴν ἕνωσιν παρὰ σοῦ ὁμολογεῖται, πρὶν ἢ τῶν ἀντιῤῥητικῶν λόγων τῶν πρὸς σὲ ἐφαψόμεθα, διορισώμεθα περὶ φύσεως καὶ οὐσίας, ὑποστάσεώς τε, φημὶ, καὶ προσώπου, καὶ ὑποστατικοῦ, πῶς οἱ τοῦ καθ' ἡμᾶς μυστηρίου διδάσκαλοι, καὶ οἱ ἔξω τοῦ καθ' ἡμᾶς λόγου ταυτὶ δὴ τὰ ὀνόματα διακρίνουσι, καὶ ἐπὶ ποίων σημαινομένων τάττουσιν, ἵνα μὴ σύγχυσις δογματιζόντων ἡμῶν, καὶ πλάνη ποθὲν ἀναφυῇ. Πάντες γὰρ, σχεδὸν εἰπεῖν, οἱ τὰς αἱρέσεις κρατύναντες, ταυτὶ δὴ τὰ ὀνόματα κακῶς ἐκλαμβάνοντες, καὶ ὡς οὐ κατὰ φρόνη-

14. Cum vero confusionem Eutychetis per expositionem in tua epistola exsecratus rejicias, tuam confessionem paucis exponere conaris, ut reprehensionem effugias tanquam qui videri cupis rectum Ecclesiæ dogma profiteri, scribis hoc modo: *Nunc autem simplici oratione nostram professionem enuntiemus, quare dicamus unam in Christo naturam, quod omnibus palam est, quæ una natura duobus* B *modis intellecta, et scripta, altera est simplex, incorporea, et sine harmonia, ut Michael et Gabriel, altera cum harmonia, ut Adam et Noe.* His duobus modis rejectis, tanquam qui unioni Christi non conformantur, et primum quidem simplicis, et incorporeæ unius naturæ, quod non hominem assumpserit Dominus, sed nudus sit absque incarnatione; alterum vero nempe enarmonium, quod secundum illum Christus non sit Deus, sed purus homo, tertium quemdam modum supponis unius compositæ naturæ, quem in Christo haud dissimilem esse fateris. Quare homine in exemplum adducto, ita supponens scribis: *Estque homo exemplum, quemadmodum Patres locuti sunt, et divulgarunt, quid* C *corporis, et quid animæ est. Verumtamen homo non dicitur duas naturas habere: si quis vero contra se opponat, prodatque duas naturas in homine, sequeretur Christum tres naturas habere, duas humanitatis, et unam divinitatis. Nunc itaque his tribus modis concessis, quamnam ex his naturis assumpsisse dicemus? Si corpus, Eutychem; si humanam animam, Apollinarium sequemur: si deitatem, similes erimus Judæis dicentibus: Tu cum homo sis, facis temetipsum Deum. Quare palam enuntiamus unam naturam in unione duarum imperturbatarum naturarum.* Confugisti veluti ad arcem inexpugnabilem, exempli gratia tuæ professionis hominem assumens. Quapropter cum in mentem induxeris tuam, modum declarare unius naturæ secundum quam Christus D unius naturæ esse post unionem a te asseritur, antequam dicta tua nostris rationibus refutemus, terminemus, quid natura, et essentia, necnon hypostasis, et persona, et hypostaticum inferant, et quanam ratione mysterii Christiani magistri, et qui a nostris rebus alieni sunt, hæc nomina discernant, et quibus significatibus adaptent, ne confusio, cum dogmata pertractamus, et error alicunde irrepat. Omnes enim fere, ut ita dicam, qui hæreses firmarunt, hæc ipsa nomina prave, nec ad mentem Ecclesiæ exponentes a veritate aberrarunt. Attamen essentiam et naturam idem nobis innuere ubique et sacræ Litteræ, et sancta Nicæna synodus, quæque eam secuta est Constantinopolitana, Ephesina item prima tradiderunt, de communi, et universali, et

Digitized by Google

re, quæ de pluribus dicitur, per quas sanctissimum ubique fideles symbolum possident et fovent, quod nobis unam naturam, et essentiam sanctissimæ Triadis, et tres personas, et hypostases commisit. Et hi quidem naturam et essentiam pro eodem, personam rursus et hypostasim pro eodem, de individua nempe et singulari re comprobarunt. Formæ etiam nomen similiter de essentia et natura Patres acceperunt. Propterea magnus Basilius illud : *In forma Dei cum esset*, exponens, idem innuere, ac in essentia Dei esse dicebat, et formam assumpsisse servi in essentia humanitatis Dominum nostrum esse notat. Hypostaticum vero diversum quid ab hypostasi ponunt : definientes enim hypostasim dixerunt : Hypostasis est cum proprietate, sive proprietatibus per se subsistens, et totum quid secundum se exsistens : hypostaticum vero est essentia, cum idiomate, sive idiomatibus non per se subsistens, et secundum se tanquam aliquod totum exsistens, sed totius universi pars. Qui vero extra Ecclesiam sunt, naturæ nomen æque ac Ecclesia de universali re definiunt, aliud esse naturam dicentes, aliud naturam habere : et habere quidem naturam singularia dicunt, quæ a nobis hypostasis et persona nuncupantur, hoc vero quod nos hypostasim ipsi subjectum vocant, et ob hoc etiam hypostasis nominatur, non ut quidam suspicati sunt, quod simpliciter supponitur, nempe exsistit, sed potius quod sub alio stet, sub natura scilicet, tanquam subjectum, et naturam superjacere, hoc est superhypostasim dicunt, quam et definiunt : Natura est principium motus, et quietis primum, et secundum seipsam. Essentiæ autem nomen de communi et singulari, de universali nempe et individuo accipiunt, quos secutus Joannes cognomento Philoponus Tritheita esse evincitur. Severus vero essentiæ nomen eodem, ac Ecclesia significatu accipit, de re communi, sed naturæ, propriam in eo secutus opinionem, et ab ipsa consuetudine exterorum, Ecclesiæque intelligentia, et sensu longissime abhorrens, contrario quodam modo de communi et individua re, universali scilicet in parte accepit, et communem et individuam naturam enuntians multis sese absurdis implicuit, quæ procedens oratio non sine demonstrationibus commonstrabit.

μα ἐκκλησιαστικὸν ἀπεσφάλησαν. Μενοῦνγε οὐσίαν καὶ φύσιν ταυτὸν ἡμῖν δηλοῦν πανταχοῦ καὶ ἡ ἁγία Γραφὴ, καὶ ἡ κατὰ Νίκαιαν ἁγία σύνοδος, καὶ μετ' αὐτὴν ἡ ἐν Κωνσταντινουπόλει, καὶ ἡ πρώτη τῶν ἐν Ἐφέσῳ παρέδωκαν, ἐπὶ κοινοῦ καὶ καθολικοῦ, καὶ κατὰ πολλῶν φερομένου πράγματος, δι' ὧν τὸ πανάγιον οἱ πανταχοῦ πιστοὶ σύμβολον ἔχουσί τε καὶ περιέπουσιν, ὅπερ μίαν φύσιν καὶ οὐσίαν τῆς παναγίας Τριάδος, καὶ τρία πρόσωπα καὶ ὑποστάσεις ἡμῖν παρέδωκε. Φύσιν μὲν καὶ οὐσίαν ταυτὸν, πρόσωπον δ' αὖ πάλιν καὶ ὑπόστασιν ταυτὸν, ὡς ἐπὶ ἰδικοῦ τε καὶ καθέκαστα πράγματος ἐκδιδάσκουσαι, τὸ δὲ δὴ τῆς μορφῆς ὄνομα ὡσαύτως καὶ αὐτὸ ἐπὶ οὐσίας καὶ φύσεως οἱ Πατέρες παρειλήφασι. Διά τοι τοῦτο ὁ μέγας Βασίλειος τὸ, *Ἐν μορφῇ Θεοῦ ὑπάρχων*, ἑρμηνεύων, ἴσον δύνασθαι τῷ, ἐν οὐσίᾳ Θεοῦ ὑπάρχειν, ἔλεγε. Καὶ τὸ μορφὴν ἀνειληφέναι δούλου ἐν τῇ οὐσίᾳ τῆς ἀνθρωπότητος τὸν Κύριον ἡμῶν εἶναι σημαίνει. Τό γε μὴν ὑποστατικὸν διάφορον παρὰ τὴν ὑπόστασιν τιθέασιν. Ὁριζόμενοι γὰρ τὴν ὑπόστασιν ἔφασαν· Ὑπόστασίς ἐστι μετὰ ἰδιώματος, ἢ καὶ ἰδιωμάτων ἰδιοσυστάτως θεωρουμένη, καὶ ὅλον τι καθ' ἑαυτὴν οὖσα, ὑποστατικὸν δ' αὖ πάλιν οὐσία μετὰ ἰδιώματος, ἢ καὶ ἰδιωμάτων, μὴ ἰδιοσυστάτως καὶ καθ' ἑαυτὸ ὡς ὅλον τι ὑπάρχον, ἀλλ' ὅλου τινὸς εἶναι μέρος. Οἱ δὲ ἔξω τοῦ καθ' ἡμᾶς λόγου τὸ μὲν τῆς φύσεως ὄνομα, ὁμοίως τῇ Ἐκκλησίᾳ ἐπὶ καθολικοῦ τινος πράγματος ὁρίζονται, ἄλλο μὲν εἶναι φύσιν λέγοντες, καὶ ἄλλο τὸ ἔχειν φύσιν, καὶ τὸ μὲν ἔχειν φύσιν τὸ καθέκαστα λέγουσιν, ὅπερ παρ' ἡμῖν ὑπόστασις καὶ πρόσωπον εἴρηται· ταυτὸ δὲ τουτὶ, ἤγουν τὴν ὑπόστασιν, ὑποκείμενον εἶναί φασι. Διά τοι τοῦτο καὶ ὑπόστατις λέγεται οὐχ, ὥς τινες ὑπέλαβον, διὰ τὸ ἁπλῶς ὑφεστᾶναι, ἤγουν ὑπάρχειν, ἀλλὰ μᾶλλον ὑπό τι ἑστᾶναι, τουτέστιν ὑπὸ τὴν φύσιν ὡς ὑποκείμενον, τὴν δὲ φύσιν ἐνυποκεῖσθαι, τουτέστι κατά τινος ὑποστάσεως λέγεσθαι, ἣν καὶ ὁριζόμενοί φασι· Φύσις ἐστὶν ἀρχὴ κινήσεως, καὶ ἠρεμίας πρώτως καὶ καθ' ἑαυτό. Τὸ δὲ δὴ τῆς οὐσίας ἐπί τε κοινοῦ καὶ ἰδικοῦ, ἤγουν καθόλου καὶ ἐπὶ μέρους, οἷς Ἰωάννης ὁ ἐπίκλην Φιλόπονος κατακολουθήσας, τριθεΐτης ἀναδέδεικται. Ὁ δὲ δὴ Σεβῆρος τὸ μὲν τῆς οὐσίας ὄνομα ταυτοτρόπως τῇ Ἐκκλησίᾳ ὀνομάζει ἐπὶ κοινοῦ πράγματος εἶναι, τὸ δὲ τῆς φύσεως ἰδιόρρυθμος ἐν τούτῳ γενόμενος, οὔτε τῇ συνηθείᾳ, οὔτε τοῖς ἔξω, οὔτε μὴν τῇ Ἐκκλησίᾳ κατακολουθῶν, ἀλλ' ἐναντίως ἐπί τε κοινοῦ καὶ ἰδικοῦ πράγματος, ἤγουν καθόλου ἐπὶ μέρους ἐδόξασε· καὶ κοινὴν καὶ ἰδικὴν φύσιν εἰπὼν, πολλοῖς ἀτόποις περιπέπτωκεν, οὓς ὁ λόγος παρακατιὼν μετ' ἀποδείξεως παραστήσει.

15. His a nobis hac ratione expositis ac dijudicatis, tempus jam est, ea quæ tu scripseras, examinandi. Ea sunt : *Et in exemplum homo adducitur, quemadmodum Patres locuti sunt, exposueruntque, quid corporis, et quid animæ; verumtamen homo non dicitur duas naturas habere; si quis vero contra se opponat, prodatque duas naturas in homine, sequeretur Christum tres naturas habere, duas humanitatis et unam deitatis*, et cætera. En apertissime unius compositæ naturæ Christum esse astruens, idque probare contendens exemplum hominis usur-

ιε'. Τούτων ἡμῖν ὧδέ πη διασαφηνισθέντων, καὶ διευκρινηθέντων, καιρὸς τὰ παρὰ σοῦ γραφέντα καὶ ὧδε ἐπισκέψασθαι. Ἔχει δὲ οὕτως· *Καὶ γίνεται ὁ ἄνθρωπος παράδειγμα, καθὼς καὶ οἱ Πατέρες ἐλάλησαν καὶ διήγειλαν, τί ἐστι τοῦ σώματος, καὶ τί ἐστι τῆς ψυχῆς· ἀλλ' ὁ ἄνθρωπος οὐ λέγεται δύο φύσεις ἔχειν. Εἰ δὲ καὶ ἀνθίσταταί τις καὶ λέγει δύο φύσεις ἐπὶ ἀνθρώπου, λοιπὸν καὶ ὁ Χριστὸς τρεῖς ἔχει, δύο τῆς ἀνθρωπότητος καὶ μίαν τῆς θεότητος*, καὶ τὰ ἑξῆς. Ἰδοὺ σαφέστατα μιᾶς συνθέτου φύσεως τὸν Χριστὸν εἶναι δογματί-

Digitized by Google

ζων, καὶ βουλόμενος τοῦτο παριστᾷν, τὸν ἄνθρωπον εἰς παράδειγμα ἀπεχρήσω· ὥσπερ γὰρ ὁ ἄνθρωπος ἐκ διαφόρων φύσεων συγκείμενος, μιᾶς ἐστι φύσεως συνθέτου μετὰ τὴν ἕνωσιν. Τοῦτ γὰρ διήγγειλαν τὸ παράδειγμα ὁμοίως ἔχειν ἐπὶ τῆς ἑνώσεως τοῦ Χριστοῦ οἱ Πατέρες, ὡς σὺ φῄς. Καὶ ὥσπερ συνιστῶν τὸ παράδειγμα, ὅτι μιᾶς ἐστι φύσεως ὁ ἄνθρωπος ἐπάγεις. Ἀλλ' ὁ ἄνθρωπος οὐ λέγεται δύο φύσεις ἔχειν. Εἰ δὲ καὶ ἀνθίσταταί τις, ὅτι ἔχει, συνάγεται, ὅτι καὶ ὁ Χριστὸς τρεῖς ἔχει. Διὸ δοκεῖς ἡμᾶς τοὺς ἐπὶ τῇ ἑνώσει Χριστοῦ δοξάζοντας, δύο εἶναι φύσεις, εἰς ἄτοπον προάγειν. Οὐδὲν ξένον, ὦ φίλος, ἑνὸς ἀτόπου δοθέντος, μυρία ἕψεσθαι. Εἰ μὲν γὰρ πᾶσα σύνθεσις μὴ ἐκ τῶν προσεχῶς συντεθέντων συντεθεῖσθαι ἐλέγετο, ἀλλ' ἐκ τῶν πόῤῥω, τάχα ἂν εἶχε χώραν τὸ παρὰ σοῦ καθ' ἡμῶν γραφόμενον. Εἰ δ' οὐδεὶς τῶν εὖ φρονούντων φήσειεν, ἐκ τῶν πόῤῥω, ἀλλ' ἐκ τῶν προσεχῶς καὶ ἀμέσως, καὶ οἱονεὶ μερῶν, ἢ στοιχείων τάξιν ἐν τῷ ὅλῳ ἐχόντων συντεθεῖσθαι τὸ συντεθειμένον λέγεται, ἀνίσχυρον καὶ μάταιον τὸ παρὰ σοῦ γραφόμενον. Ἐπεὶ ἀνάγκη κατὰ σὲ τὸν ἄνθρωπον λέγειν ἐκ πέντε τοὐλάχιστον συγκεῖσθαι φύσεων, ἔκ τε τῶν τεσσάρων στοιχείων καὶ ψυχῆς. Ὡσαύτως καὶ τὸν ἤλεκτρον, μὴ ἐκ δύο, ἤγουν χρυσοῦ καὶ ἀργύρου, ἀλλ' ἐκ πολλῶν πλειόνων, χρυσοῦ, φημὶ, καὶ ἀργύρου, καὶ τεσσάρων στοιχείων, καὶ τῶν ἔτι πορρωτέρω, τῆς ὕλης λέγω καὶ τοῦ εἴδους. Οὐ γὰρ τὰ μέρη τῶν μερῶν ἐν τῷ λέγειν ἐκ πόσων σύγκειται τόδε σκοποῦμεν, ἀλλὰ τὰ προσεχῶς καὶ ἀμέσως μέρη αὐτοῦ, χρηματίζοντα. Οὐκοῦν κἂν τὸν ἄνθρωπον εἴπωμεν δύο φύσεις ἔχειν, καὶ τὴν θεότητα μίαν εἶναι, οὐ συνάγεται ὅπερ βούλεσθε καθ' ἡμῶν. Οὐ γὰρ ἐνταῦθα, ἤγουν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὰ μέρη τῶν μερῶν δεῖ σκοπεῖν, ἤτοι τῆς ἀνθρωπότητος τὸ σῶμα καὶ τὴν ψυχὴν, ἀλλὰ τὰ προσεχῶς καὶ ἀμέσως συντεθέντα, θεότητά φημι καὶ ἀνθρωπότητα. Εἰ γὰρ καὶ δύο φύσεις ἔχειν τὸν ἄνθρωπον ἡμεῖς λέγοντες, καθ' ὑμᾶς, τρεῖς φύσεις ἐπὶ Χριστοῦ λέγειν ἀναγκασθησόμεθα, καὶ ὑμεῖς ἄρα ἐκ δύο φύσεων τὸν ἄνθρωπον λέγοντες, εἰ καὶ μὴ δύο, ἢ ἐν δύο, ἀλλὰ μίαν φύσιν εἶναι λέγοντες, ἀλλ' οὖν ἐκ τριῶν φύσεων τὸν Χριστὸν δογματίσοιτε. Καὶ οὕτως περιτραπήσεσθε ἐκ τοῦ ὑμῶν λόγου. Ἀλλὰ τοῦτο οὐκ ἔστιν. Οὐκ ἄρα δύο φύσεις ἔχειν ἡμεῖς λέγοντες τὸν Χριστὸν, κἂν δύο φύσεις ἔχειν τὸν ἄνθρωπον λέγωμεν, τὸ τρεῖς καθ' ἡμῶν συναχθείη. Καὶ ἄλλως εἰς τὸ αὐτό· Ὁ ἄνθρωπος ἢ καθόλου ἐστὶν, ἢ ἐπὶ μέρους, ἤγουν ὁ καθέκαστα, ἀλλ' ὅτι μὲν ὁ καθέκαστα ἐκ δύο φύσεων σύγκειται, σώματός τε, φημὶ, καὶ ἀσωμάτου, οὐδεὶς τῶν εὖ εἰδότων κρίνειν ἀντερεῖ· οὐδὲ γὰρ τὸ σῶμα ἀθάνατον, ἀλλὰ φθαρτὸν, οὐδὲ ἡ ψυχὴ θνητὴ, ἀλλ' ἀθάνατος, οὐδὲ τὸ σῶμα ἀόρατον, οὐδὲ ἡ ψυχὴ σωματικοῖς ὀφθαλμοῖς καθορᾶται· ἀλλ' ἡ μὲν λογικὴ καὶ νοερὰ, καὶ ἀσώματος, τὸ δὲ παχὺ καὶ ὁρατὸν, καὶ ἁπτὸν, οὐ μιᾶς δὲ φύσεως τὰ ἀντιδιαιρούμενα· οὐ μιᾶς ἄρα οὐσίας ψυχὴ καὶ σῶμα. Καὶ αὖθις· Εἰ ὧν οἱ ὅροι διάφοροι, τούτων καὶ αἱ φύσεις διάφοροι, διάφορος δὲ τοῦ σώματος ὁ λόγος παρὰ τὸν τῆς ψυχῆς, διάφορος ἄρα καὶ ἡ φύσις τῆς ψυχῆς

pasti. Quemadmodum enim homo ex diversis naturis conflatus unius est naturæ compositæ post unionem, hoc vero exemplum docuerunt similiter se habere in unione Christi Patres, ut ipse tradis. Et quasi comprobans exemplum unius esse naturæ hominem concludis. Verumtamen homo non dicitur duas naturas habere; quod si quis contra contendet eum habere, consequi et Christum tres habere, videris nos in unione Christi duas esse naturas affirmantes, in absurda ineptaque rapere. Nil mirum est, o amice, uno inconvenienti dato, innumera subsequi. Etenim si omnis compositio non ex iis, quæ continenter componuntur, componi diceretur, sed ex distantibus, forte quod contra nos scribis locum haberet. Quod si nemo, qui sal habeat in pectore, dicet, ex distantibus, sed ex continuis, et immediatis veluti partibus, aut elementis in totis positum occupantibus, componi compositum, futile est inaneque, quod a te scripto traditur, cum per te necesse esset dicere hominem ad minus ex quinque naturis construi, ex quatuor elementis et anima. Similiter et electrum non ex duobus, auro et argento, sed multo pluribus, auro nempe, argento, et quatuor elementis, aliisque multo distantioribus, materia et forma. Non enim partes partium, cum inquirimus, ex quibus hoc, vel illud componitur, consideramus, sed proximas illius atque immediatas. Quare licet hominem dixerimus duabus naturis constare, et deitatem unam esse, non concluditur quod prætenditis adversum nos: neque enim hic in Domino nostro, Jesu Christo scilicet, partes partium attendendæ sunt, vel humanitatis corpus et anima, sed quæ proxime immediateque uniuntur, divinitas atque humanitas. Et si duas naturas habere hominem nos asserentes, ut vos contenditis, tres naturas in Christo dicere cogeremur, et vos igitur ex duabus naturis hominem affirmantes, licet non duas, neque in duabus, sed unam naturam esse dicentes, nihilominus ex tribus naturis Christum esse statuetis. Sicque per verba ipsi vestra refellemini. Sed hoc non est; non ergo duas naturas habere nos Christum asserentes, licet duas naturas hominem habere dicamus, tres adversus nos colligentur. Alia quoque ratione hoc ipsum probatur. Homo aut in universali est, aut in parte, in individuo nempe, sed hominem, qui in individuo est, ex duabus naturis constitui corporis et animæ, nemo, qui probe de rebus judicium ferre novit, contradicet; neque enim corpus immortale est, sed corruptioni obnoxium, neque anima mortalis, sed immortalis, neque corpus invisibile, neque anima corporeis oculis conspicitur, sed hæc quidem rationis compos est, et intellectualis, et incorporea; illud crassum, visibile, tangibile; non unius vero naturæ sunt quæ contra sese invicem opponuntur: non unius ergo essentiæ corpus, et anima. Item: Si quorum definitiones diversæ sunt, eorum etiam naturæ diversæ, diversa vero est corporis ratio ab ea, quæ animæ est, diversa igitur erit et natura

Digitized by Google

animæ a natura corporis. Hæc autem conservantur in singulari homine immutabiliter : duas igitur naturas homo singularis habere dicetur. Servat enim utrumque et post unionem naturalem proprietatem eorum, ex quibus et in quibus ratio conspicitur. At homo in genere, universalis nempe, cum quis ad ea, ex quibus componitur, animum adverterit, animam, inquam, et corpus, et ipsa generica et universalia : neque enim fieri potest, ex duobus individuis, et particularibus universale aliquod unquam gigni : duas habere naturas hominem universalem dicet, cum postea in ipsam integritatem ex duabus essentiis in universali animum intenderit, unum quoddam genericum hominem fieri contemplatus, quod multa illi subsint individua, in nihilo secundum speciem differentia, et æque rationem illius participantia, probe essentiam et naturam unam hominem universalem fatebitur, et cum in alterius compositionem assumitur, veluti unum, et unam naturam, et essentiam accipiet. Igitur sempiternus Filius, Dominus et Deus noster homo factus, non in individuo hominem assumpsisse dicitur, ne Nestoriana rabies irrepat, sed universalem, quem propria hypostasi individuavit; ostensum autem est hunc unius esse naturæ, si ad integritatem consideretur. Manifestum itaque est Christum ex duabus naturis, et in duabus naturis, et duas naturas habere per nos merito jureque prædicari, neque ineptum, aut blasphemum consequi, licet hominem duas habere naturas dicamus ; cum omnia, quæ componuntur ex contiguis componentibus compoui dicantur, et non ex iis, ex quibus componentia conflata sunt. Frustra igitur, dum ipsi Christum duas habere naturas et hominem similiter duas dicimus, tres a vobis colliguntur.

16. Imo licet homo ex duabus naturis, et diversis, et inconfuse unitis, unius naturæ fiat, haud fieri potest, ut ipse Christus unius naturæ sit, dummodo ipse ex diversis naturis, deitate nempe et humanitate, componatur : idque ex his fuerit apertissimum. 1. Quidquid ex diversis naturis conflatur, unius naturæ efficitur, cum compositum compositorum neque nomina, neque rationes admittit. Verbi gratia, homo una natura efficitur composita, quando partium nomina proprie et rationes non suscipit ; neque enim dicimus, homo proprie anima dicitur, sive corpus, neque rationes eorum suscipit, licet dicatur animam et corpus habere. At Christus Deus noster ex deitate et humanitate compositus, et nomina et rationes partium admittit ; namque ipse est natura Deus et homo, rationes eorum suscipiens ; fieri itaque nequit, ut ipse unius naturæ efficiatur. 2. Item, Omne quod ex diversis naturis componitur unius naturæ effectum, aliud est ab iis, ex quibus componitur. At Christus eadem est, ex quibus componitur ; Deus enim ipse est, et homo ; Christus igitur non est unius naturæ post unionem. 3. Cujuscunque quod unius naturæ post unionem, sive per confusionem, sive per unionem inconfusam efficitur, simul

A τῆς τοῦ σώματος φύσεως. Ταῦτα δὲ σώζονται ἐν τῷ καθέκαστα ἀνθρώπῳ ἀμεταβλήτως· δύο γὰρ ἄρα φύσεις ἔχειν ὁ καθέκαστα ἄνθρωπος λεχθήσεται. Σώζει γὰρ ἑκάτερον καὶ μετὰ τὴν ἕνωσιν τὴν φυσικὴν ἰδιότητα, ἐξ ὧν καὶ ἐν οἷς ὁ λόγος θεωρεῖται. Ὁ δὲ δὴ γενικὸς, ἤγουν καθόλου ἄνθρωπος, ὅταν τις εἰς τὰ ἐξ ὧν συνετέθη ἀποκοπῇ, φημὶ δὴ ψυχήν τε καὶ σῶμα, καὶ ταῦτα γενικὰ ὄντα καὶ καθόλου, ὅτι μηδὲ δυνατὸν ἐκ δύο ἀτόμων καὶ μερικῶν γενικόν τι ἀποτελεῖσθαί ποτε, δύο φύσεις ἔχειν τὸν καθόλου ἄνθρωπον φήσειεν. Ὅταν δὲ εἰς αὐτὴν τὴν ὁλότητα, τὴν ἐκ δύο οὐσιῶν καθόλου παραλαμβανόμενον, εἰς τὴν τούτου συμπλήρωσιν ἕν τι γενικὸν ἀποτελούμενον τὸν ἄνθρωπον ἀναθεωρῇ, διὰ τὸ πολλὰ εἶναι ὑπ' αὐτοῦ ἄτομα, τὴν ἀπαραλλαξίαν κατὰ τὸ εἶδος
B ἔχοντα, καὶ τὸν αὐτοῦ λόγον ἐπίσης μετέχοντα, εἰκότως οὐσίαν καὶ φύσιν μίαν τὸν καθόλου ἄνθρωπον ὁμολογήσειε. Καὶ ἡνίκα ἂν εἰς ἄλλου σύνθεσιν παραλαμβάνηται, ὡς ἕν τι, καὶ μία φύσις, καὶ οὐσία παραληφθήσεται. Οὐκοῦν ὁ ἀΐδιος Υἱὸς, ὁ Κύριος καὶ Θεὸς ἡμῶν, ἄνθρωπος γεγονὼς, οὐ τὸν καθέκαστα ἄνθρωπον ἀνειληφέναι λέγεται, ἵνα μὴ ἡ Νεστοριανὴ λύττα συνεισφρήσῃ, ἀλλ' ἢ τὸν καθόλου, ὃν καὶ ἡτόμωσεν ἐν τῇ ἰδίᾳ ὑποστάσει. Δέδεικται δὲ οὗτος μιᾶς εἶναι φύσεως πρὸς τὴν ὁλότητα σκοπούμενος. Φανερὸν ἄρα ὅτι ὁ Χριστὸς ἐκ δύο φύσεων, καὶ ἐν δύο φύσεσι, καὶ δύο φύσεις ἔχειν παρ' ἡμῶν δοξαζόμενος, δικαίως κηρύττεται. Καὶ οὐδὲν ἄτοπον ἢ βλάσφημον ἀπαντήσει, κἂν τὸν ἄνθρωπον δύο φύσεις ἔχειν
C λέγωμεν, ἐπειδὴ πάντα τὰ συντεθειμένα ἐκ τῶν προσεχῶς αὐτὰ συνθέντων συγκεῖσθαι λέγονται, καὶ οὐκ ἐξ ὧν ἐκεῖνα συντέθειται. Μάτην ἄρα, λεγόντων ἡμῶν τὸν Χριστὸν δύο φύσεις ἔχειν, καὶ τὸν ἄνθρωπον ὁμοίως δύο, τὸ τρεῖς καθ' ἡμῶν συνάγεται.

ις'. Μενοῦνγε κἂν ὁ ἄνθρωπος δύο φύσεων καὶ διαφόρων καὶ ἀσυγχύτως ἡνωμένων μιᾶς φύσεως ἀποτελῆται, οὐκ ἐγχωρεῖ τὸν Χριστὸν μιᾶς φύσεως ἀποτελεῖσθαι, εἰ καὶ αὐτὸς ἐκ διαφόρων φύσεων, θεότητός τε, φημὶ, καὶ ἀνθρωπότητος, συντίθεται, ἐκ τῶνδε δῆλον. α'. Πᾶν τὸ ἐκ διαφόρων φύσεων συγκείμενον μιᾶς φύσεως ἀποτελεῖται, ἡνίκα τὸ συντεθὲν τῶν συντεθειμένων, οὔτε τὰς ὀνομασίας, οὔτε μὴν τοὺς λόγους τούτων ἐπιδέχεται, οἷόν φημι, ὁ ἄνθρω-
D πος μία φύσις ἀποτελεῖται σύνθετος, ἐπειδὴ τῶν μερῶν τὰς ὀνομασίας κυρίως καὶ τοὺς λόγους οὐκ ἐπιδέχεται. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν, ὅτι ὁ ἄνθρωπος κυρίως ψυχή τε λέγεται, ἢ σῶμα, οὔτε μὴν τοὺς λόγους αὐτῶν ἐπιδέχεται, κἂν λέγηται ψυχὴν καὶ σῶμα ἔχειν. Ὁ δὲ δὴ Χριστὸς ὁ Θεὸς ἡμῶν συντεθειμένος, ἐκ θεότητος, φημὶ, καὶ ἀνθρωπότητος, καὶ τὰς ὀνομασίας καὶ τοὺς λόγους τῶν μερῶν ἐπιδέχεται. Ὁ αὐτὸς γάρ ἐστι Θεὸς καὶ ἄνθρωπος φύσει, τοὺς λόγους αὐτῶν ἐπιδεχόμενος. Οὐκ ἄρα μιᾶς φύσεως ἐνδέχεται αὐτὸν ἀποτελεῖσθαι. Καὶ ἄλλως. β'. Πᾶν τὸ ἐκ διαφόρων φύσεων σύνθετον ἀποτελούμενον μιᾶς φύσεως, ἕτερόν τι παρὰ τὰ ἐξ ὧν συνετέθη. Ὁ δὲ Χριστὸς τὰ αὐτὰ γίνεται, ἐξ ὧν συνετέθη. Θεὸς γάρ ἐστιν ὁ αὐτὸς καὶ ἄνθρωπος. Ὁ Χριστὸς ἄρα οὐ μιᾶς

Digitized by Google

ἐστι φύσεως μετὰ τὴν ἕνωσιν. γ'. Εἰ πᾶν τὸ μιᾶς φύσεως μετὰ τὴν ἕνωσιν ἀποτελούμενον, εἴτε κατ' ἀνάχυσιν ἀποτελεῖται, εἴτε καθ' ἕνωσιν ἀσύγχυτον, συνυπόστατά εἰσι τὰ τούτου μέρη· οἷόν φημι· Ὁ ἄνθρωπος ἀποτελούμενος μιᾶς φύσεως, τὰ μέρη ἔχει συνυπόστατα· ὁ δὲ Χριστὸς οὐχ οὕτως; ἀλλ' ὁ Κυριακὸς ἄνθρωπος ἐν τῇ ὑποστάσει τοῦ Θεοῦ Λόγου ὑπέστη ἑτεροϋποστάτως, οὐχ ὡς τὸ συμβεβηκός, ἅπαγε· τὰ γὰρ συμβεβηκότα πανταχοῦ ὡς ἐν ὑποκειμένῳ ἐστὶν, ἡ δὲ δὴ ἀνθρωπότης ἐν ἄλλῳ, οἷόν φημι, τῷ Πέτρῳ, ἢ τῷ Θωμᾷ ἰδιοσυστάτως θεωρεῖται. Οὐκ ἄρα ὁ Κυριακὸς ἄνθρωπος ἐν τῇ τοῦ Θεοῦ Λόγου ὑποστάσει ὑπέστη ὡς συμβεβηκός, ἀλλ' ὡς οὐσία μετὰ προσλήψεως ἰδιωμάτων, τῶν χωριζόντων τὸν Χριστὸν ἐκ τῶν λοιπῶν ὑποστατικῶς γενόμενον, καὶ οὐχ ὑπόστασις. δ'. Ἔτι· Εἰ ἐπὶ πάντων τῶν ἐκ διαφόρων φύσεων συντεθειμένων καθ' ὑπόστασιν μὴ συνυποστάτως, ἀλλ' ἑτέρως, ἤγουν ἑτεροϋποστάτως ἡνωμένων, μία ὑπόστασις ἀποτελεῖται, οὐχὶ μία φύσις, φανερὸν ὅτι ὁ Θεὸς Λόγος ἑνωθεὶς τῇ ἀνθρωπίνῃ φύσει μὴ συνυποστάτως, ἀλλ' ἐν ἰδίᾳ ὑποστάσει τοῦτον ὑφεστῶτα ἔχων, οὐ μιᾶς φύσεως ἀποτελεῖται. ε'. Ἔτι· Εἰ πᾶν ὃ κοινῶς καὶ ἐν πολλοῖς θεωρεῖται, οὐ τινὶ μὲν πλέον, τινὶ δὲ ἔλαττον ὑπάρχον, ἀλλ' ἐξ ἴσης, καὶ συμπληρωτικὸν γινόμενον, ἐφ' ὧν λέγεται, οὐσία, ἐκείνων κατὰ τὴν Ἐκκλησίαν λέγεται· ὁ δὲ δὴ πᾶς ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματός ἐστι συντεθειμένος, καὶ οὐ διαλλάττει ἄνθρωπος ἀνθρώπου, καθὸ ἐκ ψυχῆς καὶ σώματος σύγκειται, κατά τινα φύσεως διαφοράν, ἀλλὰ τὴν σύστασιν ἔχοντες πάντες ἄνθρωποι ὑφ' ἕνα ἅπαντες ὁρισμὸν ἀναγόμενοι, κατὰ τοῦτο μιᾶς φύσεως λέγεται· ἐπὶ δὲ τῆς ὑποστάσεως τοῦ Χριστοῦ οὐ λέγειν δυνάμεθα μίαν φύσιν· αἵ τε γὰρ φύσεις σώζονται, καὶ μετὰ τὴν ἕνωσιν, καὶ εἶδος Χριστῶν οὐκ ἔστιν εὑρεῖν· οὐ γὰρ ἐγένετο ἄλλος Χριστὸς ἐκ θεότητος καὶ ἀνθρωπότητος, Θεός τε καὶ ἄνθρωπος ὁ αὐτός· οὐκ ἄρα μετὰ τὴν ἕνωσιν μιᾶς φύσεως ὁ Χριστὸς ἀποτελεῖται. ς'. Ἔτι· Εἰ οὐ ταυτόν ἐστι τὸ κατ' εἶδος τοῦ ἀνθρώπου ἕν, καὶ κατουσίαν ψυχῆς καὶ σώματος ἕν· τὸ μὲν γὰρ κατ' εἶδος τοῦ ἀνθρώπου ἕν, τὴν ἐν πᾶσι τοῖς ἀνθρώποις ἀπαραλλαξίαν ἐνδείκνυται, τὸ δὲ κατ' οὐσίαν ψυχῆς καὶ σώματος ἕν, αὐτὴ τὸ εἶναι αὐτὸν λυμαίνεται εἰς ἀνυπαρξίαν αὐτὸν παντελῆ ἄγον· οὐ γὰρ ταυτὸν καὶ κατὰ τὸν τῆς οὐσίας λόγον, τὸ σῶμα τῷ ἀσωμάτῳ· οὐκ ἀνάγκη τοίνυν ἐπὶ τοῦ ἀνθρώπου μίαν φύσιν λέγοντας, οὐ διὰ τὸ ταυτὸν τῆς οὐσιώδους ποιότητος ψυχῆς τε καὶ σώματος, ἀλλὰ διὰ τὸ ἀπαράλλακτον τῶν ὑπὸ τὸ εἶδος ἀναγομένων ἀτόμων, μίαν καὶ ἐπὶ Χριστοῦ λέγειν φύσιν, ἔνθα εἶδος περιεκτικὸν ὑποστάσεως οὐκ ἔστιν. ζ'. Ἔτι· Εἰ πάντα τὰ παραδόξως καὶ ὑπερφυῶς γινόμενα οὐ φύσιν ἀποτελεῖ· οὐ γάρ φαμεν βάτου φύσιν προσομιλοῦσαν πυρὶ, καὶ μὴ καταφλεγομένην, οὐδὲ φύσιν σώματος ἀνθρωπείου δροσιζομένην ἐν πυρὶ, ἀλλὰ παράδοξα ταῦτά φαμεν περὶ μίαν ὑπόστασιν γενόμενα· ὁ δὲ Θεὸς Λόγος ὑπερφυῶς ἡνώθη τῇ ἀνθρωπίνῃ φύσει· διά τοι τοῦτο καὶ ἐν μιᾷ ὑποστάσει καὶ τὸ ἀποτελούμενον, οὐ φύσις ἀποτελεῖται σύνθετος, ἀλλ' ὑπόστασις. η'. Ἔτι·

A partes subsistunt, verbi gratia, homo unius naturæ effectus, partes simul subsistentes habet, Christus vero non item, sed Dominicus homo in hypostasi Verbi Dei, aliena hypostasi substitit, non quemadmodum accidens, apage : accidentia enim ubicunque tanquam in subjecto sunt ; humanitas vero in alio, uti in Petro, vel Thoma propria subsistentia conspicitur : non igitur Dominicus homo in Dei Verbi hypostasi substitit, ut accidens, sed ut essentia per assumptionem proprietatum, separantium Christum ex aliis hypostatice, et non hypostasis. 4. Item, Si in omnibus, quæ ex diversis naturis secundum hypostasim composita sunt, non simul subsistentibus, sed diverse, hoc est, alia hypostasi unitis, una hypostasis efficitur, non una natura, B manifestum est Deum Verbum humanæ naturæ unitum, non cum illius subsistentia, sed propria subsistentia subsistentem unius naturæ non effici. 5. Item, Si quodcunque, quod communiter, et in multis consideratur, non uni magis, quam alteri inhærens, sed æqua ratione completivum eorum, de quibus dicitur, essentia eorumdem secundum Ecclesiam est : omnis vero homo ex anima et corpore conflatur, nec differt homo ab homine, qua corpore et anima constat, secundum naturæ aliquod discrimen, sed consistentiam homines habentes omnes, sub una omnes definitione relati, secundum hoc unius naturæ dicentur : de hypostasi vero Christi non C possumus asserere unam naturam ; nam naturæ etiam post unionem conservantur, nec possumus Christorum speciem invenire : neque enim fuit alius Christus ex deitate, et humanitate, Deus idem et homo : non igitur post unionem unius naturæ Christus efficitur. 6. Item, Si non idem est, unum hominis secundum speciem, et unum secundum essentiam corporis et animæ ; namque unum hominis secundum speciem in omnibus hominibus æqualitatem servat : at secundum essentiam unum corporis et animæ, ipsum esse eorumdem lædit, penitus ad non esse deducens : neque enim idem est secundum essentiæ rationem corpus, et incorporeum : non est igitur necesse nos in homine unam naturam asserentes non propter idem essentialis qualitatis animæ et corporis, sed propter immutabilitatem individuorum, quæ sub specie sunt unam in Christo naturam affirmare, ubi species hypostasim nulla comprehendit. 7. Item, si omnia, quæ admirabiliter et supra naturam fiunt, naturam non efficiunt ; neque enim dicimus rubi naturam, igni consuescentem, flammis non exuri, neque naturam corporis humani in igne irrorari, sed admirabilia hæc circa unam hypostasim fiunt ; at Deus Verbum super naturam humanæ naturæ unitus est, propterea quod in una hypostasi efficitur, non natura composita fit, sed hypostasis. 8. Item, Nulla natura, si una est, contrarias essentiales differentias admittit ; quomodo enim fieri potest ut eadem natura secundum idem sit creata et increata, mortalis et immortalis.

Digitized by Google

comprehensibilis et incomprehensibilis? sed Christus id habet : Christus igitur unius naturæ est, licet homo unius naturæ sit. 9. Item, Si unius naturæ secundum vos Christus post unionem est, omnino dicendum est hanc unam naturam esse aut divinam solummodo, aut humanam tantum, aut divinam et humanam simul, aut neque divinam, neque humanam, sed si est una hæc natura, tantum divina, Christus igitur Deus erit, et non homo : si est una ipsa natura divina et humana simul, neque Patris, neque Spiritus sancti, neque hominum natura est, et utrinque blasphemiæ crimen, qui ita sentit incurret, et robusta de mente cadet. Si vero est una hæc natura neque divina, neque humana, Christus igitur neque Deus est, neque homo; quocunque igitur vertamus orationem, cogemur fateri Christum unam sanctæ Trinitatis hypostasim esse duas naturas habentem, divinam scilicet et humanam, ideoque in ipsum duæ rationes convenere, eodem de se asserente : *Quem me dicunt esse Filium hominis?* et Petro respondente : *Tu es Christus Filius Dei vivi.* 10. Item, Si unius est naturæ Christus post unionem, necesse est naturam, secundum quam Christus est unius naturæ, aut communem esse, aut singularem; si communem esse concesseritis, jam ipsa de pluribus dicetur, sed alios Christos reperire, aut fuisse, de quibus hæc communis natura prædicabitur, fieri omnino nequit. Si singularis est, idem erit cum hypostasi : et si id est, necesse omnino fuerit secundum vos, Patrem, et Filium, et Spiritum sanctum tres peculiares numerari naturas, et tres deos dici, et tres deitates, quod blasphemias omnes exsuperat : imo et totius Christianismi ejuratio est, neque enim possumus dicere in universum naturam hypostasim, aut hypostasim naturam, ne omnes Christiani asserere cogantur Patrem, et Filium, et Spiritum sanctum tres naturas, quod est tres hypostases; sive unam eosdem habere hypostasim, ea ratione, qua unam habent naturam, quæ ambo a fide Christiana aliena sunt. 11. Item, Si unius naturæ hominem, illiusque partes simul, quæ prius non erant, produxit ad complementum universi, fierique potest, ut quæ ejusdem sunt temporis unam naturam compositam efficiant, tale decretum et legem naturalem a Creatore accipientia, ut ex lege naturæ similia ex similibus secundum successionem procreentur, in Domino vero unitarum naturarum, hæc quidem sine principio est et ante omne tempus, altera principium habet, et sub tempore est; neque factæ sunt species ad complementum universi, cum cessaverit Deus ab operibus suis die septimo; neque naturaliter floruerunt, aut naturæ legi subduntur, ut a Christo generentur, et speciem constituant Christorum, multarum hypostaseon capacem, sed unam hypostasim compositam ex duabus naturis, et in duabus naturis, et duas naturas habentem, quacunque natura post unionem, propriam definitionem, et legem, et mutuam differen-

A Εἰ οὐδεμία φύσις μία οὖσα, τῶν ἐναντίων οὐσιωδῶν διαφορῶν δεκτικὴ γίνεται· πῶς γὰρ δυνατὸν τὴν αὐτὴν φύσιν κατὰ ταυτὸν κτιστὴν εἶναι καὶ ἄκτιστον, θνητὴν καὶ ἀθάνατον, καταληπτὴν καὶ ἀκατάληπτον; ὁ δὲ Χριστὸς τοῦτο ἔχει· ὁ Χριστὸς ἄρα μιᾶς φύσεως οὐκ ἔστιν, εἰ καὶ ὁ ἄνθρωπος μιᾶς φύσεώς ἐστιν. θ'. Ἔτι· Εἰ μιᾶς φύσεως καθ' ὑμᾶς ὁ Χριστὸς μετὰ τὴν ἕνωσίν ἐστιν, πάντως ἕψεται ταύτην τὴν μίαν εἰπεῖν φύσιν, ἢ θείαν μόνον, ἢ ἀνθρωπίνην μόνον, ἢ θείαν καὶ ἀνθρωπίνην ἅμα, ἢ μήτε θείαν, μήτε ἀνθρωπίνην. Ἀλλ' εἰ μέν ἐστιν ἡ μία φύσις αὕτη θεία μόνον, ὁ Χριστὸς ἄρα Θεὸς ἔσται, καὶ οὐκ ἄνθρωπος. Εἰ δέ ἐστιν ἡ μία φύσις αὕτη θεία τε καὶ ἀνθρωπίνη ἅμα, οὔτε τοῦ Πατρὸς οὔτε τοῦ ἁγίου Πνεύματος, οὔτε μὴν τῶν ἀνθρώπων ἄρα φύσις ἐστὶ, B καὶ ἀμφοτέρωθεν βλασφημίας ἔγκλημα τῷ τοιοῦτο φρονοῦντι προστριβήσεται, καὶ τῆς ἐῤῥωμένης φρενὸς ἐκστήσεται. Εἰ δέ ἐστιν ἡ μία φύσις αὕτη οὔτε θεία, οὔτε ἀνθρωπίνη, ὁ Χριστὸς ἄρα οὔτε Θεός ἐστιν, οὔτε ἄνθρωπος. Ὅπου τοιγαροῦν τοὺς λόγους περιστρέψομεν, εἰς τὸ λέγειν ἀπαγόμεθα, ὅτι ὁ Χριστὸς μία ὑπόστασις τῆς ἁγίας Τριάδος ἐστὶ, δύο φύσεις ἔχων, φύσιν τε θείαν, καὶ φύσιν ἀνθρωπίνην. Καὶ τούτου χάριν ἐπ' αὐτῷ συνῆλθον ἀμφότεροι οἱ λόγοι αὐτοῦ τε περὶ ἑαυτοῦ εἰρηκότος, *Τίνα με λέγουσιν εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου;* καὶ τοῦ Πέτρου ἀποκριναμένου, *Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.* ι'. Ἔτι· Εἰ μιᾶς φύσεώς ἐστιν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, ἀνάγκη τὴν φύσιν, καθ' ἣν ἐστιν ὁ Χριστὸς μιᾶς φύσεως, ἢ κοινὴν εἶναι, ἢ ἰδικήν. Καὶ εἰ μὲν κοινὴν εἰπόντες δοίητε, συμβαίνει C αὐτὴν κατὰ πλειόνων φέρεσθαι. Εὑρεῖν δὲ ἄλλους Χριστοὺς, ἢ γενέσθαι, καθ' ὧν αὕτη ἡ κοινὴ φύσις κατηγορηθήσεται, τῶν ἀδυνάτων ἐστίν. Εἰ δὲ ἰδικὴ ἐστι, ταυτὸν ἔσται τῇ ὑποστάσει. Εἰ δὲ τοῦτο, ἀνάγκη πᾶσα καθ' ὑμᾶς, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τρεῖς μερικὰς ἀριθμεῖσθαι φύσεις, καὶ τρεῖς ὁμολογεῖσθαι θεοὺς, καὶ τρεῖς θεότητας, ὃ δὴ βλασφημιῶν ἐστιν ἁπασῶν ἀκροτάτη, μᾶλλον καὶ τοῦ Χριστιανισμοῦ παντὸς ἄρνησις. Οὐ γὰρ ἔστιν εἰπεῖν καθόλου τὴν φύσιν ὑπόστασιν, ἢ τὴν ὑπόστασιν φύσιν, ἵνα μὴ πᾶσι τοῖς Χριστιανοῖς συμβήσεται λέγειν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον τρεῖς φύσεις, ὅπερ ἐστὶ τρεῖς ὑποστάσεις, ἢ μίαν αὐτοὺς ἔχειν ὑπόστασιν, ὃν τρόπον μίαν ἔχουσι D φύσιν· ἀμφότερα δὲ τῆς τῶν Χριστιανῶν πίστεως ἀλλότρια. ια'. Ἔτι· Εἰ μιᾶς φύσεως τὸν ἄνθρωπον ὄντα τὰ μέρη ἅμα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν ἔσχηκε πρὸς συμπλήρωσιν τοῦ παντὸς, καὶ δυνατὸν τὰ ὁμόχρονα μίαν φύσιν ἀποτελεῖν σύνθετον, τοιοῦτον ὅρον καὶ φυσικὸν νόμον παρὰ τοῦ Δημιουργοῦ δεχόμενα, ὥστε φύσεως νόμῳ κατὰ διαδοχὴν ὅμοια ἐξ ὁμοίων γενέσθαι· ἐπὶ δὲ τοῦ Κυρίου τῶν ἑνωθεισῶν φύσεων ἡ μὲν ἀναρχός ἐστι καὶ ἄχρονος, ἡ δὲ ἠργμένη καὶ ὑπὸ χρόνον, καὶ οὐ γεγόνασιν εἶδος πρὸς συμπλήρωσιν τοῦ παντός· ἐπεὶ οὐ κατέπαυσεν ὁ Θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, οὔτε φυσικῶς ἤνθησαν, ἢ ὑπὸ φύσεως ὅρον τελοῦσιν, ὥστε ἀπὸ Χριστοῦ γεννᾶσθαι, καὶ εἶδος ἀποτελεῖσθαι

Digitized by Google

Χριστῶν, περιεκτικὸν πολλῶν ὑποστάσεων, ἀλλὰ μίαν ὑπόστασιν σύνθετον, ἐκ δύο φύσεων, καὶ ἐν δύο φύσεσιν, καὶ δύο φύσεις ἔχουσαν, ἑκάστης φύσεως καὶ μετὰ τὴν ἕνωσιν φυλαττούσης τὸν οἰκεῖον ὅρον τε καὶ νόμον, καὶ τὴν πρὸς ἄλληλα διαφοράν. ιβ'. Ἔτι· Εἰ αἱ ἑτεροειδεῖς ὑποστάσεις οὐχ ὑποστατικῇ συγκρίνονται ἢ διακρίνονται διαφορᾷ, ἀλλὰ φυσικῇ, καὶ αἱ ὁμοειδεῖς ὑποστάσεις οὐ φυσικῇ συγκρίνονται ἢ διακρίνονται, ἀλλ' ὑποστατικῇ, καὶ ὥσπερ ἀδύνατον τὰ ὑποστατικῇ διαφορᾷ διαφέροντα μιᾶς εἶναι ὑποστάσεως, οὕτως ἀδύνατον τὰ φυσικῇ διαφορᾷ διαφέροντα μιᾶς εἶναι φύσεως· οὐκ ἄρα ἔστιν εἰπεῖν μίαν φύσιν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλ' ἐκ δύο φύσεων τελείων, θείας τε καὶ ἀνθρωπίνης, γεγενῆσθαι τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀτρέπτως, καὶ ἀσυγχύτως, καὶ ἀναλλοιώτως, καὶ ἀδιαιρέτως, καὶ ἀδιαστάτως, ἐν δυσὶ φύσεσι τελείως ἐχούσαις μίαν ὑπόστασιν σύνθετον ἀποτελεσθεῖσαν ὁμολογοῦντες τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ σεσαρκωμένου, τὴν αὐτὴν ὑπόστασιν λέγοντες τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ, τὰς δύο φύσεις ὁμολογοῦντες σώζεσθαι ἐν αὐτῷ μετὰ τὴν ἕνωσιν, οὐκ ἰδίᾳ καὶ ἀνὰ μέρος τιθέντες ἑκάστην, ἀλλ' ἡνωμένας ἀλλήλαις ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει, οὐσιώδη λέγοντες ἕνωσιν, οὐσιώδη δὲ, οὐχ ὡς τῶν δύο φύσεων ἀποτελεσασῶν, μίαν σύνθετον φύσιν, τοῦτο γὰρ δέδεικται πάντως ἀδύνατον, ἀλλ' ἑνωθεισῶν ἀλλήλαις κατὰ ἀλήθειαν εἰς μίαν σύνθετον ὑπόστασιν τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ σώζεσθαι αὐτῶν τὴν οὐσιώδη διαφοράν ὁριζόμεθα· τὸ γὰρ κτιστὸν μεμένηκε κτιστὸν, καὶ τὸ ἄκτιστον, ἄκτιστον· ὡσαύτως δὴ καὶ αἱ λοιπαὶ ἀντιθέσεις. ιγ'. Ἔτι· Εἰ μιᾶς φύσεως μετὰ τὴν ἕνωσίν ἐστιν ὁ Χριστὸς, εἴπατε, ποίας; καὶ τί γέγονεν ἡ ἑτέρα; Εἰ δὲ ὑπάρχουσιν ἀμφότεραι, πῶς μία; εἰ μὴ ἐξ ἀμφοτέρων μία ἀπετελέσθη σύνθετος καθ' ὑμᾶς. Εἰ δὲ τοῦτο, ἑτερούσιος ὁ Χριστὸς τοῦ Πατρὸς, ἀσυνθέτου ὑπάρχοντος, ὡσαύτως δὲ καὶ τοῦ Πνεύματος, ὅπερ ἐστὶ βλάσφημον καὶ τῆς τῶν Χριστιανῶν μερίδος ἀλλότριον. ιδ'. Ἔτι· Εἰ ὁ ἄνθρωπος ἐκ διαφόρων φύσεων μία φύσις σύνθετος ἀποτελεῖται, ὡς ἕτερόν τι παρὰ τὰ ἐξ ὧν συνετέθη γενόμενος, καὶ οὐδαμῶς οὔτε αὐτὸς ὁμοούσιος, ἢ ὁμοφυὴς πρὸς τὰ ἐξ ὧν συνετέθη παρά τινος ῥηθείη· ἕτεροι γὰρ οἱ λόγοι αὐτοῦ τε καὶ τῶν μερῶν, οὔτε μὴν οἱ ὑπὸ τὴν αὐτὴν φύσιν τοῦ ἀνθρώπου τελοῦντες καθέκαστα ὁμοφυεῖς, ἢ ὁμοούσιοι τῶν ὑπὸ τὴν κοινὴν φύσιν τελούντων ψυχῶν, οὔτε μὴν τῶν ὑπὸ τὴν κοινὴν φύσιν τελούντων σωμάτων εἰσίν· ὁ δὲ δὴ Χριστὸς, μία τις οὖσα ὑπόστασις τῶν ὑπὸ τὴν θείαν φύσιν τελούντων, Πατρός τε, φημὶ, καὶ ἁγίου Πνεύματος, ὁμοφυὴς καὶ ὁμοούσιός ἐστι καὶ κυρίως Θεὸς, καὶ φύσει Θεός ἐστι καὶ ἡμῖν καὶ τῇ Μητρὶ ὁμοούσιος καὶ ὁμοφυὴς, ὡς κυρίως ἄνθρωπος, καὶ φύσει ἄνθρωπος ὤν, καὶ ἐξ τῆς ἁγίας Τριάδος· ἡ αὐτὴ γὰρ ὑπόστασις τοὺς ὅρους τῶν δύο φύσεων ἐπιδέχεται, καὶ ὃν ἂν λόγον ἀποδῷ τις τῆς θεότητος, τὸν αὐτὸν εὑρήσει καὶ ἐπὶ τοῦ Χριστοῦ, καὶ ὃν δ' ἂν ἀποδῷ τῆς ἀνθρωπότητος, τὸν αὐτὸν εὑρήσει καὶ ἐπὶ τοῦ Χριστοῦ ἁρμόζοντα· ὥστε ἐξ ἀνάγκης συνάγεται, μὴ εἶναι τὸν Χριστὸν μιᾶς φύ-

22. Reliquum est, ut ea etiam, quæ in vestra professione non tantum ex improbitate, quam anteceptæ animo informationis tyrannide depravate intelliguntur et conservantur, gravis enim essem, si discerem ex inscientia et contentionis studio, considerem. Non prorsus a recta circa fidem ratione excidistis, sed ex parte, nisi quis proverbii illud velit vobis appingere, Qui parvum negligit, paulatim cadet ; quodcunque vero in casum abducit, et casum a Deo, exsecrationis aversionisque diguum est. Namque Filii et Verbi Dei cum Patre sine principio, et sanctissimo vivificoque ipsius Spiritu ante sæcula exsistentiam recte secundum catholicam et orthodoxam Ecclesiam tenetis. Præterea Dei Patrisque beneplacito, et sanctissimi Spiritus concursu in utero semper virginis ac Deiparæ Mariæ habitationem, et nostræ naturæ inconfusam et inseparabilem unionem, immutabili remanente Deo Verbo, in propria natura, nempe deitate, et immutabili conservata ipsius humanitate, nempe humana natura, omnia vere præ se ferente quæ hominis sunt, excepto peccato solo, corpus, animam, et mentem. His vero per vos comprobatis, perfectus in deitate et perfectus in humanitate com-

γοῦντες, καὶ μίαν ὑπόστασιν, ἀνάγκη τὰ πρόσωπα τὰ δύο εἰς ἓν πρόσωπον συνῆρῆσθαι. Εἰ δὲ τοῦτο ἀλλότριον τῆς τῶν Χριστιανῶν ὀρθοδόξου πίστεως (ὡς γὰρ Νεστορίου φρόνημα ὂν μυσαττόμεθα), μάτην τοιαῦτα καθ' ἡμῶν συμπεραίνεις. Ἡμεῖς γάρ φαμεν τὸν Θεὸν Λόγον τὴν θείαν φύσιν ἐν ἑαυτῷ τελείαν ἔχοντα, εἶτα τὴν ἀνθρωπίνην φύσιν μετὰ τῶν ἀφοριστικῶν ἰδιωμάτων ἐν τῇ ἰδίᾳ ὑποστάσει ἀτομώσαντα, καὶ ὑποστατικὸν τὸν Κυριακὸν ἄνθρωπον ποιήσαντα, ἐξ αὐτῆς τῆς συλλήψεως ἑνωθέντα αὐτῷ, καὶ μὴ προδιαπλασθέντα ἐν τῇ νηδύϊ τῆς Παρθένου, ἀλλ' ἅμα τῇ εἰς τὸ εἶναι τούτου παραγωγῇ ὁμοῦ γενέσθαι τὰ τρία τὴν πρόσληψιν, τὴν ὕπαρξιν, τὴν θέωσιν αὐτῷ ὑπὸ τοῦ Λόγου, καὶ οὕτω νοεῖσθαι καὶ λέγεσθαι Θεοτόκον τὴν ἁγίαν Παρθένον, οὐ μόνον διὰ τὴν φύσιν τοῦ Λόγου, ἀλλὰ καὶ διὰ τὴν ἕνωσιν τοῦ ἀνθρωπίνου, ὧν ἅμα ἡ σύλληψις καὶ ἡ ὕπαρξις τεθαυματούργηται, ἡ μὲν σύλληψις τοῦ Λόγου, τῆς δὲ σαρκὸς ἡ ἐν αὐτῷ τῷ Λόγῳ ὕπαρξις δι' αὐτῆς τῆς Θεομήτορος, ὑπερφυῶς χορηγούσης τὸ πλασθῆναι τῷ πλάσαντι, καὶ τὸ ἀνθρωπισθῆναι τῷ Θεῷ καὶ ποιητῇ τοῦ παντὸς θεοῦντι τὸ πρόσλημμα, σωζούσης τῆς ἑνώσεως τὰ ἑνωθέντα τοιαῦτα οἷα καὶ ἥνωνται, οὐ τὸ θεῖον λέγω μόνον, ἀλλὰ καὶ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, τὸ ὑπὲρ ἡμᾶς καὶ καθ' ἡμᾶς. Εἰ δὲ τοῦτο, μάτην διὰ τὸ δοξάζειν ἡμᾶς δύο φύσεις, καὶ μίαν ὑπόστασιν ἐπὶ Χριστοῦ, καὶ προσώπων κρᾶσιν συνάγεσθαι λέγοις. Καὶ αἱ μὲν πρὸς τὰς καθ' ἡμῶν μέμψεις, καὶ τὰς κατὰ τοῦ ὀρθοῦ δόγματος τῆς μεγάλης καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι συνόδου κακηγορίας καὶ διαβολάς, ἀπαντήσεις τε καὶ ἐνστάσεις, δι' ὧν ἀθῷοι πάντες οἱ σύμφρονες τῇ τοιαύτῃ ἁγίᾳ συνόδῳ δείκνυνται τοῖς ὀρθῶς εἶναι βουλομένοις παρ' ἡμῶν ἐκτεθῆναι καὶ ἐνθάδε περιωρίσθω.

κβ'. Λοιπὸν καὶ τὰ κατὰ τὴν ὁμολογίαν ὑμῶν οὐ τοσοῦτον ἐκ μοχθηρίας, ὅσον τῇ τῆς προσλήψεως τυραννίδι ἐσφαλμένως νοούμενά τε καὶ φυλαττόμενα (ὀκνηρὸν γὰρ εἰπεῖν ἐξ ἀμαθίας τε καὶ φιλονεικίας), ἐπισκεπτέον. Οὐ πάντῃ τοῦ ὀρθοῦ περὶ τὴν πίστιν διαπεπτώκατε λόγου, ἀλλ' ἐπὶ μέρους. Εἰ μήτι ἄρα τὸ παροιμιακὸν ἐκεῖνό τις βουληθείη ὑμῖν ἐπαφῆναι ῥητὸν, ὅτι Ὁ καταφρονῶν τὸ μικρὸν κατ' ὀλίγον πεσεῖται· πᾶν δὲ τὸ εἰς πτῶσιν ἀπάγον, καὶ πτῶσιν ἀπὸ Θεοῦ, μίσους καὶ ἀποστροφῆς ἄξιον. Τὴν γὰρ προαιώνιον τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι ὕπαρξιν, ὀρθῶς δοξάζετε κατὰ τὴν οἰκουμενικὴν καὶ ὀρθόδοξον Ἐκκλησίαν. Ἔτι γε μὴν καὶ τὴν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ συνεργίᾳ τοῦ παναγίου Πνεύματος γενομένην τοῦ Θεοῦ Λόγου ἐν τῇ γαστρὶ τῆς ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας, οἰκησίν τε καὶ τῆς ἡμετέρας φύσεως ἀσύγχυτον καὶ ἀχώριστον ἕνωσιν, ἀμεταβλήτου μείναντος τοῦ Θεοῦ Λόγου τῇ οἰκείᾳ φύσει, ἤγουν θεότητι, καὶ ἀμεταβλήτου τηρηθείσης τῆς ἀνθρωπότητος αὐτοῦ, ἤγουν τῆς ἀνθρωπίνης φύσεως, πάντα ἀψευδῶς προβαλλομένου τοῦ ἀνθρωπίνου πλὴν τῆς ἁμαρτίας μόνης, τουτέστι σῶμα, ψυ-

Digitized by Google

χὴν, καὶ νοῦν. Τούτων δὲ παρ' ὑμῶν ὁμολογουμένων, τέλειος ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι δείκνυται εἷς καὶ ὁ αὐτὸς ὢν Χριστὸς ὁ Θεὸς ἡμῶν. Εἰ οὖν ὁ Θεὸς Λόγος ἑνωθεὶς τῇ ἀνθρωπότητι, τελείαν ἔχων τὴν θεότητα, τελείαν τὴν ἀνθρωπότητα αὐτοῦ καὶ καθ' ὑμᾶς φυλάττων ὁμολογεῖται, τίνι λόγῳ οὐχὶ καὶ ἐκ δύο, καὶ ἐν δύο φύσεσι, καὶ δύο φύσεις ἔχοντα αὐτὸν πιστεύετε, ἀλλὰ μιᾶς αὐτὸν ἀναγορεύετε φύσεως; Εἰ οὖν τέλειον τὸν αὐτὸν ἐν ἑκατέρᾳ πεφηνότα φύσει ὁμολογεῖτε, δῆλον ὅτι καὶ ἀριθμῷ ταύτας τήν τε θείαν φύσιν φημὶ καὶ τὴν ἀνθρωπίνην, τῷ τρόπῳ τῆς διαφορᾶς ἀριθμουμένας καθυποβάλλετε, καὶ οὐ τῷ διορισμῷ τῆς ὑπάρξεως ὑφ' ἡμῶν καὶ τῆς ἁγίας τετάρτης συνόδου λέγειν ὁριζούσης οὕτως ἐπὶ Χριστοῦ τὰς δύο φύσεις ὁμολογοῦντες, ἐντὸς τῆς ἀληθείας ἑστήκατε. Εἰ δὲ ὁμολογοῦντες, ὅτι ἐν αὐτῷ τῷ ἑνὶ Χριστῷ ἥ τε θεία καὶ ἀνθρωπίνη φύσις ἔν ἐστι, ταύτας δὲ τὰς φύσεις κατὰ τὸ διάφορον οὐκ ἀριθμεῖτε, ἐν δύο φύσεσιν αὐτὸν, καὶ δύο φύσεις ἔχοντα τὸν Χριστὸν λέγοντες, φανερὸν ὅτι ἀσύμφωνοι ἀλλήλων ἐστὲ, πῇ μὲν ὁμολογοῦντες, πῇ δὲ ἀπαρνούμενοι. Διὰ μὲν γὰρ τοῦ μὴ ἀριθμεῖν τὴν διαφορὰν, τὰς φύσεις ἀναιρεῖτε, διὰ δὲ τοῦ ἀναιρεῖν τὰς φύσεις, καὶ τὸ ἀσύγχυτον καὶ τὸ ἄτρεπτον μετὰ τὴν ἕνωσιν· εἰ δὲ τοῦτο, καὶ τὸ ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. Ὁ δὲ τὸ αὐτὸ πρᾶγμα, πῇ μὲν ὡς ἔχον φύσεως ἀπαγγέλλων, πῇ δὲ ὡς οὐκ ἔστι τὸ αὐτὸ ὡς πρότερον εἴρηκε διισχυριζόμενος, ἢ παραφρονεῖ, ἢ κακουργεῖ, ὧν οὐδέτερον ὑμᾶς εὐχόμεθα πάσχειν. Τὸ μὲν γὰρ ἄθλιον καὶ ἐλέους, τὸ δὲ κολάσεως ἄξιον. Εἰ δὲ τῶν τοιούτων ἐκτὸς ἐγκλημάτων οἴεσθε ἑαυτοὺς παριστᾷν, ὁμολογοῦντες τὸν Υἱὸν τοῦ Θεοῦ κατὰ θεότητα ἔχειν τὸ ὁμοούσιον, πρός τε τῷ Θεῷ καὶ Πατρὶ, καὶ ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, καὶ ἀριθμεῖτε δηλονότι λέγοντες, Δύο φύσεις ἔχει ὁ Χριστὸς, καὶ ἐν δύο φύσεσι, καὶ δύο φύσεων εἶναι μετὰ τὴν ἕνωσιν ἐν μιᾷ ὑποστάσει, καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον τοῦτο θεσπίσασαν μεθ' ἡμῶν σεβάζεσθε, καὶ οὕτως ὀρθοδόξως πολιτεύεσθαι θαῤῥεῖτε. Τὸ δὲ λέγειν, Καὶ οὐχ ἁπλῆν ὁμολογοῦμεν τῶν φύσεων τὴν ἕνωσιν, θεότητος, φημὶ, καὶ ἀνθρωπότητος, εἰ μὲν τὸ συντεθὲν μιᾶς ὑποστάσεως, δύο τε φύσεις ἔχειν φαίητε, ὄντως ὀρθῶς καὶ μετὰ ἀληθείας λογισθήσεσθε· εἰ δὲ τὸ ἐκ διαφόρων φύσεων μιᾶς συνθέτου φύσεως ἀποτελεσθὲν καθάπερ ἐπ' ἀνθρώπου ἐκ ψυχῆς καὶ σώματος μία φύσις ἀποτελεῖται, οὕτως ὁμολογεῖτε, φανερὸν ὅτι τὰς οἰκείας ὁμολογίας ἀναιρεῖτε. Δέδεικται γὰρ διὰ πολλῶν ἔμπροσθεν ἐπιχειρημάτων, ὅτι τὰ ἀσυγχύτως συντιθέμενα, καὶ μίαν φύσιν ἀποτελοῦντα, μήτε αὐτὰ πρὸς τὰ ἐξ ὧν συνετέθη ὁμοούσια, ἢ ὁμοφυῆ εἶναι, ἢ τὰ ὑπὸ τῆς κοινότητος αὐτῶν ἀναγόμενα ἄτομα. Εἰ δὲ τοῦτο, ὁ Χριστὸς οὐχ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. Εἰ δὲ τὸ ὁμοούσιον καὶ ἐν τῇ ἑνώσει βούλεσθε διασώζειν, τὸ δοξάζειν μίαν φύσιν ἐπὶ Χριστοῦ ἐξ ὑμῶν ἀπορρίψατε. Καὶ ταῦτα μὲν τὰ ἑπόμενα ἄτοπα ἐκ τῶν παρ' ὑμῖν ὁμολογουμένων ἐπὶ τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ συμβαίνοντα ἐνανθρωπήσεως, διὰ τὸ μὴ ἔπεσθαι

monstratur unus et idem Christus Deus noster. Si itaque Deus Verbum unitus humanitati perfectam habens deitatem, perfectam suam humanitatem, vobis hoc idem non abnuentibus, conservat, quam ob causam ex duabus, et in duabus naturis, et duas eum naturas habere non creditis, sed eum unius naturæ tantum pronuntiatis? Si perfectum ipsum in utraque apparuisse natura confitemini, manifestum est, vos easdem, divinam scilicet naturam et humanam, differentiæ ratione numeratas, numero subjicere, et non exsistentiæ determinatione, ita sancta quarta synodo injungente. Sic in Christo duas naturas asserentes a veritate non aberratis. Quod si affirmantes in ipso uno Christo divinam et humanam naturam fuisse, naturas secundum differentiam non numeratis, in duobus naturis, et duas naturas Christum habere probantes, palam est, vos inter vos non convenire, nunc quidem confitentes, nunc abnegantes: ex eo enim quod differentiam non numeratis, naturas tollitis, et ex eo quod naturas tollitis, tollitis etiam inconfusum, et immutabile post unionem, et per consequens consubstantiale Patri secundum deitatem, et consubstantiale nobis secundum humanitatem. Qui vero rem eamdem nunc quidem ut se habet pronuntiat, nunc eam non ita se habere, ut antea dixerat, contendit, aut mente captus est, aut malitiose agit, quorum nulli ne obnoxii sitis Deum exoramus; id enim miserum et commiseratione, hoc castigatione dignum est. Si autem vos ab his criminationibus exemptos judicatis, dum fatemini, Filium Dei secundum deitatem habere naturam eamdem cum Deo Patre, et nobiscum secundum humanitatem, et numeratis, verbi gratia dicentes, Duas naturas habet Christus, et in duabus naturis, et duarum naturarum est post unionem in una hypostasi, et Chalcedonensem synodum illud decernentem nobiscum veneramini, sic ut orthodoxi pie vitam agentes, bono sitis animo. Sic dicere, Non simplicem confitemur naturarum unionem, deitatis nempe et humanitatis, si compositum unius hypostasis duas naturas habere concesseritis, recte equidem nec citra veritatem opinamini. Quodsi ex diversis naturis unius compositæ naturæ effectum, ut de homine ex anima et corpore una natura efficitur, hac ratione profitemini, manifestum est, vos vestras confessiones destruere: antea enim multis argumentationibus demonstratum est, ea quæ inconfuse uniuntur et unam naturam efficiunt, non esse cum illis, ex quibus composita sunt, neque ejusdem essentiæ, neque ejusdem naturæ, aut quæ sub universitate eorum referuntur individua. Id si est, Christus non erit consubstantialis Deo et Patri secundum deitatem, et nobis secundum humanitatem. Quod si consubstantiale etiam in unione conservare prætenditis, unam in Christo naturam tenere, a vobis abjicite. Et hæc quidem absurda consequuntur ex iis, quæ a vobis astruuntur de

Digitized by Google

Filii Dei incarnatione, quod vos non sequimini rectam Christianæ fidei traditionem a sanctissima et œcumenica Chalcedonensi synodo traditam. Ex eo porro quod vos illius sana exquisitaque decreta improbatis inverecunde, imo stulte intelligitis, erratisque circa ea, quæ de incarnatione unigeniti Filii Dei et Domini nostri Jesu Christi dicuntur, hæc sunt.

23. Concursus autem dictionem vulgaris futilisque plebeculæ usus de duobus, aut pluribus decertantibus, aut equo, pedibusque de cursu contendentibus accipit, at sapientium virorum conceptus non hoc tantummodo notare concursum vult, sed et duarum, aut plurium rerum celerem ac subitaneam in idem absque ullo temporis intervallo terminationem, quemadmodum in paralytico factum agnovimus : statim enim atque dixit Dominus : *Surge, et ambula, Subito*, ait evangelista, *surrexit et ambulabat* [10]. Pernicem itaque Dominici imperii absolutionem cum paralytici sanitate concursum sapientes nuncupant; simul enim cum Dominica jussione hominis sanitas cucurrit. Similiter et in socro Petri, et maris increpatione, et similibus. Patres itaque duarum naturarum in eodem et uno Christo Domino nostro concursum astruentes, nihil aliud innuere videntur, quam citra ullam exspectationem, et absque ullo temporis intervallo, simul atque Excelsissimi virtus semper Virgini Deiparæ obumbravit, duarum naturarum unionem effecisse. Vos vero secundum priorem significatum concursus divinæ cum humana natura unionem accipientes, divisam et propria hypostasi subsistentem utramque essentiam Patres asseruisse calumniamini : vestramque ignorationem Patrum blasphemiam rati, longe a veritate, et, quod idem est, salute aberrastis. Edocti itaque et hujusce concursus significatum, et usum in Filii Dei incarnatione, ex ea quæ ab ignoratione oritur maledicentia recedite, et in exactam duarum naturarum in Christo unionem, quam nos tuemur, confugite. Namque ex eo consequemini primum quidem catos sapientesque reputari, postmodum veritatem, in quibus decernitis, sectari. Quodsi nonnulli ex hæreticis concursus nomen secundum primum significatum in proprii dogmatis subdolam fraudem assumpserunt, ideoque illud rejicitis in unione divinæ humanæque naturæ unius Domini nostri Jesu Christi, nunc cum alterum illius significatum apprehenderitis, deque unione firmum illius ac cautum callentes, eum in posterum ne negligatis : neque enim æquivocatio eorum, qui non ita se habent, proprie ita se habentia destruit. Quando vero uni Domino nostro Jesu Christo omnes uno consensu, quæ in Evangelio referuntur, dejecta excelsaque vindicatis, corporeo incorporeoque inseparabiliter inconfuseque in eo conservatis, cuinam ex naturis, quæ in uno Christo convenerunt dejecta ascribetis, quale illud fuerit proficere ætate, cola-

[10] Matth. IX, 5.

ὑμᾶς τῇ ὀρθῇ τῆς τῶν Χριστιανῶν πίστεως ἐκθέσει παρὰ τῆς ἁγιωτάτης καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι τετάρτης συνόδου. Ἃ δὲ δι' αὐτὸ τοῦτο τὸ ἀθετεῖν ὑμᾶς τὰ ἀκριβῆ ταύτης δόγματα ἀναιδῶς, μᾶλλον δὲ ἀμαθῶς νοεῖτε, καὶ ἁμαρτάνετε περὶ τὰ λεγόμενα ἐπὶ τῇ ἐνανθρωπήσει τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ ταῦτά ἐστι.

κγ'. Τὴν δὲ λεγομένην συνδρομὴν, ἡ μὲν τοῦ πολλοῦ καὶ ἀγυρτώδους λαοῦ χρῆσις, ἐπί τινων δύο ἢ καὶ πλειόνων ἀμιλλωμένων, ἱπποζομένων τε καὶ πεζῇ τὸν δρόμον ἐξανυόντων παραλαμβάνει· ἡ δὲ τῶν σοφῶν ἀνδρῶν διάνοια, οὐ τοῦτο μόνον σημαίνειν τὴν συνδρομὴν βούλεται, ἀλλὰ καὶ τὴν δύο τινῶν ἢ καὶ πλειόνων πραγμάτων ὀξεῖαν καὶ ἀκαρῆ εἰς ταυτὸ περάτωσιν παντὸς χρονικοῦ διαστήματος ἄνευ, ὡς ἐπὶ τοῦ παραλυτικοῦ τοῦτο γεγονὸς ἐγνωμεν. Ἅμα γὰρ ἔφη ὁ Κύριος, *Ἔγειραι καὶ περιπάτει, Εὐθέως*, φησὶν ὁ εὐαγγελιστὴς, *ἀνέστη καὶ περιεπάτει*. Τὴν οὖν ὀξεῖαν τῆς προστάξεως τοῦ Κυρίου πλήρωσιν μετὰ τῆς τοῦ παραλύτου ὑγείας, συνδρομὴν οἱ σοφοὶ λέγουσι. Συνέδραμε γὰρ τῇ Δεσποτικῇ κελεύσει καὶ ἡ τοῦ ἀνθρώπου ὑγεία. Ὁμοίως καὶ ἐπὶ τῆς τοῦ Πέτρου πενθερᾶς, καὶ τῆς ἐπιτιμήσεως τῆς θαλάσσης, καὶ τῶν τοιούτων. Οἱ οὖν Πατέρες συνδρομὴν λέγοντες τῶν δύο φύσεων ἐν τῷ αὐτῷ καὶ ἑνὶ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, οὐδὲν ἄλλο δηλοῦν φαίνονται, ἢ ὅτι πάσης ἀναμονῆς ἐκτὸς καὶ παντὸς χρονικοῦ διαστήματος ἅμα ἐπεσκίασεν ἡ τοῦ Ὑψίστου δύναμις τῇ Ἀειπαρθένῳ Θεοτόκῳ, τὴν τῶν δύο φύσεων ἕνωσιν ἀπειργάσατο. Ὑμεῖς δὲ κατὰ τὴν προτέραν σημασίαν τῆς συνδρομῆς τὴν ἕνωσιν τῆς θεϊκῆς φύσεως μετὰ τῆς ἀνθρωπίνης ἐκλαμβανόμενοι, διαιρετὴν, καὶ καθ' ἑαυτὴν ὑφεστάναι ἑκατέραν τῶν οὐσιῶν τοὺς Πατέρας εἰρηκέναι συκοφαντεῖτε, καὶ τὴν ὑμετέραν ἄγνοιαν, Πατρικὴν βλασφημίαν οἰόμενοι, μακρὰν τῆς ἀληθείας, καὶ ταυτὸν φάναι, τῆς σωτηρίας, ἀποπεπλάνησθε. Μεμαθηκότες οὖν καὶ ταύτης τῆς συνδρομῆς τὴν σημασίαν, καὶ τὸ ταύτης χρειῶδες εἰς τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐνανθρώπησιν, ἀπόστητε τῆς κατ' ἄγνοιαν ὑμῶν δυσφημίας, καὶ εἰς ἀκριβῆ ἕνωσιν τῶν δύο ἐν Χριστῷ φύσεων ταύτην, καθὼς ἡμεῖς, προβάλλεσθε. Ἕψεται γὰρ ὑμῖν ἐκ τούτου, πρῶτον μὲν τὸ σοφοὺς καὶ εἰδήμονας πεφηνέναι, ἔπειτα δὲ καὶ τὸ ἀληθεῖς, ἐν οἷς δογματίζετε, διαγγέλλεσθαι. Εἰ δὲ καί τινες τῶν αἱρετιζόντων τὸ τῆς συνδρομῆς ὄνομα κατὰ τὸ πρῶτον σημαινόμενον ἐξελάβοντο εἰς τὴν τοῦ οἰκείου δόγματος κακουργίαν, καὶ διὰ τοῦτο παραιτεῖσθε ταύτῃ ἐπὶ τῇ ἑνώσει τῆς θείας καὶ ἀνθρωπίνης φύσεως τοῦ ἑνὸς Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, νῦν τὸ δεύτερον σημαινόμενον ταύτης κατανενοηκότες, καὶ τὸ ἐκ τούτου ἀσφαλὲς περὶ τὴν ἕνωσιν μεμαθηκότες, τοῦ λοιποῦ ταύτην μὴ ἀπαγορεύσητε. Οὐδὲ γὰρ λυμαίνεται ἡ ὁμωνυμία τῶν μὴ οὕτως ὑπαρχόντων τὰ κυρίως ὄντα πράγματα. Ἐπειδὴ δὲ τοῦ αὐτοῦ ἑνὸς Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἶναι ὁμολογεῖτε τὰ ἐν Εὐαγγελίῳ φερόμενα ταπεινά τε καὶ ὑψηλὰ, τοῦ

Digitized by Google

τε σώματος καὶ τοῦ ἀσωμάτου ἀπαρασπάστως καὶ ἀσυγχύτως ἐπ' αὐτοῦ φυλαττομένων, πότερον ποίᾳ τῶν συνελθουσῶν φύσεων ἐν τῷ ἑνὶ Χριστῷ τὰ ταπεινὰ δώσετε, τῇ ἀνθρωπίνῃ, ἢ τῇ θείᾳ, τουτέστι τὸ προκόπτειν ἡλικίᾳ, καὶ τὸ ῥαπίζεσθαι, τὸ δεσμεῖσθαι, τὸ ἥλοις πεπερονῆσθαι, τὸ τεθνάναι, καὶ τὰ τοιαῦτα; Εἷς μὲν γὰρ ἀληθῶς καὶ ὁ αὐτός ἐστι Θεὸς καὶ ἄνθρωπος, ὁ ταῦτα ὑπομεμενηκώς· ἀλλ' οὐδεὶς νοῦν ἔχων κατὰ τὴν θεϊκὴν ταῦτα ὑπομενηκέναι φύσιν ἐρεῖ. Ἀπαθὴς γὰρ ἡ θεία φύσις, καὶ αὐξήσεως ἀνεπίδεκτος. Ὅμως γε πέπονθε ταῦτα ὁ αὐτὸς Κύριος ἀληθῶς. Ἆρ' οὖν οὐχὶ καὶ αὐτοὶ οἱ λίθοι κεκράξονται, κἂν ὑμεῖς σιγήσησε, ὅτι κατὰ τὴν ἀνθρωπίνην αὐτοῦ ταῦτα φύσιν ὑπέστη ὁ τέλειος ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι, εἷς Κύριος Ἰησοῦς; Εἰ δὲ κατὰ ἀνθρωπίνην αὐτοῦ ταῦτα φύσιν ὑπέστη, δῆλον ὅτι ἐν δύο φύσεσι θεωρεῖται ὁ εἷς τῷ προσώπῳ καὶ τῇ ὑποστάσει Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Τὰς δὲ κατὰ τοῦ Νεστορίου τοῦ ἐπαράτου μέμψεις καθ' ἡμῶν τῶν ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν εἰδότων ἐν τῷ ἑνὶ Χριστῷ τῷ Θεῷ ἡμῶν, ἀφρόνως ἐπιφημίζετε. Ἡμεῖς γὰρ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐν τῷ Χριστῷ ὁμολογοῦντες, καὶ ἓν αὐτοῦ πρόσωπον καὶ μίαν ὑπόστασιν μετὰ τὴν ἕνωσιν δοξάζοντες, καὶ τὴν ἐν γαστρὶ τῆς ἀειπαρθένου σκήνωσιν ἀνυμνοῦντες, καὶ τὴν αὐτοῦ πανάμωμον Μητέρα Θεοτόκον κυρίως δοξάζοντες, καὶ ἕνα τὸν αὐτὸν Υἱὸν τοῦ Θεοῦ καὶ Υἱὸν τῆς Παρθένου ὁμολογοῦντες, ὧν ἁπάντων οὐδὲν ὁ μάταιος ἐκεῖνος καθωμολόγει, πῶς τῆς αὐτῆς αὐτῷ μέμψεως χριθείημεν ἄξιοι παρ' ὑμῶν; εἰ μή τι ἄρα τὸν ὑμῖν ἐφαρμόζοντα ψόγον διὰ τὴν ἐξ ἀμαθείας τοῦ ὀρθοῦ δόγματος παρατροπὴν ἀποτρέψαι βουλόμενοι, διὰ τῆς καθ' ἡμῶν τῶν ὀρθῶς φρονούντων ἀλόγου διαβολῆς τοῦτο ποιεῖν προαιρεῖσθε. Ἡ δὲ καθ' ἡμᾶς ἀμώμητος καὶ ἀδιάβλητος δόξα, περί τε τῆς κατὰ τὴν ἁγίαν Τριάδα θεολογίας, περί τε τῆς κατὰ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ ὀρθοτομίας ἐκ τοῦ παρ' ἡμῶν ὁμολογουμένου ἱερωτάτου καὶ θείου συμβόλου δείκνυται, ἀρξαμένου μὲν ἀπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων τῆς ἐν Νικαίᾳ συνόδου Πατέρων, καὶ διὰ τῶν λοιπῶν ἁγίων τε καὶ οἰκουμενικῶν ἓξ συνόδων βεβαιουμένου, ἧπου ἄρα καὶ τοῦτο κακῶς ὑμεῖς νοοῦντες διασύραι πειράσετε. Κἀι ταῦτα μὲν πέρα τοῦ μέτρου, ἐπεὶ καὶ κόρος λόγου πολέμιος ἀκοαῖς.

A

B

C

phis cædi, vinculis alligari, clavis transfigi, mori, et similia? humanæ, an divinæ? Unus enim est vere idemque Deus et homo, qui illa sustinuit. Sed nemo, dummodo cor habeat, secundum divinam illa tolerasse naturam dicet: neque enim passionibus obnoxia est divina natura, et capax incrementi: nihilominus ea vere perpessus est idem Dominus. Annon igitur saxa ipsa clamabunt, etiamsi vos tacueritis, secundum humanam ipsius naturam hæc subiisse, perfectum in deitate, et perfectum in humanitate unum Dominum Jesum? Quod si secundum humanam ipsius naturam illa passus est, jam palam est in duabus naturis esse unum persona, et hypostasi Dominum nostrum Jesum Christum, et exsecrandi Nestorii adversus nos, qui unam personam et unam hypostasim confitemur in uno Christo Deo nostro, criminationes insipienter intorqueri. Nos etenim, qui secundum hypostasim unionem in Christo confitemur, et unam ipsius personam et unam hypostasim post unionem tenemus, et in utero semper virginis habitationem celebramus, et ipsius Matrem immaculatam Deiparam proprie prædicamus, et unum eumdemque Filium Dei et Filium Virginis astruimus, ex quibus omnibus nihil insipiens ille asseverabat, quomodo eadem atque ille criminatione notaque a vobis merito condemnabimur, nisi vituperationem, quam vos propter ignorationem et a recto dogmate aberrationem commeruistis, avertere contendentes, per irrationabilem calumniam in nos, qui probe sentimus, conferre studetis? Verumtamen nostra inculpata innoxiaque opinio tum de sacra Triadis theologia, tum de incarnationis œconomiæ Filii Dei rectitudine ex sacrosancto divinoque symbolo, quod nos profitemur, incepitque a ter centum decem et octo sanctis Patribus, in Nicæna synodo congregatis, et a reliquis sanctis sex œcumenicis synodis constabilitur,' nisi id etiam vos per importunam amentiam haud recte intelligentes, criminari non veremini, late patenterque demonstratur. Et hæc quidem plus satis sint, et præter mensuram, cum et sermonis satietas auribus adversetur.

DE SEQUENTI NICETÆ BYZANTINI OPERE MONITUM.

(Ang. Mai, *Bibliotheca nova Patrum*, t. IV, p. 321.)

Fridericus Sylburgius in præfatione libelli sui, quem *Saracenica* inscripsit, ediditque anno 1595, sic scribit: « Romæ in Vaticana bibliotheca exstare dicitur Nicetæ Byzantini philosophi contra Mohamedem liber, et epistolæ ab Agarenis missæ confutatio, ad Michaelem Theophili filium, imp. Constantinopolitanum. Sed quoniam neque illius neque hujus exemplaria Græca nancisci nobis licuit, alia eorum edendorum exspectanda fuit occasio. » Vides annos 250 et amplius effluxisse ex quo Sylburgius, facto Vaticani codicis indicio, optavit hunc Byzantinum Nicetam edere, quem nos demum post tantam temporis intercapedinem in sempiternam lucem protrahimus. Cæteroqui Sylburgii dictum, ut fit in rebus absentibus, non est undique exactum: nam non una, sed duæ sunt Agarenorum epistolæ, hasque ad Michaelem

Digitized by Google

imp. missas titulus dicit, non autem diserte quod Nicetas ipsarum refutationem ad Michaelem scripserit. Decennio post Sylburgium Ant. Possevinus in Apparatus principe editione Veneta t. II, p. 477, et t. III, in catalog. p. 16, pleniorem et accuratiorem operis Nicetiani titulum recitavit, eatenus tantum mendose, quatenus pro *Theophili* utroque in loco scripsit *Theophylacti*. Reliquos, qui ex prædictis hausere, prætermitto bibliographos, excepto tamen Leone Allatio, qui in calce prioris tomi *Græciæ orthodoxæ* diserte contendit Nicetam hunc Byzantinum eumdem esse, qui et Nicetas David, et Paphlago, et Dadybrorum etiam episcopus, appellatur. « Floruit, inquit, Michaelis, Basilii et Leonis,' impp. ætate, ut colligitur ex procemio vitæ S. Ignatii patriarchæ, quam ille neque indocte neque ineleganter concinnavit, et aliis ejusdem scriptis : » quo postremo dicto (de scriptis ætatem Nicetæ designantibus) intelligi ab Allatio puto refutationem præsertim quam fecit Nicetas noster epistolarum ab Agarenis ad Michaelem imp. missarum. Pergit ibi Allatius Nicetæ scripta recensere, quorum prope extrema ponit hæc adversus Mohamedem et Agarenos dictata ; neque tamen codicem Vaticanum, qui ea continet, nominat aut se novisse demonstrat. Habuit sane Allatius aliud Nicetæ egregium opusculum pro concilio Chalcedonensi ad Armeniæ principem ; idque in prædictum *Græciæ orth.* tomum inseruit, indubitanter affirmans unius ejusdemque Byzantini Nicetæ fetum esse; id quod ego verissimum judico, quia præter cæteram styli similitudinem, clausula certe prædicti opusculi eadem omnino est, quæ in duarum ad Michaelem imp. epistolarum refutatione conspicitur. De hoc demum Niceta ejusque scriptis uberius dixit Allatius in inedita adhuc dissertatione sua de viginti Nicetis, cujus ego particulam de nostro loquentem vulgavi in præf. ad t. IX *Scriptorum veterum ;* neque tamen hanc ipsam dissertationis particulam dedi integram, quia id tunc præter argumenti mei propositum erat. De vetere operis Nicetiani notitia hactenus. Cur autem Byzantinum hunc Nicetam nonnulli bibliographi in XII sæculo collocent, equidem nescio, neque ejus rei documenta ulla afferri video ; nisi forte tot Nicetarum copia perturbationem, ut fit, in ipsorum historiam invexit. Sed ut jam propius ad rem accedam, ego quidem quanquam nondum inspexeram Sylburgii, Possevini et Allatii testimonia, nihilominus in meis ante complures annos bibliothecæ Vaticanæ cui præeram perlustrationibus, hunc codicem observaveram sub numero 681, pulchrum sane, antiquum, membraneum, integerrimum. Attamen aliis editionibus occupatus, Nicetam plus nimio distuli : sed nunc demum de codicis, ut reor, unici incertis fatis cogitans, qui casu aliquo perire aliquando posset ; tum etiam rei sine dubio bonæ dulcedine et utilitate illectus, exscribendum manu propria, Latinum quoque labore meo ut cætera omnia faciendum, et typis mora omni abrupta tradendum judicavi.

Nunc de ipso opere breviter præfandum est. Ludovicus Maraccius, qui philarabes cunctos refutati Alcorani laude superavit, queritur in præfatione ad prodromum de illorum exiguo numero, saltem veterum, qui contra Mohamedem ejusque librum calamum strinxerunt, et pauca certe nomina recitat, Joan. nempe Damascenum, Joan. Cantacuzenum, Petrum Cluniacensem, et Chaldæos duos. Atqui dilatare numerum parumper poterat, citato Euthymio Zygabeno cum aliis brevibus ejusmodi scriptis, edente Sylburgio ; Theodoro Abucara, edente Gretsero, quanquam hic præ Zygabeno valde tenuis est. Sed enim in Romanis Gr. codicibus erant : 1. Ejusdem Zygabeni dialogus adversus Mohamedem, quem nos vulgabimus. 2. Nicetæ Choniatæ capitulum in *Panoplia*, quod nos in Romanum jam Spicilegium intulimus. Sed quod omnem copiam superat, erant Arabici codices Vaticani, quorum catalogum a nobis ex Assemani schedis editum qui legerit, numerosam adversus Alcoranum Christianorum scriptorum instructam aciem conspiciet ; videlicet in codicibus Arabicis 99, 112, 113, 114, 118, 119, 127, 128, 135, 141, 143, 180, 504, 545, 550, 645, et fortasse aliis. Utique magnus Maraccius in prædicta præfatione p. 7 globatim memorat Arabicos codices diversarum Romanæ urbis bibliothecarum, qui ei adjumento fuerunt, ut in scholiis et in polemicis disputationibus postea demonstravit, ubi lautas Arabum de hac controversia scriptorum opes exposuit ; rectius tamen fecisset, vel certe hodiernæ methodo accommodatius, si singulorum quibus usus est codicum nominatim catalogum vel notitiam perscripsisset.

Jam vero fructus hujus nostræ Nicetæ editionis multiplex, ut spero, futurus est. 1. Christianæ religionis nova defensio, et Mohamedanæ superstitionis fraudisque accusatio atque subversio. 2. Theologiæ apud Græcos scholasticæ seu speculativæ imaginem genuinam hic aspicimus, et qua methodo, quo acumine, quibus dialecticæ et communium notionum, sive sensus, viribus, Trinitatis præsertim perdifficile perobscurumque mysterium apud ethnicos Mohamedanosque Christiani approbarent : in qua profecto disputationis parte Nicetas noster mirabilis est ; Græcique ingenii et doctæ solidæque subtilitatis insigne exemplum suppeditat. 3. In singulorum satanici libri capitum confutationibus, recitatur Græce Mohamedis textus, vel ipso Niceta interprete, vel ex cujusvis Græci hominis translatione, quam nunc neque in libris editis, neque in ipsis ut arbitror manuscriptis codicibus videre est. Certe Græcos Alcoranum non semel tantummodo, sed fortasse pluries, ad linguam suam transtulisse, dubitari nequit ; cum immanem sectam in prospectu, imo et in imperii visceribus receptam haberent, et cum ejus doctoribus necessario contenderent ; id quod Græca monumenta superstitum disputationum testantur. Nunc itaque festivum est videre, quantopere interdum Græcus Alcorani textus apud Nicetam ab Arabico, quem vulgo legimus, differat : quam rem, partim ex interpretis Græci imperitia, partim ob polysema Arabicæ linguæ vocabula, partim denique propter ipsius Alcorani editionum varietatem, contigisse credendum est. Nam

Digitized by Google

septem criticas diversasque Alcorani Arabici editiones nominat Herbelotius, Medinenses duas, præter-eaque Meccanam, Cufensem, Bassorensem, Syriaticam, et κοινὴν sive vulgatam : quarum varietas Coranicis Arabum interpretibus uberrimam disserendi copiam obtulit. Porro quod nulla apud Græcos Alcorani translatio superesse nunc videatur, odio rei scilicet factum credo. Ecce enim ne Latini quidem Alcoranum habuerunt usque ad Petrum Cluniacensem, qui illum in Hispania per Robertum Retenensem, rudi licet opere, ex Arabico interpretandum curavit, atque ad divum Clarævallensem Bernardum misit, et Theodorus Bibliander anno 1550 apud Helvetios prelo commisit. Ante hanc tamen editionem Alcoranum Itali lingua propria ex Latino Retenensis textu vulgaverant anno 1547, editore Andrea Arrivabenio, typographo Veneto; quem nitidum priscumque librum, nec facile obvium, multi, quos inter ipse Maraccius, ignorant. Longe recentiores sunt Ryerii et Savarii sermone Gallico editiones, itemque duæ lingua Germanica, quas Bern. Rubeus, magister olim meus, in Lexico auct. Arab. memorat. Sed nostri demum Maraccii anno 1698 interpretatio optima lucem aspexit, cui philarabes cuncti fasces submiserunt. Quanquam vero hæc operis Nicetæ editio multas postulare videbatur tum criticas tum historicas adnotationes, et quandoque etiam grammaticales in dissidentibus ab Arabico sensibus; ego quidem ad alia properans suspenso propemodum aut certe levi pede omnia transiliam; nisi forte per otium postea locus aliquis paulo accuratius exponendus videbitur.

ΝΙΚΗΤΑ ΒΥΖΑΝΤΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΑΝΑΤΡΟΠΗ ΤΗΣ

ΠΑΡΑ ΤΟΥ ΑΡΑΒΟΣ ΜΩΑΜΕΤ ΠΛΑΣΤΟΓΡΑΦΗΘΕΙΣΗΣ ΒΙΒΛΟΥ

—

NICETÆ BYZANTINI PHILOSOPHI

CONFUTATIO

FALSI LIBRI QUEM SCRIPSIT MOHAMEDES* ARABS.

ΠΡΟΓΡΑΜΜΑ.

α'. Μεγάλων καὶ τῶν ὑπὲρ ἡμᾶς ἀξίων ὑπαρχόντων πάντων π[ρεσβεί]ων (1) τῷ θεοφιλεστάτῳ βασιλεῖ, λόγοις γεραίρειν αὐτὰ, διὰ τὸ μέγεθος, καὶ μέτρῳ περιορίζειν, διὰ τὸ ἄπειρον, οὐχ οἷοί τε ἐσόμεθα τὸ παράπαν· ἀλλ' ἡ τοῦ θαυμάζειν παρασκευάζουσα πᾶσαν διάνοιαν ἔκπληξις, καὶ τοὺς ὑψηλοὺς τὸν νοῦν κηρύττειν καὶ διαγγέλλειν σαφῶς ἐξείργουσα, τοῦτο τὸ ἔργον· [*cod.* τούτων τὸ ἔργον] ἡμᾶς τοὺς χαμαιζήλους ποιεῖν κατηνάγκασεν· οὐκ ἐπὶ πάντων δὲ (τοῦτο γὰρ ἦν παντελῶς καὶ ἀμήχανον), ἀλλ' ἐφ' ἑνὸς αὐτοῦ προτερήματος· οὐδ' ὅπως δι' ἐγκωμίων αὐτὸν καταστέψωμεν· ποῦ γάρ μοι τοσαύτη χρυσέων ἐπῶν περιουσία, ὡς ἂν χρυσογραφήσαιμι (2), τὰς δίκην πολυανθοῦς λειμῶνος ἐξανθούσας τῶν ἀρετῶν αὐτοῦ λαμπρότητας καὶ τερπνότητας; ποῦ γὰρ θήσω τὴν τῆς βασιλείας πάνσοφον πηδαλιουχίαν; ποῦ δὲ τὴν τῆς Ἐκκλησίας εἰρηναίαν τε καὶ ἀτάραχον διαγωγήν; ποῦ δὲ τὴν τῆς

A

PROGRAMMA.

1. Cum tantus supraque nostram æstimationem sit meritorum cumulus dilectissimi Deo imperatoris, verbis quidem illorum sublimitatem ornare, aut mensura aliqua eorumdem infinitatem comprehendere, prorsus non valebimus. Sed enim ille qui omnem mentem ad admirandum rapit stupor, et ad prædicandos excelsi animi viros palamque commendandos impellit, is me quoque humi repentem mortalem ad hoc opusculum componendum adegit. Neque tamen de gestis omnibus dicam, hoc enim nullatenus fieri potest, sed de uno ipsius principali facinore; neque laudibus imperatorem coronabo; namque undenam mihi aureorum verborum copia, ut splendorem ac suavitatem virtutum ejus, quæ prati instar variis floribus luxuriantis sunt, auro conscribam? Quid enim de ejus sapientissima regnandi arte dicam? quid de Ecclesiæ imperturbata et pacifica administratione? quid de generali rei-

B

(*) In codicibus scribitur Μωάμεδ, Μωάμεθ, Μωάμετ, Μαχούμεδ. Primam scripturam in Latinitate mea sequor (in quam incidit et secunda, ut ex Θεὸς, *Deus*), quanquam Nicetas tertiam tenet.

(1) Vocabulum evanidum.

(2) Respicit morem scribendi auro in pergamenis, regii præsertim argumenti aut divini, cujusmodi splendida exemplaria in codicum bibliothecis supersunt.

Digitized by Google

publicæ recta legislatione? quid de ejus patientiæ ac benignitatis pelago? quid de beneficentiæ ac liberalitatis imbribus? quid de orthodoxo fidei dogmate? quid demum de apostolica, ut ita dicam, Evangelii Christi prædicatione? Etenim non contentus imperator infausta barbarorum corpora in fugam vertere, nisi etiam rebelles Deo animas, ceu gladio ancipiti, veritatis verbo dissecet; Arabes quoque ad veram religionem vocat, doctrinæ veræ argumentis absurdam fallacemque vulnerans impietatem: confidens scilicet auctori victoriarum Christo Deo nostro, quem illi maledictis pulsant, fore ut post illorum blasphemiæ refutationem, de impiis quoque ipsorum exercitibus, militaribus suis expeditionibus triumphet. Quamobrem id, quod imperator opere efficiet, ignavi nos tanquam in palæstra verbis ludemus: et quod ille quotidie factis peragit, nuda nos sed magnisonante oratione prædicare proposuimus. Utinam vero bonorum omnium arcarius et dator Dominus, Christi amanti imperatori salutem animæ corporisque largiatur, ut diu vivat et de hostibus victorias referat, nostramque simul linguam roboret, ut prout pia Christianorum fide dignum est loquatur, et barbaricam impietatem refellat. Quod precibus gloriosissimæ Deiparæ et omnium sanctorum fiat! Amen.

πολιτείας καθολικὴν εὐνομίαν; ποῦ δὲ τὸ τῆς ἀνεξικακίας καὶ προσηνότητος πέλαγος; ποῦ δὲ τοὺς τῆς εὐποιΐας καὶ εὐεργεσίας ὄμβρους; ποῦ δὲ τὸ ὀρθόδοξον τοῦ τῆς πίστεως δόγματος; ποῦ δὲ τὸ ἀποστολικόν, ὡς εἰπεῖν, τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ κήρυγμα; Οὐκ ἀνεχόμενος γὰρ βάρβαρα σώματα μόνον τροποῦσθαι πανάθλια, εἰ μὴ καὶ ψυχὰς θεομάχους ὡς διστόμῳ τῷ τῆς ἀληθείας λόγῳ διχάσειεν, μεταχαλεῖται καὶ τοὺς Ἄραβας πρὸς εὐσέβειαν, διὰ τοῦ ἐξ ἀληθείας λόγων ἐλέγχου τὴν παράλογον καὶ ἠπατημένην κατατοξεύων ἀσέβειαν. ἅτε δὴ πεποιθὼς ἐπὶ τὸν νικοποιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν τὸν παρ' ἐκείνων βλασφημούμενον, ὅτι τῷ ἐκ τῶν ἀληθῶν ἀνατροπῶν ἐλέγχῳ, τῆς αὐτῶν βλασφημίας, καὶ ἡ κατὰ τῶν παρανόμων αὐτῶν στρατευμάτων, διὰ τῶν αὐτοῦ στρατηγημάτων ἐπακολουθήσει νίκη· ὅθεν τὸ ἔργῳ περατωθὲν τῷ θεόφρονι βασιλεῖ, λόγοις ἡμεῖς οἱ νωθεῖς γυμνάσαι προήχθημεν· καὶ ὅπερ αὐτῷ διὰ πραγμάτων ὁσημέραι κατορθοῦται, καὶ γυμνοῖς λόγοις ἡμεῖς μεγαλοφώνως σαλπίζειν προεθυμήθημεν· ἀλλ' ὁ παντὸς ἀγαθοῦ ταμίας καὶ πάροχος Κύριος τῷ μὲν φιλοχρίστῳ βασιλεῖ τὰ σωτήρια ψυχῇ τε καὶ σώματι δαψιλεύσοιτο, ἐκτάσει ζωῆς χρόνων, καὶ νίκαις ταῖς κατ' ἐχθρῶν ἐπιστέφων, καὶ τὴν ἡμῶν γλῶσσαν νευρώσειεν, τῆς μὲν τῶν Χριστιανῶν εὐσεβοῦς πίστεως εἰπεῖν τι ἐπάξιον, τὴν δὲ βάρβαρον ἀπελέγξαι δυσσέβειαν· πρεσβείαις τῆς ὑπερενδόξου Θεοτόκου καὶ πάντων τῶν ἁγίων γένοιτο. Ἀμήν.

Finis proœmii.

Τέλος τοῦ προοιμίου.

2. HÆC SUNT IN PRÆSENTI OPERE.

β'. ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩΔΕ ΤΩ ΣΥΓΓΡΑΜΜΑΤΙ.

Cap. I. Expositio et demonstratio in primis nostræ veræ et orthodoxæ Christianorum fidei; et insectatio omnium blasphemiarum, quæ Mohamedis Arabis libro continentur; confutatioque simul pravorum ejus dogmatum in primo capitulo.

Κεφ Α'. Ἔκθεσις μετὰ ἀποδείξεως προηγουμένως τῆς ἀληθοῦς καὶ ὀρθοδόξου ἡμῶν τῶν Χριστιανῶν πίστεως· καὶ καταδρομὴ πασῶν τῶν ἐμφερομένων δυσφημιῶν τῇ τοῦ Ἄραβος Μωάμετ βίβλῳ· καὶ ἔλεγχος κατὰ ταυτὸ τῶν ἐν τῷ πρώτῳ λόγῳ κακῶς δοκούντων αὐτῷ.

II. Confutationes falsorum ejus dogmatum sexdecim.

Β'. Ἐλεγκτικοὶ τῶν ψευδωνύμων αὐτοῦ λόγων δέκα ἕξ.

XVIII. Expositio et profligatio impie ab eo dictorum specialiter in subsequentibus sparsim cunctis impuris capitulis.

ΙΗ'. Ἔκθεσις καὶ θρίαμβος τῶν κατ' εἶδος αὐτῷ σποράδην ἐν τοῖς ἑξῆς ἅπασιν ἀσεβῶς κινηθέντων μιαροῖς λόγοις.

XIX. Adversus eumdem, de vocabuli *Verbum* notione.

ΙΘ'. Πρὸς τὸν αὐτὸν ὑπὲρ τῆς τοῦ *Λόγου* ὑπολήψεως.

XX. Adversus eumdem dicentem, Deum esse peccati causam.

Κ'. Πρὸς τὸν αὐτὸν λέγοντα τῆς ἁμαρτίας αἴτιον εἶναι τὸν Θεόν.

XXI. Adversus eumdem dicentem, homines in conjugio victuros post resurrectionem.

ΚΑ'. Πρὸς τὸν αὐτὸν λέγοντα κατὰ συζυγίαν βιοῦντας ἀνθρώπους μετὰ τὴν ἀνάστασιν.

XXII. Adversus eumdem dicentem angelos esse feminas.

ΚΒ'. Πρὸς τὸν αὐτὸν λέγοντα θηλείας εἶναι ἀγγέλους.

XXIII. Adversus eumdem de angelorum intercessione.

ΚΓ'. Πρὸς τὸν αὐτὸν περὶ τῆς τῶν ἀγγέλων πρεσβείας.

XXIV. Adversus eum dicentem, Deum sphæricum esse.

ΚΔ'. Πρὸς τὸν αὐτὸν λέγοντα· Ὁ Θεὸς ὁλόσφαιρός ἐστιν.

XXV. Demonstratio, quod alienus a Dei fœdere sit populus Ismaeliticus.

ΚΕ'. Ἀπόδειξις ὅτι ξένος τῆς τοῦ Θεοῦ διαθήκης ὁ Ἰσμαηλίτης λαός.

XXVI. Adversus Agarenos de circumcisione.

ΚϚ'. Πρὸς Ἀγαρηνοὺς ὑπὲρ τῆς περιτομῆς.

XXVII. De eodem argumento.

ΚΖ'. Εἰς τὸ αὐτό.

XXVIII. De Deo Mohamedis.

ΚΗ'. Περὶ τοῦ Θεοῦ τοῦ Μωάμετ.

XXIX. Quod, etiamsi hi erronei putent se progenitoris Abrahami unicum Deum colere, non tamen oporteat Agarenos a nobis dici Dei cultores.

ΚΘ'. Ὅτι οὐ δεῖ, κἂν δοκῇ τοῖς πεπλανημένοις, τὴν τοῦ προπάτορος Ἀβραὰμ μοναρχίαν ποεσβεύειν, λέγειν ἡμᾶς θεοσεβεῖς Ἀγαρηνούς.

XXX. Adversus Agarenos de jactantia ipsorum.

Λ'. Πρὸς Ἀγαρηνοὺς περὶ τῆς αὐτῶν ἀλαζονείας.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Ἔκθεσις κατασκευαστικὴ μετὰ ἀποδείξεως τοῦ Χριστιανικοῦ δόγματος, ἐκ κοινῶν ἐννοιῶν, καὶ διαλεκτικῆς μεθόδου, καὶ φυσικῶν ἐπιχειρημάτων, καὶ συλλογιστικῆς πολυτεχνίας προαγομένη· καὶ ἀντίῤῥησις καὶ ἀνασκευὴ καὶ ἔλεγχος τῆς ἀλογωτάτης καὶ μυσαρωτάτης βίβλου τῆς παρὰ τοῦ Ἄραβος Μωάμετ πλαστογραφηθείσης, ἤτοι τῆς τῶν Ἀγαρηνῶν ψευδωνύμου πίστεως.

γ'. Πολλῶν ἤδη τῶν εἰς δόξαν Θεοῦ συντρεχόντων ἀρετῆς κατορθωμάτων παρὰ τοῦ φιλαγάθου καὶ Χριστιανικωτάτου ἡμῶν βασιλέως ὁσημέραι διαπραττομένων, μάλιστα δὲ περὶ τὴν εὐσεβῆ εἰς Θεὸν λατρείαν, ἐν καὶ τοῦτο σπουδῆς εἶδος τῷ γαληνοτάτῳ κράτει καθέστηκεν, τὸ ἀπελεγχθῆναι τὴν ἠπατημένην καὶ ἀλογωτάτην δόξαν τὴν πλαστογραφηθεῖσαν ἐν τῇ ἐπονομαζομένῃ τοῦ Ἄραβος Μωάμετ βίβλῳ· ὅθεν τὴν ἡμετέραν ἀναξιότητα, οἷα δὴ ἐλλόγιμον ποσῶς οὖσαν, καὶ εὐνοϊκῶς πρὸς τὴν αὐτοῦ θεοσυγκρότητον βασιλείαν προσκειμένην, προετρέψατο καθ' ὅσον οἷοί τέ ἐσμεν, στηλιτεῦσαι καὶ δεῖξαι μακρὰν τῆς ἀληθείας ὑπάρχουσαν, οὐ μόνον ἐν ταῖς περὶ τὸ Θεῖον σαφέσιν ὑπολήψεσιν, ἀλλὰ καὶ ἐν αὐταῖς παρὰ τοῦ κοινοῦ τῆς ἀνθρωπότητος γένους ῥᾳδίως γινωσκομέναις· τὰς τοίνυν θεοδέκτους καὶ σωσικόσμους εὐχὰς τοῦ αὐτοῦ φιλοχρίστου δεσπότου ἡμῶν καὶ μεγάλου βασιλέως ἐπικαλεσάμενοι, σὺν τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος, καὶ τῷ θώρακι τῆς πίστεως φραξάμενοι, καὶ τοῦ θυρεοῦ τῆς ἐλπίδος δραξάμενοι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου περιβαλόμενοι, τὴν αὐτοῦ προτροπὴν ἐκτελέσαι προήχθημεν. Ἐπειδὴ δὲ διττός ἐστιν ὁ τῆς ἀντιῤῥήσεως λόγος, τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον ἀνατρέποντος, πρότερον τὴν εὐσεβῆ ἡμῶν τῶν Χριστιανῶν πίστιν ἐκ φυσικῶν λογισμῶν, ὡς ἐφικτὸν, μετ' ἀποδείξεως ἐκθέμενοι, τὸ τηνικαῦτα τὰ δοκοῦντα συνηγορεῖν τῷ δυσσεβεῖ αὐτοῦ δόγματι ἀπελέγξαι πειρασόμεθα· τῇ μὲν, φυσικῶς ἐκ τῶν περὶ Θεοῦ κοινῶν ἐννοιῶν· τῇ δὲ, καὶ Γραφικῶς ἐξ ὧν καὶ αὐτὸς ὁ τῆς τοιαύτης βίβλου πλαστογράφος δοκεῖ καταδέχεσθαι· ἄρξομαι δὲ ἐντεῦθεν.

δ'. Ὁ πάνσοφος καὶ φιλάγαθος ἀπειροδύναμός τε καὶ πανάγιος Θεὸς, τὴν τοῦ κόσμου σύστασίν τε καὶ οὐσίωσιν ἐξ οὐκ ὄντων παράγων, ἤτοι ἐν δυνάμει δυνατὸς ὢν ταύτην ἐδημιούργησέν τε καὶ παρήγαγεν, ἢ οὐκ ἐν δυνάμει δυνατὸς ὤν· εἰ μὲν οὐκ ἐν δυνάμει, ψευδεῖς αἱ κατειθισμέναι περὶ Θεοῦ τοῖς ἀνθρώποις ἀκριβεῖς καὶ κοιναὶ ἔννοιαι, λεγόμεναί τε καὶ κρατούμεναι· καὶ πῶς ἂν ὁ αὐτὸς τὰ τῇδε συνέδησέν τε καὶ συνήρμοσεν, καὶ εἰς οὐσίωσιν παρέστησεν; ἢ πῶς ὁ αὐτὸς παρακτικός; τε καὶ δημιουργὸς ἂν εἴη, καὶ τὸ τῆς δημιουργίας ὄνομα, ἤτοι τῆς τοιᾶσδε ἐνεργείας, ἀραρότως ἐπ' αὐτὸν ἐπιτεθείη, ἐπ' ἂν αὐτὸς ἐν ἀδυναμίᾳ καὶ ἀσθενείᾳ φύσεως περιγράφηται, καὶ ὡς ἀδύνατος Θεὸς λογίζηταί τε καὶ πιστεύηται; Τὸ γὰρ Θεὸς ὄνομα, οὐκ ἄλλου τινὸς, ὡς ἔγωγε οἶμαι, ἀλλ' ἢ τῆς δημιουργικῆς ἐνεργείας σημαντικόν τε καὶ παραστατικὸν ἂν εἴη· εἴπερ τὸ

CAPUT PRIMUM.

Expositio, cum argumentis et demonstratione, Christiani dogmatis, ex communibus notionibus, et dialectica methodo, necnon naturalibus argumentis, varioque syllogistico artificio, deducta. Confutatio simul et eversio atque coargutio insulsissimi ac nefandissimi ab Arabe Mohamede conficti libri, sive pseudonymæ Agarenorum fidei.

3. Inter tot bona virtutis opera, ad Dei gloriam redundantia, quæ ab optimo et Christianissimo imperatore nostro quotidie fiunt, præcipue circa verum Dei cultum, hæc quoque serenissimæ ejus majestati peculiaris cura inest, ut coarguatur mendaxque et portentosa demonstretur erronea illa et absurdissima doctrina, quæ fallaci libro Mohamedis Arabis nomen gerente continetur. Quamobrem nostram indignitatem, ceu clari aliquantulum nominis, et qui ejus a Deo electæ majestati devoti sumus, hortatus est, ut pro viribus diffamaremus, atque a veritate abhorrentem doctrinam hanc demonstraremus, non solum in manifestis circa Deum conceptibus, verum etiam in communibus et universo hominum generi facile obviis notionibus. Igitur imploratis ejusdem Christophili domini nostri, magni imperatoris, Deo acceptis mundoque salutaribus precibus, cum Spiritus sancti virtute, fidei lorica tecti, spei scuto sumpto, galeaque salutis muniti, mandatum ejus exsequi aggredimur. Et quia duplex est antirrheticæ orationis pars, una quæ proprium assumptum comprobat, altera quæ contrarium refutat; nos quidem piam nostram Christianorum fidem naturalibus ratiociniis qua majore fieri poterit evidentia ostendemus; deinde argumenta quæ impiæ doctrinæ favere videntur, coarguere conabimur; modo naturaliter ex communibus de Deo notionibus, modo Scripturæ testimoniis, quam ipse hujus falsi libri auctor videtur admittere. Hinc autem initium capiam.

4. Sapientissimus et bonitatis amator, omnipotens et sanctissimus Deus, qui mundi hujus constitutionem et exsistentiam ex non exstantibus produxit, vel potentia præditus hanc effecit creationem et productionem, vel ea potentia carebat. Atqui si potentia caruit, falsæ sunt consuetæ illæ hominibus de Deo accuratæ et communes notiones, quæ dici solent et vulgo dominantur. Nam quomodo is mundana hæc compegisset et conformasset, et ad exsistentiam perduxisset? Vel quomodo idem operator esset atque creator, eique creationis et quidem tantæ operationis denominatio congruenter attribueretur, si impotentia naturæque infirmitate limitaretur, Deusque impotens reputaretur et crederetur? Nam *Dei* nomen haud alius rei, ut ego arbitror, nisi creatricis efficaciæ significativum est et demonstrativum, quoniam ipsa certe deitas, hac

Digitized by Google

ratione considerata, innominabilis est, inenarrabilis, atque inexplicabilis. Etiamsi enim multis peculiariter in divina natura *Dei* nomen tanquam proprium videtur, haud apte ita accipitur : namque ex hoc nomine prorsus et potentiæ idea necessario in nobis conficitur : siquidem omnis operatio haud absque potentia est, ut facta testantur. Si ergo Deus, ut supponitur, absque potentia mundum produxit, exploratum est eum potentia carere. Qui autem potentia caret, idem a creando prohibetur : qui vero a producendo et creando prohibetur, idem etiam quominus Deus sit dicaturque prohibetur. Concluditur ergo ut Deus minime Deus sit; quod est irreligiosum.

A Θεῖον κατὰ τὸν τοῦτί ἐστι λόγον, ἀκατονόμαστόν τε καὶ ἀνέκφραστον καὶ ἀνερμήνευτον καθίσταται· κἂν τοῖς πολλοῖς ἰδιαζόντως ἐπὶ τῆς θείας φύσεως τοῦτὶ τὸ Θεὸς ὄνομα, ὥσπερτι κύριον σημαντικὸν, οὐ προσφυῶς ἐξείληπται, ἐξ οὗ ὀνόματος πάντως καὶ δύνασθαι ἡμῖν ἐξ ἀνάγκης συναναφύεται· εἴπερ πᾶσα ἐνέργεια μετὰ δυνάμεως (3)· καὶ μαρτυρεῖ τὰ πράγματα· εἰ οὖν ὁ Θεὸς, ὡς ὑπετέθη, οὐκ ἐν δυνάμει τὸν κόσμον παρήγαγεν, φανερὸν ὅτι ἐστέρηται τοῦ δύνασθαι· ὃ δὲ ἐστέρηται τοῦ δύνασθαι, ἐστέρηται καὶ τοῦ παράγειν· ὃ δὲ ἐστέρηται καὶ τοῦ παράγειν καὶ δημιουργεῖν, ἐστέρηται τοῦ εἶναι Θεός τε καὶ λέγεσθαι· συνάγεται ἄρα ὅτι ὁ Θεὸς οὐ Θεός· ὅπερ ἀσεβές.

5. Et aliter : Si agere, non sine potentia est ; id quod potentia caret, agendi quoque vi naturali caret ; quod autem naturaliter non potest agere, ne producit quidem ; quod autem vi propria ex nihilo non producit, ne Deus quidem est : ergo Deus non est Deus ; quod omni blasphemia plenum est. Si itaque Deum absque potentia creasse, sermo noster impossibile blasphemumque demonstravit ; superest ut verum firmumque sit, eum propria potentia posse, cujus rei testis est evidentia. Quoniam itaque cum potentia Deus mundum produxit, suaque sapientia omnia gubernat, ut ipsi etiam Agareni prorsus concedent, exploratum est, eum esse potentem. Omnis vero potens potentiam habet qua potens est, et qua tanquam potens agit, et cujus causa is potens dicitur. Conficitur ergo, ut quia Deus cum potentia mundum produxit, potentiam habeat, qua potens est, et qua agit, et cujus causa potens esse videtur. Quod si ita est, utique potentia quæ habetur, diversa ab habente erit. Nulla enim res et habere simul et haberi secundum idem dicitur ; sicuti non est idem qui videt, et res visa ; neque qui pulsat, et qui pulsatur; nec qui cognoscit idem est ac cognitus, nec qui scribit idem est, quod scribitur. Quare patet, haud ipsum Deum quodammodo dici potentiam, qua potens est, quatenus potentiam habet, et quatenus per illam agit ut actor atque creator. Quod si hoc verum est, uti reapse verum est, ergo per unam solam simplicemque potentiam, universum mundum Deus existentia donavit creavitque. Porro hæc potentia vel limitata est, vel infinita ; vel etiam plures sunt, hæque limitatæ aut infinitæ. Si ergo egit per unam, solam ac limitatam, evidens est absurditas, quod limitata potentia Deus res mundanas produxerit et conservet. Atqui omne quod cum limitata potentia producit, termino mensuraque contineri necesse est, tam quantitate scilicet factæ rei quam qualitate. Quod si ita se habet, deficiet etiam aliquando. Nam quod limitatum est, id infinito tempore perdurare nequit.

ε'. Καὶ ἄλλως· Εἰ τὸ ποιεῖν, μετὰ δυνάμεως, τὸ B μὴ ἐν δυνάμει, οὐδὲ πέφυκε ποιεῖν· ὃ δὲ οὐ ποιεῖ, οὐδὲ πέφυκεν, οὐδὲ παράγει· ὃ δὲ οὐ παράγειν πέφυκεν ἐκ μὴ ὄντων, οὐδὲ Θεός· ὁ Θεὸς ἄρα οὐ Θεός· ὅπερ ἐστὶ πάσης βλασφημίας ἀνάμεστον. Εἰ οὖν τὸ μὴ ἐν δυνάμει τὸν Θεὸν παράγειν ὁ λόγος ἔδειξεν ἀδύνατόν τε καὶ βλάσφημον, λείπεται τὸ ἐν δυνάμει δυνατὸς ὢν ἀληθές τε καὶ βέβαιον· καὶ μάρτυς ἡ ἐνάργεια [*ita cod.*]. Ἐπεὶ οὖν ἐν δυνάμει ὁ Θεὸς τὸν κόσμον παρήγαγεν, καὶ τῇ σοφίᾳ αὐτοῦ τὸ πᾶν διακυβερνᾷ, ὡς καὶ αὐτοὶ πάντως οἱ ἐκ τῆς Ἄγαρ φήσαιεν· φανερὸν ὅτι δυνατός ἐστιν· πᾶς δὲ δυνατὸς δύναμιν ἔχει καθ' ἣν ἐστι δυνατὸς, καὶ δι' ἧς ποιεῖ ὡς δυνατὸς, καὶ ἐπ' αὐτὸν τὸ δύνασθαι λέγεται· συνάγεται ἄρα ὅτι ὁ ἐν δυνάμει Θεὸς τὸν κόσμον C πράξας, δύναμιν ἔχει καθ' ἣν ἐστι δυνατὸς, καὶ δι' ἧς ποιεῖ, καὶ τὸ δύνασθαι ἐπ' αὐτὸν λέγεται· εἰ δὲ τοῦτο, καὶ ἑτέρα πως ἂν εἴη ἡ ἐχομένη δύναμις τοῦ ἔχοντος· οὐδὲν γὰρ τῶν ὄντων αὐτὸ ἑαυτοῦ κατὰ ταυτὸν, ἔχειν τε καὶ ἔχεσθαι δοκεῖ· ὥσπερ οὐδὲ τὸ αὐτὸ ὁρῶν τε καὶ ὁρώμενον, τύπτον τε καὶ τυπτόμενον, γινωσκόν τε καὶ γινωσκόμενον, γράφον τε καὶ γραφόμενον· ὥστε δῆλον ὅτι τρόπον τινὰ, οὐκ αὐτός τε ὁ Θεὸς δύναμις λέγεται, καθ' ἣν ἐστι δύνατὸς, ὡς ἔχων δύναμιν, καὶ δι' ἧς ποιεῖ ὁ ποιητής τε καὶ δημιουργός· εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ οὖν καὶ ἀληθὲς, ἄρα γε κατὰ μίαν μόνην καὶ ἁπλῆν δύναμιν, πάντα τὸν κόσμον ὁ Θεὸς οὐσίωσέν τε καὶ δεδημιούργηκεν· καὶ ταύτην πεπερασμένην, ἢ ἄπειρον· ἢ κατὰ πλείονας, καὶ ταύτας πεπερασμένας ἢ ἀπεί- D ρους. Εἰ μὲν οὖν κατὰ μίαν μόνην καὶ πεπερασμένην, σκοπεῖν ἔστι τὸ ἄτοπον· ὁ Θεὸς πεπερασμένῃ δυνάμει, τὰ τῇδε παρήγαγέν τε καὶ περισώζει· πᾶν δὲ τὸ πεπερασμένῃ δυνάμει παράγον, συνορίζεσθαι ἀνάγκη καὶ συμμετρεῖσθαι, τῷ τε ποσῷ καὶ ποιῷ τῶν γινομένων· εἰ δὲ τοῦτο, καὶ συνεκλείψει· τῷ γὰρ πεπερασμένῳ, ἐν ἀπείρῳ χρόνῳ διαρκεῖν οὐ πρόσεστιν.

6. Et aliter : Si ergo Deus limitata unaque potentia creat omnia quæ facta sunt, patet eum ipsum

ς'. Καὶ ἄλλως· Εἰ οὖν ὁ Θεὸς πεπερασμένῃ καὶ μιᾷ δυνάμει δημιουργεῖ πάντα τὰ γενητὰ, δῆλον ὅτι

(3) Reapse in Etymologico magno, Θεὸς παρὰ τὸ Θῶ, τὸ κατασκευάζω καὶ ποιῶ· ὁ πάντων ποιητὴς, καὶ τῆς τῶν πάντων κατασκευῆς αἴτιος, γίνεται θὸς καὶ Θεός. *Deus a verbo* θῶ, *quod est construo et facio. Rerum omnium factor, et omnis constructionis auctor, fit* θὸς *et* Θεός.

Digitized by Google

καὶ πεπερασμένῃ δυνάμει ἐν τῷ εἶναι χαρακτηρίζεται· εἰ δὲ τοῦτο, καὶ οὐκ ἀΐδιος· συνάγεται ἄρα ὁ Θεὸς οὐκ ἀΐδιος, ὅπερ ἐστὶν ἄτοπον· εἰ δ' αὖ κατὰ πλείονας πεπερασμένας δυνάμεις ὁ Θεὸς παράγει πάντα τὰ γενητά, κατ' οὐδέν ἐστι τὸ Θεῖον ἀπειροδύναμον· καὶ εἰς ταυτὸν συνδραμεῖται τῇ προτέρᾳ ὑποθέσει, δι' ἑκατέρας ὑποθέσεως· καὶ συνάγεται τὸ κατὰ μηδὲν εἶναι τὸ Θεῖον ἀπειροδύναμον. Ἐπεὶ οὖν ὁ αἰὼν οἱονεὶ δύναμίς ἐστιν ἄπειρος, ἢ οἱονεὶ διάστημα ἄπειρον, καθὰ τοῖς ἐπιστήμοσιν καὶ τῇ ἀληθείᾳ δοκεῖ, φανερὸν ὅτι τὸ αἰώνιον, καὶ ἀπειροδύναμον· ἔστιν οὖν συλλογίσασθαι οὕτως· Εἰ τὸ αἰώνιον ἀπειροδύναμον, ὅπερ οὖν οὐκ ἔχει δύναμιν ἄπειρον, τοῦτο οὐδὲ αἰωνιόν ἐστιν· εἰ οὖν κατ' οὐδεμίαν τῶν ἑκατέρων ὑποθέσεων, ὁ Θεὸς ἄπειρον ἔχει δύναμιν, κατ' οὐδέν ἐστιν αἰώνιος· εἰ δὲ μή ἐστιν αἰώνιος, ὑπὸ χρόνον ἐστὶν ἐξ ἀνάγκης· τῶν γὰρ ὄντων τὰ μέν ἐστιν αἰώνια, τὰ δὲ ὑπὸ χρόνον· καὶ πῶς ὑπὸ χρόνον ὁ τῶν χρόνων δημιουργός; εἰ δὲ τοῦτο, καὶ ἀρχὴν ἔχει καὶ τέλος· καὶ ἄλλο τι αὐτῷ ἔσται τοῦ εἶναι καὶ τῆς ὑπάρξεως αἴτιον· καὶ περὶ ἐκείνου τὰ αὐτὰ ἀπορήσομεν· καὶ τοῦτο ἐπ' ἄπειρον, ὅπερ ἐστὶν ἄτοπον. Λείπεται ἄρα τῶν λοιπῶν δύο τὴν ἑτέραν ἀληθῆ εἶναι, τῆς φασκούσης μίαν καὶ ἄπειρον, καὶ τῆς πολλάς τε καὶ ἀπείρους· ἀλλ' ὅτι μὲν πλείονας δυνάμεις καὶ ἀπείρους, δι' ἃς δημιουργεῖ τὸν κόσμον ὁ Θεὸς, λέγειν ἐπὶ Θεοῦ ἀνοίκειόν ἐστιν διὰ τὴν παντελῆ τοῦ Θεοῦ ἁπλότητα, φανερὸν ὅτι μίαν καὶ ἄπειρον καὶ κατὰ πάντα ἀπειροδύναμον, ὅπερ καὶ μᾶλλον ἀληθές ἐστι, καὶ ταῖς κοιναῖς ἐπὶ Θεοῦ ἐννοίαις ἁρμόττον. Ἐπεὶ οὖν ὁ λόγος ἐκ κοινῶν ἐννοιῶν καὶ ἡμῖν κατειθισμένων καὶ δι' ἐπιστημονικῶν ἐπιχειρήσεων ἔδειξεν ὅτι κατὰ μίαν μόνην καὶ ἁπλῆν καὶ κατὰ πάντα ἀπειροδύναμον δύναμιν, ὁ Θεὸς τὸ δυνατὸς εἶναι ἔχει, καὶ δι' αὐτῆς ποιεῖ ὅ ποιεῖ, καὶ τὸν κόσμον οὐσίωσέν τε καὶ παρήγαγεν, καὶ ἐπ' αὐτὸν τὸ δύνασθαι λέγεται· αὕτη οὖν ἡ δύναμις, ἢ ποτέ ἐστιν ἐν τῷ Θεῷ, ἢ ἀεί· ἀλλ' εἰ μὲν ποτὲ, ἔσται ὁ Θεὸς ποτὲ ἀδύναμος καὶ ἀνίσχυρος τοῦ δημιουργεῖν τε καὶ πράγειν· καὶ γὰρ ἐφ' ὧν ἡ δύναμις ποτὲ οὐ πρόσεστιν, τούτων καὶ τὸ ποτὲ ποιεῖν διακεχώλυται· εἰ δὲ τοῦτο, καὶ οὐ σύνδρομον τὸ δύνασθαι θέλειν, καὶ πῶς διοίσει τῆς γενητῆς φύσεως, ἐπ' ἂν τὸ δύνασθαι αὐτῷ οὐκ ἀεὶ πρόσεστιν; ἀλλὰ καὶ μάτην ἡ κοινὴ ἔννοια ἐπερειδομένη τοῦτο κατέχει, τὸ πάντα τὸν Θεὸν δύνασθαι, καὶ ὅτε θέλει καὶ ὅτε βούλεται.

nonnisi ex limitata potentia exsistentiam propriam habere videri. Quod si ita est, non est sempiternus. Colligitur ergo Deum non esse sempiternum; quod est absurdum. Sin vero Deus per plures limitatas potentias creaturam omnem producit, nulla in Deo infinita potentia est, eodemque ut antea argumentum recidit in utraque hypothesi; conficiturque ut Deus nulla in re sit omnipotens. Quia ergo æternitas est quædam veluti infinita potentia, vel infinitum quoddam spatium, ut sapientibus et ipsi veritati placet, constat id quod æternum est, idem esse etiam omnipotens. Sic itaque argumentari licet: Si quod æternum est, idem omnipotens, sequitur ut quod non habet potentiam infinitam, idem ne æternum quidem sit. Si ergo in neutra hypothesi Deus infinitam habet potentiam, nullo modo est æternus. Quod si non est æternus, necessario tempori obnoxius est. Nam rerum exsistentium aliæ æternæ sunt, aliæ tempore circumscriptæ. Quomodo autem tempore sit circumscriptus is qui temporum est creator? Quod si ita sit, et initium habet et finem; et aliud aliquid ei erit exsistentiæ subsistentiæque causativum: et rursus de hoc ipso eodem modo ambigemus; et hoc in infinitum; quod est absurdum. Reliquum est igitur, ut alterutra ex duabus vera sententia sit; id est, vel illa quæ unam dicit immensamque potentiam; vel altera quæ plures et immensas. Sed enim quia plures potentias et immensas dicere, quibus mundum Deus condiderit, Deo improprium est, propter omnimodam deitatis simplicitatem; profecto patet unam immensamque esse potentiam, et quaqueversus omnipotentem; quod et verius est, et communibus de Deo notionibus congruum. Quoniam itaque sermo noster ex communibus nobisque consuetis notionibus scientiæque argumentis ostendit, unam, solam, simplicemque, et quaqueversus omnipotentem esse facultatem illam, qua Deus potens est, et qua id agit quod agit, mundoque subsistentiam contulit; hæc, inquam, potentia, vel aliquando in Deo est, vel semper. Sed si aliquando tantum, Deus erit aliquando impotens et invalidus ad creandum ac producendum. Nam quibus in rebus interdum ei potentia deest, eas quominus faciat interdum prohibebitur. Quod si ita est, neque semper comitatur voluntatem potentia, quomodo Deus a creata natura differet, quandoquidem ei potentia haud semper adest? Temere igitur communis notio hoc mordicus tenet, videlicet Deum omnia posse quotiescunque ita vult ac decernit.

ζ'. Καὶ ἄλλως· Εἰ οὖν ὁ Θεὸς, ὡς ἔφαμεν, ποτὲ ἔχει τὴν αὐτοῦ δύναμιν, δῆλον ὅτι ἐπίκτητον αὐτὴν εἰσδέχεται, εἴπερ ὁ Θεὸς ἀεί ἐστιν· πᾶν δὲ τὸ ἐπικτήτως δεχόμενόν τι, ὕστερον τοῦ εἶναι αὐτὸ δέχεται, καὶ κατὰ προκοπὴν καὶ ὡς ἐλλιπὲς τοῦτο δέχεται· συνάγεται ἄρα ὅτι ὁ Θεὸς ἔσται ποτὲ ἀτελὴς καὶ κατὰ προκοπὴν τελειούμενος· ὅπερ ἐστὶ καὶ λέγειν καὶ ἐννοεῖν ἐπὶ Θεοῦ βλάσφημον. Καὶ ἄλλως· Εἰ ἡ δύναμις τοῦ Θεοῦ αὐτῷ ποτε πρόσεστιν, ὕστερον αὐτὴν εἴληφεν· εἰ δὲ τοῦτο, ἤτοι παρ' ἑαυτοῦ ταύτην

7. Et aliter: Si ergo Deus, ut diximus, aliquando tantum potentiam suam habet, apparet hanc acquisitam recipere; quandoquidem Deus semper est. Jam omnis qui acquisitum aliquid recipit, nonnisi postquam ipse est, illud recipit; et quidem incrementi instar, quod antea desiderabat. Colligitur itaque Deum esse aliquando imperfectum, et incrementis perfici; quod de Deo dicere et cogitare blasphemum est. Item aliter: Si Dei potentia ipsi aliquando tantummodo inest, hanc nonnisi deinde

Digitized by Google

accepit. Quod si ita est, vel a se ipso eam accepit vel ab alio. Jam si a se ipso accepit, vel tanquam jam habens eam accepit, vel secus. Sed siquidem tanquam non habens, nunquam hanc accipiet. Nam qui est ineptus ad faciendum aliquid, hoc ipsum scilicet facere non potest. Quod si tanquam habens accepit, primo quidem quid obstat, ut quoniam sempiternus erat, potentia quoque præditus esset? Deinde hinc exsisteret potentia potentiæ, multæque in Deo potentiæ fierent; quod æque manifeste negandum est. Jam si a se ipso hanc potentiam non accepit, superest ut ab alio. Sed si ab alio, utique vel ab æquali vel a minore vel a meliore. Quod quidem a nemine acceperit, inde constat, quia quod perficitur, a meliore perficitur : quod autem minus est, deterius est; et æquale, similiter. Atqui nemo Deo melior est; nam si hoc quisquam fieri posse concedat, erit Dei Deus, itemque alius Deus; idque in infinitum procedet. Igitur nequaquam Deus ab alio potentiam suam recepit.

8. Quoniam itaque Deus neque a se ipso, multoque minus ab alio potentiam suam recipit, patet ipsum habere illam congenitam. Est autem ipse semper; ergo et ipsius sapientia, qua potens est, et qua operatur, semper est. Quod si æterna, est etiam perpetua et intemporalis. Jam quod semper est, id æternum est et perpetuum et intemporale et increatum et non factum. Colligitur ergo, potentiam Dei, qua potens est, et qua agit, et sine qua nihil agit, infectam esse atque increatam. Jam vero non factum a non facto, quatenus non est factum, et increatum ab increato, quatenus non est creatum, natura nihil inter se differunt; quod si non differunt, idem sunt; et si idem, ejusdem quoque naturæ sunt, consubstantialia, et quidquid ejusmodi est. Atqui Deus est infectus et increatus; ergo æque potentia ejus. Porro unum est infectum natura et increatum, sicut communes notiones accurate tenent : colligitur ergo, ut Dei potentia, qua dicitur potens, et qua agit, et sine qua nihil agit, consubstantialis et ejusdem naturæ cum Deo sit. Quæ si ita se habent, ipsa quoque potentia Deus est. Age vero quod ex his haud duo dii consurgant, ut Agareni stulte nobis inclamant, subsequens nostra oratio demonstrabit; cum ipsum quoque Spiritum, qui in Deo est, tanquam ejusdem naturæ et consubstantialem Deo ejusque potentiæ, quæ et Sapientia et Verbum Dei potentia, qua dicitur potens, et qua agit, et sine qua nihil agit, quæque et Verbum Dei et sapientia dicitur, ut vestra quoque scriptura testatur; quod hæc, inquam, potentia, non sit alienæ substantiæ, ac veluti accidens, ut vos dicitis, sed ejusdem potius naturæ et consubstantialis Deo, utpote non facta et increata, id hac ratione fit evidens.

9. Deus simplicissimus est, et cuilibet compositioni compositæve notioni superior, ut communis

A εἴληφεν, ἢ παρ' ἑτέρου· ἀλλ' εἰ μὲν παρ' ἑαυτοῦ, ἤτοι ὡς ἔχων δύναμιν ταύτην εἴληφεν, ἢ ὡς μὴ ἔχων· ἀλλ' εἰ μὲν ὡς μὴ ἔχων, οὐδέποτε ταύτην λήψεται· καὶ γὰρ τὸ 'ἀδυνάτως ἔχον πρὸς τὸ ποιεῖν τι, ἀδύνατόν ἐστι τοῦτο ποιεῖν· εἰ δὲ ὡς ἔχων, πρῶτον μὲν τί τὸ κωλύον ἐξότε ἦν ἀΐδιος, μὴ καὶ τὸ δύνασθαι ἔχειν; ἔπειτα καὶ εὑρεθήσεται τῆς δυνάμεως δύναμις, καὶ πολλαὶ δυνάμεις ἐπὶ Θεοῦ, ὅπερ καὶ τοῦτο σαφῶς ἐλήλεγκται· οὐκ ἄρα παρ' ἑαυτοῦ ταύτην εἴληφεν, λείπεται παρ' ἑτέρου· ἀλλ' εἰ μὲν παρ' ἑτέρου, ἤτοι ἀπὸ ἴσου ἢ ἀπ' ἐλάττονος, ἢ ἀπὸ κρείττονος· ἀλλ' ὅτι μὲν οὐκ ἀπ' οὐδενὸς τοῦτο ἐνδέχεται, ἐντεῦθεν δῆλον· τὸ μὲν γὰρ τελειούμενον, ἀπὸ κρείττονος τελειοῦται· τὸ δὲ ἔλαττον, χεῖρόν ἐστι· καὶ τὸ ἴσον ὅμοιον· κρειττων δὲ πάλιν Θεοῦ B οὐκ ἔστιν· εἰ γὰρ τοῦτο δοίη τις, ἔσται τοῦ Θεοῦ Θεὸς, καὶ πάλιν ἄλλος Θεὸς, καὶ τοῦτ' εἰς ἄπειρον· οὐκ ἄρα ὁ Θεὸς παρ' ἑτέρου τὴν αὐτοῦ δύναμιν εἴληφεν.

η'. Ἐπεὶ οὖν ὁ Θεὸς οὔτε παρ' ἑαυτοῦ, οὔτε πολλῷ μᾶλλον παρ' ἑτέρου τὴν αὐτοῦ δύναμιν εἰσδέχεται, δῆλον ὅτι σύμφυτον αὐτὴν ἔχει· ἔστι δὲ αὐτὸς ἀεὶ, καὶ ἡ αὐτοῦ δύναμις, καθ' ἣν ἐστι δυνατὸς, καὶ δι' ἧς ποιεῖ, ἀεί ἐστιν· εἰ οὖν ἀεί ἐστι, καὶ αἰώνιός ἐστι· εἰ δὲ αἰώνιος, καὶ ἀΐδιος καὶ ἄχρονος· πᾶν δὲ τὸ ἀεὶ ὄν, καὶ αἰώνιον καὶ ἀΐδιον καὶ ἄχρονον καὶ ἄκτιστον καὶ ἀγένητόν ἐστι· συνάγεται ἄρα ὅτι ἡ δύναμις τοῦ Θεοῦ καθ' ἣν ἐστι δυνατὸς, καὶ δι' ἧς ποιεῖ, καὶ ἧς χωρὶς οὐδὲν ποιεῖ, ἀγένητος καὶ ἄκτιστός ἐστιν· C ἀγένητον δὲ ἀγενήτῳ, καθ' ὃ οὐ γέγονεν· καὶ ἄκτιστον ἀκτίστῳ, καθ' ὃ οὐκ ἔκτισται, κατὰ φύσιν οὐδὲν διοίσει· εἰ δὲ οὐδὲν διοίσει, ταυτόν ἐστιν· εἰ δὲ ταυτὸν, καὶ ὁμοφυὲς καὶ ὁμοούσιον καὶ ὅσα τούτοις ὅμοια· ἔστι δὲ καὶ ὁ Θεὸς ἀγένητος καὶ ἄκτιστος, ἔστι δὲ καὶ ἡ αὐτοῦ δύναμις· ἓν δὲ τὸ ἀγένητον καὶ ἄκτιστον τῇ φύσει, ὡς αἱ κοιναὶ ἔννοιαι ἀκριβῶς ἔχουσι· συνάγεται ἄρα ὅτι ἡ δύναμις τοῦ Θεοῦ καθ' ἣν λέγεται δυνατὸς, καὶ δι' ἧς ποιεῖ, καὶ ἧς χωρὶς οὐδὲν ποιεῖ, ὁμοούσιός ἐστι καὶ ὁμοφυὴς τῷ Θεῷ· εἰ δὲ τοῦτο, καὶ αὕτη Θεός· καὶ ὅτι κἀκ τούτων οὐ δύο θεοὶ, ὡς αὐτοὶ ἀλόγως ἡμᾶς ἐπιφημίζουσι, παρακατιὼν ὁ λόγος δείξει, ὅτι καὶ τὸ Πνεῦμα καὶ αὐτὸ ἐν τῷ Θεῷ ὡς ὁμοφυὲς καὶ ὁμοούσιον τῷ τε Θεῷ καὶ τῇ αὐτοῦ δυνάμει, ἡ καὶ Σοφία καὶ Λόγος Θεοῦ λέγε- D ται, τρανῶς διαγορεύσειεν· ἀλλ' ὅτι μὲν καὶ ἡ δύναμις τοῦ Θεοῦ καθ' ἣν λέγεται δυνατὸς, καὶ δι' ἧς ποιεῖ, καὶ ἧς χωρὶς οὐδὲν ποιεῖ, ἡ καὶ Λόγος λέγεται τοῦ Θεοῦ καὶ Σοφία, ὡς καὶ τὸ ὑμέτερον μαρτυρεῖ γράμμα (4), οὐχ ἑτεροῦπόστατός ἐστιν ὡς συμβεβηκὸς, ὡς ὑμεῖς φατε, ἀλλ' ὁμοφυής τε καὶ ὁμοούσιος τῷ Θεῷ ὡς ἀγένητος καὶ ἄκτιστος, καὶ ὡδέ ἐστι δῆλον.

θ'. Ὁ Θεὸς ἁπλούστατός ἐστι, καὶ πάσης συνθέσεως καὶ συνθετικῆς ἐννοίας ἐπέκεινα, ὡς καὶ αἱ κοιναὶ ἔννοιαι ἡμῖν διαγορεύουσι· πᾶν δὲ δὴ συμβε-

(4) Sur. IV, 169.

Digitized by Google

συμβεβηκὸς μετὰ τοῦ ᾧ συμβέβηκε, σύνθετόν τέ ἐστι καὶ λογίζεται· εἰ δὲ τοῦτο, καὶ διαλυτόν, ἤτοι ἐνεργείᾳ ἢ δυνάμει, τουτέστιν ἢ λόγῳ ἢ ὑπάρξει· διὸ ἔστι συλλογίσασθαι οὕτως· Ὁ Θεὸς ἁπλούστατός ἐστι· πᾶν δὲ συμβεβηκὸς μετὰ τοῦ ᾧ συμβέβηκεν, οὐχ ἁπλοῦν ἐστι καὶ λογίζεται· συνάγεται ἄρα ὅτι ὁ Θεὸς ἀνεπίδεκτός ἐστι συμβεβηκότος· ἔχει δὲ δύναμιν, ὡς καὶ τοῦτο δέδεικται· καὶ αὕτη ἄρα οὐ συμβεβηκός· ἔστι γὰρ καὶ τοῦτο συμπεραῖναι οὕτως· Ὁ Θεὸς ἀνεπίδεκτός ἐστι συμβεβηκότος· ὁ Θεὸς δύναμιν ἔχει· συνάγεται ἄρα ὅτι ἡ δύναμις τοῦ Θεοῦ οὐ συμβεβηκός· εἰ δὲ τοῦτο, καὶ ἐνυπόστατος καὶ καθ' ἑαυτὴν τὸ εἶναι ἔχουσα, καὶ μηδενὸς ἄλλου δεομένη· ἔστι δὲ καὶ ἀεὶ, ὡς καὶ τοῦτο δέδεικται· τὸ δὲ ἀεὶ ὄν, οὔτε ἀρχὴν χρονικὴν ἔχει οὔτε τέλος· πᾶν δὲ τὸ ἐνυπόστατον, μήτε ἀρχὴν ἔχον χρονικὴν μήτε τέλος, ἄκτιστόν ἐστι καὶ ἀγένητον· εὑρίσκεται ἄρα ὅτι ἡ δύναμις τοῦ Θεοῦ ἡ ἐνυπόστατος, ἣ καὶ Λόγος καὶ Σοφία παρὰ τῶν θείων Γραφῶν τρανῶς λέγεται, ἄκτιστός ἐστι καὶ ἀγένητος· τὸ δὲ ἄκτιστον καὶ ἀγένητον, καὶ αἱ κοιναὶ ἔννοιαι οὐκ ἐπ' ἄλλου τινὸς εἰώθασι λέγειν, ἀλλ' ἐπὶ Θεοῦ· ἡ δύναμις ἄρα τοῦ Θεοῦ, ἥπερ καὶ Σοφία καὶ Λόγος αὐτοῦ καὶ Υἱὸς ἐκ τῶν παρ' ἡμῖν προσαγορεύεται, Θεός τέ ἐστιν ἀληθινὸς, καὶ κατὰ πάντα ὅμοιος τῷ Θεῷ καὶ Πατρὶ, καὶ παρὰ τῶν καλῶς δοξαζόντων Χριστιανῶν πιστεύεται καὶ λογίζεται· ἀλλ' ὅτι μὲν τὴν δύναμιν τοῦ Θεοῦ καθ' ἣν λέγεται δυνατὸς, καὶ δι' ἧς ποιεῖ, καὶ ἧς χωρὶς οὐδὲν ποιεῖ ὁ Θεὸς, Θεὸν ὁ λόγος καὶ ὁμοούσιον αὐτὴν καὶ ὁμοφυῆ τοῦ Θεοῦ καὶ Πατρὸς μετ' ἀκριβοῦς ἀποδείξεως ἔδειξε, φανερόν.

ι'. Ὅτι δὲ καὶ αὐτὴ Υἱὸς Θεοῦ καὶ Λόγος καὶ Σοφία ἐστὶν, καὶ εἰκότως παρ' ἡμῶν τῶν Χριστιανῶν ὁμολόγηταί τε καὶ πεπίστευται, ὧδέ πώς ἐστι δῆλον. Ὁ Θεὸς, εἴπερ ἐστὶ Θεὸς ἀληθινὸς καὶ λέγεται καὶ πιστεύεται καὶ παρὰ τῶν εὐφρονούντων δοξάζεται καὶ κηρύττεται, ἤτοι ἐκ τῶν κατ' αὐτὸν, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, ἔγνωσται, ἐν οἷς δοξάζεται καὶ κηρύττεται καὶ πιστεύεται ὅτι ἔστιν, ἢ ἐκ τῶν περὶ αὐτὸν, τουτέστι τῶν αὐτοῦ κτισμάτων· ἀλλ' ὅτι μὲν ἐκ τῶν κατ' αὐτὸν, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, ἀμήχανον καὶ ἀδύνατον ἐγνῶσθαι αὐτὸν καὶ ταῖς ἀγγελικαῖς δυνάμεσι, μὴ ὅτι γε τῇ ἀνθρωπίνῃ φύσει, καὶ αἱ κοιναὶ ἔννοιαι ἡμᾶς ἐκδιδάσκουσι· καὶ γὰρ τὸν Θεὸν κατὰ τὸν τῆς οὐσίας λόγον, ἀκατονόμαστον καὶ ἀνέκφραστον ἡμῖν καὶ ἀνώνυμον καὶ αἱ θεῖαι Γραφαὶ καὶ αἱ κοιναὶ ἔννοιαι παραδιδόασι· καὶ τούτου πίστις ἐναργὴς, εἰ θέλοι τις συνορᾷν, τὸ μηδὲν τῶν αὐτοῦ ὀνομάτων τῆς οὐσίας αὐτοῦ εἶναι δηλωτικὸν, αὕτη· καὶ γὰρ ἕκαστον τῶν ὀνομάτων πρὸς ὁδηγίαν τῆς θείας φύσεως ἡμῖν λαμβανομένων, ἰδίαν ἔχει ἕκαστον ἐμπεριειλημμένην διάνοιαν· καὶ οὐκ ἂν χωρὶς νοήματός τινος, οὐδεμίαν εὕροις φωνὴν ἐν τοῖς θεοπρεπεστέροις τῶν ὀνομάτων. Εἰ οὖν ἐκ τῆς οὐσίας ἀμήχανον αὐτὸν ἐγνῶσθαι, ὡς ἔφαμεν, φανερὸν ὅτι ἐκ τῶν περὶ αὐτὸν, καθὰ καὶ ὀρθός τις λόγος ἐμφαίνει· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς

sensus nos docet. At omne accidens, æque ac ea res cui accidit, compositum est et sic reputatur. Quod si ita se habet, dissolubile quoque est, vel virtute vel potentia, id est, rationaliter vel substantialiter. Sic itaque argumentari licet : Deus simplicissimus est : quodlibet autem accidens, æque ac ea res cui accidit, non est simplex, nec reputatur. Colligitur ergo Deum accidentis esse incapacem. Atqui potentiam habet, uti demonstratum est : ergo hæc quoque accidens non est ; quod ita pariter ad conclusionem deducitur. Deus accidentis incapax est ; Deus potentia præditus est : colligitur ergo Dei potentiam non esse accidentem : quod si ita se habet, est hæc Deo enhypostatica, et per se subsistentiam habet, et alio nemine eget. Sed et eadem semper est, quod item demonstratum fuit. Quod autem semper est, ne temporale quidem initium habet neque finem. Omne vero quod enhypostaticum est, neque temporale habet initium vel finem, id, inquam, increatum est et infectum. Comperitur itaque, Dei potentiam, quæ enhypostatos et Verbum atque Sapientia a divinis Scripturis liquido appellatur, esse increatam atque infectam. Quod autem increatum infectumque est, id communes quoque notiones de alio nemine quam de Deo dicere solent. Ergo Dei potentia quæ et Verbum et Sapientia ipsius dicitur, et a nostris Filius appellatur, Deus verus est, et per omnia similis Deo Patri ; et a cunctis recte sentientibus Christianis creditur ac reputatur. Nunc ergo, quod Dei potentiam, qua is dicitur potens, et qua agit, et sine qua nihil agit Deus, sermo noster et Deum esse, et Deo Patri consubstantialem atque homogeneam evidenti demonstratione ostenderit, palam est.

10. Quod vero eadem et Dei Filius sit et Verbum atque Sapientia, quodque eam jure meritoque nos Christiani confiteamur atque credamus, sic fere manifestum fiet. Deus, siquidem verus Deus et dicitur atque creditur et ab omnibus recte sentientibus glorificatur et prædicatur, Deus, inquam, vel ex his quæ sunt secundum ipsum, id est, ex ejus substantia, cognoscitur, quatenus ex his glorificatur, prædicatur et creditur quod sit ; vel potius ex iis quæ circa ipsum sunt, id est, ex creaturis ejus. Sed enim ex his quæ secundum ipsum sunt, id est, ex ejus substantia, ipsum cognosci, hoc angelicis quoque virtutibus impossibile esse, nedum naturæ humanæ, vel communes notiones satis nos docent. Nam Deus, quod attinet ad suæ substantiæ rationem, innominabilis est, ineffabilis, et anonymus, ut divinæ quoque Scripturæ et communes notiones tradunt : cujus rei perspicuum argumentum, si quis volet, cernet, quod nempe nullum ex ejus nominibus substantiam ejusdem manifestat. Nam singula nomina quæ a nobis adhibentur quasi ad divinam naturam ducentia, propriam unumquodque habent involutam notionem ; neque ullum comperies sine quadam mentis cogitatione vocabulum, inter illas quæ magis Deum decent denominationes. Si ergo illum ex propria substantia

Digitized by Google

cognoscere, impossibile est, ut diximus, constat quod ex iis quæ circa ipsum sunt, cognoscendus sit, sicuti rectus quidam textus patefacit [1]: namque ex magnitudine et pulchritudine creaturarum congruenter creator agnoscitur. Certe si hoc aliquis minime concedat, Deum ex externis rebus, id est, nostris, agnosci; quandoquidem ex iis quæ in ipsius natura sunt minime eum cognoscimus; necessario consequeretur, ut nos in summa Dei ignoratione versaremur; quod est absurdum. Si ergo ex rebus nostris cognoscitur Deus, sine dubio ex his quæ in nobis sunt potiora et honoratiora ipsum describimus, absque omnino iis quæ nobis accidentia sunt: hæc enim a Dei attributis excludimus. Quamobrem quæ sunt optima in nobis, ea de illo affirmamus, vel potius omnia de eo negamus. Neque affirmationes repugnare arbitramur negationibus, quia non ex iisdem ambæ sumuntur. Atque ut clarior sermo noster fiat, sic loquar.

κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς γνωρίζεται· εἰ γὰρ καὶ τοῦτο οὐ δοίη τις τὸ ἐκ τῶν περὶ αὐτὸν, τουτέστιν ἐκ τῶν ἐν ἡμῖν, γινώσκεσθαι, αὐτὸν δὲ κατὰ τὸν τῆς οὐσίας λόγον οὐδέποτε ἐγνώκαμεν, ἀνάγκη ἐν παντελεῖ ἀγνωσίᾳ ἡμᾶς τοῦ Θεοῦ καθίστασθαι, ὅπερ ἐστὶν ἄτοπον. Εἰ οὖν ἐκ τῶν ἐν ἡμῖν ἔγνωσται ὁ Θεὸς, φανερὸν ὅτι ἐκ τῶν ἀξιολογωτέρων καὶ τιμιωτέρων ἡμῖν αὐτὸν διαγράφομεν, ἄνευ τῶν συμβαινόντων ἡμῖν συμπτωμάτων· ταῦτα γὰρ ὑπεξαιροῦμεν ἀπὸ τῶν ἐπὶ Θεοῦ λεγομένων· διὸ καὶ πάσας αὐτὸν τῶν ἐν ἡμῖν κρειττόνων τὰς καταφάσεις καταφάσκομεν, καὶ πάσας αὐτῶν κυριώτερον ἀποφάσκομεν· καὶ οὐ μαχομένας τὰς καταφάσεις ταῖς ἀποφάσεσιν οἰόμεθα· οὐ γὰρ ἐκ τῶν αὐτῶν ἀμφότεραι ἐλήφθησαν· καὶ ἵνα σαφὴς ἡμῖν ὁ λόγος γένηται, ὧδέ πως ἐρῶ·

11. In nobis quidem multa ac diversa sunt, et quæ contrario veluti sensu accipiuntur: alia nempe digniora ac meliora, alia vero deteriorem conditionem habentia. Sine dubio itaque cum ex nostris attributis ad Dei notitiam iter facimus, secundum meliora nostra Deum describimus ac definimus. Quia ergo in nobis lux est ac tenebræ, vita ac mors, mortalitas et immortalitas, justitia et iniquitas; priora quidem in melioribus a nobis collocantur, veluti vita, atque immortalitas, justitia, charitas; posteriora autem in deterioribus, veluti mors, mortalitas, iniquitas, odium. Porro exploratum est, vitam et immortalitatem, justitiam et charitatem, et quæ his sunt consentanea, hæc a nobis Deo attribui, et his ipsum a nobis describi ac definiri; imo si magis proprie loquendum est, nostra hæc in eo esse negamus. Etenim Deus supra lucem est, supra immortalitatem, supra justitiam, et quidquid hujusmodi est. Pariter in nobis est visus et cæcitas; scilicet omissa cæcitate, Deum dicimus impassibiliter visualem; id est, absque iis quæ nostræ accidunt visuali vi; nam in cunctis Deus est impassibilis. Etiamsi enim hæc scripta minime habeamus, his nihilominus vestigiis Deum indagamus. Atque ita, quia in nobis fecunditas est ac infecunditas, generatio et sterilitas, fructificatio et infructuositas; meliora quidem sunt generatio et fecunditas, germinatio et his similia: pejora autem, infecunditas, sterilitas, infructuositas, et germinationis negatio. Deum vero melioribus describimus ac definimus, absque iis quæ in nobis sunt accidentia, ut diximus; id est indubitanter, iis quæ generationem, fecunditatem fructumque habent et his similibus. Jam si in his quisquam contendet, contendam et ego, nempe mortem vitæ esse meliorem, tenebras luce; quod est ridiculum. Quare constat Deum esse fecundum et Verbi genitivum. Extra enim omnem controversiam est potiorem esse genitivam vim quam sterilitatem et

ια'. Ἐν ἡμῖν μὲν πολλῶν καὶ διαφόρων καί τινων πως ἀντικειμένως λαμβανομένων, καὶ τῶν μὲν ἀξιωτέρων τε καὶ κρειττόνων ὄντων, τῶν δὲ τὴν τῶν χειρόνων μοῖραν ἐχόντων, φανερὸν δήπουθεν ὅτ' ἂν ἐκ τῶν ἐν ἡμῖν πρὸς χειραγωγίαν Θεοῦ ποδηγώμεθα, ἐκ τῶν κρειττόνων ἡμῖν καὶ τιμιωτέρων αὐτὸν διαγράφομέν τε καὶ καταφάσκομεν. Εἰ οὖν ἐν ἡμῖν ἐστι φῶς καὶ σκότος, ζωὴ καὶ θάνατος, θνητότης καὶ ἀθανασία, δικαιοσύνη τε καὶ ἀδικία· καὶ τὰ μὲν ἐν τῇ τῶν κρειττόνων μοίρᾳ τέτακται, οἷον ζωή τε καὶ ἀθανασία, δικαιοσύνη τε καὶ ἀγάπη· τὰ δὲ ἐν τῇ τῶν χειρόνων, οἷον θάνατος, θνητότης, ἀδικία τε καὶ ἔχθρα, φανερὸν ὅτι ζωήν τε καὶ ἀθανασίαν, δικαιοσύνην τε καὶ ἀγάπην, καὶ ὅσα τούτοις σύστοιχα, ταῦτα τῷ Θεῷ ἀνατίθεμεν, καὶ διὰ τούτων αὐτὸν διαγράφομέν τε καὶ καταφάσκομεν· καὶ κυριώτερον εἰπεῖν, ταῦτα ἐξ αὐτοῦ ἀποφάσκομεν· καὶ γὰρ ὁ Θεός ἐστιν ὑπὲρ φῶς, ὑπὲρ ἀθανασίαν, ὑπὲρ δικαιοσύνην, καὶ ὅσα τούτοις ὅμοια· ὡσαύτως ἔστιν ἐν ἡμῖν ὅρασις καὶ τύφλωσις· τὴν τύφλωσιν ἀφέντες, τὸν Θεὸν φήσομεν ὁρατικὸν ἀπαθῶς, ἤτοι ἄνευ τῶν ἐν ἡμῖν συμβαινόντων παθημάτων τῇ ὁράσει· ἐν πᾶσι γάρ ἐστιν ὁ Θεὸς ἀπαθής· εἰ γὰρ καὶ μηδέποτε Γραφὴν ἐδεξάμεθα, τοῖς τοιούτοις ἴχνεσί τε καὶ τρόποις τὸν Θεὸν ἰχνηλατοῦμεν. Ἐπεὶ οὖν ἐν ἡμῖν ἔστι γόνιμόν τε καὶ ἄγονον, γέννησίς τε καὶ στείρωσις, καρπός τε καὶ ἀκαρπία, βλάστησίς τε καὶ ἡ ταύτης στέρησις· καὶ τὰ μὲν κρείττονα, οἷον γέννησίς τε καὶ γόνιμον, βλάστησίς τε καὶ ὅσα τούτοις ὅμοια· τὰ δὲ χείρονα, οἷον ἄγονον, στείρωσις, ἀκαρπία καὶ ἡ τῆς βλαστήσεως στέρησις· τὸν δὲ Θεὸν διὰ τῶν κρειττόνων καταγράφομεν καὶ καταφάσκομεν, ἄνευ τῶν ἐν ἡμῖν συμβαινόντων συμπτωμάτων, ὥσπερ ἔφαμεν· φανερὸν ὅτι γόνιμον γέννησιν ἔχοντα, βλαστὸν, καρπὸν, καὶ τὰ τούτοις ὅμοια φησόμεθα. Εἰ γὰρ καί τις ἐν τούτοις φιλονεικοίη, φιλονεικήσω κἀγὼ, ὅτι ὁ θάνατος τῆς ζωῆς κρείττων, καὶ τὸ σκότος τοῦ φωτὸς, ὅπερ ἐστὶ γελοῖον· ὥστε φανερὸν ὅτι ὁ Θεὸς γόνιμός τέ ἐστιν, καὶ γεννητικὸς Λόγου·

[1] Rom. 1, 20.

Digitized by Google

πάσης γὰρ ἀντιλογίας ἀργούσης, τερπνότερον ἡ γέννησις τῆς στειρώσεως; καὶ ἀκαρπίας· εἰ δὲ τοῦτο, φανερὸν ὅτι ὁ Θεὸς Υἱὸν ἔχει· ἔστι γὰρ συλλογίσασθαι οὕτως·

A infructuositatem. Quod si ita se habet, perspicuum est Deum habere Filium. Sic enim argumentari licet.

ιβ'. Τὸν Θεὸν ἐκ τῶν ἐν ἡμῖν κρειττόνων γεννητικόν τε καὶ γόνιμον βλαστάνοντα προσφυῶς διαγράφομεν· πᾶν δὲ τὸ οὕτως ἔχον, πρὸς υἱὸν ἢ βλαστὸν ἢ καρπὸν ἢ γόνον τὴν ἀναφορὰν ἔχει· συνάγεται ἄρα, ὅτι ὁ Θεὸς πρεπόντως ἐκ τῶν ἐν ἡμῖν διαγραφόμενος, Υἱόν τε ἔχει (καὶ παρ' ἡμῖν καλῶς πιστεύεται καὶ δοξάζεται) τὸν ἐξ αὐτοῦ ἐνυποστάτως καὶ ἀπαθῶς καὶ ἀρεύστως γεννηθέντα Λόγον· εἰ δὲ τοῦτο, φανερὸν καὶ τοῖς ἀμυδρῶς συνορᾶν ἰσχύουσιν, ὅτι ἡ ἐνυπόστατος δύναμις τοῦ Θεοῦ καὶ Σοφία, καθ' ἣν ἐστι δυνατὸς, καὶ δι' ἧς ποιεῖ, καὶ ἧς χωρὶς οὐδὲν ποιεῖ, ἦν καὶ ὁ λόγος ὁμοούσιον τῷ Θεῷ καὶ Πατρὶ καὶ κατὰ πάντα ὅμοιον ἔδειξεν, χωρὶς τῆς γεννήσεως, Υἱός τέ ἐστι Θεοῦ καὶ Σοφία καὶ Λόγος, καὶ εἰκότως παρ' ἡμῶν τῶν Χριστιανῶν ὁμολογηταί [τε] καὶ πεπίστευται· εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ οὖν καὶ ἀληθὲς, ὡς δέδεικται, μάτην ἄρα ὁ βάρβαρος καὶ ἄλογος Μωάμετ ἡμᾶς ἐν τῇ παρ' αὐτοῦ πλαστογραφηθείσῃ βίβλῳ ὡς κοινωνητὰς καὶ ἑταιριστὰς διακωμῳδεῖ, ἥγουν ὡς ἕτερον Θεὸν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Πατρὸς, παρὰ τὸν ἕνα καὶ φύσει καὶ ἀληθείᾳ Θεὸν, ἔξωθεν παρεισκρίνοντας. Εἰ οὖν ὁ λόγος ἐκ κοινῶν ἐννοιῶν καὶ λογικῶν μεθόδων τὴν δύναμιν τοῦ Θεοῦ, καθ' ἣν ἐστιν ὡς ἔχων δύναμιν, καὶ δι' ἧς ποιεῖ, καὶ ἧς χωρὶς οὐδὲν ποιεῖ, ἦ καὶ Σοφία καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς ἔστι τε καὶ λέγεται, ἐνυπόστατόν τε καὶ ὁμοούσιον καὶ κατὰ πάντα ὅμοιον τῷ Θεῷ καὶ Πατρὶ, καὶ Υἱὸν τὴν αὐτὴν εἶναι, ὡς καλῶς παρ' ἡμῖν πιστεύεται, τρανῶς ἔδειξεν· ἀριδηλότατα πόῤῥω που ἐξωστράκισε, καὶ ἀπεσείσατο, καὶ ψευδεῖς ἐνέφηνεν ὑμᾶς τοὺς ἐπὶ τῇ θεότητι τὸ μετὰ τὸ ἐνιαῖον τῆς φύσεως, καὶ τὸ ἐν τῇ ἰδιότητι ἥτουν ὑποστάσει ὁμολογοῦντας· καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁμοουσίους καὶ κατὰ πάντα ταυτοὺς, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως μὴ προσιεμένους· διὸ τέλειος; ἂν ἡμῖν ὁ λόγος τῆς κατασκευῆς κατεφαίνετο, καὶ οὐδενὸς δεόμενος; τοῖς ἐθέλουσιν, ὅσον κατὰ τὸ δυνατὸν ἐκ κοινῶν τε ἐννοιῶν καὶ φυσικῶν ἐπιχειρήσεων, τῶν ὑπὲρ φύσιν τὰς ἀποδείξεις δέχεσθαι· ὅτι ὁ Θεὸς καὶ Πατὴρ ἔχει Υἱὸν ὅμοιον αὐτῷ κατὰ πάντα, ὄνπερ ἀπαθῶς καὶ ἀχρόνως καὶ ἀρεύστως γεγέννηκεν· ὃς καὶ Λόγος καὶ Σοφία καὶ Δύναμις ἐνυπόστατος τοῦ Θεοῦ ἐστιν, καὶ καλῶς παρ' ἡμῶν πιστεύεται.

12. Deum ex iis, quæ in nobis sunt potiora, genitivum et fecundum et germinantem esse, apte definimus : atqui cuncta hujusmodi vocabula ad filium, aut germen, aut fructum, aut genituram referuntur : colligitur ergo Deum congrue ex nostris rebus definiri solitum, Filium quoque habere (idque a nobis recte credi et existimari), nempe illud quod enhypostatice et impassibiliter, et sine ullo fluxu genitum Verbum est. Quod si ita est, perspicuum fit etiam illis qui exiliter cernere queunt, enhypostaticam Dei potentiam atque sapientiam, qua potens est, et qua agit, et sine qua nihil agit, quam etiam sermo noster consubstantialem Deo Patri, et per omnia similem demonstravit, excepta generatione, Filium esse Dei atque Sapientiam et Verbum, idque merito nos Christianos confiteri et credere. Jam si hoc verum est, ceu reapse verum demonstratum est ; temere prorsus barbarus stolidusque Mohamedes, in suo falso libro nos tanquam communicarios et associantes irridet, quasi Deum alium, Dei Patris Filium, præter unum naturalem vereque Deum, extrinsecus invehamus. Si ergo sermo noster ex communibus notionibus logicisque methodis, Dei potentiam, qua potens est, et qua agit, et sine qua nihil agit, quæ etiam Sapientia Verbumque Dei Patris est ac dicitur, enhypostaticam et consubstantialem et per omnia similem Deo Patri, eamdemque esse Filium, ut bene a nobis creditur ; si hæc, inquam, sermonis nostri series lucide demonstravit, indubitanter vos procul abegit dispulitque, mendacesque coarguit, qui dum præter naturæ unitatem, proprietatem quoque sive hypostasim confitemini, Patrem Filiumque consubstantiales, et per omnia eosdem, excepta innativitate et generatione, non recipitis. Propterea nobis quidem videbatur perfectus argumentationis nostræ sermo, et siquidem hi vellent, nihil desiderandum relinquere ; quatenus ex communibus notionibus physicisque argumentis, res quæ supra naturam sunt, demonstrationem patiuntur : nempe quod Deus Pater Filium habet similem sibi per omnia ; quem impassibiliter et intemporaliter et sine ullo fluxu, genuit ; qui et Verbum et Sapientia et Potentia enhypostatica Dei est, recteque a nobis creditur.

ιγ'. Ἀλλ' ἐπεὶ καὶ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον, καὶ σὺν Υἱῷ τὸν κόσμον ζωογονοῦν καὶ ἀναπλάττον καὶ πρὸς τὴν ἀμείνω ζωὴν μεταστοιχειοῦν, ὁμοφυές τέ ἐστι καὶ ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ ἰσότιμον, τῆς μιᾶς ἀληθοῦς Θεότητος; μία ὑπόστασις πεφυκός· καθ' ὃ καὶ παρ' ἡμῶν τῶν Χριστιανῶν καλῶς πιστεύεταί τε καὶ κηρύττεται· φέρε καὶ περὶ ἐκείνου τὸν λόγον ποιήσομαι, καὶ τὰς ἀποδείξεις μᾶλλον ἐκ κοινῶν ἐννοιῶν παραστήσομαι, καὶ ἐκ Γραφικῶν ῥήσεων· ἵν' ὁ τῆς

13. Sed quia Spiritus quoque, qui a Deo Patre procedit, et cum Filio mundum vivificat et reformat, et ad meliorem vitam transmutat, homogeneus est et consubstantialis Patri ac Filio et æque honorabilis, unius veræ Deitatis persona singularis exsistens, sicut a nobis Christianis recte creditur ac prædicatur ; agesis de illo quoque sermonem instituam, imo potius demonstrationes ex communibus notionibus exhibebo, necnon ex Scripturæ testimoniis, ut fidei doctrina de sancta Trinitate

Digitized by Google

secundum proprietates, id est, personas unicamque divinitatem ac dominationem et potestatem atque monarchiam, sarta tectaque sit, et a nemine alterius fidei homine repellatur. Quoniam fidei evidentis nobis instar est communium notionum usus; præter hunc autem, prophetarum inspiratio a divino Spiritu suppeditatur, eaque manifeste nobis enarrat Deum omne creatum conservare ac fovere, vivificare, et divinos instinctus, charismatum varias rationes et sanctificationes dignis præbere, sicut vestra quoque scriptura consonat; exploratum est Deum multo prius et sanctum esse, et ex divina consuetudine mundum custodire ac fovere, et ad meliorum morum conditionem deducere. Nam si forte hoc aliquis vesanus non concedat, is Deum omni carentem sanctitate diceret. Quomodo autem ille volentibus omnibus divinæ gratiæ divitias ad hauriendum sine ulla sui imminutione proponit? nam si ipse sanctitate caret, certe ne sanctificabit quidem: nemo enim quod non habet dat cuiquam: vel cujus ipse rei paupertate laborat, eadem alios ditabit. Si Deus itaque non est sanctitatis particeps, sine dubio creatura universa multo magis desertissima erit a gratia et a divino munere. Atqui creatura haud omnino destituitur gratia et sanctitate ac præsidio; quomodo enim secus subsisteret? itaque manifestum est illum, qui hæc tribuit, id est Deum, substantialis sanctitatis multo esse pleniorem, et cum sanctitate mundum gubernare. Si ergo Deus in sanctitate versans mundum sanctificat et dirigit, cumque exsistentem divinis inspirationibus et doctrinis atque charismatibus implet, patet eum sine sanctitate non esse. Porro omne quod sanctitatem habet, eam vel adoptivam habet vel naturalem. Jam si adoptivam habet, vel uno syllogismo rei absurditatem cognoscere licet. Deus adoptivam habet sanctitatem suam atque inspirationem: atqui omne quod ita habet, proficiendo perficitur: concluditur itaque ut Deus proficiendo perficiatur. Quod de Deo sine blasphemia dici nequit.

A ἁγίας Τριάδος κατὰ τὰς ἰδιότητας ἤτουν ὑποστάσεις καὶ τὴν μίαν θεότητα καὶ κυριότητα καὶ ἐξουσίαν καὶ μοναρχίαν πιστευτικὸς λόγος, βέβαιος καὶ ἀσφαλὴς εἴη, καὶ παρὰ μηδενὸς ἑτεροπίστου παρακρουόμενος· ἀρξόμεθα δὲ καὶ περὶ τούτου ὧδε· Ἐπειδὴ πίστις ἡμῖν ἐναργὴς ἡ τῶν κοινῶν ἐννοιῶν ὑποτέθειται χρῆσις, ὑπὲρ δὲ ταύτης ἡ τῶν προφητῶν ἔμπνευσις διὰ τοῦ θείου Πνεύματος καθίσταται, αὕτη δὲ σαφῶς ἡμῖν διαγορεύει, ὅτι ὁ Θεὸς τὴν δημιουργίαν ἅπασαν φρουρεῖταί τε καὶ ἐπιθάλπει, ζωογονεῖ τε καὶ ἐμπνεύσεις θείας καὶ χαρισμάτων τρόπους καὶ ἁγιασμοὺς τοῖς ἀξίοις παρέχει, καθ' ἃ καὶ τὸ ὑμέτερον γράμμα συνῳδὰ τούτοις φθέγγεται. φανερὸν ὅτι ὁ Θεὸς πολλῷ πρότερον ἁγιός ἐστι καὶ ἐν ἁγιωσύνῃ θείᾳ τὸν κόσμον φρουρεῖ τε καὶ ἐπι-
B θάλπει καὶ πρὸς τὴν κρείττονα διαγωγὴν διεξάγει· εἰ γὰρ καί τις τοῦτο ἀφραίνων οὐ δοίη, τὸν Θεὸν φήσειε παντελῶς ἐστερῆσθαι ἁγιωσύνης· καὶ πῶς ἂν ὁ αὐτὸς τοῖς θέλουσιν ἅπασι τὸν πλοῦτον τῆς θείας χάριτος ἀρύεσθαι ἀπροσπαθῶς ἐντίθησιν, εἴπερ ὁ αὐτὸς ἄμοιρός ἐστιν ἁγιότητος; Εἰ οὖν αὐτὸς ἄμοιρός ἐστιν ἁγιότητος, οὐδὲ ἁγιάσει· οὐδὲν γὰρ τῶν ὄντων, ὅπερ οὐ κέκτηται παράσχῃ τινί, καὶ οὗ πένεται ἄλλους καταπλουτίσει. Εἰ οὖν ὁ Θεὸς ἄμοιρός ἐστιν ἁγιότητος, δῆλον ὅτι καὶ ἡ κτίσις ἅπασα πολλῷ μᾶλλον ἐρήμη ἂν εἴη χαρίσματός τε καὶ θείου τρόπου· ἀλλὰ μὴν ἡ κτίσις οὐ παντελῶς ἐρήμη θείου χαρίσματος καὶ ἁγιωσύνης καὶ ἀσφαλείας καθίσταται· πῶς γὰρ ἂν καὶ συνείχετο; δῆλον ὅτι καὶ ὁ
C ταύτης μεταδοτικὸς, ὅπερ ἐστὶ Θεὸς, πολλῷ πλέον οὐσιώδους ἀνάπλεώς ἐστιν ἁγιότητος, καὶ ἐν ἁγιασμῷ τὸν κόσμον διευθετίζει. Εἰ οὖν ὁ Θεὸς ἐν ἁγιωσύνῃ ἅγιος ὤν, τὸν κόσμον ἁγιάζει καὶ διευθετίζει, καὶ θείων ἐμπνεύσεων καὶ μυήσεων καὶ χαρισμάτων ὄντα ἐμπίμπλησι, φανερὸν ὅτι ἁγιότητα ἔχει· πᾶν δὲ τὸ ἔχον ἁγιότητα, ἢ θετῶς ταύτην ἔχει ἢ φύσει· ἀλλ' εἰ μὲν θετῶς ἔχει, σκοπεῖν ἔστι διὰ συλλογισμοῦ τὸ ἄτοπον· ὁ Θεὸς θετὴν ἔχει τὴν αὐτοῦ ἁγιότητά τε καὶ ἔμπνευσιν· πᾶν δὲ τὸ οὕτως ἔχον, ἐκ προκοπῆς τελειοῦται· συνάγεται ἄρα ὅτι ὁ Θεὸς κατὰ προκοπὴν τελειοῦται· ὅπερ ἐστὶν ἐπὶ Θεοῦ λέγειν βλάσφημον.

14. Item aliter. Si Deus adoptivam habet sanctitatem suam atque inspirationem, patet eum extrinsecus illam accepisse: atqui omnis qui ita acceperit, ab alio accepit: nulla enim res exsistens ipsa per se et sibi dat et datur, sanctificat et sanctificatur, illuminat et illuminatur; sicut idem homo non docet et docetur. Si ergo Deus sanctitatem ab alio accepit, vel a pari accepit, vel a minore, vel denique a majore. Sed enim quod ab horum nemine acceperit, hinc constat: nam qui sanctitatem ab aliquo accipit, ut sanctificetur accipit: qui autem accipiendo sanctificatur, a majore accipit et sanctificatur. Porro horum alter est deterior, alter æqualis; nam meliorem Deo neminem esse communis nobis sensus suadet. Igitur Deus ab alio sanctitatem suam non accepit. Quod si nequaquam

ιδ'. Καὶ ἄλλως· Εἰ ὁ Θεὸς θετὴν ἔχει τὴν αὐτοῦ
D ἁγιότητά τε καὶ ἔμπνευσιν, δῆλον ὅτι θύραθεν αὐτὴν εἴληφεν· πᾶν δὲ τὸ οὕτως ἐσχηκὸς, παρ' ἑτέρου τινὸς ταύτην εἴληφε· καὶ γὰρ οὐδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ παρέχει καὶ παρέχεται, ἁγιάζει τε καὶ ἁγιάζεται· ὥσπερ οὐδὲ τὸ αὐτὸ διδάσκει τε καὶ διδάσκεται. Εἰ οὖν ὁ Θεὸς παρ' ἑτέρου ταύτην εἴληφεν, ἤτοι ἀπὸ ἴσου, ἢ ἀπὸ ἐλάττονος, ἢ ἀπὸ κρείττονος· ἀλλ' ὅτι μὲν οὐκ ἀπ' οὐδενὸς τούτων ἐνδέχεται, ἐντεῦθεν δῆλον· τὸ μὲν γὰρ ἁγιότητά πως ἐκ τινος μεταλαμβάνον, ἁγιαζόμενόν πως μεταλαμβάνει· τὸ δὲ ἁγιαζόμενον ἐν τῷ λαμβάνειν, ἀπὸ κρείττονος μεταλαμβάνει καὶ ἁγιάζεται· τούτων δὲ τὸ μὲν χεῖρον, τὸ δὲ ἴσον· κρεῖττον δὲ Θεοῦ οὐκ ἔστιν, ὡς ἡ κοινὴ ἔννοια ἔχει· οὐκ ἄρα ὁ Θεὸς παρ' ἑτέρου τὴν αὐτοῦ ἁγιότητα εἴληφεν· εἰ δὲ μὴ παρ' ἑτέρου, δῆλον ὅτι οὐδ' ἐξω-

Digitized by Google

θεν· εἰ δὲ μὴ ἔξωθεν, οὐδὲ θετῶς· διὰ τὸ πᾶν τὸ θετῶς τοιοῦτον εἶναι.

ιε'. Καὶ ἄλλως· Εἰ ὁ Θεὸς θετὴν ἔχει τὴν ἁγιότητα, φανερὸν ὅτι συμβέβηκεν αὐτῷ· πᾶν δὲ συμβεβηκὸς, πεπερασμένον τέ ἐστι, καὶ ἐν κτιστῇ φύσει ὁηλονότι εἶναι ἔχει· συνάγεται ἄρα ὅτι ὁ Θεὸς κτιστός ἐστι, καὶ κτιστὴν φύσιν ἔχει· εἰ δὲ τοῦτο, ἤτοι παρ' ἑαυτοῦ ἔκτισται, ἢ παρ' ἑτέρου· ἀλλ' εἰ μὲν παρ' ἑαυτοῦ, ἔσται κατὰ ταυτὸ ὁ αὐτὸς παράγων καὶ παραγόμενος, κτίζων καὶ κτιζόμενος, δημιουργῶν καὶ δημιουργούμενος· οὐδὲν δὲ τῶν ὄντων τοιοῦτόν ἐστιν· οὐκ ἄρα ὁ Θεὸς παρ' ἑαυτοῦ ἔκτισται· ἀλλ' οὐδὲ παρ' ἑτέρου· εἰ γὰρ καὶ τοῦτο δοίη τις, ἔσται τοῦ Θεοῦ Θεός· καὶ περὶ ἐκείνου τὰ αὐτὰ ἀπορήσομεν, καὶ τοῦτο ἐπ' ἄπειρον· οὐκ ἄρα ὁ Θεὸς θετὴν ἔχει τὴν αὐτοῦ ἁγιότητα καὶ ἔμπνευσιν τῶν χαρισμάτων. Εἰ οὖν ὁ λόγος, διὰ πολλῶν ἐπιχειρημάτων, ἀδύνατον ἔδειξε τὸ θετῶς ἔχειν τὸν Θεὸν τὴν αὐτοῦ ἁγιότητα καὶ ἔμπνευσιν, φανερὸν ὅτι φύσει αὐτὴν ἔχει· εἰ οὖν φύσει αὐτὴν ἔχει, ἤτοι ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολύ· ἀλλ' ὅτι μὲν ὡς ἐπὶ τὸ πολὺ οὐ πρόσεστι, δῆλον· τὸ γὰρ ὡς ἐπὶ τὸ πολὺ, ἀποτυχία φύσεώς ἐστιν· ἀποτυγχάνει γὰρ ἡ φύσις ἐνίοτε τῶν ἐπ' ἐλαττόνων· ἐπιτυγχάνει δὲ τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ τῶν ἐξ ἀνάγκης· τὸ δ' ἀποτυγχάνειν ἐπὶ τῆς θείας φύσεως, ἀνοίκειόν ἐστιν· εἴπερ πᾶσα ἀποτυχία μετὰ πάθους· ὁ δὲ Θεὸς παντὸς πάθους ἀνῴκισται· οὐκ ἄρα ὡς ἐπὶ τὸ πολὺ ὁ Θεὸς ἔχει τὴν αὐτοῦ ἁγιότητα· λείπεται ἐξ ἀνάγκης· εἰ δ' ἐξ ἀνάγκης, καὶ ἀεί ἐστιν, εἴπερ τοιαῦτα τὰ ἐξ ἀνάγκης· εἰ δὲ ἀεί ἐστιν ἡ ἁγιότης καὶ ἡ ἔμπνευσις τοῦ Θεοῦ ἐν αὐτῷ, ἤτοι ὡς ἐνυπόστατός τέ ἐστι, καὶ καθ' ἑαυτὴν τὸ εἶναι ἔχει· ἢ ὡς ἑτεροϋπόστατος καὶ συμβεβηκός· ἀλλ' ὅτι μὲν ὡς ἑτεροϋπόστατος καὶ συμβεβηκὸς οὐκ ἔστιν, ὧδε δή πως ἐστὶ δῆλον.

A ab alio, constat quod nec extrinsecus. Quod si minime extrinsecus, ne adoptive quidem: omne enim adoptivum ita se habet.

15 Adhuc aliter. Si Deus adoptivam habet sanctitatem, constat eam illi accidisse. Quidquid autem accidit, limitatum est, et in natura creata sine dubio habet subsistentiam. Colligitur ergo Deum esse creatum, et creatam habere naturam. Quod si ita est, vel a se ipso creatus fuit, vel ab alio. Sed si a se ipso, erit idem producens simul et productus, creans et creatus, artifex et artefactus. Atqui nihil hujusmodi in rerum natura est: non igitur semet ipse creavit Deus. Sed neque ab alio creatus fuit; nam si hoc quispiam concedat, erit Dei Deus, deque hoc similiter ambigemus; B idque in infinitum. Non igitur Deus adoptivam habet sanctitatem suam et donorum inspirationem. Si ergo sermo noster multis argumentis impossibile ostendit adoptivam a Deo possideri sanctitatem suam et inspirationem, constat eam naturaliter ab eo haberi. Si ergo naturaliter eam habet, id vel necessario, vel plerumque; sed quod non plerumque, constat; nam quod plerumque tantum evenit, id naturæ defectum indicat: frustrationem enim aliquando natura patitur dum minorem partem fert: bono autem successu utitur tum in iis quæ plerumque accidunt, tum etiam in necessariis. Atqui frustrari in divinam naturam non cadit; siquidem omnis frustratio non sine passione est: Deus vero cuilibet passioni superior. Non ergo C habet Deus quasi plerumque sanctitatem suam. Reliquum est, ut necessario. Sed si necessario, semper quoque habet, quandoquidem hæc necessariorum natura est. Jam si semper Deo inest sua sanctitas et inspiratio; ea quidem vel enhypostatica est, et per se ipsa subsistit; vel in altero non subsistat nec sit accidens, ita fere palam

subsistit, et est accidens. Sed quod ea in altero fiet.

ις'. Ὁ Θεὸς ἁπλούστατός ἐστι, καὶ πάσης συνθέσεως καὶ συνθετικῆς ἐννοίας ἐπέκεινα, ὡς καὶ αἱ κοιναὶ ἔννοιαι ἔχουσι· πᾶν δὲ συμβεβηκὸς μετὰ τοῦ ᾧ συμβέβηκεν, σύνθετόν ἐστιν καὶ λογίζεται· διὸ ἔστι συλλογίσασθαι οὕτως· Ὁ Θεὸς ἁπλούστατός ἐστι· πᾶν δὲ συμβεβηκὸς μετὰ τοῦ ᾧ συμβέβηκεν, οὐχ ἁπλοῦν τέ ἐστι καὶ λογίζεται· συνάγεται ἄρα ὅτι ὁ Θεὸς ἀνεπίδεκτος συμβεβηκότος· ἔχει δὲ ἁγιότητα ἐν ἑαυτῷ καὶ ἔμπνευσιν, ἥ καὶ Πνεῦμα Θεοῦ καλεῖται, καθ' ἃ μαρτυρεῖ καὶ τὸ ὑμέτερον γράμμα, ἤγουν ἡ τοῦ Μωάμετ βίβλος (5)· οὐκ ἄρα ἐστὶ συμβεβηκός· εἰ δὲ οὐ συμβεβηκὸς, ἐνυπόστατόν ἐστι, καὶ καθ' ἑαυτὸ τὸ εἶναι ἔχει· ἔστι δὲ καὶ ἀεί· πᾶν δὲ τὸ ἐνυπόστατον, καὶ καθ' ἑαυτὸ τὸ εἶναι ἔχον, ἀεὶ ὄν, οὔτε ἀρχὴν ἔχει χρονικὴν οὔτε τέλος· τὸ δὲ οὕτως ἔχον, πάντως καὶ ἄκτιστόν ἐστι καὶ ἀγένητον· συνάγεται ἄρα, ὅτι ἡ τοῦ Θεοῦ ἁγιότης καὶ ἡ ἔμπνευσις, ἥ καὶ Πνεῦμα Θεοῦ λέγεται παρὰ τῇ θείᾳ Γραφῇ, ἀγένητόν [*ita cod.*] ἐστι καὶ ἄκτιστον· ἀγέ-

16. Deus simplicissimus est, omnique compositioni compositoque mentis conceptui superior, sicut et communes notiones tenent. Omne autem accidens, æque ac illud cui accidit, compositum est et ita reputatur. Quare sic licet argumentari: Deus simplicissimus est: omne autem accidens æque ac illud cui accidit, neque simplex est neque reputa- D tur: concluditur ergo Deum esse accidentis incapacem. Habet autem sanctitatem in se ipso et inspirationem, quæ etiam Spiritus Dei vocatur, sicut etiam vestra Scriptura testatur, id est Mohamedis liber. Itaque illa non est accidens. Quod si non accidens, enhypostatica est, et in se ipsa subsistentiam habet, semperque est, neque temporale initium habet neque finem. Quod vero ita se habet, id omnino increatum est et ingenitum. Conficitur ergo ut Dei sanctitas atque inspiratio, quæ et Spiritus Dei dicitur apud divinam Scripturam, ingenita sit et increata. Jam ingenitum cum ingenito,

(5) Sur. V, 169.

Digitized by Google

quatenus non fuit factum, et increatum cum increato, quatenus non fuit creatum, idem est et homogeneum atque consubstantiale. Patet profecto enhypostaticam esse sanctitatem Dei, quæ etiam Spiritus a divinis Scripturis diserte dicitur, verusque Deus est, et consubstantialis Deo Patri Filioque ejus.

17. Si ergo Deus Pater, ut omni communi sensui consentaneum est, enhypostaticus est, semperque et in se ipso exsistentiam habet: demonstratum est, potentiam quoque Dei, qua potens est, et qua agit, et sine qua nihil agit, quæ Verbum quoque et Sapientia Dei est ac dicitur, et perpetuam esse et enhypostaticam. Similiter autem etiam sanctitas, quæ et Spiritus Dei dicitur, enhypostatica est et perpetua, et in se ipsa subsistentiam habet. Quod autem perpetuum est, cum perpetuo et perpetuo; et enhypostaticum, cum enhypostatico et enhypostatico, tres esse hypostases homogeneas consubstantialesque comperies. Atque hic nobis est Deus Pater et Filius et Spiritus sanctus. Ille quidem genitor et productor, impassibiliter, inquam, intemporabiliter et incorporaliter. Reliqui autem, alter genitura, alter processio. Nam si Pater est verus Deus, Filius pariter ac Spiritus sanctus, tanquam eadem et una deitas, indivise, tanquam in divisis, ut ita dicam, spectata. Et tamen haud tres dii. Quodque hoc verum sit, ut superius promisi, conabor ostendere. Omnis numerus est quantitatis subjectarum rerum demonstrativus, non autem naturæ rerum; idque non quatenus eædem sunt, sed quatenus diversæ. Similiter etiam omnis connumeratio, id est, in unum numerum complexio, diversitatum, quatenus alia est, compositio complexioque est. Idque fiet manifestum, si quis aureum nummum sumat, eumque in quinque comminuat signatos nummulos, jam non quinque aureos dicet, ut rei ejus naturam denotet, sed quinque aureos signatos solidos, ut rei subjectæ quantitatem significet, et hos quidem non tanquam unum quid, sed diversos. Pari modo hi rursus connumerati, id est quinque in unum numerum coadunati, diversorum quatenus alii sunt compositionem conficiunt. Etenim numerus, diversarum rerum quatenus diversæ sunt, comprehensivus complexivusque est.

18. His a nobis expositis, animadverte quid comprobatum sit. Quoniam divina ac beata natura, tota quatenus tota, indivise in Patre et Filio et Spiritu sancto spectatur, ut sermo noster ostendit: neque in hoc plus est, in illo minus, sed æqualiter pariterque prædicamentum fit; neque aliud prius, aliud posterius ab ipso prædicamento significatur, sed unum quid coæternum, et omnimode simile: etenim totum vel ante partes cogitatur, vel in ipsis participibus; idque rursus vel in uno totum, ceu totum indivise spectatur, vel etiam in reliquis: totum autem dico, non id quod ex partibus compositum conglutinatumque est; absit! sed id, quod utpote natura, in personis propriis spectatur. Ex dictis, inquam, constat, Patrem

A νητον δὲ ἀγενήτῳ καθ' ὃ οὐ γέγονε, καὶ ἄκτιστον ἀκτίστῳ καθ' ὃ οὐκ ἔκτισται, τῇ φύσει ταυτόν ἐστιν· εἰ δὲ ταυτόν, καὶ ὁμοφυὲς καὶ ὁμοούσιον· φανερὸν ἄρα ὅτι ἡ ἐνυπόστατος ἁγιότης τοῦ Θεοῦ, ἣ καὶ Πνεῦμα παρὰ τῶν θείων Γραφῶν τρανῶς λέγεται, Θεός τέ ἐστιν ἀληθινὸς, ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ καὶ τῷ Υἱῷ αὐτοῦ.

ιζ'. Εἰ οὖν ὁ Θεὸς καὶ Πατὴρ, ὡς πάσαις κοιναῖς ἐννοίαις ἑπόμενον, ἐνυπόστατός τέ ἐστι, καὶ ἀεὶ καὶ καθ' ἑαυτὸ τὸ εἶναι ἔχει· δέδεικται δὲ ὅτι καὶ ἡ δύναμις τοῦ Θεοῦ, καθ' ἣν ἐστι δυνατὸς, καὶ δι' ἧς ποιεῖ, καὶ ἧς χωρὶς οὐδὲν ποιεῖ, ἣ καὶ Λόγος καὶ Σοφία Θεοῦ ἔστι τε καὶ λέγεται, ἀεί τέ ἐστι καὶ ἐνυπόστατος· ὡσαύτως δὲ καὶ ἡ ἁγιότης, ἣ καὶ Πνεῦμα Θεοῦ λέγεται, ἐνυπόστατός τέ ἐστι, καὶ ἀεὶ, B καὶ καθ' ἑαυτὸ τὸ εἶναι ἔχει· τὸ δὲ ἀεὶ καὶ ἀεὶ καὶ ἀεί· καὶ ἐνυπόστατον [*cod.* ἐνυποστάτῳ καὶ] τῷ ἐνυποστάτῳ καὶ ἐνυποστάτῳ ὁμοφυεῖς καὶ ὁμοουσίους εὑρήσεις· καὶ τοῦτό ἐστιν ὁ Θεὸς ἡμῖν ὁ Πατὴρ καὶ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ὁ μὲν, γεννήτωρ καὶ προβολεὺς, λέγω δὴ ἀπαθῶς καὶ ἀχρόνως καὶ ἀσωμάτως· τῶν δὲ τὸ μὲν, γέννημα· τὸ δὲ, πρόβλημα· εἰ γὰρ καὶ ὁ Πατὴρ Θεός τέ ἐστιν ἀληθινὸς, καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τῆς αὐτῆς καὶ μιᾶς θεότητος, ἀμερίστως ὡς ἐν μεριστοῖς, ἵν' οὕτως εἴπω, θεωρουμένης· ἀλλ' ὅμως οὐ τρεῖς θεοί· καὶ ὅτι τοῦτο ἀληθὲς, ὡς ὑπεσχόμην ἀνωτέρω, πειράσομαι δεῖξαι. Πᾶς ἀριθμὸς τῆς ποσότητος τῶν ὑποκειμένων ἐστὶ δηλωτικὸς, οὐ τῆς φύσεως τῶν πραγμάτων, καὶ C τούτων οὐχ ᾗ ταυτῶν, ἀλλ' ᾗ διαφόρων· ὁμοίως δὲ καὶ πᾶσα συναρίθμησις, τουτέστιν ἡ εἰς ἕνα ἀριθμὸν συναίρεσις, τῶν ἑτεροτήτων πως, ᾗ ἑτέρα ἐστὶν, σύνθεσίς ἐστι καὶ συναίρεσις· καὶ τοῦτο δῆλον, εἴ λάβοι τις χρυσὸν, καὶ τοῦτον κατακερματίσει εἰς πέντε χαρακτῆρας, οὐχὶ πέντε χρυσοῦς ἐρεῖ ὅπως τὴν φύσιν ὑποσημάνῃ, ἀλλὰ πέντε χρυσίνους χαρακτῆρας, ὅπως τὴν ποσότητα τῶν ὑποκειμένων δηλώσῃ· καὶ τούτων οὐχ ᾗ ταυτῶν, ἀλλ' ᾗ διαφόρων· ὡσαύτως δὲ καὶ ταῦτα συναριθμούμενα, τουτέστιν εἰς ἕνα ἀριθμὸν τῶν πέντε συναιρούμενα τῶν ἑτεροτήτων πως καθ' ὃ ἕτερα τὴν σύνθεσιν εἰσάγουσιν· καὶ γὰρ ὁ ἀριθμὸς τῶν διαφόρων πραγμάτων, ᾗ διάφορά ἐστι, περιεκτικὸς καὶ περιληπτικὸς ἂν εἴη.

ιη'. Τούτων οὖν ἡμῖν ὑποτεθέντων, σκόπει τὸ κατασκευαζόμενον. Τῆς θείας καὶ μακαρίας φύσεως D ὅλης ὡς ὅλης, ἀμερίστως ἔν τε τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι θεωρουμένης, ὡς ὁ λόγος ἔδειξεν· καὶ οὐ τοῦ μὲν μᾶλλον, τοῦ δὲ ἧττον, ἀλλ' ἐπ' ἴσης καὶ ἰσοκλεῶς τῆς κατηγορίας κατηγγελμένης· καὶ οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον τῆς κατηγορίας ἐμφαινούσης, ἀλλ' ἅμα καὶ συναϊδίως καὶ κατὰ πάντα ὁμοιοτρόπως οὔσης· καὶ γὰρ ἡ ὁλότης ἣ πρὸ τῶν μερῶν ἐπινοεῖται, ἣ ἐν τοῖς μετέχουσι· καὶ τούτων ἣ ἐν τῷ ἑνὶ ὅλη ὡς ὅλη ἀμερίστως θεωρουμένη, ἣ καὶ ἐν τοῖς λοιποῖς· ὁλότητα δὲ φημι οὐ τὴν ἐκ τῶν μερῶν συγκειμένην καὶ σύνθετον, ἄπαγε, ἀλλὰ τὴν ὡς φύσιν ἐν ταῖς οἰκείαις ὑπο-

Digitized by Google

στάσεσιν θεωρουμένην· φανερὸν ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ μίαν θεότητά τε καὶ ἐξουσίαν καὶ κυριότητα ταυτίζονται, καὶ ἓν εἰσιν· εἴπερ τῆς αὐτῆς καὶ μιᾶς θεότητος ἐπ' ἴσης πεφύκασιν. Εἰ οὖν ὁ Θεὸς καὶ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον καθ' ὃ τῆς μιᾶς θεότητός τε καὶ ἐξουσίας ἰσοκλεῶς ἔχουσιν, ἓν τέ εἰσι καὶ πιστεύονται, ὡμολόγηται δὲ ὅτι πᾶς ἀριθμὸς τῆς ποσότητος τῶν ὑποκειμένων ἐστὶ δηλωτικὸς, καὶ οὐ τῆς φύσεως τῶν πραγμάτων· καὶ τούτων οὐχ ᾗ ταυτῶν, ἀλλ' ᾗ διαφόρων· καὶ πᾶσα συναρίθμησις, τουτέστιν ἡ εἰς ἕνα ἀριθμὸν συναίρεσις τῶν ἑτεροτήτων πως, ᾗ ἕτερά ἐστι, σύνθεσίς ἐστι, φανερὸν ἄρα ὅτι Θεὸν τὸν Πατέρα ἰδίως λέγοντες, ὡσαύτως δὲ καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ τρεῖς θεοὺς εἰσάγομεν συναριθμοῦντες τὴν φύσιν· ἦν γὰρ ἂν ὁ ἀριθμὸς καὶ ἡ συναρίθμησις τῆς φύσεως, καὶ οὐ τῶν ὑποκειμένων πραγμάτων τῆς ποσότητος, καὶ τῶν ταυτῶν ᾗ ταυτά ἐστι, καὶ οὐχὶ τῶν ἑτέρων ᾗ ἕτερά ἐστιν, ὅπερ οὐχ ὡμολόγηται· διὸ Πατέρα ὁμολογοῦντες καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, οὐ καθ' ὃ Πατὴρ ἢ Υἱὸς ἢ Πνεῦμα ἅγιον ἓν ἐστι καταγγέλλομεν (ταῦτα γὰρ διάφορα), ἀλλ' ᾗ μία θεότης τε καὶ ἐξουσία, καὶ εἷς Θεὸς θεωρεῖται, κἂν τρία ταῖς ὑποστάσεσι πιστεύηται.

ιθ'. Καὶ ἄλλως ἔστι δεῖξαι, ὅτι οὐ τρεῖς θεοὺς εἰσάγομεν ἐπὶ τῇ μιᾷ θεότητι, κἂν τρεῖς ὑποστάσεις ὁμολογοῦμεν· εἰ οὖν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀκριβῶς παρ' ἡμῖν δέδεικται ὅτι τῆς μιᾶς καὶ ἀκτίστου καὶ ἀγενήτου θεότητος συναϊδίως ἔχουσι, καὶ μία φύσις τῶν τριῶν κατηγορεῖται, καὶ οὐχ ἑτέρα καὶ ἑτέρα, φανερὸν ὅτι τρεῖς ὑποστάσεις λέγοντες, οὐ συνεισάγομεν καὶ τρεῖς θεούς· εἰ γάρ τις ἡμῖν τοῦτο καταφημίζει, οὐδὲν ἄλλο αὐτὸν ἔστι λέγειν, ἀλλ' ἢ κατὰ ταυτὸν ἓν τε καὶ πολλὰ εἶναι, καὶ τὴν ἀντίφασιν συναληθεύειν, καὶ τὰ ἐλάττονα τῶν ἐπιπλέον κατηγορεῖσθαι καὶ ἐξισάζειν, ὅπερ οὐδὲ ταῖς λογικαῖς μεθόδοις, οὐδὲ τῇ ἀληθείᾳ σύμφωνον· καὶ ὅπως ἡμῖν σαφὲς γένηται τὸ λεγόμενον, ὡς ἐν ὑποδείγματος τρόπῳ τὴν ἀνθρωπίνην φύσιν λαβόντες, καὶ ἐφ' ὧν ταύτῃ κατηγορεῖται, δῆλον ὑμῖν τὸ λεγόμενον παραστήσω· Ἔστω ἡ ἀνθρωπίνη φύσις ὡς ἐν ὑποθέσει τριῶν ὑποστάσεων μόνων κατηγορουμένη, οἷον Πέτρου, φημὶ, καὶ Παύλου καὶ Θωμᾶ· αὕτη οὖν ἡ φύσις ὅλη ὡς ὅλη ἀμερίστως ἐπὶ Πέτρου καὶ Παύλου καὶ Θωμᾶ κατηγορεῖται· καὶ γὰρ ἕκαστος [*cod.* ἕκαστον] τούτων, ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστι· φανερὸν ὅτι καὶ τὰ μετέχοντα, καθ' ὃ τῆς αὐτῆς καὶ μιᾶς φύσεως μετέχουσιν, ἓν τε καὶ ταυτά εἰσι· καθ' ὃ δὲ διάφορα ταῖς ὑποστάσεσι, καὶ τὸν τρεῖς ἀριθμὸν ἐκληρώσαντο. Εἰ οὖν τις τὴν *ἄνθρωπος* φωνὴν, ἥτις ἐστὶ φύσεως δηλωτικὴ ἐπὶ τῶν τριῶν ὑποστάσεων, μίαν οὖσαν καὶ τὴν αὐτὴν καὶ ἀμερίστως αὐτῶν κατηγορουμένην, εἶτα καὶ ὡς τριῶν συναριθμουμένων, καὶ ταύτην τὴν *ἄνθρωπος* φωνὴν ἐξ ἀνάγκης ταῖς ὑποστάσεσι συναριθμήσει, τρεῖς ἀνθρώπους φάσκων, οὐδὲν ἄλλο λέγει, ἀλλ' ἢ τρεῖς φύσεις ἐν ταῖς τρισὶν ὑποστάσεσι θεωρεῖσθαι· ἡ γὰρ *ἄνθρωπος* φωνὴ φύσεώς ἐστι δηλωτική· εἰ δὲ τοῦτο,

A et Filium et Spiritum sanctum, secundum unicam divinitatem, potestatem ac dominationem, idem unumque esse; siquidem unam eamdemque deitatem æque tenent. Si ergo Deus Pater, et Filius, et Spiritus sanctus, quatenus eamdem deitatem ac potestatem æque habent, unum quid sunt et creduntur; in confesso autem est omnem numerum demonstrare subjectarum rerum quantitatem, non autem rerum naturam, et harum quidem non quatenus earumdem, sed quatenus potius diversarum; et si omnis connumeratio, id est, in unum numerum contractio, diversitatum, quatenus diversæ sunt, compositio est; constat prorsus, quod cum Patrem seorsum dicimus, itemque Filium et Spiritum sanctum, tres deos non inducimus quasi numerando B naturam. Secus, numerus et connumeratio naturam afficeret, non autem subjectarum rerum quantitatem; et quidem eas tanquam easdem, non diversas prout diversæ sunt; quod non conceditur. Itaque cum Patrem confitemur et Filium et Spiritum sanctum, non quasi Pater et Filius et Spiritus sanctus unum quid sint pronuntiamus; hi enim diversi sunt, sed quatenus una deitas, una potestas, et unus Deus consideratur, quanquam tres personæ creduntur.

19. Adhuc aliter rem demonstrare possumus, nequaquam tres Deos a nobis induci in una divinitate, etiamsi personas tres confitemur. Si ergo Pater et Filius et Spiritus sanctus, prout accurate nos demonstravimus, unam nec creatam nec factam C divinitatem perpetuo simul habent, unaque natura trium prædicatur, non alia et alia, patet quod, dum tres personas dicimus, haud tres deos inducimus. Quod si quis nobis imputet, idem facit dicenti, aliquid secundum idem, et unum esse et plura, et contradictioni inesse veritatem, et minora majoribus exæquari pariterque appellari: quod neque logicis regulis neque veritati consonat. Atque ut nobis dicta res clarior fiat, humanam naturam ad exemplum sumens, secundum ejusdem prædicamenta, perspicuam vobis faciam orationem meam. Esto humana natura tanquam in subjecto trium tantum personarum prædicata, veluti Petri, Pauli, ac Thomæ. Hæc igitur natura tota prout est indivise in Petro, Paulo ac Thoma, denominatur: nam horum unusquisque, D animal est rationale, mortale, mentis scientiæque capax. Constat hos participes, quatenus unam eamdemque naturam participant, unum quid idemque esse: quatenus autem diversi sunt personis, ternarium numerum habere. Si quis ergo vocabulum *homo* quod naturam denotat, quodque unum idemque et indivise de tribus prædicatur; deinde tanquam tribus jam simul connumeratis, idem hoc vocabulum *homo* necessario cum personis connumeret, tres dicens homines; nihil aliud dicit, nisi tres naturas in personis tribus spectari: namque hominis vocabulum naturam denotat. Quod si verum est, utique idem secundum idem comperietur, id est humanam naturam, et unum quid esse et contra: et quod contradictio est, verum evadet; quod est absurdum.

Digitized by Google

Neque hoc solum, sed et minora id est, personæ, majorum, id est, naturarum prædicamentum sortientur, eisque æquabuntur ; quæ res ita declaratur.

A εὑρεθήσεται τὸ αὐτὸ κατὰ ταυτὸ, τουτέστιν ἡ ἀνθρωπίνη φύσις ἓν τε καὶ οὐχ ἓν· καὶ ἡ ἀντίφασις συναληθεύσει, ὅπερ ἄτοπον· καὶ οὐ μόνον τοῦτο, ἀλλ' ἢ καὶ τὰ ἐλάττονα, τουτέστι τὰς ὑποστάσεις τῶν ἐπιπλέον, τουτέστι τῶν φύσεων συμβαίνει κατηγορεῖσθαι καὶ ἐξισάζειν· ἔστι δὲ καὶ τοῦτο δῆλον ὧδε·

20. Humana natura in tribus personis prædicata, haud vicissim ex his prædicatur, neque convertitur, propterea quod plus est quam unaquæque persona. Nam si quid est Petrus, hoc et homo ; non tamen si quid homo, hoc et Petrus. Namque in prædicatis, illa invicem convertuntur quæ sunt æqualia, veluti homo et risibile ; nam si quid est homo, hoc et risibile ; et si quid est risibile, hoc et homo. Quæ autem excedunt, ea invicem non convertuntur, propter excessum. Veluti si quid homo, hoc et animal ; non si quid animal, hoc et homo. Si ergo, cum humana natura plus sit singulis tribus personis, prædicetur autem ternarius numerus trium personarum, non absolute, sed secundum talem subjectorum quantitatem ; idem autem numerus, quem et numerabilem dicimus, ceu qui numeratur magis quam numerat, prædicetur etiam de vocabulo homo adæque ac numerus personarum ; sic, inquam, comperietur unaquæque persona uni naturæ æquata, et vicissim prædicata. Nam tres et tres numerati, non sunt plures, sed pares. Nam et si duo quædam sint, alterum autem de uno prædicetur, veluti risibile de homine ; demonstretur autem alterum esse par, necessario accidit ut prædicamentum invicem fiat, et homo prædicetur pro risibili. Quamobrem constat, quod si quis connumeraverit personis naturæ ipsarum nomen, faciet ut minora prædicentur de majoribus et exæquentur ; quod abhorret a logicis regulis et a veritate, ut diximus.

46. Quod autem in prima quoque fabula dictum fuit, nempe causam pereuntibus esse hujusce hominis Deum, nunc quoque dicit : « Vultis utique duces viæ fieri homini, quem Deus fecit errare. Atqui ei quem Deus fecit errare, nequaquam invenietur via. » Decebat sane talis Dei talem esse præconem! Quod si nostro sermoni abnuant hi qui dolosi hujus præda sunt, sic eos clementer alloqui licet : Vos quasi deceptorem dicitis Deum : atqui universalis Deus deceptor non est : Deus enim veritatis est, et ita a divina Scriptura appellatur. Mendacium autem est deceptio : tum mentiri ne pii quidem hominis est, nedum ejus qui hominem scientiam docet. Quod si quia vester legatus deceptorem dicit Deum, idem hoc vobis quoque videtur; vere et nos dicimus illius esse Deum, qui eumdem talia scribere jussit. Quod si exandescunt dicentibus nobis, diversum esse Mohamedis Deum a vero Deo; hoc haud nostro prædicamento fit, sed ex ejusdem confessione conficitur. Deceptorem enim esse oportet illum qui male facere palam nequit; vel etiam punire quos vellet, publice non valet : quorum neutrum in Deum verum cadit. Quamobrem recte dicimus diversum esse Deum Mohamedis a vero Deo. Et certe deceptorem esse, constat ex omnibus Mohamedis scriptiunculis : insuperque ex hac vehementi accusatione Dei. Nam si a Deo hanc dicamus profectam vocem, semet accusat Deus deceptorem. Quodsi hoc fieri nequit, vere autem loqui oportet legatum; superest, ut hoc reapse effatum sit Dei Mohamedis. Est ergo deceptor Deus Mohamedis. Quod si Deus ipsius non est deceptor, mentitur certe Mohamedes, qui deceptorem dicit Deum suum. Atqui falsum prophetam et legatum, ceu deceptorem interficere oportet præsentem, anathemati autem subjicere absentem : adeoque si verax est Mohamedes, fit atheus : si mentitur, exsecrandus est.

47. Mox progrediens, ineptias quasdam et battologias, quominus ei discredatur, recinit, metumque injicit miseris barbaris, si forte velint sibi comprobari, quod hæc ab ore Dei loquatur. Sciens enim, se dicente : Hæc a Deo accepi, fore aliquem prorsus dubitantem, et absolutam rei probationem postulantem dicentemque : Si hæc revera a Deo accepisti, tibique familiaris Deus est, potes facile vel nobis spectantibus eadem ab eo postulare atque accipere; ipse tanquam a Pythone inspiratus ait : « Petunt a te scripturales, ut descendere super eos

A εἰκόνα Θεοῦ ἔχετε· ἄλογα γίνεσθε, πηρώσατε τοὺς τῆς διανοίας ὑμῶν ὀφθαλμοὺς, καὶ τυφλοί μοι ἀκολουθεῖτε· μὴ ἐξασκήσητε τὴν τοῦ καλοῦ καὶ κακοῦ διάκρισιν· ἤδει γὰρ, ἤδει ὡς οὐδενὸς ἀξιολόγου τὰ παρ' αὐτοῦ ληρούμενα τυγχάνει, καὶ τῶν μαινομένων εἰς μηδὲν διαλλάττοντα ποππυσμάτων [*cod.* πομπ.], εἰ τῇ θείᾳ παρατεθεῖεν Γραφῇ, ἢ καὶ ἄλλως ἀνθρωπίνῃ συνέσει ἐξετάζοιντο.

μς'. Ὅπερ δὲ κἀν τῷ πρώτῳ μύθῳ ἐλέγετο ὅτι αἴτιος τῶν ἀπολλυμένων ὁ τούτου Θεὸς, καὶ νῦν φησιν (75)· « Θέλετε ἆρα ὁδηγῆσαι τὸν ἐπλάνησεν ὁ Θεός· καὶ τὸν πλανᾷ ὁ Θεὸς, οὐ μὴ εὑρεθῇ αὐτῷ ὁδός. » Ἔδει γὰρ, ὡς εἰκὸς, τοιούτου Θεοῦ τοιοῦτον εἶναι τὸν κήρυκα· εἰ δὲ ἀπαναίνοιντο οἱ τῇ τούτου ζωγρηθέντες ἀπάτῃ πρὸς τὸν ἡμέτερον λόγον, ἡπίως φάναι ἔστι πρὸς αὐτοὺς, ὡς Εἰ μὲν πλάνον λέγετε Θεὸν, ὁ τῶν ὅλων Θεὸς πλάνος οὐκ ἔστιν. Θεὸς γὰρ τῆς ἀληθείας καὶ ἔστιν καὶ παρὰ τῇ θείᾳ Γραφῇ ὀνομάζεται· ψεῦδος γάρ ἐστιν ἡ ἀπάτη· ψεύδεσθαι δὲ οὐδὲ εὐλαβοῦς ἀνθρώπου, μήτιγε τοῦ διδάσκοντος ἄνθρωπον γνῶσιν· εἰ δὲ διὰ τὸ φάναι τὸν ὑμέτερον ἀπόστολον πλάνον τὸν Θεὸν, τοῦτο καὶ ὑμῖν δοκεῖ, ἀληθῶς τὸν αὐτοῦ καὶ ἡμεῖς φαμεν τὸν τὰ τοιαῦτα γράφειν αὐτὸν προστάσσοντα· εἰ δὲ ἔτι ἐκκαίοιντο ἡμῶν λεγόντων ἕτερον εἶναι τῷ Μωάμετ παρὰ τὸν ὄντως ὄντα Θεὸν, οὐ παρὰ τὴν ἡμῶν κατηγορίαν φαμὲν, ἀλλὰ παρὰ τὴν αὐτοῦ ὁμολογίαν τοῦτο δείκνυται· πλάνον γὰρ δεῖ εἶναι τὸν κακουργεῖν εἰς τὸ προφανὲς μὴ ἰσχύοντα, ἢ καὶ ἄλλως ἀμύνασθαι οὓς βούλεται εἰς τὸ φανερὸν οὐ δυνάμενον· ὅπερ ἐπὶ τοῦ ὄντως Θεοῦ χώραν οὐκ ἔχει· ὥστε καλῶς λέγομεν, ὅτι ἕτερος Θεὸς ὁ τοῦ Μωάμετ παρὰ τὸν ἀληθῆ Θεὸν, ἐπειδὴ καὶ πλάνος ἐστὶν, καὶ δῆλον ἐκ πάντων τῶν παρ' αὐτοῦ σκιογραφηθέντων· ἔτι γε μὴν καὶ ἐκ τῆς σφοδρᾶς ταύτης κατηγορίας τοῦ Θεοῦ. Εἰ γὰρ παρὰ Θεοῦ ταύτην φῶμεν εἰρῆσθαι τὴν φωνὴν, ἑαυτοῦ καταμαρτυρεῖ ὁ Θεὸς ὅτι πλάνος ἐστίν· εἰ δὲ τοῦτο ἀδύνατόν ἐστιν, ἀληθεύειν δὲ δεῖ τὸν Ἀπόστολον, λείπεται εἶναι φωνὴν τοῦ Θεοῦ τοῦ Μωάμετ, ὥστε πλάνος ἐστὶν ὁ Θεὸς τοῦ Μωάμετ· εἰ δὲ πλάνος αὐτοῦ οὐκ ἔστιν ὁ Θεὸς, ψεύδεται ἄρα Μωάμετ, πλάνον εἶναι λέγων τὸν Θεὸν αὐτοῦ· ψευδόμενον δὲ προφήτην καὶ ἀπόστολον, ὡς πλάνον δεῖ μὲν ἀναιρεῖσθαι παρόντα, ἀπόντα δὲ κατα[να]θεματίζεσθαι· ὥστε καὶ ἀληθεύων Μωάμετ, ἄθεος· καὶ ψευδόμενος, ἀποτρόπαιος.

μζ'. Προελθὼν δὲ ὕβλους τινὰς καὶ βαττολογίας πάλιν ὑπὲρ τοῦ μὴ διαπιστηθῆναι διαλαμβάνει· καὶ φόβον ἐπανατείνεται τοῖς ταλαιπώροις βαρβάροις, εἰ πειραθεῖεν πληροφορίας τυχεῖν ὡς ταῦτα παρὰ Θεοῦ ἐλαλήθη. Εἰδὼς γὰρ ὅτι αὐτοῦ λέγοντος, Ταῦτα ἐκ Θεοῦ ἐδεξάμην, ἔσται τις πάντως διαμφιβάλλων, καὶ πρὸς τελείαν πίστωσιν ἐξαιτούμενος καὶ λέγων, ὅτι [Εἰ] ἀληθῶς ταῦτα ἐκ Θεοῦ ἐδέξω, καὶ φίλος σου ὁ Θεὸς, δύναται πάντως καὶ ἡμῶν βλεπόντων αἰτήσασθαι τοιοῦτον καὶ λαβεῖν· φησὶν (76), ὡς ἐκ τοῦ ἐμπνεύσαντος αὐτῷ Πύθωνος· « Αἰτοῦνταί σε οἱ οἱ-

(75) Sur. IV, 87.

(76) Sur. IV, 152.

Digitized by Google

κεῖοι τῆς γραφῆς, τοῦ κατενέγκαι ἐπάνω αὐτῶν γραφὴν ἐκ τοῦ οὐρανοῦ· καὶ γὰρ ἠτήσαντο τὸν Μωϋσῆν μεγαλώτερα τούτων, καὶ εἶπον· Δεῖξον ἡμῖν τὸν Θεὸν φανερῶς· καὶ ἔλαβεν αὐτοὺς τὸ θεῖον διὰ τὰς ἀδικίας αὐτῶν. » Καίτοιγε οὐ γέγραπται ὅτι ἀνῃρέθησαν διὰ θείου, ἀλλ' ὅτι μᾶλλον παρῃτήσαντο μὴ ὀφθῆναι αὐτοῖς τὴν τοῦ Θεοῦ δόξαν. Ἀλλ' ὁ πεφαλσευμένος οὗτος πάντα πρὸς τὴν οἰκείαν πλάνην καὶ ἀπώλειαν τὰ τῆς θείας Γραφῆς κατέστρεφεν· τοιγαροῦν τοὺς τὴν ψυχὴν στρεβλωθέντας διὰ τοῦ στρεβλοῦ αὐτοῦ μύθου κατέπειθεν, ὡς εἰ καὶ παρ' αὐτοῦ τι τοιοῦτον ζητήσειαν οὗτοι, πάντως ἀπολοῦνται· ἕτερόν τινα τοιοῦτον τρόπον ἔχοντα δύο τῶν παρ' αὐτοῦ σπουδαζομένων πιθανότητας, ὡς ἐδόκει, μίαν μὲν εἰς τὸ αὐτὸ τοῦτο συνᾴδουσαν, τὸ μὴ δεῖν αὐτὸν ἀπιστηθῆναι τοιαῦτα παραφρονοῦντα· ἑτέραν δὲ τὸ ὅλον μυστήριον τῆς Χριστιανῶν ἐλπίδος ἀποχενοῦσαν· διαβάλλειν γὰρ δῆθεν δοκῶν Ἰουδαίους ὡς ἀπειθεῖς Θεοῦ γεγονότας καὶ προφητοκτόνους, τὸ ἀσφαλὲς ἑαυτῶν ἐκ τῆς εἰς αὐτοὺς ἀγανακτήσεως τοῦ Θεοῦ ἐνόμισεν· φησὶ γάρ (77)· « Διὰ τὴν ἀδικίαν τῶν Ἰουδαϊσάντων, ἐκωλύσαμεν ἐπάνω αὐτῶν ἅπερ ἐξ ὧν αὐτοῖς εἶπαν· καὶ ἡτοιμάσαμεν ἐξ αὐτῶν κόλασιν σφοδράν· καὶ διὰ τὸ φονεῦσαι αὐτοὺς τοὺς προφήτας ἄνευ δικαίου. »

A facias de cœlo librum. Et quidem his majora a Moyse postularunt, dixeruntque : Ostende nobis Deum manifeste. Quamobrem corripuit eos sulphur propter iniquitates ipsorum, » Cæteroqui scriptum non est, eos sulphure fuisse interfectos; sed potius quod deprecati fuerint ne sibi Dei gloria appareret [a]. Quanquam falsarius iste cuncta ad fraudem suam atque ad perniciem divinæ Scripturæ testimonia detorquet. Quamobrem iis qui animo torquebantur circa tortuosam ejus fabulam persuadebat, quod si aliquid hujusmodi ab eo exquirerent, omnino essent perituri; alio quodam modo, duo persuasionis genera ut putabat curans; unum huc pariter spectans, non oportere sibi discredi, alterum, ut universum Christianæ spei mysterium vanum redderet. Hinc enim incusare Judæos putans, ceu Deo incredulos, et prophetarum interfectores, patrocinium rei ex ira Dei contra illos existimat consequi, dicens : « Propter Judaizantium iniquitatem prohibuimus ab eis illa quæ super illis dicta fuerant; et grave illis supplicium paravimus; etiam quia prophetas occiderant contra fas. »

μη'. Ἡ δὲ κατὰ τοῦ μυστηρίου τῆς Χριστιανικῆς εὐσεβείας σκαιωρία ἔστιν αὕτη· Προσποιεῖται δῆθεν προϊστασθαι τοῦ Χριστοῦ, καὶ τὴν εἰς αὐτὸν παρὰ Ἰουδαίων γεγενημένην ἀναιρεῖν ὕβριν, τοῦ τε σταυροῦ καὶ θανάτου· ὡς ἂν τούτου ὡς παρὰ εὐνοουμένου παραδεχθέντος καὶ πιστευθέντος, ἡ ἀνάστασις ἐπιλείψῃ· ταύτης δὲ μήτε πραχθείσης μήτε πιστευθείσης, εἰς κενὸν αἱ τῶν Χριστιανῶν ἐλπίδες οἰχήσονται· φησὶ γοῦν (78)· « Καὶ τοῦ λέγειν Ἰουδαίους, Ἡμεῖς ἐφονεύσαμεν τὸν Χριστὸν τὸν Ἰησοῦν υἱὸν Μαρίας ἀπόστολον Θεοῦ· οὐκ ἐφόνευσαν αὐτὸν οὐδὲ ἐσταύρωσαν αὐτὸν, ἀλλ' ὡμοιώθη αὐτοῖς (79)· οἵτινες δὲ ἀμφιβάλλουσι δισταγμῷ ἐξ αὐτοῦ, οὐκ ἔχουσιν εἰς αὐτὸν εἴδησιν, εἰ μὴ ἀκολουθίαν τοῦ νομίζειν· καὶ οὐκ ἐφόνευσαν αὐτὸν ἐν ἀληθείᾳ, μᾶλλον ὕψωσεν αὐτὸν ὁ Θεὸς πρὸς ἑαυτόν. » Ἐντεῦθεν μανθάνομεν ὅτι ὁ διάβολος μετασχηματίζεται εἰς ἄγγελον φωτός· καὶ οὐ θαυμαστὸν, εἰ καὶ οἱ αὐτοῦ θεράποντες τοῦτο ποιοῦσιν· καὶ τῶν τοῦ Κυρίου δὲ ῥημάτων νῦν εὔκαιρον μνημονεῦσαι, ὅτι εἰ δυνατὸν καὶ τοὺς πιστοὺς ἀπατῆσαι· ὁρᾶτε γὰρ εὔνοιαν ἐπιβουλῆς πλήρη, καὶ ἀπολογίαν κατηγορίας μεστὴν, καὶ δόγμα ἀναστρέφον τὴν ὅλην τοῦ Θεοῦ οἰκονομίαν· ἔστω γὰρ μὴ παραχωρεῖν αὐτὸν ὡς Υἱὸν Θεοῦ ἀναστῆναι, διὰ τί μὴ ὡς ἀπόστολον Θεοῦ, ὡς αὐτὸς αὐτὸν ὀνομάζει; τοῦτο δίδωσι διὰ δύο αἰτίας· μίαν μὲν, οἰηθεὶς, ὅτι Πάντως κἀμὲ ἀναστῆναι ἀπαιτήσουσιν, ὡς αὐτὸν, οἱ βάρβαροι, εἴπερ κἀγὼ ἀπόστολός εἰμι Θεοῦ· τοῦτο δὲ μὴ γενομένου περὶ ἐμὲ, καύσουσι πάντως καὶ τὰ ὀστᾶ

48. Jam adversus Christianæ religionis mysterium malitia ejus hujusmodi est. Simulat Christo patrocinari, et injuriam illi abs Judæis illatam crucis necisque de medio tollere, ut postquam ipse visus fuerit erga Christum benevolus, atque ita creditus, resurrectio deinde evanescat : qua nec facta nec credita, vana Christianorum spes fiet. Ait igitur : « Quod vero Judæi dicunt, Nos occidimus Christum Jesum Mariæ filium, legatum Dei, reapse non occiderunt eum neque crucifixerunt, sed ejus rei similitudo objecta fuit ipsis. Certe qui ex ambiguitate de eo dubitant, non habent circa ipsum scientiam, sed tantum opinionis sectationem : neque eum vere occiderunt, sed Deus potius ad se illum sustulit. » Hinc scilicet discimus, diabolum se in angelum lucis transformare; neque esse mirandum, quod ejus quoque famuli idem agant. Et quidem nunc tempus est, ut verborum Domini reminiscamur, nempe quod si fieri potest in errorem inducentur etiam fideles [b]. Cernitis enim benevolentiam insidiosam, accusatoriam defensionem, et sententiam quæ universam Dei œconomiam subvertit. Esto enim quod Mohamedes Christum resurrexisse non annuat tanquam Filium Dei; cur non saltem tanquam Dei legatum, ut eumdem ipsemet nominat? Hoc duplicem ob causam facit, primo quia putat fore ut me quoque a mortuis resurgere, æque ac illum, barbari postulent, siquidem et ego Dei legatus sum : quod si mihi non eveniet, ossa mea

[a] Exod. xx, 19. [b] Matth. xxiv, 24.

(77) Sur. IV, 154.
(78) Sur. IV, 156.
(79) Cantacuzenus orat. 3, cod. Vat. 548, f. 279, b. sic recitat hunc locum : Φησὶν ὁ Μωάμεθ μὴ ὑπὸ τῶν Ἰουδαίων τὸν Χριστὸν ἀναιρεθῆναι μήτε σταυρωθῆναι, ἀλλά τινα ἕτερον ἐκεῖνῳ ὅμοιον· καὶ κατὰ φαντασίαν ἐδόκει τὸν Χριστὸν ἐσταυρῶσθαι, Μανιχαίοις ἀκολουθῶν.

Digitized by Google

simul et scripta exurent. Altera causa fuit, quod si annueret credi resurrectionem, non satis erit sermoni meo ut legatum ipsum appellet. Nam si vere resurrexit, quæcunque etiam dixit credentur. Jam si dixerit : Filius Dei sum, Agarismum totum perimit, quia in unius personæ fraude tota fabula nititur. Annuebat itaque ipsum tanquam alterum Eliam potius assumptum, quam e mortuis excitatum. Talis est diaboli malitia !

49. Et paulo post, denuo hic stultus sibi infamiam concilians, nec quid patiatur sentiens, ait : « Christus Jesus, Mariæ filius, legatus Dei est, et ejusdem Verbum quod in Mariam immisit, et Spiritus ex eo. » O amens et insane ! si Verbum Dei est Christus, ut tu ais, veraciter omnia dicet. Atqui dicit se Filium Dei; etenim Evangelium tu ipse dixisti ipsum a Deo didicisse : credendum itaque Christo est. Porro fide ei adhibita, irreligiositas tua, te ipso teste, corruet. Hoc vero mirabile est, quod cum Dei Verbum appellet Christum, et Spiritum ex eo esse dicat, haud valuit intelligere ea quæ ex Dei substantia proficiscuntur, et ei propria coexsistunt, esse consubstantialia; atque ita unum Deum in tribus personis adorandum. Sed nihilo secius rudi ignorantia cæcutiens, paucis additis adhuc nugis, fabulam claudit.

CONFUTATIO IV.

50. Quartum Mohamedicæ mythologiæ capitulum inscribitur *Mensa*. Blaterat autem de carnium esu ferro cæsarum, porco excepto; ut hinc barbaros mundos esse declaret. Perjurium et scortationem damnat, ut bonus videatur legislator. Oblitus est autem ante dictorum, nempe : « Congredimini ex animorum vestrorum sententia. » Eosdem purificari vult ad orationem euntes, si copia sit, aqua; sin ea desit, pulvere; qui quidem, ut omnes sciunt, non purgandi, sed sordidandi vim habet. Rursus autem timori suo consulit; quia enim audierat Christum dixisse, finem prophetarum esse Joannem [7]; itemque Apostolum pronuntiantem : Plenitudo legis Christus ad justificationem omni credenti [8], metuens ne forte aliqui ei dicerent : Non est nobis alius propheta promissus post Christum; cur ergo tu legatum te Dei ac prophetam nominas? metuens, inquam, ne mendax videretur, fatetur se quoque scire rem ita se habere : causam vero ponit adventus sui, Ne vos, inquam, diceretis neminem evangelistam ad vos venisse : probans hinc, Christum propter vestram utilitatem mentitum : contigit autem illi prorsus esse mendaci, quia quod futurum erat nescivit : quamobrem me adveniente, ille mendax evasit : qui autem mentitur, ne Deus quidem est. Hæc est benigna inhumani hominis species, et fabulæ ab eo

[7] Matth. xi, 13. [8] Rom. x, 4.

μου καὶ τὰ γεγραμμένα παρ' ἐμοῦ. Ἑτέραν δέ, ὅτι Εἰ δοθείη πιστωθῆναι τὴν ἀνάστασιν, οὐχ ἵσταταί μου ὁ λόγος μέχρι τοῦ ἀπόστολον αὐτὸν ἀποκαλεῖν· εἰ γὰρ ἀληθῶς ἀνέστη, καὶ ὅσα λέγει πιστευθήσεται· λέγων δὲ ὅτι Υἱός ἐστι Θεοῦ, τὸν Ἀγαρισμὸν παντάπασιν ἀναιρεῖ, μονοπρόσωπόν τινα πλάνην μυθευόμενον· ἠνέσχετο οὖν κατὰ τὸν Ἠλίαν αὐτὸν ἀναληφθέντα φάναι, ἢ ἐκ νεκρῶν ἀναστῆναι· τοιαύτη ἡ τοῦ διαβόλου κακουργία.

μθ'. Καὶ μετ' ὀλίγα πάλιν ἑαυτὸν ὁ μάταιος καταισχύνων, καὶ μηδὲ αἰσθόμενος ὅπερ ἔπασχε, φησίν (80)· « Ὁ Χριστὸς Ἰησοῦς υἱὸς Μαρίας ἀπόστολος Θεοῦ ἐστι καὶ Λόγος αὐτοῦ, ὃν ἔβριψεν πρὸς τὴν Μαρίαν, καὶ Πνεῦμα ἐξ αὐτοῦ. » Ἀνόητε καὶ παράφρον· εἰ Λόγος Θεοῦ ὁ Χριστὸς, ὡς σὺ φῂς, ἀληθεύσει πάντα λέγων· λέγει δὲ ὅτι Υἱός ἐστι τοῦ Θεοῦ· τὸ γὰρ Εὐαγγέλιον σὺ αὐτὸς εἴρηκας ἐκ Θεοῦ αὐτὸν μαθεῖν· πιστευθῆναι αὐτὸν δεῖ· πιστευθέντος δὲ αὐτοῦ, ἡ σὴ δυσσέβεια ἐκ τῆς σῆς μαρτυρίας ἀνατραπήσεται· τοῦτο δὲ ἔστιν θαυμάσαι ὅτι καὶ Θεοῦ Λόγον τὸν Χριστὸν καλῶν, καὶ τὸ Πνεῦμα ἐξ αὐτοῦ λέγων, οὐ δεδύνηται τὰ ἐκ τῆς οὐσίας προερχόμενα τοῦ Θεοῦ, καὶ ἰδιοσύστατα ὄντα ὁμοούσια αὐτοῦ νοῆσαι, καὶ οὕτως ἕνα Θεὸν ἐν τρισὶν ὑποστάσεσι προσκυνῆσαι· ἀλλ' οὐδὲν μᾶλλον τυφλοποιῶν ἀπαιδευσίας καὶ ἐν βραχείαις ἑτέραις φλυαρίαις, καταπαύει τὸν φλήναφον.

ΕΛΕΓΚΤΙΚΟΣ Δ'.

ν'. Ὁ τέταρτος τῆς μυθολογίας τῷ Μωάμετ (81), ἐπιγέγραπται μὲν λόγος *Εἰς τὴν τράπεζαν*, παραλαλεῖ δὲ περὶ βρώσεως κρεῶν τῶν διὰ μαχαίρας, πλὴν χοιρείου· ὡς δῆθεν ἐκ τούτου καθαροὺς ἀποφῆναι τοὺς βαρβάρους ἐπαγγελλόμενος· καὶ ἐπιορκίαν δὲ καὶ πορνείαν καταδικάζει (82), τὸ δόξαι ἀγαθὸς εἶναι νομοθέτης· ἐπελάθετο δέ, ὡς πρότερον ἔλεγεν, ὅτι « Συνέλθετε ταῖς ψυχαῖς ὑμῶν· » καὶ καθαρίζειν αὐτοὺς εἰς εὐχὴν ἰόντας βούλεται, εἰ μὲν πάρεστιν, ὕδατι· εἰ δὲ οὐ πάρεστιν, χώματι· ὅπερ πᾶσι δῆλόν ἐστιν οὐ καθαρτικὴν, ἀλλὰ πιναρὰν ἔχον φύσιν. Πάλιν δὲ τῆς περὶ φόβου αὐτοῦ ὑποθέσεως δράττεται· ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος, τέλος προφητῶν εἶναι τὸν Ἰωάννην· καὶ τοῦ Ἀποστόλου εἰπόντος, « Πλήρωμα νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι, » φοβηθεὶς μή τινων πρὸς αὐτὸν λεγόντων, Οὐκ ἔχομεν ἐπαγγελίαν ἑτέρου προφήτου μετὰ Χριστόν· πόθεν οὖν σὺ ἑαυτὸν ἀπόστολον Θεοῦ καὶ προφήτην ὀνομάζεις; δόξει ψευδὴς εἶναι, ὁμολογεῖ καὶ αὐτὸς οὕτω ταῦτα ἔχειν εἰδέναι· αἰτίαν δὲ τίθησιν τῆς ἐλεύσεως αὐτοῦ, Τοῦ μὴ λέγειν ὑμᾶς, φησὶν, Οὐκ ἦλθεν ἡμῖν ὁ εὐαγγελιζόμενος· κατασκευάζων ἐντεῦθεν, ὅτι Διὰ τὸ ὑμῶν συμφέρον ὁ Χριστὸς ἐψεύσατο· ψεύσασθαι δὲ αὐτὸν συνέδη πάντως τὰ μέλλοντα μὴ εἰδότα· ὥστε ἐμοῦ ἐλθόντος, ἐκεῖνος ἐψεύσατο· ψευσάμενος δὲ, οὐδὲ Θεὸς ἂν εἴη·

(80) Sur. IV, 169.
(81) Sur. V, 2.
(82) Sur. V, 6, 7.

Digitized by Google

τοιοῦτον τὸ φιλάνθρωπον τοῦ ἀπανθρώπου σχῆμα, καὶ ἡ σκηνὴ τοῦ μυθαρίου αὐτοῦ· ἐλέγχεται δὲ ἐκ τοῦ μηδέν τι προφητικὸν σημεῖον παρ' αὐτοῦ εὑρίσκεσθαι.

A conflictæ, scena. Sed inde convincitur quod nullum propheticum indicium apud eum comperiatur

να'. Τὰ εἰωθότα δὲ αὐτῷ ψευδηγορῶν κατὰ τῆς θείας Γραφῆς (83), μνημονεύει τοῦ θανάτου Ἄβελ, καὶ κόρακα λέγει αὐτοῦ σῶμα θάψαι ὁρῶντος τοῦ Κάϊν, καὶ ἐκ τούτου εἰς κατάνυξιν ἐληλυθέναι· τῶν ἐπὶ σκηνῆς ταῦτα καὶ μεθυόντων ἢ μαινομένων. Ὁμαλίζων δὲ τὰς τῶν βαρβάρων καρδίας πρὸς τὸ παραδέξασθαι τὰς αὐτοῦ βλασφημίας, μέμνηται πάλιν Χριστοῦ καὶ τοῦ Εὐαγγελίου, καὶ ἑαυτὸν ἀνατρέπων οὐ συνορᾷ· φησὶ γάρ· « Ἀπεστείλαμεν δὲ ἀκόλουθον τούτων, πάντων δηλαδὴ τῶν προφητῶν, Ἰησοῦν τὸν υἱὸν τῆς Μαρίας εἰς τὸ ἀληθοποιῆσαι τὰ πρὸ αὐτοῦ τὰ τοῦ νόμου, καταγαγόντες αὐτῷ καὶ τὸ Εὐαγγέλιον, ἐν ᾧ ἐστιν ὁδήγησις, φῶς, καὶ δικαιοσύνη, κατὰ τὴν δύναμιν τοῦ πρὸ αὐτοῦ νόμου, εἰς ὁδήγησιν καὶ ἐπαγγελίαν τοῖς φοβουμένοις, καὶ εἰς τὸ κρῖναι τοὺς τοῦ Εὐαγγελίου· ἕνεκεν τῶν, κατήγαγεν ὁ Θεὸς ἐν τούτῳ· καὶ ὅστις ἂν κρίνῃ (84) εἰς ἅπερ κατήγαγεν ὁ Θεὸς, οὗτοί εἰσι παράνομοι. » Ἆρά γε ἐπεγίνωσκεν ἅπερ παρελάλει ὁ μάταιος; εἰ γὰρ ἀληθοποιῆσαι τὰ πρὸ αὐτοῦ τὰ τοῦ νόμου, ἦλθεν ὁ Χριστὸς, καὶ τὸ Εὐαγγέλιον φῶς καὶ ὁδήγησιν τοῖς ἀνθρώποις δέδωκεν, ὡς σὺ ὁμολογεῖς, καὶ τὸ κρίσιν αὐτὸς ποιεῖν μέλλει, σοὶ τί περιλείπεται εἰσενεγκεῖν τοῖς ἀνθρώποις; Οὐδὲν, ἀλλ' ἢ κατὰ τὸ σὸν στόμα, ψευδοποιῆσαι τὰ πρὸ σοῦ, καὶ σκότος καὶ παροδηγίαν δοῦναι τοῖς ἀνθρώποις, καὶ ἐν τῇ κρίσει τοῖς σε παραδεδεγμένοις καταδικασθῆναι.

51. Jam vero consueta sibi mendacia contra divinam Scripturam blaterans, Abelis mortem memorat, et a corvo dicit traditum sepulturæ cadaver ejus, spectante Caino, qui idcirco compunctione tactus fuerit. Hæc sunt ludentium in scena et ebriorum aut amentium propria. Tum ut corda barbarorum demulceat ad suas excipiendas blasphemias, Christi iterum meminit atque Evangelii, nec quod se ipsum evertat videt. Ait enim : « Misimus autem post vestigia horum, omnium videlicet prophetarum, Jesum Mariæ filium, ut veritatem testaretur B illius quæ ante ipsum fuit legis; eique tradidimus Evangelium, in quo est directio, lux, et justitia, secundum vires legis ante eum latæ, ad directionem et commonitionem timoratorum, atque ut judicium exerceant Evangelii asseclæ. Ideo id demisit huic Deus. Et qui (non) judicaverint, de illis quæ Deus tradidit, hi sunt prævaricantes. » Ain vero, putasne ipsummet cognoscere quæ dicit hic stultus? Si enim ob confirmandam veritatem legis quæ eum præcessit, Christus venit, et si Evangelium lucem directionemque, ut tu fateris, suppeditavit, et ipse judicium facturus est; quid tibi superest conferendum hominibus? Nihil aliud, nisi ut ore tuo teste, C falsa demonstres quæ ante te exstiterunt, et tenebras fallaceinque ducatum hominibus præbeas, et judicii tempore cum iis qui te admiserunt condemneris.

νβ'. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὥσπερ εἰς τὴν οἰκείαν ἐπαναφήλας μανίαν, τάδε φησίν (85)· « Ἄε ὑμεῖς οἱ πιστεύσαντες (πρὸς τοὺς βαρβάρους φωνῶν), μὴ γίνεσθε ἀντιλήπτορες Ἰουδαίων ἢ Χριστιανῶν· ὅστις γὰρ ὑπερασπίζεται αὐτῶν ἐξ ὑμῶν, οὗτος ὑπάρχει ἐξ αὐτῶν. » Ταῦτα τῷ ὁδηγηθέντι λαῷ παρὰ τοῦ Εὐαγγελίου Χριστοῦ, ὡς ἔλεγες, τῆς εἰς Θεὸν ἕνεκεν εὐσεβείας ἀποδίδως τὰ γέρα, εἰκότως γε· τί γὰρ καὶ ἄλλο ὁ διάβολος καὶ οἱ τούτου θεράποντες παρέξουσι τοῖς ἐχθροῖς αὐτῶν; ἔστω Χριστιανοῖς μὲν τὴν παντουργὸν καὶ ζωαρχικὴν ἁγίαν Τριάδα ὁμολογοῦσι, ταῦτα ὑπομένειν κελεύει· Ἰουδαίοις δὲ τοῖς ἐπαγγελλομένοις τὴν τοῦ Ἀβραὰμ πίστιν ἀποσώζειν, διὰ τί τὰ αὐτὰ προξενεῖ; οὐκ ἔξω τῆς κακοφροσύνης αὐτοῦ καὶ τοῦτο· ᾔδει γὰρ ὅτι τὴν Χριστοῦ θεότητα ὁ νόμος ἀποδείκνυσι· διὰ τοῦτο ἀμφοτέροις ἐχθραίνειν κελεύει, καθ' ὅλου θεομάχος ὑπάρχων· ὅτι δὲ ταῦτα παραπαίων ἔγραφεν, ἢ τὰ πρότερον, ἢ μᾶλλον εἰπεῖν τὰ πάντα, ἐντεῦθεν δῆλον. Ἐπισυνάπτει γὰρ τούτοις ἕτερα ὅμοια καὶ προσφωνεῖ Ἰουδαίους τε καὶ Χριστιανοὺς λέγων· « Ἄε οἰκεῖοι γραφῶν, οὐδέν ἐστε ἕως ἂν ἐξακολουθῆτε τῷ νόμῳ, καὶ τῷ Εὐαγγελίῳ, καὶ τοῖς κατενεχθεῖσι παρὰ τοῦ Κυρίου ὑμῶν· προστίθεται γὰρ ἐκ τῶν κατενεχθέντων ἡμῖν παρὰ τοῦ

Tum paucis interjectis, in suam veluti relabens insaniam, hæc ait : « O vos credentes (ad barbaros clamat) ne sitis susceptores Judæorum et Christianorum. Quisquis vestrum eis patrocinatur, hic est ex ipsis. » Hos populo sub evangelico Christi ducatu degenti, ut aiebas, pietatis causa erga Deum, honores tribuis. Condigne quidem; quid enim aliud diabolus et hujus satellites inimicis suis exhibebunt? Esto velit Christianos, qui omnium rerum D creatricem vivificamque Trinitatem confitentur, hanc pati a se contumeliam; Judæis vero, qui se fidem Abrahami sartam tectam tenere dicunt, cur parem injuriam facit? Atqui ne hoc quidem malitiæ ejus extraneum est. Novit enim, Christi divinitatem a lege demonstrari : idcirco utrisque inimicos jubet esse suos, quia ipse generatim Deum oppugnat. Quod autem hæc non sine delirio scribat, nec non priora, vel potius omnia, hinc constabit. Subtexit enim his alia similia, et Judæos atque Christianos ita alloquitur : « O scripturales, nihil vos estis, quandiu legem et Evangelium sectamini, et id quod traditum a Deo vestro est. Additur enim ex iis quæ tradita sunt nobis a Domino, error et infidelitas. » Quid jam nobis dicendum de

(83) Sur. V, 57, 54.
(84) Arab. μὴ κρίνῃ.
(85) Sur. V, 59.

Digitized by Google

his superest, fratres? Vere cum dementibus loquimur, et qui nec bonæ rei nec malæ quidquam intelligunt. Præter hæc pariter, multa alia mentitus, et stulte locutus, visus quoque vituperare incarnationis Christi humilitatem, et monachos sacerdotesque incusare, quia non sine dolore multo ac lacrymis Scripturam ejus legunt; quod est absurdum; denuo ad Christum revertens, eumque tanquam a Deo derivans, a quo commemorantur ea quæ per illum fecit signa; et interrogatur Jesus, num ipse se ipsum Matremque suam sinat haberi ab hominibus loco deorum? Quo negante, ceu si ipse semet abnegaverit, ait demonstrasse jam non esse Deum; ideoque vult Christianos desinere a confitendo Christi deitatem. Ubinam vero legit hæc homo inscitissimus? Imo ut magis proprie loquamur, neque hic legit quidquam, neque bonæ frugis aliquid novit. Verumtamen dum nugas suas demonstrare studet, Manichaicum cœnum fuliginemque manibus tractans, horum gravem exspirat odorem. Atque in his quartum suum garritum finit.

CONFUTATIO V.

53. Quinta a Mahomede fabula inscribitur *Pecudes*: videtur enim de mundis animalibus agere et de immundis; hortaturque barbaros cuncta animalia comedere, excepto sue, et jumenta omnia, asinosque ipsos et mulos et camelos, et quolibet prorsus quadrupede vesci. Et ne sectemini, inquit, viam Satanæ. Satanam videlicet (dicit) eum qui veterem legislationem tradidit; imo et evangelicam quoque doctrinam. Cæteroqui totus ejus scopus in hac vanitate vertitur, ne quis discredat quominus hæ præstigiæ a Deo sint. Quæ vero opiniones ejus confirmant, nihil aliud sunt præter dictabolaria quædam, quæ non solum nihil demonstrant, sed assensum etiam avertunt, quia de fonte ignorantiæ manant, id est, de obscurato intellectu, et divini luminis experte, et quidem rei ipsius natura non substitit: sunt enim verborum repetitiones; et idem secundum idem, idemque ad idem revertens. Et de ipso Christo mentionem inferens, haud diversa, quam diximus, ratione loquitur. Atque ita vana verba effutiens, nugacem fabulam concludit.

CONFUTATIO VI.

54. Sexta a Mohamede fabula inscribitur *Cognitiones*, id est, de signis comprobantibus et de demonstrationibus, quod nempe a Deo hæc ipsi tradita scriptura fuerit. Statimque ab initio id ei occinit allatrator dæmon, ut et ipse videatur Mohamedi mandare, talia loqui, atque ita fraudis suspicionem vitet. Docet enim illum primigeniam hominum originem, quod nempe ex luto ad imaginem (Dei)

A Κυρίου πλάνη καὶ ἄρνησις. » Τί οὖν λοιπὸν εἴπωμεν ἡμεῖς, ἀδελφοί, ἐπὶ τούτοις; ὄντως πρὸς μαινομένους ἡμῖν ὁ λόγος, ἐπί τε καλοῖς καὶ κακοῖς ἀναισθητοῦσιν· ὡσαύτως πρὸς τούτοις ἕτερα πάμπολλα ψευσάμενος καὶ ματαιολογήσας (86), δόξαι τε διαβάλλειν ἐκ τῶν ταπεινῶν τῆς ἐνανθρωπήσεως τὸν Χριστὸν, μοναχῶν τε καὶ ἱερέων κατηγορήσας, ὅτι πολλῆς κατανύξεως καὶ δακρύων πληροῦνται, ἐπὶ τῇ ἀναγνώσει τῆς αὐτοῦ γραφῆς, ὅπερ παράλογον, πάλιν ἐπαναλαβὼν περὶ Χριστοῦ, καὶ εἰσαγαγὼν αὐτὸν παρὰ Θεοῦ ὑπομιμνησκόμενον, ὥνπερ δι' αὐτοῦ, φησὶ (87), πεποίηκε σημείων· καὶ ἐρωτώμενον, εἰ αὐτὸς ἑαυτὸν καὶ τὴν αὐτοῦ μητέρα θεοὺς ἔχειν τοὺς ἀνθρώπους ἐπέτρεψεν, καὶ διαρνούμενον δῆθεν, ὡς ἐκ τούτου αὐτὸν διαρνησάμενον φάναι ἀποδεῖξαι ὅτι Θεὸς οὐκ ἔστι· καὶ ἀποπαῦσαι Χριστιανοὺς Θεὸν ὁμολογεῖν τὸν Χριστόν· ποῦ δὲ ταῦτα ἀνέγνω ὁ ἀμαθέστατος; ἢ διὰ ποίας Θεοφανείας ἐπέγνω; μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ὅτι οὔτε ἀνέγνω οὔτε ἐπέγνω τι τῶν δεόντων· ἀλλὰ κατὰ τὴν ἔνδειξιν τῶν αὐτοῦ ληρημάτων, Μανιχαϊκῆς ἰλὺος καὶ σκότους ἀναμαξάμενος, τὴν δυσωδίαν τούτων ἐξώζεσεν, ἐν τούτοις τὸν τέταρτον ὕλον ἐπέπαυσεν.

ΕΛΕΓΚΤΙΚΟΣ Ε'.

νγ'. Ὁ πέμπτος μῦθος τοῦ Μωάμετ *Περὶ κτηνῶν* ἐπιγέγραπται· δοκεῖ γὰρ καὶ αὗτος περὶ καθαρῶν διαλαμβάνειν ζώων καὶ ἀκαθάρτων (88)· καὶ προτρέπεται τοὺς βαρβάρους τὰ πάντα ζῶα ἐσθίειν πλὴν χοίρου· ἐπείτοι τά τε ἀχθοφόρα, ὄνους τε καὶ ἡμιόνους καὶ καμήλους καὶ παντὸς τετραπόδου ἀδεῶς μετέχειν. « Καὶ μὴ ἐξακολουθεῖτε, φησὶ, τῇ ὁδῷ τοῦ Σατανᾶ· » Σατανᾶν δηλονότι τὸν γράψαντα τὴν παλαιὰν νομοθεσίαν, ἤτοι καὶ τὸ εὐαγγελικὸν κήρυγμα· ὅλος δὲ αὐτοῦ λοιπὸν ὁ σκοπὸς σχεδὸν ἐν τούτῳ τῷ ὕλῳ ἀγωνίζεται μὴ διαπιστηθῆναι, ὅτι ἐκ Θεοῦ τὰ τοιαῦτα τερατίσματα δέδεκται· εἰσὶ δὲ αὐτοῦ τὰ δοκοῦντα τοῦτο συνιστᾷν λογύδρια, οὐ μόνον μὴ δεικνύντα, ἀλλὰ καὶ ἐκτρεπόμενα διὰ τὸ ἐξ ἀμαθίας ταῦτα προέρχεσθαι· καὶ ἄλλως ἀφωτίστου διανοίας καὶ ἀμεθέκτου θείας ἐλλάμψεως, καὶ οὐδὲ τοῦ πράγματος φύσιν ἔχοντος συστῆναι· παλίλλογία τε γὰρ πάλιν τὰ αὐτὰ κατὰ ταυτὰ, καὶ κατὰ τὰ αὐτὰ ἐπὶ τὰ αὐτά· καὶ τοῦ Χριστοῦ δὲ μνημονεύσας οὐδὲν ἧττον τῷ τρόπῳ ᾧ εἰρήκαμεν μέμνηται· καὶ οὕτως βαττολογίαν περικόπτει τὸν φλήναφον.

ΕΛΕΓΚΤΙΚΟΣ ς'.

νδ'. Ὁ ἕκτος τῷ Μωάμετ μῦθος ἐπιγέγραπται μὲν *Εἰς τὰ γνωρίσματα* (89), τουτέστιν εἰς τὰ παραστατικὰ σημεῖα καὶ τὰς ἀποδείξεις, ὅτι ἐκ Θεοῦ δῆθεν αὐτῷ ἡ τοιαύτη δέδοται γραφή· καὶ εὐθέως ἐκ προοιμίων τοῦτο κατεπᾴδει αὐτῷ ὁ πρὸς αὐτὸν ὑλακτοδαίμων, ἵνα δόξῃ καὶ αὐτὸς, ὡς εἰκὸς, κελευόμενος ταῦτα λέγειν, καὶ ἀνύποκτος πρὸς ἀπάτην γένηται· διδάσκει γὰρ (90) αὐτὸν τὴν ἀρχέγονον τῶν ἀνθρώ-

(86) Sur. V, 84, 97, 92.
(87) Sur. V, 125.
(88) Sur. VI, 142.
(89) Ita Græcus auctor interpretatur vocabulum Arab. *alaraph*, quod aliter explicatur apud Maraccium p. 271, in annotationibus.
(90) Sur. VII, 10 seq.

Digitized by Google

των ὑπόστασιν, ὅτι ἐκ πηλοῦ κατ' εἰκόνα γεγένηνται, καὶ ὅτι προστέτακται τοῖς ἀγγέλοις πᾶσι προσκυνῆσαι τῷ Ἀδάμ· καὶ τῶν λοιπῶν προσκυνησάντων, ὁ Βελίαρ μόνος οὐ προσεκύνησε· καὶ ὅτι ἐρωτηθεὶς διὰ τί μὴ προσεκύνησεν, αἰτίαν ἀποδίδωσι τὸ ἐκεῖνον μὲν ἐκ πηλοῦ γενέσθαι, ἑαυτὸν δ' ἐκ πυρός· καὶ ὅτι ἐπετιμήθη παρὰ Θεοῦ, καὶ ὅτι ἀντέλεξε τῷ Θεῷ ἐπαπειλούμενος τῷ Ἀδὰμ διὰ τὴν εἰς αὐτὸν ἀγανάκτησιν, τοῦ μὴ περιλιπεῖν αὐτὸν πλὴν ὀλίγων τῶν ἐξ αὐτοῦ σωζομένων· καὶ τὴν ἱστορίαν τὴν κατὰ τὸν παράδεισον, καὶ τὴν τοῦ Ἀδὰμ ἐξορίαν· οἱ οὖν τῆς θείας Γραφῆς τρόφιμοι συνίετε πάντως τὰς προτροπὰς καὶ ματαίας προσθήκας τοῦ ἀπαταιῶνος.

νε'. Ὁ δὲ σκοπὸς αὐτοῦ εἰς τοῦτο ἀφορᾷ, ὅτι δὴ οἱ Θεοῦ ἀθετοῦντες ἐντολὴν, φησὶν, ἀπόλλυνται· οἱ δὲ φυλάττοντες, σώζονται· τὸ δὲ τέλος ἑαυτῶν συντηρεῖ· κατασκευάζει δὲ αὐτὸ ἀπὸ Ἀδὰμ καὶ τῶν καθεξῆς· ὡς ἐκ τούτου τῶν αὐτοῦ λόγων (91) τὴν παραδοχὴν πιστευθήσεσθαι ἐλπίσας· εὐθὺς οὖν παρεισάγει ἀδιάγνωστά τινα λῃρήματα ἐξ ἀφανῶν προσώπων καὶ ἀνωνύμων εἰς κήρυγμα πρὸ τοῦ Νῶε ἐλθόντων· καὶ ἐν οἷς μὲν ἐπιστεύθησαν θείαν εὐλογίαν προεξενηκότα· ἐν οἷς δὲ ἠπιστήθησαν κατάραν μεγίστην. Μετὰ Νῶε, Ζάλετ τινὰ προφήτην καὶ ἀπόστολον εἰσηγεῖται ἀδελφὸν Θαμοὺθ, τὸν οὔτε γεγονότα οὔτε παρ' ἄλλου ὀνομασθέντα πώποτε· ἐπὶ τὸ αὐτὸ τοῦτο παραγενόμενος καὶ κηρύξας· καὶ ἐφ' οἷς μὲν ἐπιστεύθη καὶ αὐτὸς τὸν Θεὸν εὐμενῆ παρέσχεν· ἐφ' οἷς δὲ ἠπιστήθη, διεφαυλίσθησαν, φησὶ, διὰ σεισμοῦ ἐν ταῖς αὐλαῖς αὐτῶν ἐξαρώμενοι. Μετὰ δὲ τοῦτον ἕτερον λέγει προφήτην καὶ ἀπόστολον καὶ κήρυκα, Μαδιανίτην τῷ ἔθνει αὐτοῦ ἀποσταλῆναι, Σαὶκ ὄνομα αὐτῷ· ὡσαύτως καὶ τοῦτον διαμαρτυράμενον καὶ ποιήσαντα κατὰ τοὺς πρὸ αὐτοῦ, οὓς οὔτε Μωϋσῆς, οὔτε τις τῶν ἐλλογίμων ἀνδρῶν ἐπίσταται· καὶ ἐπὶ τούτοις μέμνηται Μωϋσέως Θεὸν κηρύξαντος· καὶ ὅτι ἐν οἷς μὲν, φησὶν (92), ὑπηκούετο, αἱ τοῦ Θεοῦ ἀντιλήψεις προέφθαζον· ἐν οἷς δὲ παρηκούετο, ἡ δίκη τοὺς ὑπευθύνους ἀνήλισκε· καὶ τῇ τοιαύτῃ ἀγωγῇ κεχρημένος ἐξ ἑτοίμου περὶ αὐτοῦ λέγει·

νς'. « Ὦ ἄνθρωποι· ἐγὼ ἀπόστολός εἰμι Θεοῦ πρὸς ὑμᾶς πάντας. » Καλῶς γε ἔργον μὲν θείας δυνάμεως ἐπιφερόμενος οὐδὲν, οὔτε σοφίας, οὔτε ἀρετῆς ἀξιολόγου, αὐτοχειροτονήτως δὲ καὶ πάσης ἀποδείξεως δίχα καὶ προαγγελίας, τὸ τοῦ ἀποστόλου ἀξίωμα δι' αὐτοῦ ἀπενεγκάμενος· καὶ τίς τοῦτο ποιεῖν οὐ δύναται, τῶν πάνυ ἀφρονεστάτων καὶ ἀγνωσίαν Θεοῦ ἐχόντων; διότι Μωϋσῆς νομοθέτης, καὶ διὰ τί μὴ καὶ Φαραὼ νομοθέτης; ἀλλ' ὃ ποιεῖν, εἰ καὶ κακῶς, ὅμως γοῦν ποιεῖν ἐνόμιζες, τούτου ὡς εὐκόλου μέμνησαι· ὃ δὲ προβλέψαι οὐκ εἶχες, παρεσιώπησας· ἐγὼ δέ σε καὶ τοῦτο ὑπομνήσω· Μωϋσῆς μετὰ τοῦ νομοθέτης εἶναι, καὶ προφήτης ἐστί· καὶ τῆς προφητείας ὁσημέραι τὰς ἐκβάσεις θεωροῦμεν· σοῦ δὲ τί καὶ θαυμάσομεν; τὰς ἀσωτείας; τὰς σφαγάς; τοὺς ἐμπρησμούς; τὰς λεηλασίας; τὰς δυσφημίας; καὶ

(91) Sur. VII, 54, 60, 86.

A facti fuerint : et quod omnibus angelis imperatum fuerit, ut Adamum adorarent : cumque cæteri adorassent, solum Beliar noluisse obsequium exhibere : rogatum autem cur non adoraret, causam intulisse, quod ille ex luto exstitisset, ipse autem ex igne. Tum increpitum fuisse a Deo, ipsumque Deo contradixisse, et Adamo simul comminatum, susceptoque adversus eum odio, nonnisi paucos ex ejus posteris salvos fore. Pergit narrare paradisi historiam, et Adami exsilium. Verumtamen quicunque sacris Scripturis innutriti fuistis, devios deceptoris excursus stultasque additiones probe cognoscitis.

55. Scopus autem ejus huc collineat, ut divini præcepti violatores perire dicat, morigeros autem B salvari. Atqui illorum seriem continuat, ex Adamo et deinceps contexens ; nimirum hinc sperans sermonum suorum traditioni fidem accessuram. Mox itaque introducit incognitas nescio quas nugas obscurarum et sine nominibus personarum, quæ ad prædicandum ante Noe venerint, et quatenus illis creditum fuit, divinam benedictionem conferentium ; quatenus autem discreditum, gravissimam maledictionem. Post Noe Zaletum quemdam prophetam legatumque introducit, fratrem Thamothi, hominem qui nunquam exstitit, atque a nemine unquam nominatus fuit ; attamen ad idem officium venit ; institutaque prædicatione, is quoque illis qui sibi crediderunt Deum propitiavit ; illi autem C qui fuerunt increduli, perierunt, inquit, terræ motu in habitaculis suis maledicti. Post hunc, alium dicit prophetam, Madianitem legationis et prædicationis causa ad gentem suam missum ; eique nomen fuisse Saico. Hunc pari modo contestatum esse, et similia prioribus egisse. Quos tamen homines neque Moyses neque quisquam illustrium auctorum agnoscit. Postremum memorat Moysem, aitque quatenus obeditum ei fuit, Dei patrocinium adfuisse ; quatenus vero restitum illi est, vindictam reos persecutam. Atque hac via sibi strata, statim de se ipso dicit :

56. « O homines, ego legatus Dei sum ad vos omnes. » Præclare enimvero ! qui nullum divinæ potentiæ opus præ se fert, nihil sapientiæ aut virtutis D laude dignæ, propria auctoritate, et absque demonstratione aut prædictione, legati sibi dignitatem sponte sumit. Quis vero stultissimus licet, et omni Dei cognitione carens, id ipsum aggredi nequeat ? Si quoniam Moyses legislator est, idcirco et Mohamedes, quidni Pharao quoque in legislatorum numero sit ? At enim quod facere, etsi male, putabas tamen te facere, id saltem probabili ratione narrare debueras : quia tamen quod præ te ferres, non habuisti, rem silentio transmisisti ; sed ego tibi in memoriam reducam. Moyses non legislator tantummodo, verum etiam propheta erat, ejusque prophetiarum quotidie exitum cernimus. In te au-

(92) Sur. VII, 104, 139.

Digitized by Google

tem quid admiremur? libidines, cædes, incendia, deprædationes, blasphemias, et divinæ Scripturæ lapidationes? etenim lapidum instar sunt scelesti sermones tui. Legatus, inquit, Dei sum. Revera apparet cujusnam Dei tu legatus sis, Dei qui Deo adversatur, mendacis, calumniatoris : nihil enim præter hæc docet legationis tuæ sermo; tametsi auditoribus reverentiam incutere niteris veri Dei mentione. Verumtamen satis hinc coargueris, quod nihil Deo dignum effaris; et quod ipsum Deum blasphemiis labefactas, tibique ea ascribis quæ rerum natura non patitur. Nam quomodo Satanas erit, qui Satanam te quoque affirmante destruxit? Nonne viæ Dei, præcepta ipsius legesque appellantur, quas tu Satanæ vias esse dicis?

57. Post hæc, tanquam patris mendacii legatus et propheta, cum illo petræ scissæ miraculo quasdam suas miscet spurias fabulas, ut Moyse videatur sapientior, et accuratior historicus, ideoque ait : « Et eruperunt ex illa duodecim fontes. » Et paulo post addit : « Et cum Judæi contumaces in eo fuerunt, quod illis vetitum erat, diximus illis : Estote simiæ, et facti sunt quidam illorum simiæ capistratæ. » Hactenus, quanquam haud intempestiva erat sermonis peregrinitas; sed plures idem mandantes. Rursus vero ad illas quibus tota ejus oratio contexitur blasphemias redit, nempe Deum esse causam malorum, aitque : « Quem Deus dirigit, ille directus est; quos autem errare facit, illi sunt erronei. » Et paulo post idem confirmans dicit : « Non possideo animæ meæ sive utilitatem sive damnum, nisi quod voluerit Deus. » Oblitus autem quod paulo antea prophetam se nuncupaverat, ait : « Quod si omnia scirem, certe multiplicarer ex bono, neque me malum attingeret. Non sum ego nisi intimator et evangelizator populo credenti. » Deinde facta aliquanta idololatrarum objurgatione; hanc enim semper sibi personam induit; adjectis nonnullis aversabilibus et absurdis, nugacem fabulam abrumpit.

CONFUTATIO VII.

58. Septima Mohamedis fabula cæde humana et occidione tota redundat : inscribitur enim *Manubiarum divisio*. Et quidem incitat armatque omnimode barbaros ut se Christianorum sanguine cruentent; injecta præsertim spe paratæ, ut ait, a Deo mercedis in paradiso iis qui cominus cum illis congredientur. Quintam autem manubiarum partem Deo dandam monet et ejus legato : non enim oportebat lucrorum haud esse participem illum qui perditionis causa iisdem erat : congruumque erat, cruenti populi et cruentioris legati, cruenta esse facinora. Et ironicus ipse ironia illos uti jubet. Nobis interrogantibus in hac re et similibus, de bellica expeditione siluit. Verumtamen sciendum est, quod gnarus illatam esse nobis propter in-

A τῆς θείας Γραφῆς τοὺς λιθασμούς; λίθων γὰρ χείρους οἱ ἀσεβεῖς σου λόγοι· Θεοῦ, φησὶν, [εἰμὶ] ἀπόστολος· φαίνῃ γὰρ ὄντως ποίου Θεοῦ ἀπόστολος ὑπάρχεις, τοῦ θεομάχου, τοῦ ψευδηγόρου, τοῦ συκοφάντου· οὐδὲν γὰρ τούτου πλέον σου ὁ τῆς ἀποστολῆς διδάσκει λόγος· κἂν εἰ δυσωπεῖν ἐπιχειρεῖς τοὺς ἀκούοντας ἐκ τῆς τοῦ ὄντως Θεοῦ προσηγορίας· ἀλλ' ἐλέγχῃ ἐκ τοῦ μηδὲν τῶν τῷ Θεῷ προσηκόντων γνωμοδοτεῖν, καὶ τοῦ αὐτὸν τὸν Θεὸν ἀνατρέποντα δυσφημεῖν, καὶ προσάπτειν αὐτῷ ἃ οὐδὲ αὐτὴ τῶν πραγμάτων ἡ φύσις ἐγχωρεῖ· πῶς γὰρ Σατανᾶς ἔσται, ὁ τὸν Σατανᾶν καταργῶν μετὰ σοῦ; ἢ οὐχὶ ὁδοὶ Θεοῦ αἱ ἐντολαὶ αὐτοῦ καὶ αἱ νομοθεσίαι αὐτοῦ ὀνομάζονται, ἃς σὺ ὁδοὺς φῂς εἶναι τοῦ Σατανᾶ;

B νϛ'. Εἶτα ἐπὶ τούτοις ὡς τοῦ πατρὸς τοῦ ψεύδους ὢν ἀπόστολος καὶ προφήτης, τῆς κατὰ τὴν ἀκρότομον θαυματουργίας παρεισάγει τὰ νόθα αὐτοῦ μυθεύματα, ὡς ἂν δόξῃ καὶ Μωϋσέως σοφώτερος καὶ ἀκριβέστερος εἶναι ἐξηγητὴς, καί φησιν· « Καὶ ἔβρυσαν ἐξ αὐτῆς δώδεκα πηγαί. » Καὶ μετ' ὀλίγον προστίθησιν (93)· « Ὅτ' ἂν δὲ ἐπέμειναν οἱ Ἰουδαῖοι εἰς ἃ ἐκωλύοντο ἐξ αὐτῶν, εἴπομεν αὐτοῖς· Γένεσθε πίθηκοι· καὶ ἐγένοντο ἔνιοι πίθηκοι πεφιμωμένοι. » Τέως εἰ καὶ μὴ ἄκαιρον ἦν τὸ τοῦ λόγου ξένον, ἀλλὰ πλείους αὐτὸ οἱ προστάξαντες. Πάλιν δὲ τῆς δι' ὅλου αὐτῷ τοῦ λόγου πλεκομένης μέμνηται δυσφημίας, τοῦ τὸν Θεὸν εἶναι τῶν κακῶν αἴτιον, καί φησιν· « Τὸν ὁδηγεῖ ὁ Θεὸς, ἐκεῖνός ἐστιν ὡδηγημέ- C νος· καὶ τοὺς πλανᾷ, ἐκεῖνοί εἰσιν ἐλλειμματισμένοι. » Καὶ μετ' ὀλίγα τὸ αὐτὸ βεβαιῶν, « ὅτι Οὐ κυριεύω τῆς ψυχῆς μου ὠφέλειαν οὔτε βλάβην, ἀλλ' ὅπερ ὁ Θεὸς θέλει. » Καὶ ἐπιλαθόμενος ὅτι προφήτην ἑαυτὸν πρὸ μικροῦ ἐπεφήμιζεν, λέγει· « Καὶ εἰ ἐγίνωσκον τὰ ἅπαντα, εἶχον πλεονάσαι ἐκ τοῦ ἀγαθοῦ· καὶ οὐκ εἶχέν μου ἅψασθαι δεινόν. Οὐκ εἰμὶ ἐγὼ εἰ μὴ ἀνατάλτης καὶ εὐαγγελιστὴς λαοῦ πιστεύοντος· δόξα δὲ μικρόν τι καταγωνᾶναι τῶν εἰδωλολατρούντων· τοῦτο γὰρ ἀεὶ ὑποδύεται τὸ προσωπεῖον, μετὰ τὸ θεῖναι αὐτόν τι τῶν ἀπευκταίων καὶ ἀδέκτων, ἀποτέμνει τὸν φλήναφον.

ΕΛΕΓΚΤΙΚΟΣ Ζ'.

D νη'. Ὁ ἕβδομος μῦθος τῷ Μωάμετ ἀνδροκτονίας καὶ μιαιφονίας πεπλήρωται (94)· ἐπιγέγραπται γὰρ *Περὶ μερισμοῦ σκύλων*· διανίστησι δὲ καὶ ἐξοπλίζει τοὺς βαρβάρους παντοίῳ τρόπῳ τοῖς τῶν Χριστιανῶν αἵμασι καταχραίνεσθαι· ἐξαιρέτως δὲ τῇ ἐλπίδι τῆς ἀποκειμένης, φησὶ, παρὰ Θεῷ μισθαποδοσίας ἐν παραδείσῳ τοῖς ὁμόσε χωροῦσι κατ' αὐτῶν· πέμπτην δὲ μοῖραν τῶν σκύλων τῷ Θεῷ φησι διδόναι καὶ τῷ ἀποστόλῳ αὐτοῦ· οὐ γὰρ ἔδει μὴ καὶ τῶν κερδῶν αὐτοῖς κοινωνῆσαι τὸν καὶ τῆς ἀπωλείας αὐτοῖς αἴτιον· ἔδει δὲ ἐκ μιαιφόνου λαοῦ καὶ μιαιφονωτέρου ἀποστόλου μιαιφόνους εἶναι τὰς πράξεις· εἰρωνευόμενος δὲ καὶ εἰρωνεύειν αὐτοὺς κελεύει· ἡμῶν αἰτουμένων καὶ ἐν τούτοις καὶ τοῖς ὁμοίοις, τὴν ἐκστρατείαν ἀπεσίγησε· τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι φυνιδῶν

(93) Sur. VII, 161, 167, 179, 188.

(94) Sur. VIII, 1, 41.

Digitized by Google

τὴν διὰ τὰς ἀμέτρους ἡμῶν πλημμελείας ἐπενεχθεῖσαν ἡμῖν ὀργὴν ἐκ Θεοῦ, ὁ ἄθεος οὗτος βάρβαρος ἥρπασε τὸν καιρὸν εἰς τὴν κατὰ τοῦ Χριστοῦ βλασφημίαν, καὶ δι' οὐδεμίαν ἑτέραν αἰτίαν φησὶν ἡμᾶς εἰς χεῖρας αὐτῶν παραδίδοσθαι, ἢ διὰ τὸ σύνθρονον τῷ Πατρὶ τὸν Χριστὸν ὁμολογεῖν· διὸ συνεχῶς ἀποφαίνεται· οὐ γὰρ ὁδηγεῖ ὁ Θεὸς λαὸν τῶν παρανόμων· πολλαχόθεν δὲ ἔστιν αὐτὸν ἀπελέγξαι τοῦτο κακῶς τεχμαιρόμενον, φυσικῶς τε καὶ Γραφικῶς· Γραφικῶς μὲν ἀπό τε τοῦ εὐσεβοῦς Ἰακὼβ καὶ τοῦ βεβήλου Ἡσαῦ, Ἰωσὴφ δὲ καὶ Πετεφρῆ, Δαβὶδ τε καὶ τοῦ ἀγνώμονος Σαοὺλ, Ναβουχοδονοσὼρ καὶ τῶν αἰχμαλώτων προφητῶν, καὶ ἑτέρων πλείστων ὁμοίων· φυσικῶς δὲ ἀπό τε προβάτων καὶ ἀγρίων θηρίων καὶ τῶν ὁμοίων, ἃ οὐχ ὡς χείρονα καὶ τῆς εἰς Θεὸν εὐχαριστίας ἀνεπιτήδεια τὴν ἄλωσιν ἐξ αὐτῶν ὑπομένει· ἀλλ' ὡς ἑτερόν τινα ἔχοντα λόγον ἀπόῤῥητον οὕτω τέτακται.

A numera peccata nostra Dei iram, atheus hic barbarus occasionem hinc arripuit blasphemandi Christi; nullamque aliam ob causam nos traditos dicit illorum manibus, nisi quia consessorem Patri Christum confitemur. Ideo constanter effatur: non enim dirigit Deus populum peccatorem. Multifariam vero possumus hunc ceu argumentantem perverse coarguere, tum naturæ scilicet tum Scripturæ testimoniis. Apud Scripturam quidem, a pio Jacobo et Esau nequam, ab Josepho et Putiphare, a Davide et ingrato Saule, a Nabuchodonosoro et prophetis captivis, et similibus aliis plurimis. Ex natura autem, ab ovibus et silvestribus feris, et hujusmodi aliis: quæ sane haud tanquam pejores, et minus gratum erga Deum animum gerentes exitium ab aliis perpetiuntur: sed ob aliam secretiorem causam ita fuit constitutum.

B

ΕΛΕΓΚΤΙΚΟΣ Η'.

νθ'. Ὁ ὄγδοος μῦθος (95) τῷ Μωάμετ ἐπιγέγραπται μέν, *Εἰς τὴν μετάνοιαν*· παραινεῖ δὲ τοῖς βαρβάροις ὡρισμένον τινὰ καιρὸν τῷ πότε χρόνῳ προσμεῖναι τοὺς Χριστιανοὺς, ὡς ἂν βούλοιντο τὰ καθ' ἑαυτοὺς διαθέσθαι· εἰ μὲν οὖν ἑαυτῶν ἐγκρατεῖς γένοιντο, καὶ ἀποδιαστῶσι τῆς τῶν βαρβάρων περικρατήσεως, πόλεμον ἀναίρεσθαι πρὸς αὐτούς· εἰ δὲ μεταγνοῖεν, φησὶ, καὶ θρησκεύουσι τὴν αὐτοῦ δυσσέβειαν, ἀδελφοὺς αὐτοὺς προσλαμβάνεσθαι· παραινεῖ οὖν τοῖς Χριστιανοῖς ὅτι κάλλιόν ἐστι μετανοῆσαι καὶ ζῆν, ἢ Χριστιανίζοντας ἀποθνήσκειν· αὖθίς τε ἀναιδῶς κατατυπεῖ τοὺς ἀθλίους βαρβάρους ἔν τε ἀπειλαῖς καὶ ἐλέγχοις καὶ ὀνείδεσιν ὡς καταῤῥυθμοῦντας τοῦ σεβάσματος αὐτοῦ· καὶ ἐπὶ τούτοις κατὰ τὸ πρότερον εἰρημένον πανούργημα ἐν ἑνὶ ἐλέγχῳ ἀμφοτέρους πειρᾶται ἐπιστομίζειν, Ἰουδαίους τε καὶ Χριστιανοὺς οὕτω παραλαλῶν·

C

CONFUTATIO VIII.

59. Octava a Mohamede fabula inscribitur *Pœnitentia*. Admonet autem barbaros, ut definitum quoddam tempus observent erga Christianos, si hi velint res suas tractare. Quod si illi compotes sui efficiantur, et a barbarorum imperio discedant, tunc bellum contra eos suscipiendum. Sin vero, inquit, illos pœnituerit, et impiam ejus sectam amplectantur, in fratrum loco eos suscipiant. Admonet ergo Christianos, melius esse pœnitere ac vivere, quam in Christianismo perstantes mori. Mox impudenter pulsat infelices barbaros, minis, increpationibus et conviciis, tanquam in cultu suo socordes. Postea eodem, quem antea diximus, astu ambos unica reprehensione inhibere conatur, de Judæis simul et Christianis futiliter dicens:

ξ'. « Λέγουσιν Ἰουδαῖοι (96) ὅτι ὁ Ἰσραὴλ (97) ἐστιν υἱὸς Θεοῦ· καὶ λέγουσιν οἱ Χριστιανοὶ ὅτι ὁ Χριστός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· τοῦτό ἐστιν ὁ λόγος αὐτῶν διὰ τῶν στομάτων αὐτῶν· ἰσοφωνοῦσι τοῖς λόγοις τῶν ἀρνησαμένων ἐκ πρίν· φονεύσει αὐτοὺς ὁ Θεὸς, ἕνεκεν τῶν ἀρνοῦνται· ἐπελάβοντο τοὺς ἀποστόλους αὐτῶν καὶ τοὺς ἱερεῖς κυρίους πάρεξ Θεοῦ· καὶ τὸν Χριστὸν υἱὸν τῆς Μαρίας· καὶ οὐκ ἐκελεύσθησαν δουλεύειν εἰ μὴ Θεοῦ ἑνός. » Δύσνους ὁ βάρβαρος, ἐπεὶ ἀμαθὴς καὶ ἀπαίδευτος· εἰ γὰρ ὅλως προσῆν αὐτῷ λογικὴ σύνεσις, ἔδει τὰ πρὸς τοὔνομα τοῦ υἱοῦ σημαινόμενα πρὸς θατέραν δόξαν τῶν ἐθνῶν προαναφωνῆσαι, καὶ τοῖς γε πρὸς αὐτὸν μὴ σφόδρα ἐναντίως φερομένοις ὁμαλώτερον ἐπιτιμῆσαι· τοὐναντίον δὲ τοῖς τὰ μάλιστα αὐτῷ διαμαχομένοις· οἵ τε γὰρ Ἰουδαῖοι οὐ γνήσιον υἱὸν Θεοῦ τὸν Ἰσραὴλ ὀνομάζουσιν, ἀλλ' ἢ ὅσον ἀποδεῖξαι τὴν περὶ αὐτῶν τοῦ Θεοῦ ὑπερκειμένην πρὸς τὰ λοιπὰ ἔθνη διὰ τοὺς πατέρας στοργήν· πῶς οὖν ὁ υἱὸς τοῦ πατρὸς τοῦ

60. « Dicunt Judæi Israelem esse filium Dei. Christiani similiter dicunt Christum esse Dei Filium. Hic illis sermo in ore versatur. Consonant cum illorum sermonibus qui infideles ab ante fuerunt. Interficiet illos Deus propter ea quæ negant. Susceperunt apostolos suos et sacerdotes suos in dominos loco Dei, necnon Christum filium Mariæ. Atqui non fuerat illis mandatum ut alium adorarent, præter Deum unum. » Malæ mentis barbarus, præterquam quod indoctus et ineruditus. Nam si rationalis ei intellectus inesset, debuisset nominis filii notionem secundum diversam duarum gentium acceptionem proclamare: et illos quidem qui haud magnopere a placito ejus discedunt, mitius objurgare; secus autem illos qui maxime ipsi adversantur. Nam Judæi nequaquam genuinum Dei filium Israelem dicunt; sed illatenus, ut ostendant, Dei amorem erga illos præstare amori patri qui apud cæteras gentes esse solet. Quomodo hic ergo

D

(95) Sur. IX, 1 seq.
(96) Sur. IX, 31.
(97) Ita Græcus codex. Alcor. Arab. *Ozair.*

Digitized by Google

de patre mendacii natus, ait Judæos dominum suum Israelem sibi sumpsisse, præter Deum ? Interrogentur Judæi utrum id aliquando animo agitaverint, vel in illorum Scripturis occurrat dominus ipsorum Israel. Christiani autem verum reapse, prout decet, genuinum Filium esse confitentur Christum, ex eadem Patris Dei divina substantia ; prout est in ea Scriptura quam ipse barbarus fatetur a Deo traditam, nempe in Evangelio. Nam si, ut fatetur, divinitus datum fuit Evangelium ; in eo autem scriptum est, ter Deum desuper pro Christo clamasse ; bis quidem : *Hic est Filius meus dilectus* [9] ; semel autem : *Et clarificavi, et iterum clarificabo* [10] ; quid absurdum peregrinumve faciunt Christiani, Deum ac Dei Filium Christum confitentes ? Deo hoc idem testante, et quidem in laudato ab ipso Mohamede libro. Quanquam arbitror nunquam lectam divinorum Evangeliorum a barbaro scripturam, sed illorum tantum nomine audito, laudasse ; quin tamen sciret scriptum ibi quod vere Dei Filius Christus sit.

61. Quod tamen ex antiquiore etiam mysticorum ac prophetarum Scriptura exploratum est. Nam pares stellarum numero invenies rei hujus demonstrationes, jam inde a primo omnium libro Moysis, usque ad Danielem prophetam et reliquos. Quod quidem Moyses nosset Dei unitatem naturæ, et proprietatum id est personarum differentiam, palam factum est cum scripsit : *Faciamus hominem ad imaginem ac similitudinem nostram* [11]. Item dixit : *Ecce Adam quasi unus ex nobis factus est* [12]. Denique cum scripsit : *Audi, Israel, Dominus Deus tuus, Dominus unus est* [13]. Vi causativa nimirum et substantia et conspiratione unitam esse Trinitatem, manifestum est : secus enim contraria sibi scripsisset, superius quidem positis diversis personis colloquentibus ; deinde unam personam inducens loquentem, audientem atque facientem. Quod nefas est. Tum et omnium veterum prophetarum luculentissimus Daniel, perspicue tempus quoque manifestavit Christi adventus, ejusdemque dignitatem significavit, dicens : *Aspiciebam, et ecce in nubibus cœli, tanquam Filius hominis ; eique datus est honor, et veneratio*, et reliqua. Et quidem etiam Antiquum dierum in in throno sedentem [14].

62. Sed veteres omittamus Scripturas. Ex ipsis Christi prædictionibus, harumque exitu, si certe stultus Mohamedes sapere aliquid poterat, divinam illius dignitatem intellexisset, necnon abs Joannis testimonio, quem ipse et prophetam et justum hominem dicens, admittit. Item a Christi miraculis per ejusdem symbola patratis, a sepultura et resurrectione. Sed nihil horum mente sua comprehendit hic latronum dux : neque ei cordi unquam fuit D.i notitiam assequi, sed decipiendis tantum auditori-

A ψεύδους φάσκει αὐτοὺς κύριον ἑαυτῶν τὸν Ἰσραὴλ ἐπιλαβέσθαι πάρεξ Θεοῦ; ἐρωτάσθωσαν Ἰουδαῖοι εἴποτε τοῦτο ἐντεθύμηνται, ἢ ἐν Γραφαῖς αὐτῶν εἴρηται κύριος αὐτῶν ὁ Ἰσραήλ· εἰ δέ γε Χριστιανοὶ τῷ ὄντι ἀληθῶς καθ' ὃ πρέπον Θεῷ γνήσιον Υἱὸν, καὶ τῆς αὐτῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας τὸν Χριστὸν ὁμολογοῦσιν τῇ θείᾳ οὐσίᾳ, κατὰ τὴν καὶ παρ' αὐτοῦ τοῦ βαρβάρου ὁμολογουμένην ἐκ Θεοῦ δεδόσθαι γραφὴν τοῦ Εὐαγγελίου. Εἰ γὰρ, ὡς ὁμολογεῖ, θεόθεν δέδοται τὸ Εὐαγγέλιον, ἐν αὐτῷ δὲ γέγραπται, ὅτι τρίτον ἄνωθεν ὁ Θεὸς ὑπὲρ Χριστοῦ ἐπεβόησεν· πῇ μὲν, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός ;* πῇ δὲ, *Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω ;* τί ἄτοπον καὶ ξένον ποιοῦσιν οἱ Χριστιανοὶ, Θεὸν καὶ Θεοῦ Υἱὸν τὸν Χριστὸν ὁμολογοῦντες ; τοῦ Θεοῦ αὐτὸ τοῦτο μαρτυ-

B ροῦντος, καὶ τοῦτο μὲν ἐκ τῆς ἐπαινουμένης παρ' αὐτῷ βίβλου τῶν Εὐαγγελίων· ἀλλ', οἶμαι, οὐκ ἀνέγνω πώποτε τὴν τῶν θείων Εὐαγγελίων Γραφὴν ὁ βάρβαρος, μόνην δὲ αὐτῶν τὴν προσηγορίαν ἀκούων ἐξεθείαζε· καὶ οὐκ ᾤετο ἐν αὐτοῖς γεγράφθαι ὅτι ἀληθῶς Υἱὸς Θεοῦ ἐστιν ὁ Χριστός.

ξα'. Ἐκ δὲ τῶν ἀπείρων τῆς προγενεστέρας τῶν θεοπτικῶν καὶ προφητικῶν Γραφῆς· ἀστέρων γάρ τις ἀριθμῷ σχεδὸν ἀμιλλωμένας εὑρήσει τὰς ἀποδείξεις, ἀπ' αὐτῆς τῆς πρωτογράφου βίβλου Μωϋσέως ἕως Δανιὴλ τοῦ προφήτου καὶ τῶν λοιπῶν. Ὅτι γὰρ Μωϋσῆς ᾔδει τοῦ Θείου τὸ τῆς φύσεως μοναδικὸν, καὶ τῶν ἰδιοτήτων, ἤγουν τῶν ὑποστάσεων, τὸ διάφορον, φανερόν· ἡνίκα ἔγραφε, *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν.* Καὶ

C ὅτε ἔφασκεν, *Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν.* Ἀλλὰ καὶ ὅτε ἔγραφεν, *Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι·* τῷ αἰτίῳ καὶ τῇ οὐσίᾳ καὶ συμπνοίᾳ ἑνιζομένην ἐγίνωσκε τὴν Τριάδα φανερόν· ἢ γὰρ ἐναντία ἑαυτῷ ἔγραφεν, ἄνω μὲν τιθεὶς διάφορα πρόσωπα διαλεγόμενος, μετέπειτα δὲ ἓν μόνον ἐκήρυττεν εἶναι πρόσωπον τό τε λέγον καὶ ἀκοῦον καὶ ποιοῦν· ὅπερ ἀθέμιτον. Καὶ ὁ πάντων δὲ τῶν πάλαι προφητῶν ἐμφαντικώτατος Δανιὴλ, τρανῶς καὶ τὸν χρόνον ἐδήλωσεν τῆς Χριστοῦ ἐλεύσεως, καὶ τὴν αὐτοῦ ἀξίαν ἐσήμανεν, ἡνίκα λέγει· *Ἐθεώρουν, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου· καὶ αὐτῷ ἐδόθη ἡ τιμὴ, καὶ ἡ προσκύνησις*, καὶ τὰ ἑξῆς· καίτοι τοῦ Παλαιοῦ

D τῶν ἡμερῶν καθεζομένου ἐπὶ τοῦ θρόνου.

ξβ'. Ἀλλ' ἀφείσθω τὰ ἀπὸ τῶν ἀρχαίων Γραφῶν· ἀπ' αὐτῶν τῶν τοῦ Χριστοῦ προῤῥήσεων, καὶ τῶν τούτου ἐκβάσεων, εἴ γε συνιέναι ὁ μάταιος ἴσχυε, τὸ τῆς θεότητος αὐτοῦ σέβας κατέλαβεν ἂν καὶ ἀπὸ τῆς τοῦ Ἰωάννου μαρτυρίας, ὃν προφήτην καὶ ἄνδρα δίκαιον αὐτὸς καταγγέλλων ἀποδέδεκται (98)· ἢ καὶ ἀπὸ τῶν θαυματουργιῶν τῶν αὐτοῦ συμβόλων, τοῦ τάφου, φημὶ, καὶ τῆς ἀναστάσεως· ἀλλ' οὐδὲν τούτων συνεώρακεν ὁ λοχαγωγός· οὐδὲ γὰρ ἦν αὐτῷ θείας φροντὶς ἐπιγνώσεως πώποτε, πλὴν ὅσον τοῦ

[9] Matth. III, 17; Luc. IX, 35. [10] Joan. XII, 28. [11] Gen. I, 26. [12] Gen. III, 22. [13] Deut. VI, 4. [14] Dan. VII, 13.

(98) Sur. III, 59.

Digitized by Google

ὑηρᾶσαι διὰ τῆς προσηγορίας τῶν Γραφῶν τοὺς ἀκούοντας. Τί γάρ, φέρε εἰπεῖν, ἀληθῶς λέγων στοιχεῖν τὸν τοῦ φίλου αὐτοῦ λόγον ἐπὶ βεβαιώσει τινῶν πραγμάτων διηρνημένην, ἐπὶ ἔργῳ τίθεται τὴν ἐκείνου πίστιν; Εἰ δὲ καί τις που εὑρεθείη τοιοῦτος, ὑπὸ κατάραν ἐστὶ, κατὰ τὴν Γραφήν· *Οὐαὶ γάρ*, φησὶν, *ἁμαρτωλῷ ἐπὶ δύο τρίβους πορευομένῳ!* ὥσπερ δὴ καὶ οὗτος ὁ ἄφρων τε καὶ ἀπάνθρωπος· οἱ μέν φασιν εἶναι τὸν Ἰσραὴλ υἱὸν Θεοῦ, οἱ δὲ τὸν Χριστόν. Τί οὖν τοῦτο ἐναργὲς σημεῖον ψεύδους ἀεὶ κρίνεις, τὸ διαφόρων προσώπων ἀμφιβαλλόντων περί τινος μὴ συμφωνεῖν ἀμφοτέρους; καὶ ἀναίρεσιν οἴει τοῦ πράγματος παντελῆ γίνεσθαι ὁπηνίκα τινὲς περὶ αὐτοῦ διαφόρους ἔχωσι δόξας, καὶ τῇ τῶν ἑτέρων μερῶν ἀποφάσει; ἢ οὐδέτερον τούτων, ἢ παντάπασιν οὐκ ὢν ἀπελέγχεσθαι νομίζεις; ὑπέρευγέ σου τῆς φιλαλήθους γνώσεως· τί οὖν ποιήσεις ἡμῶν μὴ πιστευόντων τῷ Θεῷ σου, ἀλλὰ τῷ Θεῷ ἡμῶν, καὶ σοῦ τῷ νομιζομένῳ Θεῷ σου πιστεύοντος, ἀλλ' οὐχὶ τῷ Θεῷ ἡμῶν, εἰπέ; Σοῦ γάρ ἐστι κατὰ τὸν προφήτην ἀφρόνως εἰπεῖν, *Οὐκ ἔστι Θεός*· εἰ ἕτερος παρ' ἑκατέρων Θεὸς, ἴδε ποῦ αὐτῷ ὁ κραταιὸς ἔλεγχος αὐτοῦ κατέστραπτε· *Ὄντως ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ βλασφημία αὐτοῦ καταβήσεται*· εὐλόγως δὲ καὶ ὁ τῆς παιδίσκης υἱὸς (99), φύσει δοῦλος, ἵν' οὕτως εἴπω, τυγχάνων, τὴν τοῦ υἱοῦ προσηγορίαν, οὐδὲ κατὰ χάριν κατὰ τὸν Ἰσραὴλ φαντασθῆναι ἰσχύει· δουλοπρεπῶς ἀνηνεγμένος, καὶ δουλοπρεπῶς μεμυημένος, καὶ τούτου πλέον οὐδέν.

bus commemoratione Scripturarum studebat. Nam quomodo, oro, veri aliquid diceret, qui se spondere ret amici sententiam sequi ob rei alicujus confirmationem, et tamen negatam circa id negotium illius fidem recitaret? Quod si quis hujusmodi reperiretur, in maledictionem a Scriptura edictam incideret: *Væ enim*, inquit, *peccatori qui duplici via graditur* [15]: veluti reapse facit hic etiam vesanus et inhumanus. Judæi quidem filium Dei Israelem dicunt; Christiani autem, Christum. Cur tu porro hoc evidens semper judicas mendacii indicium, quia diversæ personæ de re aliqua aliter sentientes, sententiis non conspirant? existimasque perimi omnino rem aliquam, si forte nonnulli diversam de illa sententiam gerant? Et ob alterutrius partis negationem, vel nihil hujusmodi stare, vel omnino unquam exstitisse judicas? Macte ista veritatis amica mente tua! Quid ergo facies, nobis non credentibus Deo tuo, sed nostro? te autem putato tuo Deo credente, non autem nostro? Dic, sodes. Superest tibi, ut prophetæ verbis dicas: *Non est Deus* [16], quoniam diversus est apud ambos Deus. Vides quo validum ejus argumentum tanquam fulmen deciderit. Vere *convertetur labor ejus in caput ejusdem, et in verticem ipsius blasphemia propria descendet* [17]. Præclare famulæ filius, naturaliter ut ita dicam servus, filii appellationem ne secundum gratiam quidem imaginari valet, cum ipse serviliter sit natus, serviliter sacris initiatus, et nihil amplius.

ξγ'. Ἐφεξῆς δὲ τὸ περὶ τὸν Ἀντίχριστον εἰρημένον σημεῖον τῷ Ἀποστόλῳ, ἐναργῶς ἐν τούτῳ ἔστιν εὑρεῖν (1)· « Κἂν ἀηδῶς ἔχωσιν οἱ ἀρνησάμενοι, Θεός ἐστιν ὁ πέμψας τὸν ἀπόστολον αὐτοῦ, εἰς ὁδήγησιν καὶ εἰς πίστιν ἀληθινήν, τοῦ δεσπόζειν αὐτὸν ἐπάνω πάσης πίστεως. » Τοῦτο ταυτόν ἐστι τῷ, *Ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα*· ἁπλῶς τοῦ δεσπόζειν αὐτὸν ἐπάνω πάσης πίστεως· ἐφαυλίσθη ἄρα παρ' αὐτῷ καὶ ἡ τοῦ Ἀβραὰμ πίστις, καθ' ἣν αὐτὸς πιστεύειν ἐνόμιζε· καὶ οὐχ ὁ νόμος μόνον οὐδὲ τὸ Εὐαγγέλιον· ἐπάνω γὰρ πάσης πίστεώς φησιν· τὸ δὲ, *ἀληθινὴν*, εἴρηται, ὡς πρὸς τὰς λοιπάς· οὐκ ὀκνῶ τοῦ λοιποῦ περὶ αὐτοῦ ἐντεθυμῆσθαι, ὅτι καὶ οὗτος Ἀντίχριστός ἐστιν ἀληθῶς· μετ' ὀλίγον δ' ὅποι φέρεται ὁ σύμπας τῆς θεομαχίας σκοπὸς, ἐκδηλος γίνεται· ὁ γάρ τοι ἕως τοῦ νῦν διισχυριζόμενος ὅτι Θεὸς Υἱὸν οὐκ ἔχει, οὐ θαῤῥῶν ἑαυτῷ ταῦτα φιλονεικοῦντι, ἀλλὰ διαλογισάμενος ὅτι τυχὸν καὶ ἔχει, οὐκ ἀναδύεται ἑαυτῷ τοῦτο προσάψαι τὸ πρόσωπον· εἰ καὶ ἐκ πλαγίου τοῦτο ἐπήγαγεν, καὶ προσποιεῖται οἱονεὶ σχηματίζεσθαι βλακίαν πάνυ αἰσχράν, καί φησιν (2)· Τινὲς συνοῦσι [*cod.* σιαίνουσι] τὸν προφήτην, καὶ λέγουσιν ὅτι αὐτὸς Υἱὸς (3) Θεοῦ ἐστι. » Καὶ οὐκ εἶπεν ὅτι ὁ

63. Deinde dictum ab Apostolo de Antichristo signum, perspicue in Mohamede conspicere licet. Ait enim: « Etiamsi moleste ferant negantes, Deus est qui misit legatum suum, ob directionem veramque fidem, atque ut dominetur cuilibet fidei. » Hoc perinde est atque illud: *Qui adversatur et extollitur supra omne quod dicitur Deus, aut quod colitur* [18], id est, quod prorsus cuilibet fidei dominatur. Ergo apud hunc despicatui est etiam fides Abrahami, ad cujus normam se quoque credere existimabat: atque exsufflat non legem tantummodo et Evangelium; se enim cuilibet fidei superiorem dicit; suamque veram affirmat reliquis comparatam. Jamque ego non ambigo, hunc deinceps Antichristum judicare, cujusmodi reapse est. Paulo autem post apparet quo totus ejus adversandi Deo scopus tendat: nam qui hactenus Deo non esse Filium contenderat, haud sibi confidens talia verbis vindicare, reputans tamen fortasse jam habere, hanc sibi personam non induit, quanquam oblique id agit: simulat itaque et confingit turpem admodum stoliditatem, aitque: « Nonnulli lædunt prophetam, dicuntque ipsum esse Filium Dei. » Et non dixit exclusivo sensu et unicum Filium Dei,

[15] Eccli. II, 14. [16] Psal. XIII, 1. [17] Psal. VII, 17. [18] II Thess. II, 4.

(99) Nempe Agaris filius.
(1) Sur. IX, 33.
(2) Sur. IX, 63, 72.
(3) Ita in codice Græco est, Υἱός, *Filius*. At Arab. *auris*. Dicerem scripturæ Græcæ mendum οὐὸς pro οὖς, *auris*, nisi mox Nicetas de Filio reapse loqueretur.

Digitized by Google

de illo cogitans quem contendit destruere ; ne omni suo dolo nudatus, una cum illo corrueret. Sed dicunt, ait, ipsum esse Filium Dei : quasi dicat : Si me vultis Filium confiteri, ego prædicto proximior sum. Postea nonnulla indecore blaterans, nugarumque suarum nugacibus demonstrationibus firmare jactitans, nominat quosdam Thamut et Madian et Mateuchamat, ad quos, inquit, legati revelationem suam deferebant. Prorsus autem hi sunt incogniti, et sine ulla probatione, prout et ipse est. Illico autem barbaros contra nos in prælium mittit, et quæ ad id concitare valeat allatrans, vanam fabulam concludit.

A Υἱός ἐστιν, λογιζόμενος ὃν ἀνελεῖν ἀγωνίζεται, ἵνα μὴ γυμνὸς παντελῶς τοῦ δούλου κατπληφθεὶς συσκελισθῇ, ἀλλ' ὅτι αὐτὸς Υἱός ἐστιν· ὡς ἂν εἰ ἔλεγεν, ὅτι Εἰ θέλετε Υἱὸν Θεοῦ ὁμολογεῖν, ἐγὼ τοῦ λαλουμένου ἐγγύτερον· εἶτα βαττολογήσας τινὰ ἀσέμνως, καὶ τῶν αὐτοῦ φλυαριῶν διὰ φλυαρίας τὰς ἀποδείξεις πιστοῦσθαι ἀδρυνόμενος, μέμνηταί τινων Θαμοὺτ, καὶ Μαδιὰμ, καὶ Ματευχαμὰτ (4), πρὸς οὓς ἔφερον, φησὶν, οἱ ἀπόστολοι αὐτῶν τὴν φανέρωσιν, ἀδήλων ὄντων τούτων καὶ ἀναποδείκτων, ὥσπερ δὴ καὶ αὐτός· καὶ εὐθέως ἐκστρατεύει καθ' ἡμῶν τοὺς βαρβάρους, καὶ τὰ εἰς τοῦτο αὐτοὺς ἐρεθίζοντα καθυλακτήσας, ἀποκόπτει τὸν φλήναφον.

CONFUTATIO IX.

64. Nona a Mohamede fabula inscribitur *Jonas*, nihil tamen de Jona in ea occurrit. Sed statim ab exordio tanquam pugnans et reprehendens et ironia quadam utens, « An, inquit, novum est hominibus, quod Deus alicui homini ex illorum numero revelaverit testari hominibus et evangelizare credentibus, quod ipsis est incrementum verum a Domino ipsorum? » Hæc scilicet tanquam ex Dei persona de se ipso ait. Deinde inducit homines merito non credentes, dicentesque : Magus hic est. Hoc ipse de se. Nos vero ad priorem sermonis partem dicimus, haud sane novum esse, quod ex Deo revelatur aliquid et evangelizetur credentibus, quia sine dubio incrementum illis fit a Deo. Quod tamen verum incrementum circa Mohamedem factum sit, id cum putum mendacium appareat; hominem qui hoc sibi revelatum dicit, ceu vere scelestum, atque ut ipse ait magum, abominamur. Abrahamo ita factum scimus, neque miramur : *Vult enim Deus omnes homines salvare, et ad agnitionem veritatis venire* [19]. Etenim ex idololatrica inscitia processit Abrahamus in incrementum verum divinæ notitiæ, quia hæc ei revelata a Deo fuit; et mox opera ejus religiosa manifestiora evaserunt, veritatis cognitionem firmantia. Post illum denuo novimus Moysem illuminatum a Deo, ob testandum hominibus, quod ipsis credentibus fiat incrementum verum a Domino ipsorum. Atque ita reapse evenit. Namque ab Abrahami adhuc imperfecta Dei notitia et vitæ instituto, ad perfectiorem divinam scientiam moresque deduxit illius posteros lex. Nisi enim hoc concedatur, supervacanea fuerunt et importuna omnia legis instituta, et Sabbatum, et Deo acceptabiles hostiæ, quæ omnia Abrahamo fuere incognita; quod impossibile est. Post Moysem, ut pergam uti revelationis nomine, donec exitus omnia manifestet, revelavit Deus per Jesum Christum hominibus, quod fit ipsis incrementum verum, credentibus scilicet, a Domino; verbaque in rem collata fuere : nam et Dei cognitio clarior, et vitæ mos accuratior exstitit. Idque vel inde constat,

ΕΛΕΓΚΤΙΚΟΣ Θ'.

ξδ'. Ὁ ἕνατος τῷ Μωάμετ μῦθος ἐπιγέγραπται μὲν *Εἰς τὸν Ἰωνᾶν*, οὐδὲν δὲ τοῦ Ἰωνᾶ ἐν αὐτῷ φέρεται· ἀλλ' εὐθέως ἐκ προοιμίων (5) ὥσπερ μαχόμενος καὶ ἐγκαλῶν ἢ εἰρωνευόμενος ἐπεισέρχεται λέγων· « Ἆρα ἦν τοῖς ἀνθρώποις ξένον ὅτι ἀπεκάλυψεν ὁ Θεὸς πρὸς ἄνθρωπον ἐξ αὐτῶν τοῦ διαμαρτύρασθαι τοῖς ἀνθρώποις καὶ εὐαγγελίσασθαι τοῖς πιστεύσασιν ὅτι ἔστιν αὐτοῖς προκοπὴ ἀληθινὴ παρὰ τοῦ Κυρίου αὐτῶν; » ταῦτα δὲ ὡς ἐκ προσώπου δῆθεν Θεοῦ λέγει περὶ αὐτοῦ· εἶτα εἰσάγει τοὺς καὶ, κατὰ τὸ εἰκὸς, διαπιστοῦντας καὶ λέγοντας, ὅτι Οὗτος φαρμακός ἐστιν· τοῦτο αὐτὸς ὑπὲρ ἑαυτοῦ. Ἡμεῖς δὲ πρὸς τὸν πρῶτον λόγον οὐ πάνυ φαμὲν ξένον τὸ παρὰ Θεοῦ ἀποκαλυφθῆναι καὶ εὐαγγελισθῆναι τοῖς πιστεύουσιν, ὅτι ἔστιν αὐτοῖς προκοπὴ ἀληθινὴ παρ' αὐτοῦ· ἕως δ' ἂν ἀληθεύῃ τὸ, προκοπὴ ἀληθινὴ, περὶ αὐτοῦ· τούτου δὲ ψεύδους πεφηνότος, τὸν λέγοντα ἀποκεκαλύφθαι τι τοιοῦτον, ὡς ἄνομον ἀληθῶς, καὶ, ὡς αὐτός φησι, φαρμακὸν ἀποστρεφόμεθα· τόν τε γὰρ Ἀβραὰμ τοιοῦτον ἔγνωμεν, καὶ οὐ ξενιζόμεθα· *Θέλει γὰρ ὁ Θεὸς πάντας ἀνθρώπους σῶσαι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν*· ἐκ γὰρ τῆς εἰδώλων ἀγνωσίας προέβη ὁ Ἀβραὰμ εἰς προκοπὴν ἀληθινὴν θεογνωσίας, διὰ τὸ ἀποκαλυφθῆναι αὐτῷ τοῦτο παρὰ Θεοῦ· καὶ τὰ ἔργα αὐτῷ τῆς θεοσεβείας ἐκδηλότερα γέγονε βεβαιοῦντα τὴν τῆς ἀληθείας ἐπίγνωσιν. Μετ' ἐκεῖνον πάλιν ἔγνωμεν Μωϋσέα ἀποκαλυφθέντα παρὰ Θεοῦ διαμαρτύρασθαι τοῖς ἀνθρώποις, ὅτι ἔστιν αὐτοῖς προκοπὴ ἀληθινὴ πιστεύουσι παρὰ τοῦ Κυρίου αὐτῶν· καὶ ἐγένετο τοῦτο· ἀπὸ γὰρ τῆς περὶ τὸν Ἀβραὰμ ἔτι ἀτελοῦς οὔσης θεογνωσίας καὶ πολιτείας, ἐπὶ τὴν μᾶλλον τελείαν θεογνωσίαν καὶ πολιτείαν ἀνῆγεν τοὺς αὐτοῦ ἐκγόνους ὁ τοῦ Θεοῦ νόμος· εἰ γὰρ μὴ τοῦτο δοθῇ, περιττὰ καὶ ἄκαιρα πάντα τὰ τοῦ νόμου, τό τε σάββατον καὶ αἱ θεόδεκτοι θυσίαι, ἅτινα Ἀβραὰμ οὐκ ἤδει, ὅπερ ἀδύνατον. Μετὰ Μωϋσέα, ἵνα καταχρήσωμαι τῷ τῆς ἀποκαλύψεως ὀνόματι, ἕως ἂν ἡ ἔκβασις τὸ πᾶν δηλώσῃ, ἀπεκάλυψεν ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ τοῖς ἀνθρώποις, ὅτι ἔστιν αὐτοῖς προκοπὴ ἀληθινὴ τοῖς πιστεύουσι παρὰ Κυρίου· καὶ ἔσχεν ὁ λόγος τὸ ἔργον πέρας· ἥ τε γὰρ θεογνω-

[19] I Tim. II, 4.

(4) Aliter hic vides apud Maraccium.

(5) Sur. X, 3.

Digitized by Google

σία τρανοτέρα, καὶ ἡ πολιτεία ἀκριβεστέρα καθ- A
έστηκε· καὶ δῆλον ἐν τῷ ἐκείνοις μὲν λέγεσθαι, μὴ *φονεῦσαι*· ἡμῖν δὲ, *μὴ ὀργισθῆναι*.

ξε'. Ἐπεὶ οὖν προκοπὴ ἀληθινὴ καθορᾶται, ἐπὶ μὲν Ἀβραὰμ ἀπὸ τῶν εἰδώλων ἀγνωσίας Θεοῦ ἐπὶ Θεῷ· καὶ μάρτυς ὁ βίος αὐτοῦ· ἀπὸ Ἀβραὰμ ἐπὶ τὸν νόμον προκοπὴ ἀληθινή· καὶ μαρτυρεῖ ἡ εὐταξία τῆς νομοθεσίας· ἀπὸ δὲ τοῦ νόμου ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προκοπὴ ἀληθινή· καὶ μαρτυρεῖ τὸ ἀκριβὲς τῆς εὐαγγελικῆς πολιτείας· οὐκ ἔστι ξένον τοῖς ἀνθρώποις, ὅτι ἀπεκάλυψε ὁ Θεὸς πρὸς ἄνθρωπον ἐξ αὐτῶν τοῦ διαμαρτύρασθαι καὶ εὐαγγελίσασθαι τοῖς πιστεύουσιν ὅτι ἔστι προκοπὴ ἀληθινή. Εἴδωμεν λοιπὸν εἰ καὶ ἐπὶ τοῦ Μωάμετ τοῦτο γεγονὸς εὑρηται· δοκεῖ γὰρ σεμνύνειν καὶ τὴν Ἀβραὰμ πίστιν, καὶ τὸν νόμον, καὶ τὸ Εὐαγγέλιον· B
καὶ τὸν μὲν Ἀβραὰμ καὶ τὸν νόμον, αὐτὸς οὐκ ὀφείλει παραυξῆσαι, τὸ μέντοι Εὐαγγέλιον ἐξ ἀνάγκης. Ἐπισκεψώμεθα οὖν τίνα τῶν ἐντολῶν τοῦ Χριστοῦ ἐπηύξησεν· ἆρά γε τὰ περὶ τῆς ἀκτημοσύνης; ἆρά γε τὰ περὶ σωφροσύνης; ἆρά γε τὰ περὶ ἀοργησίας; ἀλλ' οὐδὲν τούτων παρ' αὐτοῦ καθορᾶται· μᾶλλον μὲν οὖν καὶ ἀπεναντία τούτοις πᾶσιν ἔγραψέ τε καὶ ἔδρασε· λείπεται ἄρα ἐννοεῖν ἐξ ἀνάγκης μὴ ἐκ Θεοῦ αὐτὸν ἀποκαλυφθῆναι· ἢ ὡς μὴ διαμαρτυράμενον τοῖς ἀνθρώποις, μηδὲ εὐαγγελισάμενον τοῖς πιστεύουσι προκοπὴν ἀληθινὴν, ἀλλ' ἀναστροφὴν, μᾶλλον δὲ καταστροφὴν καὶ ἀπώλειαν· ἰδοὺ δὴ τὸν οἰκεῖον αὐτοῦ λόγον, γνώμονα καὶ κανόνα λαβόντες, δι' αὐτοῦ αὐτὸν ἀπηλέγξαμεν μὴ ἀποκαλυφθέντα C
παρὰ Θεοῦ· ἀλλ' ὡς αὐτὸς μὲν ἔφη, φαρμακὸς ἔστω, εἰ βούλοιτο· πλήν γε θεόθεν οὐδὲν ἔλαβε· τούτου δὲ ἐκπεσὼν, ὅποι δὴ καὶ τετάξεται, οὐκ ἄδηλον· καὶ ἀληθεύσει ὁ εἰρηκὼς, *Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί*· τούτων αὐτοῦ τῶν ἀφαυροτάτων λογίων, ἔτι σαθρότερα ῥησείδια ὑποτιθέμενα, διὰ τὴν παντελῆ χαύνωσιν καὶ ἀδράνειαν, εὔλογον παριδεῖν ἐκρίναμεν· φύσεως μὲν γὰρ τῷ ὄντι πονηρᾶς καὶ πολυλάλου, μᾶλλον δὲ φλυάρου καὶ γραοπρεποῦς ἐτύγχανεν· ἔτι δὲ καὶ δειλῆς καὶ ὀργίλου καὶ ὑπούλου καὶ μεγαλορήμονος· καὶ οὐκ οἶδ' ὅ τι κακὸν ἐνέλιπε τῷ διαβόλῳ ὅπερ αὐτῷ οὐ προσῆν· ὀρθῆς δὲ κρίσεως καὶ διανοίας εὐστόχου παντάπασιν ἄμοιρος αὐτοῦ ὁ πᾶς λόγος τυγχάνει· διὸ αὐτὸν παρήσομεν ἐν τούτοις ἀδολεσχοῦντα καταλῦσαι τὸν φλή- D
ναφον.

quod antiquis dictum fuit, *Ne occidatis* [20]; nobis autem, *Ne irascamini* [21].

65. Verum ergo incrementum conspicitur; sub Abrahamo quidem ad idololatrica inscitia Dei, ad Deum ipsum; cujus rei testis vita ipsius. Ab Abrahamo ad legem incrementum verum, quam rem testatur legislationis recta ordinatio. A lege denique ad Dominum nostrum Jesum Christum incrementum verum, prout demonstratur a perfecto evangelicæ vitæ genere. Non est ergo novum inter homines, quod Deus revelet alicui ex eorum numero, ut testetur atque evangelizet credentibus verum fieri incrementum. Superest ut videamus utrum sub Mohamede id contigisse comperiatur. Etenim is venerari videtur Abrahami fidem, et legem, et Evangelium. Et Abrahamum quidem atque legem is non debet augere; necessarie vero Evangelium. Spectemus itaque, quodnam de Christi mandatis auxerit; num illud de non possidendo? num de pudicitia? num de mansuetudine? Atqui nihil horum apud Mohamedem conspicitur; imo omnia his contraria scripsit egitque. Reliquum ergo est, ut necessario putemus nihil a Deo ipsi revelatum; sed neque hominibus quidquam testatum, neque verum incrementum credentibus evangelizasse, sed decrementum potius et subversionem atque exitium. Ecce enim propria illius verba ceu gnomonem regulamque secuti, ipsum per semetipsum convicimus, nullam a Deo revelationem accepisse. Sed, ut ipsemet dixit, esto utique, si vult, magus, sed certe divinum nihil accepit. Ab hoc gradu dejectus, ubinam sit reponendus, patet: veraxque erit ille qui dixit: *Incident in retiaculum suum peccatores* [22]. His infirmissimis ejus sermonibus marcidiores adhuc dictiunculas ab eo subjunctas, propter futilitatem ipsarum et inutilitatem, merito a me omittendas judicavi. Fuit enim Mohamedes indole prava, loquace, vel potius vetularum more nugace; formidolosa insuper, iracunda, suspicace et arrogante: atque haud scio an quid pravi diabolo resit, quo Mohamedes caruerit. Recto autem judicio ac solerti mente omnis ejus sermo prorsus est expers. Quamobrem ipsum sinemus cum his jocularibus fabulæ suæ coronidem imponere.

ΕΛΕΓΚΤΙΚΟΣ Ι'.

ξς'. Ὁ δέκατος μῦθος τῷ Μωάμετ, *Λόγος Χοῦδ*, ἐπιγέγραπται (6), καὶ τὸ προοίμιον καυχήσεως πεπλήρωται κομψῆς, ὅτι, φησὶν, ὑπὸ σοφοῦ ἀνδρὸς ἐσοφίσθη καὶ ἐστίχθη καὶ διεκρίθη· τέως μέντοι τῆς παρὰ ἀνθρώπων γνώσεως ἐπιδεῆ ὁμολογεῖ τὴν τοῦ Θεοῦ αὐτοῦ Γραφήν· ἄρχεται δὲ πάλιν καταπλήττειν τοὺς βαρβάρους, ὅτι δὴ Θεοῦ εἰσιν νομοθεσίαι τὰ τοιαῦτα παίγνια· καὶ καταφοβεῖ αὐτοὺς, εἰ μὴ πείθοιντο, ἀπό

CONFUTATIO X.

66. Decima a Mohamede fabula inscribitur *Sermo Chudi*. Proœmium egregia gloriatione abundat, quia dicit hunc sermonem a sapiente viro sapienter elaboratum, dispositumque periodis et distinctum. Interim sane humana peritia egentem confitetur Dei ipsius Scripturam. Rursus autem incipit timorem barbaris incutere, quod Dei leges sint, hæc sua ludicra: territatque illos, nisi crediderint, futura

[20] Exod. xx, 13. [21] Matth. v, 22. [22] Psal. cxl, 10.

(6) Sur. XL, 2, 4, 26, 40, 42, 49.

Digitized by Google

punitione, et iis quæ præter exspectationem accidunt humanæ vitæ molestiis. Nam si quid, inquit, vobis eveniet terra marive, id utique propter vestram in his incredulitatem patiemini. Adducitque testem prophetam legatumque Noe, cui cum omnes fidem denegarent, omnes perierunt : et quod unus filiorum ejus incredulus, aquis suffocatus fuerit, sene spectante : et quod ex unaquaque animalium specie haud septem ac duo paria, sed unum tantummodo par secum detulerit. Additque tanquam aliquo ei aspirante : Hæc ex historiis remotorum tibi nota facimus, quæ tu ignorabas, populusque tuus ante hoc tempus. Ecce autem ipse Mosaicam Scripturam se non legisse confitetur; quandoquidem illam haud recte recitat, sed perverse omnino, et sibi contradicentem. Hinc constat, eum qui illam historiam dictavit, haud nunc cum Mohamede loqui. Sed ejus potius Scripturæ falsatio vel ab homine Manichæo erat, vel a dæmone; vel ipse Mohamedes dedita opera malitiosus est, volens se supra Moysem evehere. Præterea Zalethum inducit prophetam, ignoti populi magistrum; et quod is illi mandaverit, quominus camelo cuidam feminæ nocerent in agris pascenti : et quod illi immorigeri illam occiderint, ideoque traditi sint propter camelum iræ Dei in habitationibus suis maledicti, qui et nusquam apparuerint. Terribile a barbaro exemplum ubique proponitur; sed tamen rei veritas nulla apparet. Memorat etiam Abrahami in meridie visionem, itemque Lotum; verumtamen omnia corrumpit atque confundit. Simul et immissam Sodomis iram ponit, et incogniti cujusdam Soaipi Madianitæ mentionem facit, si hic unquam inter homines fuit. Res quoque Pharaonis attingit, nectitque iis stultam suam prædicationem, seque illis æqualem facit; Et meos, inquit, sermones admittite. Atque ita nugatorium hoc capitulum claudit. Oportet vero summam barbari animadvertere inconsiderantiam qui tam libere personas illustres memorat, contrarium tamen illis vitæ institutum sectatur. Ergo alterutrum peccat; vel enim se prævaricatorem esse non intelligit, vel id omnes latere existimat : quorum alterum summæ dementiæ est, alterum vesaniæ et impudentiæ.

CONFUTATIO XI.

67. Undecima a Mohamede fabula inscribitur *Joseph*; narrat autem res pudici Josephi modo imperfecte, modo interpolatas et extensas, quædam etiam ridicula et turpia, « et quod Rachel ad pedes ejus procubuerit cum Israele patre illius in Ægypto. » Atqui Moyses dicit ipsam præmortuam in partu Benjamini. Adeo semper studet fallacem demonstrare virum visione Dei donatum ! Additque : « Atque hæc ex historiis antiquorum tibi revelamus Arabicis litteris. » Atqui alibi dicit, se sine scripto has ineptias suas recepisse. Est autem ver-

(7) Sur. XI, 64, 69, 70, 76 seq. 85, 98.

τε τῆς μελλούσης κολάσεως, ἀπό τε τῶν συμβαινόντων παρὰ προσδοκίαν ἀνιαρῶν τοῖς ἀνθρώποις· εἴ τι δ' ἂν γάρ, φησί, συμβαίνῃ ὑμῖν, εἴ τε ἐν γῇ εἴτε ἐν θαλάσσῃ, διὰ τὴν περὶ ταῦτα ἀπιστίαν πείσεσθε· καὶ παράγει εἰς μαρτυρίαν προφήτην καὶ ἀπόστολον γεγονότα τὸν Νῶε· καὶ ὅτι πάντων ἀρνησαμένων, οἱ πάντες ἀπώλοντο· καὶ ὅτι εἷς τῶν αὐτοῦ υἱῶν μὴ πιστεύσας ἀπεπνίγη ὁρῶντος τοῦ γέροντος· καὶ ὅτι ἐξ ἑκάστου εἴδους ζώων, οὐχ ἑπτὰ καὶ δύο ζυγὰς, ἀλλ' ἀνὰ μίαν μόνην ζυγὴν μετ' αὐτοῦ ἔλαβε· καὶ προστίθησιν ὡς ἐκ τοῦ πρὸς αὐτὸν δῆθεν ἐμπνέοντος, ὅτι Ἐκ τῶν ἐξηγήσεων τῶν ἀπόντων δηλοποιοῦμεν ταῦτα πρὸς σέ· οὐκ ἦς γινώσκων αὐτὰ σύ· οὔτε ὁ λαός σου πρὸ τούτου· ἰδοὺ δὲ αὐτὸς περὶ αὐτοῦ ὁμολογεῖ ὅτι τὴν Μωσαϊκὴν Γραφὴν οὐκ ἀνέγνω, ἐπειδὴ αὐτὴν οὐ προφέρει ὀρθῶς, ἀλλὰ πάνυ ἐνδιαστρόφως καὶ ἀκαταλλήλως πρὸς ἑαυτήν· πρόδηλον ὅτι οὐ τοῦ ὑπαγορεύσαντος αὐτήν ἐστιν ἡ πρὸς αὐτὸν ὁμιλία, καὶ ἡ τῆς Γραφῆς νόθευσις, ἀλλ' ἢ παρὰ ἀνδρὸς Μανιχαίου, ἢ παρὰ δαίμονος, ἢ τάχα καὶ ἐθελοντὴς κακουργεῖ, ὑπὲρ Μωϋσέα ἑαυτὸν ἐπᾶραι θέλων. Καὶ πρὸς τούτοις τὸν Ζάλεθ εἰσηγεῖται προφήτην (7) καὶ διδάσκαλον λαοῦ ἀγνώστου· καὶ ὅτι διεστείλατο αὐτοῖς τοῦ μὴ βλάψαι κάμηλόν τινα νεμομένην ἐν ἀγροῖς· καὶ ὅτι ἐκεῖνοι παραβάντες, ἐφόνευσαν αὐτὴν, καὶ κατελείφθησαν διὰ τὴν κάμηλον ἐν ὀργῇ Θεοῦ εἰς τὰς αὐλὰς αὐτῶν ἐξαρώμενοι ὡς μὴ φανέντες· φοβερὸν τὸ τοῦ βαρβάρου ὑπόδειγμα ἐν πᾶσι, πλὴν τὸ ἀληθὲς πεφηνέναι· μέμνηται δὲ καὶ τῆς περὶ τὸν Ἀβραὰμ κατὰ τὴν τῆς μεσημβρίας ὀπτασίαν, καὶ τοῦ Λὼτ· καὶ παρασολοικίζει πάντα καὶ συγχεῖ· ὅμως τὴν ἐπὶ Σόδομα κατενεχθεῖσαν ὀργὴν ἐξέθετο· πάλιν δὲ τοῦ ἀδήλου Σωαὴπ μέμνηται τοῦ Μαδιανίτου, εἴ τις ἄρα καὶ ἐγεγόνει, καὶ τῶν ἐπὶ Φαραώ· καὶ ἐπισυνάπτει, καὶ τὴν αὐτοῦ ματαιοχηρυξίαν, ὅτι Ἑνός τινος τούτων ἴσον, καὶ τοὺς ἐμοὺς παραδέξασθε λόγους· καὶ ἐν τούτοις τὸν φλήναφον ἐπετέμετο· σκοπεῖν δὲ δεῖ τὸ τοῦ βαρβάρου ἀλόγιστον ἐν τοῖς τοιούτοις αὐτοῦ ὑποδείγμασιν, ὅτι τῶν μὲν ἐνδόξων προσώπων ἀδεῶς ἐμνημόνευσεν, τὴν ἐναντίαν δὲ αὐτοῖς πορευόμενος, δυοῖν θάτερον ἔπασχεν· ἢ γὰρ οὐ συνίει τοῦτο πεπονθὼς, ἢ λαθεῖν πάντως ἐνόμισεν· ἔστι δὲ τὸ μὲν πρῶτον ἀνοίας ἁπλῶς, τὸ δὲ δεύτερον παρανοίας καὶ ἀναισχυντίας.

ΕΛΕΓΚΤΙΚΟΣ ΙΑ'.

ξζ'. Ὁ ἑνδέκατος μῦθος τῷ Μωάμετ ἐπιγέγραπται μὲν *Εἰς τὸν Ἰωσὴφ*, διηγεῖται δὲ τὰ περὶ τοῦ σώφρονος Ἰωσὴφ, πῇ μὲν ἐλλιπῆ, πῇ δὲ παρεμβεβλημένα καὶ ἐκτεταμένα καὶ γελοιώδη καὶ αἰσχρά (8)· « Καὶ ὅτι, φησὶν, ἡ Ῥαχὴλ ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ σὺν Ἰσραὴλ τῷ πατρὶ αὐτοῦ ἐν Αἰγύπτῳ. » Καίτοιγε ὁ Μωϋσῆς προτελευτῆσαι αὐτὴν λέγει ἐν τῷ τόκῳ Βενιαμίν· οὕτως ἀεὶ ψευδόμενον φιλονεικεῖ δεικνύναι τὸν θεόπτην· καὶ προστίθησιν, ὅτι « Τοῦτο ἐκ τῶν διηγήσεων τῶν ἀπόντων ἀποκαλύπτομεν ταῦτα πρὸς σὲ διὰ Ἀραβικῶν γραμμάτων· »

(8) Sur. XII, 100.

Digitized by Google

καίτοιγε ἀλλαχοῦ φησιν ὅτι ἀγράφως τὰς τερθρείας ταύτας δέδεκται· ὁ δὲ σκοπὸς αὐτῷ τοῦ λόγου τοιοῦτος· ὅτι Εἰ τὸν Ἰωσὴφ ἡ Αἴγυπτος παρεδέξατο, πολλῷ μᾶλλον ἐμὲ δέξασθαι ὑμεῖς ἐποφείλετε· τοσοῦτον αὐτῷ τὸ περιὸν τῆς ἀπονοίας· καὶ ἐν τούτοις τὸν φλήναφον ἀπεστόμισεν.

A borum ejus scopus hic, quod Si Josephum Ægyptus admisit, multo me magis debetis vos recipere. Tanta est insania ejus! Atque ita stultam fabulam suam concludit.

ΕΛΕΓΚΤΙΚΟΣ ΙΒ'.

ξη'. Τὸ δωδέκατον μυθάριον τῷ Μωάμετ ἐπιγέγραπται μὲν *Εἰς τὴν βροντήν*· ὑπομιμνήσκει (9) δὲ τοὺς ἀκούοντας ὅτι τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ Θεὸς ἐποίησεν, καὶ αὐτὸς βρέχει, καὶ χάλαζαν καταφέρει· ὡσανεὶ οὐδέπω ἄλλοτε τούτου φημισθέντος, ὅτι τε ὁ Θεὸς ταῦτα ἐποίησεν, καὶ ἐνεργεῖν ἐκέλευσεν· καὶ λοιπὸν ὥσπερ ἀρχάς τινας ὁμολογουμένας ταύτας προσθεὶς, ὡς ἀναγκαίως ἕπεσθαι ὀφειλομένην τὴν ἑαυτοῦ νεκυομαντείαν ἐπισυνάγει, καὶ τοιαῦτά τινα παραληρεῖ· Ὁ Θεὸς βροντᾷ· ἐκ τούτου γνῶτε ὅτι προφήτης αὐτοῦ εἰμι ἐγώ· ὁ Θεὸς ἀστράπτει, γνῶτε ὅτι προφήτης αὐτοῦ εἰμι ἐγώ· ὁ Θεὸς ἔθηκεν ἐν τῇ γῇ πᾶν ζῶον καὶ φυτόν· γνῶτε ὅτι προφήτης αὐτοῦ εἰμι ἐγώ· Ἴδε πόθεν εἶλε τοὺς ἀθλίους βαρβάρους. Λοιπὸν δὲ καὶ ἡμεῖς ὡς ἐκ τούτου μαθόντες, καὶ τὰ κατὰ μέρος κατανοοῦντες, καθ' ὃ αὐτὸς διδάσκει εὐφυῶς περὶ αὐτοῦ λέγειν δυνάμεθα· Ὄνος ὀγκᾶται· γνῶτε, οἱ βάρβαροι, ὅτι Μωάμετ Θεοῦ αὐτοῦ προφήτης· βόες μυκῶνται, γνῶτε οἱ βάρβαροι, ὅτι Μωάμετ Θεοῦ αὐτοῦ ἀπόστολος· ὡσαύτως δὲ καὶ περὶ κυνῶν ὑλακῆς, καὶ βομβύθρων ἠχῆς, καὶ τῶν ὁμοίων· τίνι τῶν δυσσεβῶν αὐτὸν ἀπεικάσαι δι' ὑπερβολὴν θεομαχίας, οὐκ ἔχω· καὶ οὐδὲ συναισθόμενος ὁ παραπαίων τῆς ἀθέου φλυαρίας, ἀλλὰ καὶ μέγα ἐπ' αὐτῇ φρονῶν, ὅτι δῆθεν ἀκούει βροντῶντος Θεοῦ καὶ ἀστράπτοντος ὁρᾷ, καὶ ἄλλοις ταῦτα λέγει· ἐκβοάτω τοῦτο μέγα καὶ ἐξαίσιον ἔργον ὡς ἐκ στόματος τοῦ πηρώσαντος αὐτοῦ τὰς νοητὰς αἰσθήσεις οὕτως·

B

C

ξθ'. « Ἀπεστείλαμέν σε (10) πρὸς ἔθνος οὗ παρῆλθον παρ' αὐτοῦ ἔθνη τοῦ ἐντυγχάνειν ἐπάνω αὐτῶν τὰ δηλοποιηθέντα πρὸς σέ. » Ὦ ἀπὸ τῆς ἀνωτάτω σοφίας τῷ Μωάμετ! ὄντως νῦν εὔκαιρον τὸ Γραφικὸν ἐκεῖνο φάναι ῥητόν· *Ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει*· περὶ δὲ τῆς βροντῆς, δι' ἣν καὶ ἡ ἐπιγραφὴ κεῖται, φησί· *Καὶ δοξάζει ἡ βροντὴ ἐν τῇ εὐχαριστίᾳ αὐτοῦ*· τουτέστι εὔνους καὶ λογικὴ φωνή ἐστιν ἡ βροντή· τοῦτο δὲ τῆς ἐγκρινομένης γραφῆς οὐκ ἔστιν· καὶ εἰκότως· ἦν γὰρ ἂν καὶ περὶ φλοίσβου θαλάσσης, καὶ ῥοίζου ἀνέμου, καὶ ἑτέρων πλειόνων τοῦτο διανοεῖσθαι· ἀλλ' ἔσονταί τινες ἀπηχέστατοι ψόφοι, οἷς οὐχ ἁρμόσει τὸ εἰρημένον· τῆς δὲ δυσφήμου αὐτοῦ δόξης τῆς τὸν Θεὸν αἴτιον τῶν κακῶν τιθείσης, ὥσπερ δὴ καὶ τῶν καλῶν, ἀναιδέστερον ἐπιμνησθείς, φησίν· « Ἐὰν γὰρ ἤθελεν [*cod.* ἦλθεν] (11) ὁ Θεὸς, ὁδηγῆσαι εἶχεν αὐτοὺς ἀνθρώπους πάντας· καὶ ὃν πλανᾷ ὁ Θεὸς, οὐκ ἔστιν αὐτοῦ ὁδήγησις. » Ὄντως οὗτος

D

CONFUTATIO XII.

68. Duodecima a Mohamede fabula inscribitur *Tonitru*. Monet autem auditores, Deum cœlum terramque fecisse, et ab eodem imbrem grandinemque demitti: quasi nusquam id esset famigeratum, hæc videlicet Deum fecisse, vicissimque operari jussisse. Et mox ceu confessa quædam principia hæc proponens, tanquam necessario consecuturam necyomantiam suam adnectit, et hujusmodi quædam nugatur: Deus tonat; hinc me esse prophetam illius cognoscite. Deus fulgurat; me prophetam ejus esse cognoscite. Deus in terra collocavit omne genus animalium atque plantarum; me prophetam illius esse cognoscite. Viden', quomodo infelices barbaros decipiat? Superest ut nos quodammodo ab eo discentes, et singula considerantes, prout ipse nos egregie docet, dicere valeamus: Asinus rudit; cognoscite, o barbari, Mohamedem esse Dei ipsius prophetam. Vaccæ mugiunt; cognoscite, o barbari, Mohamedem esse Dei ipsius legatum. Similiter de canum latratu, de vesparum strepitu, et aliis hujusmodi. Cuinam impio hunc ob irreligionis excessum comparem, non comperio. Neque tamen delirus hic sentiens impiam suam nugacitatem, imo magnopere in ea se jactans, quod Deum tonantem audit, et fulgurantem videt, hoc ipsum et aliis narrat. Clamet vero hoc grande et immensum opus, tanquam ex ejus ore, qui mentis ejus sensum obtudit, clamet, inquam, sic:

69. « Misimus te ad gentem, cui præcesserunt gentes, ut recitares super eas quæ revelavimus tibi. » O cœlestem Mohamedis sapientiam! Vere nunc tempestive recitabitur scripturale dictum illud: *Stultus stulta loquetur, et cor ejus vana cogitabit.* De tonitru autem, quo vocabulo etiam inscriptionem fecit: « *Tonitru glorificabit in sua gratiarum actione*[23]. » Id est, benevola et rationalis vox est tonitru. Porro hoc accuratam scripturam non decet; sane merito: idem enim et de maris murmure et de venti sibilo, et de aliis plurimis cogitare liceret. Erunt nihilominus quidam turpissimi crepitus, quibus prædicta non convenient. Infamem vero sententiam suam, quo Deum malorum æque ac bonorum causam dixerat, nunc impudentius refricans ait: « Etenim si Deus voluerit, utique universos homines diriget. Et quem Deus errare facit, non est ei directio. » Revera hic habitavit, ut ait Salomon[24], in locis quos Deus non inspicit. Rursus vero ob suum

[23] Isa. XXXII, 6. [24] Prov. XIX, 23.

(9) Sur. XIII, 3.
(10) Sur. XIII, 32.
(11) Sur. XIII, 36.

Digitized by Google

animi timorem, ne forte ei discredatur, satis agit et ait : « Dicunt negantes, Non es legatus. Dic : sufficit mihi testis Deus inter me ac vos ; et is apud quem est scientia Scripturæ. » Deum producit testem legationis suæ; nullum cæteroqui Deo dignum profert indicium, non miraculum, non prophetiam, non vitam virtutibus exercitam, nec aliam saltem scientiam ; sed absque ulla demonstratione, Deus, inquit, testis est. Deinde agnoscens suam contra Deum calumniam, suumque mendacium, quandoquidem confirmare dictum nullatenus poterat, confugit ad illos qui Scripturæ scientiam habent ; quo dicto illudit barbaris tunc litterarum ignaris, ita ut fraudem suam celare valeat. Et quicunque habet, inquit, Scripturæ scientiam. Quam dicis scripturam ? Sine dubio existimas veram esse illam Scripturam quæ de te testatur. Ergo effatum illud, *Abominatio desolationis* [15], de te dictum fuit. Nihil aliud cordatis superest de te cogitare. Quod si Mohamedes non est eo contentus, et sublimius aliquid postulat ; vos quidem divinæ Scripturæ studiosi, probe scitis quasnam ibi de Mohamede legato prædictiones Deus scripserit, et de ipsius exspectatione. Imo et in istius libro invenietis sumpta ex sacris Scripturis testimonia, congruenter ejus dogmatibus applicita, ex lege, prophetis, atque Evangelio, quos libros ipse divinos judicare videtur : quorum ceu sibi notorum prætextu barbaros latens, fabulæ finem facit.

CONFUTATIO XIII.

70. Tertia decima a Mohamede fabula inscribitur *Abraham ;* nihil tamen frugi de hoc homine narrat; sed prout etiam in superiore fabula, breviter de re creata locutus, quam a divino Spiritu regi dicit, subdit ministerii sui negotium, consuetamque blasphemiam effutit, quod Deus quem vult errare facit, vicissimque quem vult dirigit. Rursusque meminit Thamudi et Aadi, juxta priscum deliramentum suum : et quod propterea sibi quoque credi debeat ut Dei legato. Hujus autem legationis suæ hoc dicit indicium, quod futuri sunt in paradiso credentes, cum uxoribus suis et filiis simul deliciantes ; infideles autem, in judicio. « Interulæ eorum ex pice cedrina, et cooperiet vultus eorum ignis. » Atque ita tremendum diem irridens, fabulari desinit. Animadvertendum est morem esse improborum hominum haud nuda objicere retia ; alioquin ipsi potius prædæ forent. Non est ergo mirandum si qua interdum apud eum sunt laudabilia. Verumtamen illa oportet explorare quæ noviter ipse ponit, quantopere fraudes ejus dolique adversentur divinis, a quibus is decerpit, legibus.

[15] Dan. IX, 27.

ηὐλίσθη, κατὰ τὸν Σολομῶντα, ἐν τόποις οὓς οὐκ ἐπισκοπεῖ ὁ Ὕψιστος · πάλιν δὲ τῆς περιδεοῦς αὐτῷ ὑποθέσεως τοῦ μὴ ἀπιστηθῆναι ἀντέχεται, καί φησι (12) · « Λέγουσιν οἱ ἀρνησάμενοι, Οὐκ εἶ ἀπόστολος · εἰπέ · Ἀρκεσθῇ μοι ὁ Θεὸς μάρτυς μεταξύ [τε] ἐμοῦ τε καὶ ὑμῶν · καὶ ὅστις ἐστὶν παρ' αὐτοῦ εἴδησις τῆς Γραφῆς. » Θεὸν προβάλλεται μάρτυρα τῆς αὐτοῦ ἀποστολῆς · Θεοῦ δὲ οὐδέν τι ἄξιον ἐπιφέρεται σύμβολον, οὐ θαυματουργίαν, οὐ προφητείαν, οὐ βίον ἐξησκημένον, οὐδὲ ἁπλῶς γνῶσιν · ἀλλ' ἀναποδείκτως, Θεὸς μάρτυς, φησίν · εἶτα αἰσθόμενος τῆς κατὰ Θεοῦ συκοφαντίας, καὶ τοῦ ἑαυτοῦ ψεύδους (οὐ γὰρ εἶχε τοῦτο πόθεν πιστώσεται), καταφεύγει εἰς τοὺς εἰδότας τὴν Γραφὴν, ἐν τῷ τέως τοὺς βαρβάρους ἀγνώστους ὄντας διαπαῖξαι καὶ λαθεῖν ἰσχύσας· Καὶ ὅστις ἐστὶ παρ' αὐτοῦ, φησὶν, εἴδησις τῆς Γραφῆς · ποίας Γραφῆς-; ὅλως γὰρ δὴ οἴει ἀληθῆ τὴν Γραφὴν εἶναι καὶ περὶ σοῦ μαρτυροῦσαν · εἰκὸς τὰ περὶ *τοῦ βδελύγματος τῆς ἐρημώσεως* περὶ σοῦ εἴρηται · ἀλλὰ γὰρ οὐδὲν περιλείπεται τοῖς συνιοῦσι διανοεῖσθαι περὶ σοῦ · εἰ δὲ μὴ τοῦτο αὐτὸς ἀνέχοιτο, ἀλλ' ἕτερόν τι ὑψηλὸν ἀπαιτεῖ, ὅσοι τὴν θεόπνευστον μελετᾶτε Γραφὴν, αὐτοὶ ἐπίστασθε ὅσας προαγγελίας περὶ Μωάμετ ἀποστόλου ὁ Θεὸς ἔγραψε, καὶ τῆς τούτου προσδοκίας · εὑρήσετε δὲ καὶ ἐν τῇ τούτου συγγραφῇ τὰς ἐκ τῆς θείας Γραφῆς μαρτυρίας εὐστόχως ἐν τοῖς αὐτοῦ δόγμασιν ἐξαγομένας ἀπό τε νόμου καὶ προφητῶν καὶ τοῦ Εὐαγγελίου, ἃ ἐκθειάζειν δοκεῖ, καὶ ὧν ὑπὸ τὴν πρόφασιν τῆς εἰδήσεως τοὺς βαρβάρους λαθὼν, τὸν φληναφον ἔπαυσεν ·

ΕΛΕΓΚΤΙΚΟΣ Ιγ'.

ο'. Τὸ τρισκαιδέκατον (13) μυθάριον τῷ Μωάμετ *Εἰς* μὲν *τὸν Ἀβραὰμ* ἐπιγέγραπται, οὐδὲν δὲ ἄξιον λόγου περὶ τοῦ ἀνδρὸς ἐξηγεῖται, ἀλλὰ κατὰ τὸν πρὸ τούτου μῦθον ὀλίγα περὶ τῆς κτίσεως καταλέξας ὅτι θείῳ Πνεύματι διοικεῖται, ἐπάγει τὰ οἰκονομούμενα παρ' αὐτοῦ · καί φησι τὴν συνήθη βλασφημίαν, ὅτι ὁ Θεὸς ὃν θέλει πλανᾷ, καὶ ὃν θέλει ὁδηγεῖ · καὶ αὖθις μέμνηται Θαμοὺδ καὶ Ἀὰδ, κατὰ τὸν πάλαι λῆρον αὐτοῦ · καὶ ὅτι Διὰ τοῦτο κἀγὼ ὀφείλω πιστωθῆναι ὡς Θεοῦ ἀπόστολος · τῆς δὲ τούτου ἀποστολῆς γνώρισμα τοῦτό φησιν · ὅτι Ἔσονται, φησὶν, οἱ πιστοὶ ἐν τῷ παραδείσῳ ταῖς ἑαυτῶν γυναιξί τε καὶ τέκνοις συνευφραινόμενοι (14) · οἱ δὲ ἄπιστοι, φησὶν, ἐν τῇ κρίσει · « τὰ καμήσια αὐτῶν ἀπὸ κεδρίας, καὶ καλύπτει τὰ πρόσωπα αὐτῶν τὸ πῦρ · » καὶ οὕτως καταπαίζων τῆς φοβερᾶς ἡμέρας, τοῦ φληνάφου ἀπέστη. Ἐπιστῆσαι δὲ δεῖ ὅτι ἐπὶ τῶν κακουργούντων ἴδιον τὸ μὴ γυμνὰς προτιθέναι τὰς ἀρχὰς · ἦ γὰρ ἂν αὐτοὶ μᾶλλον ἐάλωσαν · οὐ χρὴ ξενίζεσθαι, εἰ καὶ παρ' αὐτῷ τι τῶν ἐπαινουμένων θεωρηθείη · ἀλλὰ τὰ παρ' αὐτοῦ καινιζόμενα βασανίσαι δεῖ · εἴ γε μὴ σφόδρα διαμάχεται τοῖς ἐξ ὧν ἐλήφθησαν αὐτοῦ τὰ δελέστα καὶ αἱ ἀπάταιι θεογράφοις νόμοις.

(12) Sur. XIII, 45.
(13) Sur. XIV, 10.
(14) Sur. XIV, 49.

Digitized by Google

ΕΛΕΓΚΤΙΚΟΣ ΙΔ'.

οα'. Τὸ τεσσαρεσκαιδέκατον μυθάριον ἐπιγέγραπται μὲν *Εἰς τὸν Νόγερ* (15)· μέμνηται δὲ αὐτοῦ πρὸς τῷ τέλει τοῦ μύθου ὅτι ἑταῖρος ἦν τῶν Σοδομιτῶν (16)· ὁ πᾶς δὲ σκοπὸς τούτου τοῦ μύθου περὶ τοῦ μὴ διαπιστηθῆναι αὐτόν· καί φησιν, ὅτι Πάντως ἐροῦσί σοι ὅτι δαιμονιάρις εἶ λέγων ἐκ Θεοῦ δέξασθαι ταῦτα (17)· εἰ γὰρ ἦς ἀληθινὸς, ἄγγελον ἂν κατῆγες. Αἰτίας δὲ τίθησι τοῦ μὴ δεῖν ἔρχεσθαι ἄγγελον, δύο· ὅτι τε εἰσί τινες δι' οὓς τοῦτο κωλύεται· καὶ ὅτι ἐκείνων ἐλθόντων, τὸ ὅλον ἤνυσται. Καὶ τίς χάρις τοῖς ἀνθρώποις; Εἰ δὲ καὶ τὸν οὐρανὸν, φησὶν, ἠνοίξαμεν, ἵσταντο ἂν οἱ ὁρῶντες αὐτὸν ἔκθαμβοι· διὰ τοῦτο οὐδὲν τούτων γίνεται· ἀλλ' ἀντὶ τούτων, φησὶ, καλῶς εἰδὼς τὰ μετέωρα· « Ἴδετε τὸ ὕψος τοῦ οὐρανοῦ καὶ τοὺς ἀστέρας, καὶ τὰς ἀστροτοξίας γινομένας, ὁπηνίκα ἀναβαίνει ὁ Σατανᾶς παρακροᾶσθαι θέλων τὰ ἐν τῷ οὐρανῷ λαλούμενα· καὶ διὰ τοῦτο πιστεύσατε ὅτι ἀπόστολός εἰμι· ἄλλος γὰρ τοῦτο πρὸ ἐμοῦ οὐκ ἐδίδαξεν. » Εἶτα πάλιν μέμνηται τῆς τοῦ Ἀδὰμ πλάσεως, καὶ τῆς γενέσεως τοῦ Βελίαρ, καὶ τῆς αὐτοῦ ἀπειθείας, καὶ τοῦ Ἀβραὰμ, καὶ τῆς ἱστορίας τῆς κατὰ τὸν Λώτ· καὶ παρεμβαλών τινα ἔξωθεν ἕτερα, κατορθώσας τε ἐκ τῆς τούτων ἐξηγήσεως, ὡς ἐνόμιζε, τὸ πιστωθῆναι, κσθάπτεται λοιπὸν τῶν τιθέντων κοινωνὸν Θεῷ (18)· καὶ ἐν τούτοις τῷ φληνάφῳ τέλος τίθησιν.

ΕΛΕΓΚΤΙΚΟΣ ΙΕ'.

οβ'. Τὸ πεντεκαιδέκατον μυθάριον (19) ἐπιγέγραπται μὲν *Εἰς τὰ μελίσσια*· μέμνηται δὲ τῶν μελισσῶν περὶ τὰ μέσα τοῦ μύθου, ὅτι ἐργάζονται κηρὸν καὶ μέλι· προστίθησι δὲ τὴν ἀπάτην αὐτοῦ, ὅτι δὴ ἐκ Θεοῦ ταῦτα δέδεκται· καὶ ἐπιτρέχειν δοκεῖ τὰς ἐν τῇ κτίσει τοῦ Θεοῦ δυναστείας· καὶ ὅτι ἐποίησεν ὁ Θεὸς τὰ κτήνη, καὶ διοικεῖ πάντα· καὶ ἐξόμνυται ὅρκον φρικτὸν κατὰ τοῦ ὀνόματος τοῦ Θεοῦ, ὅτι ὅσοι λέγουσιν ἔχειν τὸν Θεὸν θυγατέρας ἀγγέλους, τιμωρηθήσονται· τὴν δὲ τελείαν σαφήνειαν τοῦ προχρηματισμοῦ τούτου, ἐν τῷ ἐπιόντι αὐτοῦ μύθῳ ὀψόμενοι ἐκπλαγήσεσθε. Μέμνηται δὲ πάλιν περὶ βρώσεως κρεῶν, καί φησι· « Μὴ εἴπητε ὅτι τοῦτό ἐστι λελυμένον, καὶ τοῦτο κεκωλυμένον τοῦ βλασφημεῖν ἐπάνω τοῦ Θεοῦ ψεῦσμα· » βλασφημίαν καὶ ψεῦσμα καλῶν τὸν νόμον τοῦ Θεοῦ· καὶ παραινεῖ τῇ πίστει Ἀβραὰμ μοναρχίαν τοῦ πιστεύειν· Ἔθετο γὰρ, φησὶ, τὸ Σάββατον ἐπάνω τῶν ἀμφιβαλλόντων εἰς αὐτόν· καίτοιγε οὐκ ἐγίνωσκε σαββατισμὸν Ἀβραάμ· ὡς ἐκ τούτου στοχάσασθαι, ὅτι καὶ σαββατίζειν ἐβούλετο τοὺς βαρβάρους· ἀλλ' ἴσως οὐκ ἀκουσθεὶς ἐν τῷ λόγῳ τούτῳ, οὐκ ἐτόλμησε περὶ αὐτοῦ τι προσθεῖναι· καὶ ἐν τούτοις ὁ φλήναφος αὐτῷ περιέστη.

ΕΛΕΓΚΤΙΚΟΣ ΙϚ'.

ογ'. Τὸ ἑκκαιδέκατον μυθάριον (20) τῷ Μωάμετ

(15) Alcoranus Arabicus *Hegrum*, quam Gelal apud Maraccium *vallem* dicit. Noster Græcus hominem existimat, et scribit *Noger*.
(16) Sur. XV, 79.
(17) Sur. XV, 7, 15, 27, 58.

CONFUTATIO XIV.

71. Quarta decima fabula inscribitur *Noger*, cujus meminit circa fabulæ ipsius finem, nempe quod sodalis Sodomitarum fuerit. Totus autem hujus fabulæ scopus est, ne fides ei denegetur; idcirco ait: Dicent omnino, Dæmoniacus es, si a Deo hæc accepisse affirmas. Nam si verax esses, angelos adduxisses. Jam ipse causas, quamobrem angelum venire non oporteat, ponit duas; tum quia id a quibusdam prohibetur; tum quia illis advenientibus, cuncta consummabuntur. Quæ porro gratia erit hominibus? « Quod si cœlum ipsum, inquit, aperiremus, profecto admirabundi spectarent. » Ideo nihil horum fit. Sed eorum loco, inquit, præclare sciens cœlestia, « Videte cœli celsitudinem atque sidera, et siderum jaculationes, quo tempore ascendit Satanas audiendi cupidus quæ in cœlo dicebantur. Idcirco credite me esse legatum: hoc enim ante me nemo docuit. » Deinde meminit rursus creationis Adami, et originis Belial, atque ejus contumaciæ; Abrahami item et historiæ Loti. Tum quibusdam insertis exterius desumptis, atque hac narratione existimans sibi fidem conciliasse reprehendit illos postea qui socium Deo dant. Atque ita finem vanæ fabulæ imponit.

CONFUTATIO XV.

72. Quinta decima fabula inscribitur *Apes*, memoratque reapse apes circa fabulæ medium, quia ceram et mel fabricant: addit tamen commentum suum, nempe quod a Deo hæc sibi tradita fuerunt. Et delibare videtur Dei in creando potentiam, et quod Deus jumenta fecerit, atque omnia regat: juratque magnum jusjurandum per Dei nomen, quod pœnas luent quicunque Deum habere dicunt filias angelos. Plenam autem prædictionis hujus declarationem in subsequente fabula non sine stupore videbitis. Denuo carnium esum memorat dicens: « Nolite dicere hoc esse concessum, illud vero prohibitum, ne blasphemum adversus Deum mendacium proferatis: » blasphemiam videlicet appellans atque mendacium legem Dei; hortaturque ut Abrahamum unius Dei credulitate imitentur. Statuit enim, inquit, Sabbatum super discordes de eo. Atqui sabbatismum Abrahamus ignoravit. Quamobrem ex hoc conjicite quod etiam sabbatizare voluisset barbaros; sed cum ei fortasse suadenti non auscultaretur, nihil circa illud ausum esse constituere. Atque in his ejus fabula explicit.

CONFUTATIO XVI.

73. Sexta decima a Mohamede fabula inscribitur

(18) Christianos designat, qui Deo Patri dant socium vel potius consubstantialem Filium.
(19) Sur. XVI, 68, 56, 57, 116, 121.
(20) Sur. XVII, 2, 13, 16, 40.

Digitized by Google

Filii Israelis. Declarat autem, qui hanc scripsit : Nos dedimus Moysi Scripturam. Nos item judicavimus de filiis Israelis in Scriptura, fore iterum vastitatem in terra, magnumque excessum eventurum. At enim cognoscite ex sequentibus, verene hic Scripturam Moysi tradiderit. Nam paululum progressus ita nugaciter inquit : « Et nos unicuique homini de collo suspendimus sortem ipsius. Contingetque ut in die resurrectionis hæc illi obvia scriptura fiat : Lege scripturam tuam. » Hoc autem pene omnibus exploratum est, quod sortis decretum ac fatum, non solum haud suasit Moyses, sed ne id quidem memorare voluit. Si igitur ad Dei gloriam pertinet fatum admittere, nil mirum quod postea tradita Mohamedi sint, quæ olim sub silentio fuerunt. Sin vero Deum mali æque ac boni causam vult demonstrare, tunc frustra fuisse leges datas, et pœnarum minas intentas, coarguit. Hoc autem est impossibile. Ergo necessario mentitur scriptor, nempe quod hæc inepta fabula auctorem habeat illum qui Moysi legem dedit. Eumdem habent scopum apud ipsum, quæ sequuntur. Dicit enim : « Cum aliquod pessumdare oppidum volumus, jubemus incolas ejus luxuriose agere ; atque ita justa fuit de iis sententia : Exterminio illos exterminavimus : et profecto generationes post Noe multas perdidimus. » Atqui hæc verba Deumne hominum amantem an dæmonem osorem decent? Deusne luxuriari jubet an diabolus? Quis evidentiorem postulet demonstrationem, quo sibi persuadeat totum Mohamedis librum a Satana esse editum? Quod si aliqui dicant : Quomodo valuit Satanas generationes multas post Noe pessumdare? respondemus, quod viribus ac potentatu quasi divino, nequaquam ; fraude autem et tentatione quo illæ Deum ad iracundiam cierent, utique valuit ; quod et nunc peragere potest : meritoque ita, quanquam casu fortuito, veraciter dicit diabolum homines pessumdare.

74. Quodsi nondum his refutationibus persuadentur, sequentibus saltem credent. Etenim narrationem de Noe continuans, pergens porro connectit illud etiam a Moyse dictum de filiis Dei et filiabus hominum, atque ait : « Et elegit vobis Deus noster filios, sumpsitque ex angelis feminas. Vos autem dicitis grandes sermones. » Videte impietatem, videte barbari hominis insaniam ! Quia enim dictum fuit a Moyse : *Videntes filii Dei filias hominum quod pulchræ essent, acceperunt sibi uxores* [26] ; et quod ex iis quos illæ pepererunt, erant gigantes ; nescit videlicet, quem Deum Moyses appellet, nempe Enosum. Quinam vero sint hujus filii ignorans, post tantum præcedentium sermonum laborem, in præsenti demum capitulo universa ejus spes manifeste corruit. Nam

[26] Gen. vi, 2.

A ἐπιγέγραπται *Εἰς τοὺς υἱοὺς Ἰσραὴλ* (21) · ἀποφαίνεται δὲ ὁ τοῦτο συγγράψας, ὅτι Ἡμεῖς δεδώκαμεν τῷ Μωϋσεῖ τὴν Γραφὴν, καὶ ὅτι ἡμεῖς ἐκρίναμεν εἰς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ Γραφῇ τὸ ἀφανίζειν ἐν τῇ γῇ δεύτερον, καὶ ἐξαρθῆναι ἔπαρσιν μεγάλην · σκοπεῖτε δὲ ἐκ τῶν ἑξῆς, εἰ ἀληθῶς οὗτός ἐστιν ὁ τῷ Μωϋσεῖ τὴν Γραφὴν δεδωκώς · μικρὸν γὰρ προβὰς φλυαρῶν φησι · « Καὶ ἡμεῖς ἑκάστου ἀνθρώπου ἐκολλήσαμεν αὐτῷ τὴν μοῖραν αὐτοῦ εἰς τὸν τράχηλον αὐτοῦ · καὶ ἐκβαίνει αὐτῷ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως γραφὴ ὑπαντῶσα αὐτῷ αὕτη · Ἀνάγνωσον τὴν γραφήν σου. » Τοῦτο δὲ σχεδὸν πᾶσίν ἐστι φανερὸν, ὅτι μοιρογραφίαν καὶ εἱμαρμένην, οὐ μόνον οὐκ ἐνουθέτει, ἀλλ' οὔτε μνημονεῦσαι ἠνέσχετο Μωϋσῆς · οὐκοῦν εἰ μὲν πρὸς Θεοῦ δόξαν συντείνει τὸ ἀποδέ-
B ξασθαι εἱμαρμένην, οὐδὲν ξένον εἰ ὕστερον τὰ τότε σιωπηθέντα αὐτῷ δέδοται · εἰ δὲ κακῶν αὐτὸν αἴτιον, ὥσπερ δὴ καὶ τῶν καλῶν ἀποφαίνει, καὶ ἐκ τούτου ἐπὶ ματαίῳ τὰς νομοθεσίας αὐτῶν τεθεῖσθαι, καὶ τὰς κολάσεις ἀπειλῆσαι ἐλέγχει · τοῦτο δὲ ἀδύνατον · ψεύδεσθαι πάντως ἀνάγκη τὸν γράψαντα, ὅτι τὸ ληρῶδες τοῦτο μυθάριον τοῦ δεδωκότος Μωϋσῇ τὸν νόμον ἐστί · τοῦ αὐτοῦ δὲ σκοποῦ αὐτῷ καὶ τὰ ἑξῆς ἔχεται · φησὶ γάρ · « Ὅτ' ἂν ἠθέλομεν ἀπολέσαι χωρίον, ἐκελεύομεν τοὺς ἐστῶτας ἐν αὐτῷ, καὶ ἠσώτευσαν ἐν
C αὐτῷ · καὶ ἐδικαιώθη ἐπάνω αὐτοῦ λόγος · καὶ ἐδαμάσαμεν αὐτοὺς δάμασιν · καὶ πολλοὺς ἀπωλέσαμεν ἐκ τῶν γενεῶν μετὰ τὸν Νῶε. » Ταῦτα τὰ ῥήματα τίνι μᾶλλον ἁρμόττει; τῷ φιλανθρώπῳ Θεῷ, ἢ τῷ μισανθρώπῳ δαίμονι; Θεὸς κελεύει ἀσωτεύειν, ἢ διάβολος; Ἔτι ταύτης σαφεστέραν ἀπόδειξιν τίς ἐπιζητεῖ τοῦ πεπληροφορῆσθαι ὅτι τὸ ὅλον τοῦ Μωάμετ βιβλίον ὁ Σατανᾶς ἐξέδωκεν; εἰ δέ τινες ἐξ αὐτῶν εἴποιεν · Καὶ πῶς ἴσχυσε Σατανᾶς πολλοὺς ἀπολέσαι ἐκ τῶν γενεῶν μετὰ τὸν Νῶε, ἐροῦμεν ὡς ἐξ ἐπικρατείας καὶ δεσποτείας θείας οὐδ' ὅλως · ὡς ἐξ
D ἀπάτης δὲ καὶ τοῦ ἐρεθίσαι αὐτοὺς εἰς τὸ παροργίσαι τὸν Θεὸν, ἴσχυσε · καθ' ἃ καὶ νῦν τοῦτο ποιεῖν δύναται · καὶ εἰκότως ἐν τούτῳ ἐκ τοῦ αὐτομάτου ἀληθεύσει λέγων, ὅτι αὐτὸς ἀπόλλυσι τοὺς ἀνθρώπους.

οὐ. Εἰ δὲ μὴ πείθοιντο ἐκ τῶν ἐλέγχων τούτων, ἐκ τῶν ἑφεξῆς πιστεύσουσι · κατὰ συνέχειαν γὰρ τῆς περὶ Νῶε ἐξηγήσεως προτῶν ἐπισυνάπτει καὶ τοῦτο περὶ τῶν εἰρημένων Μωϋσεῖ υἱῶν Θεοῦ καὶ θυγατέρων τῶν ἀνθρώπων, οὕτω λέγων · « Καὶ ἐπελέξατο ὑμῖν ὁ Κύριος ἡμῶν τέκνα, καὶ ἐπελάβετο ἐκ τῶν ἀγγέλων θηλείας · ὑμεῖς δὲ λέγετε λόγους μεγάλους. » Ὁρᾶτε τὴν ἀσέβειαν, ὁρᾶτε τὴν ἄνοιαν τοῦ βαρβάρου! ἐπειδὴ γὰρ εἴρηται τῷ Μωϋσεῖ, ὅτι *Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας* · καὶ ὅτι ἐκ τῶν τικτομένων αὐτοῖς ἦσαν οἱ γίγαντες, μὴ εἰδὼς τίνα καλεῖ Θεὸν Μωϋσῆς ὅτι τὸν Ἐνώς · καὶ τίνες αὐτοῦ εἰσιν υἱοὶ ἀμηχανήσας, ὅτι δὴ μετὰ τοσοῦτον πόνον τῶν προλαβόντων λόγων, ἐν τῷ παρ-

(21) Quanquam vulgo inscribitur Arabice *Iter nocturnum* ; attamen nonnulli, quos Græcus sequitur, inscripserunt etiam *filii* vel *filiorum Israelis*, ut Maraccius adnotat.

Digitized by Google

όντι κεφαλαίῳ διαπίπτει αὐτοῦ πᾶσα ἐλπίς· φανε- A
ρῶς τοῦ Μωϋσέως υἱοὺς Θεοῦ ὀνομάζοντος· αὐτῷ δὲ
ἦν ἡ σπουδὴ μηδένα αὐτῷ παραχωρῆσαι· καὶ ὥσπερ
ἐνθουσιάσας ἀνταμείβει τοὺς χαρακτῆρας τῶν προσ-
ώπων καὶ τὰ εἴδη· καὶ τῶν θυγατέρων τῶν ἀνθρώ-
πων ἀναπλάττει θηλείας ἀγγέλους κατὰ τὸν Ἕλληνα
μῦθον·

Ἶρις δ' αὖ Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν· (22)

ἀντὶ δὲ τῶν υἱῶν τοῦ Θεοῦ παραλαμβάνει τοὺς υἱοὺς
τῶν ἀνθρώπων· καὶ οὕτω τὰ δῶρα τῆς αὐτοῦ ἀλο-
γίας καὶ δυσφημίας τοῖς ἀθλίοις βαρβάροις προικί-
ζει.

οε'. Τὸ δὲ πάντων ἐλεεινότερον, ὅτι παρὰ Θεοῦ
τοῦτο γενέσθαι καταγγέλλει. « Ἐπελέξατο γὰρ ὑμῖν
ὁ Κύριος ἡμῶν τέκνα· καὶ ἐπελάβετο ἐκ τῶν ἀγγέλων B
θηλείας· ὑμεῖς δὲ λέγετε λόγους μεγάλους. » Τοὺς
περὶ τοῦ Θεοῦ φησιν, ὅτι δὴ φημίζετε τῷ Θεῷ υἱοὺς
ἔχειν, καὶ τούτους πεποιηκέναι γαμβροὺς ἀνθρώπων·
μᾶλλον μὲν οὖν ἀγγέλους θηλείας νύμφας δέδωκε τοῖς
υἱοῖς τῶν ἀνθρώπων· ὡς ἐπὶ διορθώσει τῶν Μωσαϊκῶν
τοιαῦτα φάσκων· τούτου χάριν ἐν τῷ πρὸ τούτου
μύθῳ ἐξόμνυται ὅτι αἱ θήλειαι ἄγγελοι οὐκ εἰσὶ Θεοῦ
θυγατέρες· πλὴν ὅτι θήλειαί εἰσι κραταιῶς ἀγωνί-
ζεται (23)· ἀλλ' οἴμοι τῷ ἁμαρτωλοτέρῳ πάσης σαρ-
κός! ὅτι ἀναγκάζομαι θέλων ἐλέγξαι τὸν ἐχθρὸν τοῦ
Θεοῦ, ταῦτα καὶ τὰ τοιαῦτα λαλεῖν· τί οὖν λοιπὸν
πρὸς ταῦτα ἐροῦσιν οἱ ἀρνησίθεοι Σαρακηνοί; ἆρα
φιλονεικήσουσι μετὰ ταῦτα, θεόπτην Μωάμετ καλεῖν;
ἢ μᾶλλον ἐπαοιδὸν καὶ γόητα καὶ ἀπατεῶνα αὐτὸν
πεφηνότα διαπτύουσι; βαττολογήσας δὲ καὶ δυσφη- C
μήσας τούτοις ὅμοια πλείονα, ὥσπερ ἤδη σαφεῖς καὶ
ἀναντιῤῥήτους ἐκ τούτων τὰς ἀποδείξεις ποιησάμε-
νος ἐπάγει· « Καὶ εἰπέ· Εὐχαριστῶ τῷ Θεῷ τῷ μὴ
ἐπιλαβόντι υἱόν. » Καὶ ἐν τούτοις τῷ φληνάφῳ πέρας
τίθησιν.

ΕΛΕΓΚΤΙΚΟΣ ΙΖ'.

οϛ'. Τὸ ἑπτακαιδέκατον μυθάριον (24) τῷ Μωάμετ
ἐπιγέγραπται μὲν, *Εἰς τοὺς ἑταίρους τοῦ σπη-*
λαίου, ἀφηγεῖται δὲ τὴν τῶν ἁγίων ἑπτὰ παίδων
τῶν ἐν Ἐφέσῳ κατὰ τὸ σπήλαιον φυγὴν, καὶ τὸν θά-
νατον, καὶ τὴν ἀνάστασιν· τούτων δὲ ἐμνημόνευσεν
ὁ ἰδιώτης καὶ βάρβαρος κατὰ τρόπους δύο, ἕνα μὲν
τοῦ δόξαι γραφῶν πολλῶν ἔμπειρος εἶναι, ἕτερον δὲ
τοῦ σφετερίσαι εἰς τὸ ἑαυτοῦ δόγμα τὸ κατ' αὐτοὺς
θαῦμα· ἐπειδὴ δὲ σαφῶς ᾔδει Χριστιανοὺς αὐτοὺς D
ὄντας καὶ σωζομένους ἀκεραίους μετὰ θάνατον, ἐτῶν
πλειόνων προσεποιήσατο ἄγνοιαν ἐπαινετήν· καὶ
σχηματισάμενος ἀκίνδυνον ὑπόληψιν περὶ Θεοῦ ὅτι
αὐτὸς οἶδεν ὅσα ποιεῖ, καὶ πῶς αὐτὰ ποιεῖ, ἐκφεύγειν
οἴεται τὴν τῶν πολλῶν πραγμάτων ἔρευναν, ἣν οὐδὲ
θέλων ἐγίνωσκε· πλὴν μέντοι οὐδ' αὐτοὺς παρῆλθε
δίχα ψόγου· φησὶ γάρ· « Νομίζεις αὐτοὺς ἐγρηγορό-
τας, καὶ αὐτοὶ κοιμῶνται· ἀναστρέφεις αὐτοὺς ἐπὶ
δεξιὸν καὶ ἐπὶ τὸ ἀριστερὸν, καὶ τὸ σκυλὶν (25) αὐ-

(22) Hom. *Iliad.* III, 121.

(23) Relandus in opere sæpe citato part. II, cap. 15, negat a Mohamedanis existimari angelos feminas.

(24) Sur. XVIII, 8, 17, 23, 51, 51, 62, 87.

Moyse filios Dei nominante, Mohamedi cordi erat, nullum omnino filium Deo concedere : ideoque tanquam œstro percitus, personarum formas et genera immutat ; et pro filiabus hominum, confingit feminas angelos, juxta Græcam fabulam :

Iris vero ad Helenam candidis ulnis præditam venit [nuncia (angela).

Filiis autem Dei filios hominum substituit. Atque ita quasi sponsale stultitiæ suæ munus miseris barbaris exhibet.

75. Quod vero præ cæteris deplorandum est, a Deo hoc factum affirmat : « Elegit enim vobis Deus noster filios, sumpsitque ex angelis feminas. Vos autem dicitis grandes sermones, » nempe de Deo, quandoquidem Deum filios habere dictitatis, atque hos hominum fecisse generos ; cum contra potius angelos feminas filiis hominum uxores dederit : quæ scilicet ad Mosaicæ historiæ emendationem dicit. Propterea in præcedente fabula juravit, feminas angelos non esse Dei filias : et nihilominus angelos esse feminas mordicus contendit. Sed heu mihi præ universa carne peccatori, qui cogor, quandoquidem Dei hostem volo confutare, tot taliaque loqui ! Cæteroqui quid ad hæc dicent Dei negatores Saraceni ? Num post hæc volent adhuc pertinaciter Mohamedem appellare Dei familiarem, et non potius præstigiatorem et magum ? nec eum potius ut manifeste planum convictum despuent ? Blaterans autem, et his plura similia blasphemans, quasi manifestas et irrefutabiles fecisset demonstrationes, addit : « Et dic : Laus Deo qui filium non suscepit ! » Atque his dictis, fabulæ suæ finem imponit.

CONFUTATIO XVII.

76. Decima septima a Mohamede fabula inscribitur *Sodales speluncæ :* narrat autem sanctorum septem adolescentium Ephesi ad speluncam fugam, et mortem et resurrectionem. Hos vero memorat idiota barbarus duplici ex causa ; una quidem ut videatur multarum scripturarum gnarus ; altera ut sui dogmatis proprium faciat quod illis evenit miraculum. Quia vero probe sciebat fuisse illos Christianos, atque incolumes post mortem servatos, multorum annorum simulavit ignorantiam laudabilem, præque se ferens securam de Deo opinionem, nempe scire eum quæ facit, et quomodo ea facit, declinare sic putat multarum rerum vestigationem, quam ne si vellet quidem assequeretur. Attamen ne hos quidem sine vituperatione esse sinit. Ait enim : « Existimas illos vigilantes, at ipsi dormiunt : versas eos dextrorsum et sinistrorsum : et canis eorum extendens brachia sua in pulvere. Dominus scit res eorum.

(25) In Alcorano Arab. *canis ;* itaque sic interpretor. Nicetam nostrum, qui cur legerit σκυλίν, alii quærant. Fortasse proprium canis nomen fuit *scylin ;* vel idem canis ita appellabatur ob mistum ex albo rubroque colorem.

Digitized by Google

dicunt illi qui prævaluerunt in negotio ipsorum : Constituimus super eos oratorium. Habent dicere fuisse tres, quartum ipsorum canem, et abstrusa narrare videntur ; et hoc, inquit, usque ad septem. Dominus scit mensuram (numerum) illorum ; nec nisi pauci sciunt eos. » Deinde nonnullis aliis absurdis joculariter dictis, mentionem infert paradisi, ejusque conditionem exponit sic : « Nos haud omittimus mercedem illorum, qui bene egerint. Ipsos manet paradisus in Eden : subter eum decurrunt fluvii. Illic ornantur armillis aureis, induuntur vestibus ex sindone prasina aut styracina ; accumbentes ibi in lectis. Bona retributio, et pulchra fruitio ! » Postea deblaterat, prout etiam antea, de patre suo Belial, et de Adamo ac Moyse peregrina quædam atque delira. Exin de Alexandro Macedone loquitur sic : « quod nempe abierit usque ad solis occasum, solemque compererit in calidam aquam demergi : et quod murum sub aquilone muniverit contra Gog et Magog : et quod Dei unius cultor fuerit Alexander, æque ac Abrahamus, et minime ethnicus. Additque : Nos narramus de illo historiam cum veritate. » Qualis autem sit hujus rei veritas, cuncti vel nobis tacentibus sciunt. Denique cum consuetis sibi marcidis formulis fabulam claudit.

τῶν ἁπλῶν [*cod.* ἁπλῶνον] τοὺς βραχίονας αὐτοῦ εἰς τὸν χοῦν· ὁ Κύριος οἶδε τὰ περὶ αὐτούς· λέγουσιν οἵτινες ἐνίκησαν ἐπάνω τοῦ πράγματος αὐτῶν· Ἐπελάβομεν ἐπάνω αὐτῶν προσκυνητήριον· ἔχουσιν εἰπεῖν τρεῖς· τέταρτος αὐτῶν τὸ σκυλὶν αὐτῶν· δοκοῦντες τὰ ἀπόντα λέγειν· καὶ τοῦτο, φησὶν, ἕως τῶν ἑπτά· ὁ Κύριος οἶδε τὸ μέτρον αὐτῶν, καὶ οὐκ οἴδασιν αὐτοὺς εἰ μὴ ὀλίγοι. » Εἶτα φλυαρήσας ἕτερά τινα ἀλλόκοτα, μνημονεύει τοῦ παραδείσου, καὶ ἐκφράζει τὰ περὶ αὐτοῦ λέγων οὕτως· « Ἡμεῖς οὐκ ἀποῤῥίπτομεν τὸν μισθὸν τοῦ καλῶς ἐργασαμένου· ἐκείνοις ἔστι παράδεισος ἐν Ἐδὲμ, τρέχονται ὑποκάτω αὐτὸν ποταμοί· ὀρνεύονται ἐν αὐτῷ ἐκ βραχιολίων χρυσέων, φοροῦσιν ἱμάτια πράσινα ἀπὸ σινδόνος ἢ σταυράκιν ἀκουμβίζοντες ἐν αὐτῷ ἐπάνω ἀνακλιτορίων· ἀγαθὴ ἀνταπόδοσις, καὶ καλὴ ἡ ἀπόλαυσις. » Ἐφεξῆς δὲ φλυαρεῖ ἃ καὶ πρότερον περὶ τοῦ πατρὸς αὐτοῦ Βελίαρ καὶ Ἀδὰμ καὶ Μωϋσέως, ξένα τινὰ καὶ παράφορα· εἶτα μέμνηται Ἀλεξάνδρου τοῦ Μακεδόνος, καί φησιν, ὅτι « Ἀπῆλθεν ἕως δυσμῶν ἡλίου, καὶ εὗρε τὸν ἥλιον δύναντα εἰς θερμὸν ὕδωρ· καὶ ὅτι εἰς τὸν βορρᾶν ἀπετείχισε τὸν Ὼγ καὶ Μάγωγ· καὶ ὅτι μοναρχίτης ἦν τὸ σέβας Ἀλέξανδρος, κατὰ τὸν Ἀβραὰμ, καὶ οὐχ Ἕλλην. Καὶ προστίθησιν, ὅτι Ἡμεῖς διηγούμεθα ἐπάνω σου τὴν ἐξήγησιν ταύτην ἐν ἀληθείᾳ. » Ὁποία δὲ ἐν τούτοις ἀλήθεια πρόσεστιν, καὶ ἡμῶν μὴ λεγόντων πάντες ἴσασι· τὰ δὲ συνήθη αὐτῷ σαπρολαγήσας, ἔστη τοῦ μύθου.

XVIII. CONFUTATIO GENERALIS

Reliquarum omnium fabularum, cum expositione præcipuarum in illis blasphemiarum.

77. Quæ sunt a decima octava usque ad trigesimam sextam fabulam, utpote plena consuetæ Mohamedi garrulitatis et præstigiarum, imo vero conviciorum atque mendacii, prætermittimus. Sunt enim omnia perversa et absurda, tam quæ ex Vetere quam quæ ex Novo Testamento joculariter narrat. Namque Mariam juxta palmam dicit peperisse Christum, vitæ suæ pertæsam : et ex utero ejus Christum proclamasse, ut palmam concuteret, colligeret et manducaret palmarum fructum viridem. Davidem ac Salomonem cum avibus et animalibus loquentes prodigiose facit. Dæmones Salomoni auxiliares, et gundas nescio quos adfuisse dicit, et ventis illum imperavisse ac formicarum mysteria novisse : et sævum quemdam gallum magistrum ejus : et solem atque lunam equitare : et thoracem ferreum a Davide dicit primo inventum : seque judicem cum Deo fore dicit mundum judicaturo : alia denique turpiora atque insaniora, imo magis diabolica nugatur.

ΙΗ'. ΕΛΕΓΚΤΙΚΟΣ ΚΟΙΝΗ

Πάντων τῶν ἐφεξῆς μυθαρίων δι' ἐκθέσεως τῶν προκεκριμένων αὐτοῖς δυσφημιῶν.

οζ'. Τὰ μεταξὺ τοῦ ὀκτωκαιδεκάτου μυθαρίου καὶ τοῦ τριακοστοῦ ἕκτου μεστὰ ὄντα τῆς συνήθους αὐτῷ ἀδολεσχίας τε καὶ τερθρείας, μᾶλλον δὲ δυσφημίας τε καὶ ψευδηγορίας, παρήκαμεν· πάντα γὰρ ἀνατετραμμένα καὶ παράλογα, τά τε ἀπὸ τῆς Παλαιᾶς, τά τε ἀπό τῆς Νέας Διαθήκης καταφλυαρεῖ (26)· τὴν γὰρ Μαρίαν παρὰ φοίνικά φησι τεκεῖν τὸν Χριστὸν, ἀπολεγομένην τὴν ἑαυτῆς ψυχήν· καὶ τὸν Χριστὸν (27) ἀπὸ τῆς γαστρὸς αὐτῆς προσπεφωνηκέναι, ὡς ἂν σείσοι τὸν φοίνικα καὶ κατενέγκοι καὶ φάγοι φοινίκων καρπὸν χλωρόν (28). Τὸν δὲ Δαβὶδ καὶ Σολομῶντα μετὰ τῶν ὀρνέων καὶ ἀλόγων διαλεγομένους τερατεύεται (29)· δαίμονάς τε βοηθοὺς τῷ Σολομῶντι, καὶ γουνδάς τινας παρεῖναι λέγει (30), καὶ τῶν ἀνέμων ἄρχειν, καὶ τῶν μυρμήκων μυστήρια κατανοεῖν, καὶ ἄγριόν τινα ἀλέκτορα τούτου διδάσκαλον, καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καβαλαρίους εἶναι (31)· καὶ τὸν θώρακα δὲ τὸν σιδηροῦν παρὰ τοῦ Δαβὶδ πρῶτον λέγει (32) ἐφευρεθῆναι· ἑαυτόν τε κριτὴν μετὰ τοῦ Θεοῦ φημίζει κρινοῦντος τὴν οἰκουμένην· καὶ ἕτερα αἰσχρότερα (33) καὶ ἀλογώτερα, μᾶλλον δὲ δαιμονιωδέστερα καταφλυαρεῖ.

78. Jam in trigesima sexta fabula inducit Deum

οη'. Ἐν μέντοι τῷ τριακοστῷ ἕκτῳ (34) μυθαρίῳ

(26) Sur. XIX, 23.
(27) Gabrielem, non Christum, inclamasse Mariæ putat Maraccius ; sed utrum recte, non judico.
(28) Sur. XXI, 79. Confer Relandum op. cit. part. II, cap. 23.
(29) Sur. XXVII, 16 sq., 81.
(30) Sur. XXXIV, 12, 23.
(31) Puto in Suris XXXI, 29, XXXV, 13, ubi verbum Arab. significat in 1 conjugatione *currere* ; in 2 autem *ad cursum incitare*, seu *equum adigere*.
(32) Sur. XXXIV, 11.
(33) Puta in Sur. XXXIII, 4, ubi Mohamedes concedit uxorum repudium. Item v. 36, ubi de Zeidi uxore, quam callida hypocrisi sibi improbus vindicavit. Item v. 48 sq.
(34) Sur. XXXVII, 1.

Digitized by Google

εἰσάγει τὸν Θεὸν αὐτοῦ Μωάμετ ἐξομνύμενον ὅρκον τοῦτον· « Μὰ τὰ φολκῆ τῶν φολκῶν, καὶ προσθήματα προσθημάτων (35), καὶ ἐντυγχανόμενα μνήμῃ· Θεὸς γὰρ ὑμῶν ἐστιν εἷς Κύριος τῶν οὐρανῶν καὶ τῆς γῆς, καὶ τῶν μέσα αὐτῶν· καὶ Κύριος τῶν ἀνατολῶν· » εἶτα ἀποφαίνεται ὡς ἐκ προσώπου πολλῶν οὕτω λέγων· « Ἡμεῖς ἐκοσμήσαμεν τὸν οὐρανὸν τὸν ἐγγίζοντα διακοσμήσεως ἀστέρων· καὶ ἐτηρήσαμεν ἐξ ἑκάστου Σατανᾶ ἐκστασίμου· οὐκ ἀκούουσι πρὸς τὰ ὄχλη τὰ ὑψηλὰ, καὶ ἀκοντίζονται ἐξ ἑκάστου μέρους ὠθούμενοι. » Τὸν δὲ παράδεισον (36) τέσσαρας ποταμοὺς λέγει ἔχειν ἐξ ὕδατος ἀθολώτου καὶ γάλακτος καὶ ἀλλασσομένου τοῦ νόστου αὐτοῦ, καὶ οἴνου ἡδέος, καὶ μέλιτος ὑλιστοῦ· ἐν τούτοις πρόεισι μέχρι τοῦ πεντηκοστοῦ. Ἐν δὲ τῷ πεντηκοστῷ μύθῳ, οὕτως εἰσάγει τὸν θεὸν αὐτοῦ ἐξομνύμενον (37)· « Μὰ τὰ λιχμοῦντα λιχμὸν (38), καὶ βαστάζουσαι γόμους, καὶ τρέχουσαι εὐθείας, καὶ τὰ μερίζοντα πράγματα, ὑπισχνύεσθαι γὰρ τὸ ἀληθές· καὶ ὅτι ἡ κρίσις φθάσαι ἔχει. » Ἐν δὲ τῷ πεντηκοστῷ πρώτῳ μύθῳ οὕτως ἐξόμνυται (39)· « Μὰ τὸ βρος, καὶ γραφὴν στιχιζομένην ἐν μεμβράνῳ λιτῷ, καὶ τὸ ὀσπίτιν τὸ ᾠκοδομημένον, καὶ τὸ στέγος τὸ σηκούμενον, καὶ τὴν θάλασσαν τὴν δεδομένην (40), ὅτι ἡ κόλασις τοῦ Κυρίου ἐλεύσεται. »

A suum Mohamedes jurantem jusjurandum hujusmodi: « Per strabos straborum, et per incrementa incrementorum, et quæ memoriæ occurrunt. Deus enim vester unus Dominus cœlorum, et terræ, et omnium rerum his interjectarum; et Dominus orientium. » Deinde proclamat tanquam ex persona multorum ita dicens: « Nos ornavimus cœlum propinquum ornamento stellarum: et custodivimus adversus unumquemque Satanam rebellem. Non audiunt exercitus excelsos, et sagittis appetuntur, ex utroque latere repulsi. » Paradisum quatuor flumina habere dicit, ex aqua pura, lacte cujus non mutatur sapor, vino suavi, et melle defæcato. Hæc scriptitans pervenit usque ad fabulam quinquagesimam. In quinquagesima autem fabula ita Deum facit B jurantem: « Per lingentia lingendo, et gestantes onera, et currentes recta, et dispertientes negotia, jurare scilicet verum, et quod judicium venturum sit. » In quinquagesima autem prima fabula sic jurat: « Per montem, et scripturam in membranis exaratam subtilibus, et per hospitium ædificatum, et mare datum, ultio Domini veniet. »

οθ'. Ἐν δὲ τῷ πεντηκοστῷ δευτέρῳ μύθῳ τῷ ἐπιγράφοντι, *Εἰς τὸν ἀστέρα*, οὕτως ἐξόμνυται πρὸς τοὺς Ἄραβας ὑπὲρ τοῦ Μωάμετ (41)· « Μὰ τὸ ἄστρον τὸ δυόμενον· οὐκ ἐπλανήθη ὁ ἑταῖρος ὑμῶν, οὐδὲ ἠνόμησεν· οὐκ ἐφθέγξατο ἐκ θελήματος· οὐκ ἔστιν αὐτῷ εἰ μὴ ἀποκάλυψις ἀποκαλυφθεῖσα· ἔδειξεν αὐτῷ ὁ ἰσχυρὸς εἰς δύναμιν (42), ὁ εὐθεώρητος· καὶ ἐκάθισε· καὶ αὐτός ἐστιν ἐν τῷ στερεώματι τῷ ἀνωτέρῳ· καὶ C ἤγγισε, καὶ ἐκρεμάσθη, καὶ ἐγένετο μέτρον δύο τόξων ἢ ἐγγύτερον· καὶ ἀπεκάλυψε πρὸς τὸν δοῦλον αὐτοῦ ὃ ἀπεκάλυψεν· οὐκ ἐψεύσατο τὰ ἐντὸς τὸ εἶδεν· καὶ γὰρ εἶδεν αὐτό· κατάβασιν ἄλλην ἐγγὺς τοῦ δένδρου τοῦ σιδηρίτου ἐνέδωκε· » καὶ μετ' ὀλίγον ἀποφαίνεται καταγγέλλων οὕτω λέγων· « Καὶ πῶς οἱ ἄγγελοί εἰσιν εἰς τοὺς οὐρανούς, μὴ ὠφελοῦσα ἡ παράκλησις αὐτῶν τί ποτε; » Ἐν δὲ τῷ πεντηκοστῷ τρίτῳ μύθῳ βουληθεὶς εἰπεῖν περὶ τῶν τῆς σελήνης παθῶν, καὶ μὴ εἰδὼς ὅτι ἐκ τοῦ ἀποσκιάσματος τῆς γῆς σκοτίζεται, φησίν (43)· « Ἤγγικεν ἡ ὥρα καὶ ἐσχίσθη ἡ σελήνη (44)· καὶ ἐὰν θεωρῶσι σημεῖον, ἀποστρέφονται, καὶ λέγουσι· Φαρμακεία ἐστὶ παρεχομένη, καὶ ἐψευδοποίησαν. » Καὶ οὕτως ἀδολεσχῶν πρόεισιν ἕως ἑξηκοστοῦ μύθου. Ἐν δὲ τῷ ἑξηκοστῷ μύθῳ συγκαλυψάμενος ὥσπερ σκότῳ τῇ τῆς ἀνοίας ἢ ἀναισθησίας D

79. Tum etiam in quinquagesima secunda fabula, quæ inscribitur *Stella*, sic jurat ad Arabes pro Mohamede: « Per stellam occiduam, non est deceptus socius vester, neque a regula discessit, non est locutus propria voluntate, nihil est in eo nisi revelatio. Demonstravit ei qui validus viribus est, qui facile videtur; et sedit. Ipse est in firmamento superiore: et accessit, et suspensus est: et fuit intervallum duorum arcuum, aut propinquius: et revelavit servo suo quod revelavit; non est mentitus quod intra vidit: namque id vidit. Descensum alium juxta plantam sideritin tradidit. » Et paulo post definit diserte dicens: « Quomodo angeli sunt in cœlo, cum illorum intercessio nunquam prosit? » In quinquagesima tertia fabula dicere volens de lunæ passionibus, ignoransque obscurari eam terræ umbra, ait: « Appropinquavit hora, et scissa est luna. Quod si viderint signum, avertunt se, dicuntque: Præstigium est quod exhibetur, et mendaciter fecerunt. » Atque ita ludibundus pergit usque ad sexagesimam fabulam. In sexagesima autem fabula operiens quasi tenebris ignorantiæ et fatuitatis infelicis animæ suæ oculos, dat se præcipitem in mendacii inauditi barathrum, atque ita de-

(35) Alium plane sensum habent verba Arabica *ordinavit; agitavit*. Et sic habet Maraccius. Græcus autem noster, quid Arabice legerit, divinare non ausim.

(36) Sur. XLVII, 16.

(37) Sur. LI, 1.

(38) Arabice est verbum, *sparsit*. Noster aliter legit vel intellexit.

(39) Sur. LII, 1.

(40) Arabice verbum, *implevit*. Noster aliter.

(41) Sur. LIII, 1.

(42) Intelligit *Gabrielem*, quod nomen ita significat.

(43) Sur. LIV, 1.

(44) Locus Alcorani celeberrimus, quia refertur, ut multi credunt, ad ridiculum Mohamedis miraculum lunam scindentis. Alii tamen intelligunt sermonem esse de die judicii extremi, quo luna scindetur. Hac super re multus est Maraccius tum hoc loco, tum in prodromo part. II, cap. 4, p. 16. Hinc certe Mohamedani morem sumpserunt lunam scissam seu dimidiatam ubique in suis emblematibus ostentandi.

Digitized by Google

lirat : « Et cum dixit Jesus Filius Mariæ : O filii Israelis, ego sum Dei legatus ad vos, ut vera esse confirmem quæ ante me in lege fuerunt, atque ut evangelizem legatum post me venturum, cui nomen Mohamedi. Simul ac autem hanc illis revelationem attulit, dixerunt : Hoc est præstigium. Age vero quid iniquius fieri potest, quam blasphemiam Deo ascribere » neque hujus rei scriptoris nomen saltem proferre ? Oportebat enim, siquidem tantæ rei prædictio contineri silentio nequibat, an revera a Christo fuisset pronuntiata, exponi. Quamobrem neque cuiquam nominatim hoc effatum tribuit, neque locum, neque tempus, neque probabilem aliquam causam assignat, quamobrem hunc advenire expediret : quia hæc et his similia, immaniter abiis, quæ vere dicuntur, recedunt. Alioquin etiam cum nullum Christi dictum Christianis odiosum cerneret, simpliciter pronuntiavit : « Cum dixit Jesus, » barbaris nempe ecu adhuc sine mente pueris illudens.

80. In sexagesima septima fabula sic jurat : « Per calamum, et ea quæ scribuntur, non es per bonitatem *Dei* dæmoniacus ; et est tibi merces sine convicio ; atque es in formatione magna. » In sexagesima octava fabula, quam inscribit *Acca*, ita exordiltur : « Acca ; quid est acca ? et unde cognosces quid sit acca ? et negavit ut falsam horam Thamudus et Aadus. » Hæc nugabatur, barbaros decipiens ; quasi ipse sciret ignota quædam ; pergitque usque ad septuagesimam quartam garriens. In septuagesima quarta quæ inscribitur *Resurrectio*, sic jurat : « Non juro per diem resurrectionis, neque per animam figuratam. » Septuagesima sexta fabula quæ inscribitur *Missæ*, sic incipit : « Per missas ordinatim, et per procellam procellarum, et expandentes expansione, et separantes separatione, et injicientem memoriam apologeticam et protestationem ; quod fuit promissum, eveniet. » Septuagesima octava fabula sic a jurejurando incipit : « Per abstrahentes funem, et auferentes ablatione, per natantem natatione, per projicientem projectione, et per moderantem negotium, quo die fiet terræ motus concussio. » Octogesima quarta fabula ab hujusmodi jurejurando exorditur : « Per cœlum turritum, et diem condictam, per testificantem et testificatum, aboliti sunt sodales alachut, quod ignem habebat ad comburendum. » Octogesima quinta fabula a jurejurando incipit ita : « Per cœlum et altaricum. Et quomodo scies quid sit altaricum ? Stella terebrans. Namque omni animæ exsistenti præsidet custos. » Octogesima octava

(45) Sur. LXI, 6.
(46) Sur. LXVIII, 1.
(47) Arabice *perennis* vel *infinita*, ut certe vult Maraccius.
(48) Arabice *fatalis*.
(49) Sur. LXIX, 1.
(50) Sur. LXXV, 1.

τοὺς τῆς ἀθλίας αὐτοῦ ψυχῆς ὀφθαλμούς, καὶ κατὰ κρημνὸν ἀῤῥήτου ψεύδους ἑαυτὸν ὠθήσας, οὕτω παραλαλεῖ· « Καὶ ὅτ' ἂν εἶπεν (45) Ἰησοῦς Υἱὸς Μαρίας· Ὦ υἱοὶ Ἰσραὴλ, ἐγὼ ἀπόστολός εἰμι Θεοῦ πρὸς ὑμᾶς, ἀληθοποιῶν τὰ ἔμπροσθέν μου ἐκ τοῦ νόμου, καὶ εὐαγγελιζόμενος εἰς ἀπόστολον ἐρχόμενον μετ' ἐμὲ, ὄνομα αὐτῷ Μωάμετ· καὶ ἅμα ἤνεγκεν αὐτοῖς τὴν φανέρωσιν· εἶπασιν, Αὕτη ἐστὶ φαρμακεία· καὶ τίς ἀδικώτερος τοῦ βλασφημοῦντος ἐπάνω τοῦ Θεοῦ ψεῦσμα ; » οὐδὲ τὸν συγγραψάμενον τοῦτο τολμήσαις κἂν κατὰ συκοφαντίαν ἐξονομάσαι· ᾔδει γὰρ ἀμήχανον ὡς ἦν σιωπῇ τὸ μέγα τοῦτο διάγγελμα, εἴ γε καὶ ὅλως πρὸς Χριστὸν ἀναπεφώνητο, παραδοθήσεσθαι· διὸ οὔτε τινὶ τοῦτο ὀνομαστὶ προσαναρτᾷ, οὔτε τόπου, οὔτε χρόνου, οὔτε τινὸς εὐλόγου αἰτίας ἀπομέμνηται, καθ' ἣν ἐλεύσεσθαι τοῦτον ἐνὸν ἦν, διὰ τὸ τούτων, καὶ τῶν τούτοις ὁμοίων, ἐπὶ πάντων τῶν ἀληθῶς λεγομένων φυλαττομένων τὸ ψεῦδος ἀποίχεσθαι· καὶ ἄλλως τῶν Χριστοῦ ῥητῶν οὐδὲν ὁρῶν παρὰ Χριστιανοῖς ἀποστυγούμενον· ὅθεν ἁπλῶς ἀποφαίνεται, « Ὅτ' ἀνεῖπεν· » ὡσανεὶ παῖδας ἀνοήτους διαπαίζων τοὺς βαρβάρους.

π'. Ἐν δὲ τῷ ἑξηκοστῷ ἑβδόμῳ μύθῳ (46), ἐξόμνυται οὕτως· « Μὰ τὸν κάλαμον καὶ τὰ στιχίζουσιν, οὐκ εἶσε εἰς τὰ ἀγαθὰ αὐτοῦ δαιμονιάρις· καὶ ἔστι σοι μισθὸς ἄνευ ὀνειδισμοῦ (47)· καὶ εἶσε ἐπάνω πλάσματος μεγάλου. » Ἐν δὲ τῷ ἑξηκοστῷ ὀγδόῳ μύθῳ ἐπιγράφοντι *Εἰς τὸ ἄκκὰ* (48), οὕτως ἄρχεται· « Τῷ ἀκκά· τί ἐστι τὸ ἀκκά ; καὶ πόθεν οἶδες τί ἐστι τὸ ἀκκά ; καὶ ἐψευδοποίησε Θαμοὺθ καὶ Ἀὰδ εἰς τὴν ὥραν (49). » Ταῦτα δὲ ἐφλυάρει ἀπατῶν τοὺς βαρβάρους, ὅτι πάντως ἀπόῤῥητά τινα γινώσκει· καὶ ἄνεισι βατταρίζων ἕως ἑβδομηκοστοῦ τετάρτου [*cod.* δευτέρου]. Ἐν δὲ τῷ ἑβδομηκοστῷ τετάρτῳ [*cod.* δευτέρῳ] μύθῳ ἐπιγράφοντι, *Εἰς τὴν ἀνάστασιν*, οὕτως ἀπόμνυται (50)· « Οὐκ ὀμνύω εἰς τὴν ἡμέραν τῆς ἀναστάσεως· καὶ οὐκ ὀμνύω εἰς τὴν ψυχὴν τὴν μεμορφωμένην (51). » Τὸ δὲ ἑβδομηκοστὸν ἕκτον μυθάριον (52) ἐπιγέγραπται, *Εἰς τὰς ἀπολυομένας* ἄρχεται δὲ οὕτως· « Μὰ τὰς ἀπολυομένας ὀρδίνου, καὶ καταιγίδων καταιγὶς, καὶ τῶν ἀπλωθέντων ἄπλωμα· καὶ χωρησάσης χώρημα, καὶ ῥιπτούσης μνήμην ἀπολογητικὴν καὶ διαμαρτυρίαν· ὑπισχνέεσθαι γὰρ τὴν ἔλευσιν. » Τὸ ἑβδομηκοστὸν ὄγδοον μυθάριον (53) οὕτω ἐξ ὅρκου ἄρχεται· « Μὰ τὰς ἀνασπωμένας βόλισμα, καὶ ἀφελομένας ἄφελωμα, καὶ κολυμβούσης κόλυμβον, καὶ προβαλλούσης προβάλωμα, καὶ διοικούσης πρᾶγμα ᾗ ἡμέρᾳ ἐν ᾗ σείει ὁ σεισμός. » Τὸ ὀγδηκοστὸν τέταρτον μυθάριον (54) ἐκ τοιούτου ἄρχεται ὅρκου· « Μὰ τὸν οὐρανὸν τὸν πεπυργωμένον, καὶ τὴν ἡμέραν τῆς συνταγῆς· καὶ μάρτυς καὶ μαρτυρούμενος· ἐσφράγισαν [*ita cod.*] οἱ ἑταῖροι τοῦ ἄλα-

(51) Ita cod. μεμορφωμένην. Quod si Maraccii interpretationem mavis sequi, scribes Græce, μεμφομένην
(52) Sur. LXXVII, 1.
(53) Sur. LXXIX, 1.
(54) Sur. LXXXV, 1.

Digitized by Google

χουθ (55), τὸ πῦρ ἔχον τὴν καῦσιν. » Τὸ ὀγδοηκοστὸν πέμπτον μυθάριον (56) ἐξ ὅρκου ἄρχεται οὕτως· « Μὰ τὸν οὐρανὸν καὶ τὸν ἀλταρικόν· καὶ τί οἶδας τί τὸ ἀλταρικόν (57); ὁ ἀστὴρ ὁ τρυπητής, ὅτι πᾶσα ψυχὴ τῶν ὄντων ἐπάνω αὐτῆς φύλαξ. » Τὸ ὀγδοηκοστὸν ἕκτον μυθάριον (58) ἐξ ὅρκου ἄρχεται τοιούτου· « Μὰ τὸ αὖγος, καὶ αἱ νύκτες δέκα, καὶ ἡ ζυγὴ, καὶ ἡ ἀποζυγὴ, καὶ ἡ νὺξ ὅτ' ἂν ἐφαπλοῦται· ἆρα ἔστιν ἐν τούτοις ὅρκος τοῖς ὄγερ (59); »

πα'. Τὸ ὀγδοηκοστὸν ἕνατον μυθάριον (60) ἐξ ἀπομόσεως τοιαύτης ἄρχεται· « Οὐκ ὀμνύω εἰς ταύτην τὴν χώραν· καὶ σοῦ ὄντος ἐν ταύτῃ τῇ χώρᾳ· καὶ γονεὺς καὶ τὰ ἐγέννησε· καὶ γὰρ ἐπλάσαμεν τὸν ἄνθρωπον ἐν ἰσχύϊ (61). » Τὸ ἐνενηκοστὸν μυθάριον ἐκ τοιούτων ἄρχεται ὅρκων (62)· « Μὰ τὸν ἥλιον καὶ τὰς ἀκτῖνας αὐτοῦ, καὶ τὴν σελήνην ὅτ' ἂν ἀκολουθῇ αὐτῷ· καὶ τὴν ἡμέραν ὅτ' ἂν ἐπιφαίνῃ αὐτῷ· καὶ ἡ νὺξ ὅτ' ἂν ἐπιφαύσῃ αὐτῇ· καὶ τὸν οὐρανὸν, καὶ τὸ ἔκτισεν αὐτόν· καὶ τὴν γῆν, καὶ τὸ ἤδρασεν αὐτήν· καὶ τὴν ψυχὴν, καὶ τὸ ἴσασεν· » κατὰ πάσης γῆς νῦν ἐξόμνυται. Τὸ ἐνενηκοστὸν πρῶτον μυθάριον (63) ἐκ τοιούτου ἄρχεται ὅρκου· « Μὰ τὴν νύκτα ὅτ' ἂν παρίσταται· καὶ τὴν ἡμέραν ὅτ' ἂν ἐκκαθαίρῃ· καὶ τὸν ποιήσαντα τὸν ἄῤῥενα καὶ τὴν θήλειαν, ὅτι ὁ βίος ὑμῶν ἐστι πολλαχῶς. » Τὸ ἐνενηκοστὸν δεύτερον μυθάριον (64) οὕτως ἐξ ὅρκου ἄρχεται· « Μὰ τὴν πρωΐαν καὶ τὴν νύκτα ὅτ' ἂν ἡρεμῇ· οὐκ εἰασέν σε ὁ Κύριος ὢν οὐδὲ ἐξεκάκησε. » Τὸ ἐνενηκοστὸν τρίτον μυθάριον (65) ἐν τούτοις πληροῖ· « Ὅτ' ἂν δὲ εὐκαιρήσῃς, ἀγώνιζε, πρὸς τὸν Θεὸν δεήθητι. « Τὸ ἐνενηκοστὸν τέταρτον μυθάριον (66) οὕτως ἄρχεται· « Μὰ τὰς συκᾶς καὶ τὰς ἐλαίας· τὸ Σινὰ καὶ τὴν χώραν τὴν ἄφοβον· καὶ γὰρ ἐπλάσαμεν τὸν ἄνθρωπον εἰς καλὸν ἀνάστημα, καὶ ὑπεστρέψαμεν αὐτὸν κάτω τῶν κατωτάτων. » Ὡς μέγας ὁ τοῦ Δημιουργοῦ τῶν ἀνθρώπων ὅρκος! τούτου δὲ μεῖζον τὸ περὶ οὗ ὄμνυσι κατόρθωμα· « Καὶ ὑπεστρέψαμεν αὐτὸν, φησὶ, κάτω τῶν κατωτάτων· » εἰκότως τοῦ Μωάμετ οὗτος ὤφειλεν εἶναι θεός. Τὸ ἐνενηκοστὸν ἕκτον μυθάριον οὕτως ἄρχεται (67)· « Ἡμεῖς καὶ ἠνέγκαμεν αὐτὴν εἰς τὴν νύκτα τὴν ὡρισμένην· καὶ τί οἶδας τί ἐστιν ἡ νὺξ ἡ ὡρισμένη (68); καλλίων ἐστὶ χιλίων μηνῶν· καταφέρουσιν οἱ ἄγγελοι, καὶ τὸ πνεῦμα ἐν αὐτῇ ἐπιτροπῇ τοῦ Κυρίου αὐτῶν ἐξ ἑκάστου πράγματος· εἰρήνη ἐστὶν ἐκείνη, ἕως ἂν ἀνατείλῃ τὸ αὖγος. » Τὸ ἐνενηκοστὸν ἕβδομον μυθάριον (69) ἐπιγέγραπται, *Εἰς τοὺς ὀρνησαμένους* (70)· καὶ δοκεῖ καταπείθειν τοὺς ἐντυγχάνοντας τῇ ἀφιλοσογραφίᾳ αὐτοῦ ὅτι ἐκ Θεοῦ ἐστιν, ἐκ τοῦ ἐνέγκαι βιβλία ἀγνιζόμενα ὄντα, ἐν αὐτοῖς γραφαὶ ὀρθαί· τὴν δὲ ὀρθότητα αὐτῶν ἀκροαταὶ κρινέτωσαν. Τὸ ἐνενηκοστὸν ὄγδοον μυθάριον (71)

A fabula ab hoc jurejurando exorditur : « Per diluculum, et decem noctes, et per conjunctionem ac separationem, et per noctem cum intenditur; num est in his jusjurandum hominibus Oger? »

81. Octogesima nona fabula sic dejerando incipit : « Non juro per hanc regionem, et tu resides in hac regione; et per generantem, et per ea quæ genuit. Etenim hominem formavimus in fortitudine. » Nonagesima fabula ab his juramentis incipit : « Per solem et radios ejus : per lunam cum subsequitur illum : et per diem cum ei apparet : et per noctem cum ei illucescit : et per cœlum, et qui illud creavit : per terram, et qui eam fundavit : et per animam, et qui coæquavit. » Nunc per universam terram jurat. Nonagesima prima fabula ab jurejurando incipit : « Per noctem cum adest : per diem quando fit clarior : per eum qui masculum ac feminam fecit; certe vita vestra est multifaria. » Nonagesima secunda fabula ita pariter a jurejurando incipit : « Per matutinum tempus, et per noctem cum est intempesta, non dereliquit te Dominus neque aversatus est. » Nonagesima tertia fabula sic concluditur : « Cum autem tibi vacaverit, da operam ut Deum exores. » Nonagesima quarta fabula sic incipit : « Per ficus et oleas, et Sinai, et regionem securam. Etenim hominem formavimus præclara erectione, et mox depressimus eum ad infima. » Quantum est hoc Creatoris hominum jurandum! Sed et hoc ipso majus est pro quo jurat facinus, « Et depressimus eum, inquit, ad infima. » Merito sane Mohamedis hunc oportebat esse deum. Nonagesima sexta fabula sic incipit : « Nos attulimus eum in nocte præfinita. Et unde scies quid sit nox præfinita? Melior est mille mensibus. Descendunt angeli, et spiritus in ipsa nutu Domini ipsorum de omni re. Pax est illa (nox), donec oriatur aurora. » Nonagesima septima fabula inscribitur *Negantes;* videturque suadere legentibus inficetam scripturam suam, quod ea sit a Deo, quoniam affert libros depuratos, quibus continentur rectæ scripturæ. Verumtamen de harum rectitudine auditores judicent. Nonagesima octava fabula inscribitur *Terræ motus*, quia inclamabitur adversus peccatores, sicuti etiam contra Mohamedem qui de blasphemiis suis judicabitur. Nonagesima nona fabula inscribitur *Currentes*, incipitque a jurejurando sic :

(55) Arabicum vocabulum significat *foveam.*
(56) Sur. LXXXVI, 1.
(57) Controversia est de vocabuli Arabici sensu, utrum nempe sit *phosphorus*, an *noctu veniens.*
(58) Sur. LXXXIX, 1.
(59) Non est ausus Græcus Nicetas vocabulum Arabicum interpretari.
(60) Sur. XC, 1.
(61) Voc. arab. sic non absurde intelligi posse videtur. Sed tamen Maraccius maluit *in ærumna.*
(62) Sur. XCI, 1.
(63) Sur. XCII, 1.
(64) Sur. XCIII, 1.
(65) Sur. XCIV, 7.
(66) Sur. XCV, 1.
(67) Sur. XCVII, 1.
(68) Nox hæc celebris *alkadar* apud Mohamedanos, qua Deus decretum de rebus totius anni edit. Cæteroqui vocabulum illud polysemum est.
(69) Sur. XCVIII, 1.
(70) Sumitur hic titulus a primis Suræ verbis.
(71) Sur. XCIX, 1.

Digitized by Google

« Percurrentes cum latratu, et excutientes scintillas, et instantes invicem usque ad auroram, et turbantes stagnum, in quod vomunt omnes. Certe homo a Domino inseparabilis est. »

A ἐπιγέγραπται μὲν, *Εἰς τὸν σεισμὸν τῆς γῆς*, ὅτι καταβοήσει τῶν ἁμαρτωλῶν· ὡσανεὶ τούτου διὰ τὰς δυσφημίας ταύτας δεδικαιωμένου. Τὸ ἐνενηκοστὸν ἕνατον μυθάριον (72) ἐπιγέγραπται μὲν, *Εἰς τὰς τρεχούσας*· ἄρχεται δὲ ἐξ ὅρκου οὕτως· « Μὰ τὰς δραμούσας ἐν ὑλακτισμῷ, καὶ τὰς ἐνδεικνυούσας πυροβόλια, καὶ περιπιπτούσας εἰς αὖγος, καὶ ταράξαντες εἰς αὐτὸ ὑδροστάτημα, καὶ ἐμέσαντες εἰς αὐτὸ πάντες (73)· ὁ γὰρ ἄνθρωπος τοῦ Κυρίου ἀχώριστος (74). »

82. Centesima fabula inscribitur *Care*. Sic vero incipit : « Care, et unde scies quid sit care ? nisi dies in qua fiunt homines sicut scabies diffusa. » Centesima secunda fabula inscribitur *Alexar*, et sic incipit : « Per alexar, certe homo erit in involucro. » Centesima quarta fabula inscribitur *Sodales elephantis*. Est autem exigua et miserabilis scriptiuncula. Centesima septima fabula inscribitur B *Cautharus*, et sic incipit : « Nos dedimus tibi cautharum. Et ora Dominum tuum : et jugula : nam qui te odit, ipse discerpetur. » Quæramus autem de cautharo. Centesima decima fabula inscribitur *Bulaap*, quem utpote iniquum in igne peruri confitetur, uxore ejus fornacem incendente. Centesima undecima fabula ita se habet : « Dic : ipse est Deus unus ὁλόσφυρος qui nec genuit nec genitus est, nec par aliquis ipsi est. » Etiamsi vocabulum ὁλόσφυρος non denotet sphæræ figuram, certe tamen significat densum et solidum, quæ corporis est propria qualitas. Centesima duodecima inscribitur *Confugiam*. Est autem præstigiosa exclamatio ; nam ita se habet : « Dic : confugiam ad Dominum diluculi ; a malo quod ille creavit, a malo stellæ jaculantis, cum intenditur, a malo sputorum in nodos, a malo invidiæ invidentis. » Centesima tertia decima fabula, præstigiosa item exclamatio est. Inscribitur enim æque *Confugiam*, atque ita se habet : « Confugiam ad hominum Dominum, regem hominum, Deum hominum, a malo susurrationum dæmonum, qui susurrant in hominum corda : a dæmonibus et hominibus. » Atque his dictis, silet demum tota Mohamedis mythologia et fraus, congruum blasphemo initio finem imponens.

πβ'. Τὸ ἑκατοστὸν μυθάριον (75), *Εἰς τὸ κιρὲ*, ἐπιγέγραπται· ἄρχεται δὲ οὕτως· « Καρὲ (76), καὶ τί οἶδες τί ἐστι καρέ ; ἢ ἡμέρα ἐν ᾗ γίνονται οἱ ἄνθρωποι ὡς ψώρα (77) διεσπαρμένη. » Τὸ ἑκατοστὸν δεύτερον μυθάριον (78), *Εἰς τὸν ἀλέξαρ*, ἐπιγέγραπται· ἄρχεται δὲ οὕτως· « Μὰ τὸν ἀλέξαρ (79), ὅτι ὁ ἄνθρωπός ἐστιν ἐν εἰλήματι. » Τὸ ἑκατοστὸν τέταρτον μυθάριον (80), *Εἰς τοὺς ἑταίρους τοῦ ἐλέφαντος*· ἔστι δὲ μικρὰ καὶ οἰκτρὰ ματαιολογία. Τὸ ἑκατοστὸν ἕβδομον μυθάριον, *Εἰς τὸν καύθαρον* (81)· ἄρχεται δὲ οὕτως· « Ἡμεῖς ἐδώκαμέν σοι τὸν καύθαρον καὶ εὖξαι πρὸς τὸν Κύριόν σου, καὶ σφάξον, ὅτι ὁ μισῶν σε αὐτός ἐστιν ὁ διχοτομημένος· » ζητήσωμεν δὲ τὰ περὶ τοῦ καυθάρου. Τὸ ἑκατοστὸν δέκατον μυθάριον, *Εἰς τὸν Βουλαάπ* (82-83), ὃν ἄδικον γεγονότα ἐν πυρὶ καίεσθαι ὁμολογεῖ, τῆς αὐτοῦ γυναικὸς ὑποκαιούσης κάμινον. Τὸ ἑκατοστὸν ἑνδέκατον μυθάριον ἔχει οὕτως (84)· « Εἰπὲ, αὐτός ἐστι Θεὸς εἷς, Θεὸς ὁλόσφυρος· οὐκ ἐγέννησεν, οὐδὲ ἐγεννήθη· οὐδὲ ἐγένετο ὅμοιος αὐτῷ· » εἰ μὴ τὸ σχῆμα τῆς σφαίρας δηλοῖ τὸ ὁλόσφυρον, ἀλλά γε τὸ πυκνὸν καὶ πεπιλημένον, ὅπερ καὶ αὐτὸ τοῦ σώματος ἴδιον (85). Τὸ δωδέκατον καὶ ἑκατοστὸν ἐπιγέγραπται, *Εἰς τὸ φεύξομαι*· ἔστι δὲ γοητικὴ ἐπιφώνησις· ἔχει γὰρ οὕτως· « Εἰπὲ, φεύξομαι εἰς τὸν Κύριον τοῦ διαφαύσματος, ἐκ κακοῦ τοῦ ἔπλασε (86), καὶ ἐκ κακοῦ τῆς ἀστροτοξίας ὅτ' ἂν ἐκτείνηται· καὶ ἐκ κακοῦ ἐμπτυσμάτων εἰς τοὺς κόμβους (87)· καὶ ἐκ κακοῦ φθόνου φθονοῦντος. » Καὶ τὸ ἑκατοστὸν τρισκαιδέκατον μυθάριον, γοητικὴ ἐστιν ἐπιφώνησις· ἐπιγέγραπται γὰρ, *Εἰς τὸ φεύξομαι* (88)· ἔχει δὲ οὕτως· « Εἰπὲ, φεύξομαι εἰς τὸν Κύριον τῶν ἀνθρώπων, βασιλέα ἀνθρώπων, ὁ Θεὸς τῶν ἀνθρώπων· ἐκ κακοῦ ψιθυρισμάτων τῶν δαιμόνων εἰς τὰς καρδίας τῶν ἀνθρώπων, ἐκ τῶν δαιμόνων καὶ ἀνθρώπων. » Καὶ ἐν τούτοις πεφίμωται αὐτοῦ ἡ πᾶσα μυθολογία καὶ γοητεία, πρόσφορον τῇ δυσφήμῳ ἀρχῇ ἐπενεγκαμένη τέλος.

83. Age vero ex his omnibus per quæ Mohamedis Deus jurat, facile est cognoscere, quinam istius Deus sit : imo vero per hunc intermedium multos esse ipsius deos, absque alio prorsus argumento apparet :

πγ'. Ἐκ δὲ πάντων τῶν παραληφθέντων εἰς ὅρκον τῷ τοῦ Μωάμετ Θεῷ, ῥᾴδιόν ἐστι συνιδεῖν τίς ὑπῆρχεν ὁ τούτου Θεός· μᾶλλον δὲ διὰ μέσου τούτου οἱ πολλοὶ αὐτοῦ θεοί· καὶ δῖχα παντὸς ἑτέρου ἐλέγχου ὧν τε

(72) Sur. C.
(73) Dissidet Græcus textus ab Arabico, ut certe nunc se habet.
(74) Arab. *ingratus*. Itaque Græce videtur scribendum τῷ Κυρίῳ ἀχάριστος (pro ἀχώριστος), *adversus Dominum ingratus*.
(75) Sur. CI.
(76) *Care* explicatur *pulsatrix* in ed. Maraccii.
(77) Maraccius explicat voc. Arab. *locustam*. Significat etiam *papilionem*.
(78) Sur. CIII, 1.
(79) Intellige *tempus pomeridianum*.
(80) Sur. CV.
(81) Sur. CVIII. Cod. hic et infra κάνθαρον ; sed tertio loco recte a 2 m. καυθάρου. Est autem controversa hæc vox Arabica ; vulgo tamen intelligitur *fluvius* aut *piscina*.
82-83) Fuit hic Mohamedis patruus.
(84) Sur. CIX.
(85) Sur. CXIII. — Hic demum vel proprio studio vel aliena monitione eruditus, verum vocabuli Arabici significatum agnoscit Nicetas, emendatque tacite errorem quem retro (col. 705) scripserat. Grammaticalis ergo illius vocabuli sensus est *densus* vel *solidus*, sed quasi metaphorice etiam *perpetuus*, quatenus dissolvi nequit. Peccaverat insuper Nicetas scribens citato loco ὁλόσφαιρος pro ὁλόσφυρος.
(86) Hoc dicit defendens suam reprehensionem (col. 705) Mohamedis, qui Deum fecisse videbatur materialem.
(87) Intellige superstiosæ fascinationis genus. —
(88) Etiam hoc et seq. loco codex φείσομαι.

Digitized by Google

εἰς τὴν θείαν Γραφὴν παρώνησεν, ὧν τε κατὰ τῆς δόξης τοῦ Θεοῦ ἠσέβησεν, ὧν τε κατὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων ἐδυσφήμησε, τῆς τε βαθείας αὐτοῦ ἀγνωσίας, καὶ ἁπλῶς, ὡς ἔφην, βίχα τινὸς ἑτέρου ἐλέγχου ἀριδήλως κτισματολάτρης καὶ δεισιδαίμων ὑπάρχων καταλαμβάνεται· καὶ μάτην μεγαλαυχοῦσιν οἱ ἀνόητοι Σαρακηνοὶ, ἐπὶ τῷ γόητι τούτῳ ὡς ἀληθινὴν αὐτοὺς θεογνωσίαν διδάξαντι· προκάλυμμα γὰρ μόνον τὸ τοῦ μόνου Θεοῦ περιεβάλετο ὄνομα· κατὰ δὲ τὸ λεληθὸς κτισματολατρείαν καὶ Ἑλληνισμὸν αὐτοῖς εἰσηγήσατο· καὶ δῆλον, ὡς ἔφην, ἐκ τῶν τοιούτων αὐτοῦ ὅρκων· πῶς γὰρ ἦν δυνατὸν τὸν ἀληθῆ Θεὸν ὀμνύντα κατὰ κυνὸς δρομικοῦ, καὶ σκότους νυκτερινοῦ, καὶ τῶν τούτου χειρόνων; Ἀλλ' ἐπειδὴ φορτικὸς ἦν αὐτοῖς καὶ ἀπαράδεκτος ἐξ εὐθείας προτρεπόμενος αὐτοὺς λατρεύειν τῇ κτίσει καὶ τοῖς δαίμοσιν, προοιμιάζεται μὲν ἑνὸς Θεοῦ γνῶσιν, ὡς ἂν διὰ τούτου ἐκφύγοι τὴν τῆς πολυθεΐας ὑποψίαν· πάλιν δὲ τούτων οὐκ ἀναίδην καὶ θεοὺς ἔχειν τὰ κτίσματα ἐκφωνεῖ· ἀλλὰ τὴν προσηγορίαν τοῦ Θεοῦ ἀποσιωπᾷ· τὸ δὲ καθῆκον περὶ Θεοῦ σέβας, τὸ κατ' αὐτὸν ὅρκῳ, φημὶ, προσάπτει αὐτῷ· ὥστε ἐξ ἀνάγκης συμβαίνει τοῖς τῷ θεῷ τοῦ Μωάμετ λατρεύουσι, διὰ μέσου τούτου τῇ κτίσει καὶ τοῖς δαίμοσι λατρεύειν· τὸν δὲ Θεὸν τοῦ Ἀβραὰμ ὀμνύναι Μωϋσῆς μὲν εἰσάγει, οὐ κατ' ἄλλου δέ τινος ὀμνύναι λέγει, ἀλλὰ καθ' ἑαυτοῦ· *Κατ' ἐμαυτοῦ* γὰρ, φησὶν, *ὤμοσα*· ὥστε ὁ τὸν Θεὸν τοῦ Ἀβραὰμ σέβων, οὐχ ἕτερόν τινα Θεὸν διὰ μέσου αὐτοῦ σέβει, ἀλλ' αὐτὸν ἐκεῖνον· οἱ δὲ τῷ τοῦ Μωάμετ λατρεύοντες Θεῷ, δι' αὐτοῦ ἐκείνου νύκτας τε καὶ κύνας καὶ συκᾶς καὶ ἐλαίας καὶ πάντα τὰ προειρημένα μυθεύματα προσκυνοῦσιν· διὸ δὴ τὴν πλάνην κατανοήσαντες, καὶ τὸν δόλον συνιέντες, ἀποστήτωσαν, εἰ βούλοιντο, τῆς τοῦ ματαίου τούτου παροδηγίας· καὶ μόνῃ τῇ θείᾳ Γραφῇ στοιχήσαντες, παρ' αὐτῆς τὴν τελείαν καὶ μόνην ἀληθῆ θεογνωσίαν διδαχθήτωσαν· πρὸς ἣν τὰ κίβδηλα τούτου μυθάρια συγκρινόμενα, τὴν ὅσον κοπρίαν πρὸς ὄβρυζον χρυσὸν παραβαλλομένην ἀπόπτωσιν πάσχοντα ἀπελέγχεται.

A tum quia adversus sacram Scripturam insaniit, tum quia adversus Dei majestatem peccavit, tum quia de sanctis blasphemavit. Adde profundam ejusdem inscitiam. Omnino evidenter absque alio quovis argumento creaturarum adorator et superstitiosus convincitur. Temere itaque gloriantur stolidi Saraceni de hoc impostore, quasi veram ipsos Dei notitiam docuerit. Namque prætextus tantummodo causa, Dei unius præ se tendit nomen; latenter vero idololatriam et ethnicismum illis invexit. Idque constat, ut dixi, ex hujusmodi juramentis ejus. Nam qui fieri poterat ut verus Deus per canem velocem juraret, per nocturnas tenebras, et per his deteriora? Sed quia molestus fuisset illis Mohamedes et minime credibilis, si B recta eos ad creaturæ dæmonumque cultum impulisset; initio quidem unius Dei notitiam tradit, ut sic polytheismi suspicionem vitet. Item haud impudenter ut creaturas instar Dei habeant, clamat, sed Dei nomen reticet; nihilominus convenientem Deo honorem, qui per jusjurandum datur, hunc, inquam, creaturis tanquam Deo dat. Ex quo necessario consequitur, ut qui Mohamedis deum colunt, hoc intermedio, tum creaturas tum etiam dæmones colant. Abrahami sane Deum inducit jurantem Moyses, sed per aliam rem nullam nisi per se ipsum: *Per memetipsum juravi* [37], inquit. Quamobrem qui Deum Abrahami colit, alium Deum intermedio ipso non colit, sed illum ipsum. Mohamedani autem C dum Deum colunt, intermedio eodem noctes et canes et ficus et oleas, et prædicta omnia commenta adorant. Igitur errore demum cognito, doloque intellecto, recedant, si certe volunt, ab hujus stulti erroneo ducatu: unique divinæ Scripturæ adhærentes, ab eadem perfectum solumque verum cultum discant; cum qua divina Scriptura cassæ hujus hominis fabulationes comparatæ, ceu si stercus cum auro obrizo conferatur, ruina diaboli comperientur.

ΑΠΑΝΤΗΣΙΣ ΙΘ'.

Πρὸς τὸν Μωάμετ ψιλῶς ἐκλαμβανόμενον τὴν Λόγος (89) *φωνὴν ἐπὶ τοῦ ἐνυποστάτου Λόγου καὶ Υἱοῦ τοῦ Θεοῦ.*

πδ'. Ὧν αἱ οὐσίαι ἦτουν αἱ φύσεις διάφοροι, καὶ D αὐτὰ πάντως κατ' οὐσίαν διάφορα· ἃ δὲ οὕτως πρὸς ἄλληλα διαφέρει, καὶ τὰς οὐσιώδεις ἰδιότητας τῶν φύσεων διαφόρους καὶ ἀνομοίους ἔχει· ὧν οὖν ἄρα αἱ οὐσίαι ἦτουν αἱ φύσεις διάφοροι, καὶ αἱ οὐσιώδεις αὐτῶν ἰδιότητες τῶν φύσεων διάφοροι καὶ ἀνόμοιοι. Εἰ οὖν Θεὸς καὶ ἄγγελος καὶ ἄνθρωπος διαφόρους ἔχει τὰς οὐσίας, καὶ αὐτοὶ διάφοροι ἂν εἶεν πρὸς ἑαυτούς· εἰ δὲ διαφέρουσι πρὸς ἑαυτοὺς, καὶ αἱ οὐσιώδεις αὐτῶν ἰδιότητες τῶν φύσεων διάφοροι καὶ ἀνόμοιοι τέλεον ἔσονται πρὸς ἑαυτάς· οὐκοῦν ἕτερον Θεοῦ καὶ ἀγγέλων καὶ ἀνθρώπων τὸ λογικὸν πρὸς

CONTRADICTIO XIX.

Adversus Mohamedem, qui vocabulum VERBUM *simplici notione intelligit in enhypostatico Verbo et Filio Dei.*

84. Quorum substantiæ, id est naturæ, diversæ sunt, ea ipsa omnino substantialiter diversa sunt: quæ autem invicem sic differunt, ea substantiales quoque naturarum proprietates diversas dissimilesque habent. Igitur quorum substantiæ, id est naturæ, differunt, eorumdem substantiales quoque naturarum proprietates diversæ sunt atque dissimiles. Si ergo Deus et angelus et homo diversas habent substantias, ipsi quoque diversi erunt inter se. Quod si hi differunt inter se, substantiales quoque apud eos naturarum proprietates diversæ dissimilesque prorsus erunt inter se. Itaque diversa est

[37] Gen. XXII, 16.

(89) Christus *Verbum Dei* vel *ex Deo*, appellatur a Mohamede Sur. III, 45. Recole autem apud nos col. 729.

Digitized by Google

invicem Dei et angelorum et hominum rationalis facultas, non solum tanquam Creatoris erga creaturam, et immaterialis erga materiale, sed quatenus in uno est verbum tantummodo internum; in altero etiam enuntiativum; in tertio denique plus quam internum et enuntiativum. Et cum illorum haud substantiale sit verbum, non enim extra illud in quo est procedit, quia naturaliter comparatum est ut verbum in creaturis a subjecto suo non discedat, sed in eo subsideat; Dei tamen substantiale est Verbum et insitum, quanquam indivisibile ac inseparabile ab eo unde procedit, et cui inest; quia et increatum est et ingenitum. Male igitur indoctus Mohamedes, quorum diversa substantia est, unam eamdemque putavit naturarum esse proprietatem: et hominum verbo quod dilabitur ac dissipatur, simile esse Dei Verbum, quod per se subsistit habetque exsistentiam, affirmavit.

A ἄλληλα, οὐ μόνον ὡς ποιητοῦ πρὸς ποίημα, οὐδὲ ὡς ἀΰλου καὶ ἐνύλου, ἀλλ' ὡς τοῦ μὲν τὸν ἐνδιάθετον ἔχοντος μόνον λόγον, τοῦ δὲ καὶ τὸν προφορικόν· τοῦ δὲ, ὑπὲρ τὸν ἐνδιάθετον καὶ προφορικόν· καὶ τῶν μὲν ἀνούσιος ὢν ὁ λόγος·. οὐ γὰρ ἐκτὸς τοῦ ἐν ᾧ ἐστιν ὑφίστασθαι ὁ λόγος τοῖς κτίσμασι πέφυκεν, ἀλλ' ὡς ἐν ὑποκειμένῳ· τοῦ δὲ ἐνουσίου ὄντος λόγου καὶ ἐνυπάρκτου, εἰ καὶ ἀνεκφοίτητος καὶ ἀχώριστος, τοῦ ἐξ οὗ προῆλθεν ἅμα καὶ ἐν ᾧ ἐστιν ὑφισταμένου· ἐπεὶ καὶ ἄκτιστος καὶ ἀγέννητος· κακῶς οὖν ἄρα ὁ ἀμαθὴς Μωάμετ, τῶν κατ' οὐσίαν διαφερόντων, μίαν καὶ τὴν αὐτὴν ὑπέλαβεν οὐσιώδη ἰδιότητα τῶν φύσεων· καὶ τῷ σκεδαστῷ καὶ διαῤῥέοντι τῶν ἀνθρώπων λόγῳ, ταυτὸν εἶναι τῷ τοῦ Θεοῦ Λόγῳ τῷ καθ' ἑαυτὸ ὑφισταμένῳ, καὶ τὸ εἶναι ἔχοντι, B ἀνωμολόγησεν.

XX. *Adversus eumdem dicentem, Deum malorum æque ac bonorum esse causam.*

85. Illorum quæ involuntarie operantur, alia per se operantur, alia per accidens. Veluti ignis per se quidem calefacit; per accidens autem, propter contrariam circumstantiam, frigefacit; item per se quidem illuminat, propter alicujus autem corporis obstructionem, tenebras parit. Similiter in cæteris omnibus, operationis analogiam quis observans, rem ita se habere comperiet. At illa quæ voluntarie agunt, frustratione excepta, cuncta per se agunt. Si igitur Deus operans frustrationem non patitur, utique per se operatur. Per se autem operans, bona æque ac mala secundum Mohamedem operatur. Ergo contraria juxta ejusdem sententiam operatur: ita ut ex eadem causa, mala æque ac bona procedant. Atqui ea quæ per se ex una causa procedunt, contraria inter se esse non possunt, ne causa, ex qua contraria procedunt, mala simul bonaque esse videatur; quod blasphemum est et inexpiabile; ergo ex Deo mala non sunt: mala autem peccata dico, quæ et pœnarum causativa sunt. Prave igitur causam peccati Deum esse dixit impius Mohamedes.

Κ'. *Πρὸς τὸν αὐτὸν λέγοντα τὸν Θεὸν αἴτιον εἶναι τῶν κακῶν ὥσπερ δὴ καὶ τῶν ἀγαθῶν* (90).

πε'. Τῶν ἀθελήτως ἐνεργούντων ἃ μὲν καθ' αὑτὸ ἐνεργεῖ, ἃ δὲ κατὰ συμβεβηκός· οἷον τὸ πῦρ καθ' αὑτὸ μὲν θερμαίνει, κατὰ συμβεβηκὸς δὲ διὰ τὴν ἀντιπερίστασιν ψύχει· καὶ πάλιν καθ' αὑτὸ μὲν φωτίζει, δι' ἀντιφράσεως δέ τινος σώματος σκότος ποιεῖ· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, ἀναλόγως τῇ ἐνεργείᾳ τις ἀκολουθῶν, εὑρήσει οὕτως ἔχον· τῶν δὲ θελητῶς ἐνεργούντων πλὴν ἀποτυχίας, πάντα καθ' αὑτὸ ἐνεργεῖ. Εἰ οὖν Θεὸς ἐνεργῶν ἀποτυχίας ἄδεκτος, πάντα ἄρα καθ' αὑτὸ ἐνεργεῖ· καθ' αὑτὸ δὲ ἐνεργῶν, τὰ ἀγαθὰ καὶ τὰ κακὰ κατ' ἐκεῖνον C ἐνεργεῖ· τἀναντία ἄρα κατὰ τὸν Μωάμετ ἐνεργεῖ· ὥστε ἐκ τῆς αὐτῆς αἰτίας τὰ ἀγαθὰ καὶ τὰ κακὰ προέρχεται· τὰ δὲ καθ' αὑτὰ ἐκ μιᾶς αἰτίας προερχόμενα, οὐ δύνανται ἐναντία ἀλλήλοις εἶναι, ἵνα μὴ τὸ αἴτιον, ἐξ οὗ τὰ ἐναντία πρόεισιν, ἅμα κακὸν καὶ ἀγαθὸν δειχθῇ εἶναι. Εἰ δὲ τοῦτο βλάσφημον καὶ ἀνίατον, οὐκ ἄρα ἐκ τοῦ Θεοῦ τὰ κακά· κακὰ δὲ λέγω τὰ ἁμαρτήματα, ἅπερ εἰσὶ καὶ τῶν τιμωριῶν παραίτια. Κακῶς οὖν ἄρα αἴτιον τῆς ἁμαρτίας τὸν Θεὸν ὁ ἀσεβὴς ἔφη Μωάμετ.

XXI. *Adversus eumdem prave dicentem, homines in paradiso conjugalem vitam acturos.*

86. Omnis sensualis natura materialiter operans, scopum habet operationis sensuum suorum, juxta materialium rerum affectionem; finem vero generationem. Sed quia omni mutationi ac motui congrua D est quies; mutatio vel motus, secus; ita generationi contraria est corruptio. Et a divina quidem Scriptura promittitur resurrectio; sed non quemadmodum a generatione transit homo ad corruptionem, ita pariter a corruptione ad pristinam revertetur generationem: etenim neque copulas neque concubitus neque partus corruptio novit. Alioqui si hæc fieri concederetur, opus foret discernere corruptionem in masculum atque feminam; quod est impossibile. Non itaque ut generatio bo-

ΚΑ'. *Πρὸς τὸν αὐτὸν κακῶς λέγοντα κατὰ συζυγίας πάλιν ἐν παραδείσῳ διαιτᾶσθαι* (90').

πς'. Πᾶσα ἡ αἰσθητικὴ φύσις ἐνύλως ἐνεργοῦσα, σκοπὸν ἔχει τοῦ ἐνεργεῖν τοῖς αἰσθητηρίοις κατὰ τὴν τῶν ὑλικῶν πραγμάτων προσπάθειαν· τέλος δὲ, τὴν γέννησιν· ἀλλ' ἐπειδὴ πάσῃ μεταβολῇ ἢ καὶ κινήσει πρόσφορος ἠρεμία, ἡ μεταβολὴ ἢ κίνησις ἐναντία ἐστίν· καὶ τῇ γενέσει ἄρα ἐναντία φθορά· ἐπειδὴ καὶ ἀναβίωσις πρὸς τῇ θείᾳ Γραφῇ ἐπαγγέλλεται· οὐ καθ' ὃ νῦν διὰ γεννήσεως εἰς φθορὰν ἄνθρωπος ἔρχεται, οὕτω καὶ ἀπὸ φθορᾶς αὖθις κατὰ τὴν πρώτην ἐπανήξει γέννησιν· ἐπεὶ μηδὲ μίξεις καὶ συνουσίας καὶ τόκους ἡ φθορὰ οἶδεν· ἢ γὰρ ἂν δεδόσθω ταῦτα ἔχειν, καὶ διαιρείσθω ἡ φθορὰ εἰς ἄρσεν καὶ θῆλυ· ἀλλ' ἀδύνατον· οὐκ ἄρα ὡς ἡ γέννησις προάγει τὸν ἄνθρωπον, οὕτω καὶ ἡ φθορὰ διὰ γεννήσεως πολυπλασιάζει αὐ-

(90) Sur. II, 7. et sæpe alibi. Porro ab hac quoque accusatione conatur Alcoranum defendere Relandus op. cit. part. II. cap. 4; quo tamen jure vel quam bene, alii judicent.

(90') Sur. II, 25, et sæpe alibi, ut dixi supra (col. 711).

Digitized by Google

τόν· ἐπεὶ ταυτὸν ἔσται γέννησις καὶ φθορά, ὅπερ ἀμήχανον. Εἰ οὖν κατὰ γέννησιν οὐ προέρχεται ἐν τῇ ἀναστάσει ὁ ἄνθρωπος, οὐδὲ ὅσα τῆς γεννήσεώς ἐστιν ἐνεργήσει· ἐπεὶ μηδὲ φθορὰν πάλιν ἐλπίζει· εἰ δὲ ὅσα τῆς γεννήσεώς ἐστιν οὐκ ἐνεργεῖ, τίνος ἕνεκεν ἡ τοῦ ἄῤῥενος καὶ τῆς θηλείας κατὰ συνουσιασμὸν μίξις; τέλους γὰρ μὴ προκειμένου, ἀποίχεται καὶ σκοπός. Εἰ δὲ οὐδεμία χρεία ἄῤῥενος καὶ θηλείας μίξεως μετὰ τὴν ἀνάστασιν, τί εἴποι καὶ τί ποιήσει ὁ καμηλώδης Μωάμετ, εἰς ἄῤῥενας καὶ θηλείας διαιρεθέντας τοὺς ἀνθρώπους κατὰ συζυγίας ἐν παραδείσῳ διαιτᾶσθαι κελεύων; εἰ δέ τις προβάλλει τὴν ἐκ γῆς τοῦ Ἀδὰμ πλάσιν, καὶ τὸν μετὰ ταῦτα τόκον, ἴστω ὅτι ἐκεῖ μὲν τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἦν πρόοδος, καὶ διὰ τὸ τηρηθῆναι τὸ ἀνθρώπειον γένος διὰ τὴν ἔκπτωσιν. Ὧδέ γε μὴν χρεία τοῦ πρώτου οὐδαμῶς, ὅτι καὶ ὑπὲρ τὸ πρῶτον· φθορᾶς γὰρ, καὶ τῶν τῆς φθορᾶς αἰτίων παθῶν ἀπαλλαγή ἐστιν ἡ ἀνάστασις, ἤτοι ἀνάπλασις, ἀλλ' οὐχὶ γέννησις καὶ πάθη γεννήσεως, φθορᾶς προηγούμενα οἷς αὐτὴ ἀναγκαίως ἕψεται.

A minem producit, sic etiam corruptio per generationem eum multiplicat. Alioquin idem esset generatio et corruptio; quod est impossibile. Si ergo haud generatione producitur in resurrectione homo, is ne illa quidem postea operabitur quæ sunt propria generationis; nam neque corruptionem denuo exspectat. Si ergo quæ sunt generationis propria jam non agit, cur jam masculi ac feminæ per concubitum mistio fiat? Nam fine non proposito, rei persecutio desinit. Quod si nullus jam usus erit concubitus masculi ac feminæ post ressurrectionem, quid dicit aut quid facit camelarius Mohamedes, dum in masculos ac feminas distinctos homines conditione conjugali vivere in paradiso statuit? Quod si quis objiciat Adami ex pulvere formationem, et postea generationem, hic sciat tunc fuisse B a non exsistente ad exsistentiam transitum, atque ut conservaretur post lapsum genus humanum. Nunc autem nulla est necessitas prioris rei, quia præsens status priorem superat: quippe quia corruptionem, et corruptionis causam passiones, resurrectio destruit; quæ quidem reformatio est, non tamen generatio, neque generationis passio, quæ corruptioni præeunt, et quas ipsa corruptio necessario subsequitur.

ΚΒ'. *Πρὸς τὸν αὐτὸν ἀμαθῶς ἅμα καὶ ἀσεβῶς λέγοντα θηλείας εἶναι ἀγγέλους, καὶ ταύταις συνελθεῖν τοὺς ἐπὶ Νῶε ἀνθρώπους* (91).

XXII. *Adversus eumdem insipienter simul et impie dicentem angelos esse feminas, et cum his concubuisse Noe temporibus homines.*

κζ'. Πάντα τὰ ἐξ ἑτεροειδῶν κατὰ γέννησιν ἀλλήλοις συνιόντα, ἢ ἄλλο τι πάντη παρὰ τὰ ἐξ ὧν προελήλυθει, ἢ πῇ μὲν αὐτῶν μετέχει, πῇ δὲ καὶ διενηνοχότα πρόεισι· καὶ ἡ κρείττω ἐστὶν τῶν προαγόντων, ἢ χείρω. Εἰ οὖν ἐκ συνόδου, ὡς τερατεύεται Μωάμετ, ἀνθρώπων καὶ ἀγγέλων προήρχετό τινα γεννήματα, ἢ ἄλλο τι πάντως παρ' ἑκάτερα ἔδει εἶναι· καὶ ἔστω C τὸ τικτόμενον ἐξ αὐτῶν οὔτε ἄγγελος οὔτε ἄνθρωπος, τουτέστιν οὔτε θνητὸν οὔτε ἀθάνατον, οὔτε σαρκοφόρον οὔτε ἀσώματον, ὥσπερ ἡμίονος, οὔτε χρεμετιστικόν ἐστιν, οὔτε ὀγκηθμητικόν· ἀλλ' οὐδὲ μέσον θνητοῦ καὶ ἀθανάτου, οὐδὲ ἐνύλου καὶ ἀΰλου· οἱ γὰρ γίγαντες καὶ ἐτελεύτων, καὶ ἔνυλοι ὑπῆρχον ἄνθρωποι. Οὐκ ἄρα κατὰ γέννησιν ἀνδρῶν ἀγγέλοις συνιόντων, ἄλλο τι ἐτίκτετο ἢ ἐστι τὰ τικτόμενα, πῇ μὲν τῶν τικτόντων μετέχοντα, πῇ δὲ διαλλάττοντα. Διαλλαττέτω οὖν κατὰ τὸ θνητὸν τοῦ ἀνθρώπου, ἢ μετεχέτω κατὰ τὸ ἔνυλον· διαλλαττέτω πάλιν ἀγγέλου κατὰ τὸ ἀθάνατον, καὶ μετεχέτω κατὰ τὸ ἀσώματον· καὶ ἔστω θνητὸν, ἀθάνατον· καὶ ἔνυλον, ἀσώματον· ἀλλὰ ἀδύνατον· ἔνυλοι γὰρ μόνως καὶ θνητοὶ ἄνθρωποι μόνως ἦσαν οἱ γίγαντες· οὐκ ἄρα ἀνδρῶν ἀγγέλοις D συνιόντων, πῇ μὲν τὰ τικτόμενα τούτων μετεῖχε, πῇ δὲ διήλλαττεν· ἀλλὰ δέδεικται, ὅτι οὐδέτερόν τι παρὰ ταῦτα. Οὐκ ἄρα ἐκ συνόδων ἀνδρῶν καὶ ἀγγέλων δυνατόν τι τεχθῆναι· ὅτι μηδὲ παρὰ τὰ εἰρημένα τεχθῆναί τι δύναται ἐξ ἑτεροειδῶν· ἀλλ' οὐδὲ φύσιν ἔχει τὸ πρᾶγμα. Εἰ γὰρ καὶ δοθῇ, ὅπερ ἀμήχανον, ἀνδρὶ συγγενέσθαι ἀγγέλῳ, ἐν ποίᾳ μήτρᾳ συνέξει καὶ ζωώσει τὸ ἀσώματον τὸ σῶμα; ποίᾳ δὲ ὁμοίᾳ

87. Quæcunque ex heterogeneis per generationem invicem conveniunt, vel diversum quid evadunt ab illis unde procedunt, vel partim inde participant, partim dissimilia procedunt; et vel sunt meliora factoribus suis vel deteriora. Si ergo ex copula, ut monstrose dicit Mohamedes, hominum et angelorum genituræ aliquæ fierent; res nata vel diversa prorsus a pariente fieret, atque ita nec angelus esset nec homo; id est, neque mortalis neque immortalis, neque carnalis neque incorporalis; muli instar, qui neque hinniendi neque rudendi facultatem habet. Sed neque res media esset inter mortalem et immortalem, et inter materialem et immaterialem. Nam gigantes certe et mortui sunt, et materiales homines fuerunt. Non itaque ex viris angelisque generandi causa coeuntibus, genitum quidquam fuisset diversum a gignentibus, quod partim eosdem participaret, partim discreparet. Esto igitur illud discrepans ab homine, quatenus hic est mortalis; congruat autem, quatenus idem est materialis. Esto vice versa discrepans ab angelo, quatenus hic est immortalis; congruat autem, quatenus idem est incorporeus. Atque ita mortale, sit immortale; materiale, sit incorporeum; quod est impossibile. Nam gigantes nihil aliud fuerunt quam materiales mortalesque homines. Non ergo ex virorum et angelorum concubitu quidquam gigni potest; quia, præter dicta, nihil ex heterogeneis gigni potest. Neque hanc natura rem patitur. Nam si forte concedatur, id quod fieri nequit, viro cum angelo

(91) Negat hunc esse Mohamedanorum errorem Relandus op. cit. lib. II, 13, contenditque locum ex Sura XXXVII, 150, contrarium potius significare. Recole col. 765 cum adn. Jam quæ Euthymius in *Panoplia* dicit, ea ex nostro Niceta haurit.

Digitized by Google

coire, quanam in vulva incorporeus concipiet et vivificabit corpus aliquod? quanam simili congruaque materia augebit concepti molem? quomodo in utero circumferet? quomodo lactabit? quomodo nutritivos humores sugere solito animali suppeditabit exsanguis et immaterialis natura? Ergo angelus ex viro non concipiet. Sed neque fieri potest ut vir ad angeli concubitum veniat: quippe hominum tangibile corpus est, intangibilis angelus. Quod autem sub tactum non cadit, eidem homo non communicat. Jam si angelus ad eam communionem trahi nequit, ne viri quidem copulæ obnoxius erit. Male igitur impieque Mohamedes confingit feminas angelos, et cum his copulari homines blasphemat.

A καὶ καταλλήλῳ ὕλῃ αὐξήσει τὸν ὄγκον; πῶς δὲ καὶ ἐγγαστρίως περιάξει; πῶς δὲ καὶ γαλουχήσει τὸ χυμοὺς θρεπτικοὺς εἰωθὸς ἐπισπᾶσθαι ζῶον ἡ ἀναιμος καὶ ἄϋλος φύσις; οὐκ ἄρα συλλήψεται ἄγγελος ἐξ ἀνδρός· ἀλλ' οὐδὲ δυνατὸν ἀνδρὶ ἀγγέλῳ πρὸς συνουσίαν ἐλθεῖν· ἁπτὸν μὲν γὰρ τὸ τῶν ἀνθρώπων σῶμα, ἀναφὴς δὲ ὁ ἄγγελος· ᾧ δὲ ἀφῇ οὐχ ὑποπίπτει, οὐδὲ μετέχεται παρ' αὐτοῦ· εἰ δὲ μετέχεσθαι παρ' αὐτοῦ οὐ δύναται ἄγγελος, οὐδὲ κατὰ συνουσίαν ἀνδρὶ συνεισέρχεται. Κακῶς οὖν ἄρα καὶ ἀσεβῶς Μωάμετ θηλείας τερατεύεται ἀγγέλους, καὶ ταύταις ἀνθρώπους συνελθεῖν βλασφημεῖ.

XXIII. *Adversus eumdem dicentem nihil valere sanctorum, qui in cœlo sunt, angelorum intercessionem.*

88. Nisi Mohamedes confessus fuisset angelorum intercessionem, quærendum foret num ipse eam fieri posse existimaret. Sed quia hanc concedit, sed inutilem affirmat; quærendum superest, quænam hujus frustrationis causa sit. Nam si hæc quidem talis est, id fit vel quia Deus implacabilis est prece qualibet; vel quia angeli improprie postulant. Nunc quia prius illud ne Mohamedem quidem admittere constat ex ejus ad preces adhortationibus, superest ut putemus, angelos, propterea quod male petunt, non exaudiri. Atqui male petere, i lem est ac male velle: sunt ergo angeli malevoli. Malevolus autem aliquis est, vel ex inscitia, vel ex improbitate. Verumtamen quis cordatus existimet, in ignorantia boni versari illos qui ipsi innatæ sapientiæ astant? quomodo item malos eos judicabit, qui summo bono jugiter saturantur? Quod si hæc impossibilia sunt, mentitur sine dubio Mohamedes; imo vero blasphemat, inutiles dicens sanctorum angelorum intercessiones.

B ΚΓ'. *Πρὸς τὸν αὐτὸν λέγοντα μηδὲν ἰσχύειν τὴν πρεσβείαν τῶν ἐν οὐρανοῖς ἁγίων ἀγγέλων* (92).

πη'. Εἰ μὲν αὐτὸς οὐχ ὁμολογεῖ πρεσβείαν ἀγγέλων, ἐζητεῖτο ἂν εἰ ἄρα ἐστὶν αὐτῷ δοξαστόν· ἐπειδὴ δὲ τοῦτο δίδωσι μὲν, ἀνόνητον δὲ αὐτὴν ἀποφαίνεται, ζητείσθω λοιπὸν τίς ἡ αἰτία τῆς ἀποτυχίας αὐτῆς· εἰ ἄρα καὶ ἔσται· ἤτοι μὲν γὰρ ἀμείλικτός ἐστιν ὁ Θεὸς ἐπὶ πάσῃ αἰτήσει, ἢ ἄγγελοι ἀνοικείως αἰτοῦσιν. Ἐπεὶ δὲ τὸ πρῶτον οὐδὲ αὐτὸς ἀποδέχεται, δῆλον ἐκ τοῦ παραινεῖν εὔχεσθαι· λείπεται ἄρα τοῖς ἀγγέλοις οἴεσθαι κακῶς αἰτοῦσιν μὴ ἀκούεσθαι· τὸ δὲ κακῶς αἰτεῖσθαι, ταυτὸν τῷ κακῶς θέλειν ἐστίν· ὥστε κατὰ ταυτὸν κακοθελεῖς οἱ ἄγγελοι· κακοθελὴς δέ ἐστί τις ἢ ἐξ ἀγνοίας, ἢ ἐκ μοχθηρίας· πῶς C δέ τις ὅλως οἰηθῇ τῶν εὐφρονούντων ἐν ἀγνοίᾳ εἶναι τοῦ ἀγαθοῦ τοὺς παρεστῶτας τῇ αὐτοσοφίᾳ; πῶς δὲ καὶ μοχθηροὺς τοὺς τὸ ἀγαθὸν ἀενάως ἐμπιπλωμένους; Εἰ δὲ ταῦτα ἀδύνατα, ψεύδεται ἄρα Μωάμετ, μᾶλλον δὲ βλασφημεῖ, ἀνωφελεῖς τὰς τῶν ἁγίων ἀγγέλων πρεσβείας ἀποφαινόμενος.

Cum his verum est nihil valere sanctorum angelorum intercessiones.

XXIV. *Adversus eumdem dicentem, Deum solidum esse; et neque genuisse, neque genitum esse.*

89. Qui omnia produxit ex nihilo, rebus a se factis prorsus et infinite debet per omnia esse melior, substantia, viribus, voluntate, perpetuitate, efficacia. Quod si ita non est, ne produxit quidem illas ex nihilo. Quod si non produxit, eadem ac ille sempiternitate et sine principio gloria cunctæ res sunt præditæ: ergo etiam viribus pares sunt, et illum qui sine initio est exæquant. Quod si pares habent vires, is quidem qui absque initio est, idem est quod res cæteræ omnes. Atqui videmus haud omnia quatenus omnia, sed tanquam unum omnia moveri; etsi quædam inter omnia, meliora videntur, quædam vero deteriora. Sed nihil eorum immutabile est vel immobile: adeo ut si omnia alternant, nec quatenus omnia sunt, moventur, sed tanquam unum, non sunt omnia paria ei qui sine initio est:

ΚΔ'. *Πρὸς τὸν αὐτὸν λέγοντα· Ὁ Θεὸς ὀλόσφυρός* (93) *ἐστιν· οὐκ ἐγέννησεν, οὐκ ἐγεννήθη.*

πθ'. Ὁ πάντα παραγαγὼν ἐξ οὐκ ὄντων, κρείττων ἀπειράκις τῶν πραχθέντων ἐκ παντὸς ἂν εἴη κατὰ πάντα, οὐσίᾳ, δυνάμει, θελήσει, ἀϊδιότητι, καὶ ἐνεργείᾳ· εἰ γὰρ μὴ, οὐδὲ ἐξ οὐκ ὄντων αὐτὰ παράγει· εἰ δὲ μὴ παράγῃ, τῆς αὐτῆς τοῦ ἀϊδίου καὶ ἀνάρχου D εὐκλείας, τὰ πάντα τυγχάνει· οὐκοῦν καὶ ἰσοσθενῆ, καὶ συνεπεκτείνετο ἂν τῷ ἀνάρχῳ· εἰ δὲ ἰσοσθενεῖ, ἔσται καὶ ὁ ἄναρχος ταυτὸς τοῖς πᾶσιν. Ἀλλὰ μὴν ὁρῶμεν οὐχ ὡς πάντα τὰ πάντα, ἀλλ' ὡς ἓν τὰ πάντα ἀγόμενα· καίτοι ἃ μὲν ἐν τοῖς πᾶσι κρείττω δοκεῖ εἶναι, ἃ δὲ χείρω· ἀλλ' οὐδὲν αὐτῶν ἀναλλοίωτον καὶ ἀμετακίνητον· ὥστε εἰ τὰ πάντα ἀμείβει, καὶ οὐχ ὡς πάντα ἄγεται, ἀλλ' ὡς ἕν, οὐκ ἰσοσθενῆ τὰ πάντα τῷ ἀνάρχῳ· εἰ δὲ μὴ ἰσοσθενῆ, οὐδὲ συναΐδια· εἰ δὲ μὴ συναΐδια, ὄντα δὲ, παρὰ τοῦ ἀνάρχου δηλονότι προήχθη· εἰ δὲ αὐτὸς πάντα παράγει, κρείττων ἄρα

(92) Sur. XXI, 28.

(93) Cod. ὁλόσφαιρος hic et infra. Attamen constat scribendum fuisse ὁλόσφυρος. Jam vero et superius (col. 776), et hoc etiam loco, palinodiam canit auctor illorum quæ perperam scripserat (col. 708) de Arabici vocabuli significatu.

Digitized by Google

ἀπειράκις τῶν παραχθέντων ἐκ παντὸς ἂν εἴη κατὰ πάντα, οὐσίᾳ, δυνάμει, ἀϊδιότητι, θελήσει, καὶ ἐνεργείᾳ. Ἐπειδὴ δὲ τρία εἴδη γένη τῆς οὐσίας, σῶμά τε καὶ ἀσώματον καὶ τὸ ἐκ τούτων μικτόν· γνωριστικὰ δὲ, σώματος μὲν, τὸ τριχῆ διαστατὸν, τὸ πυκνὸν, καὶ τὸ μανόν· ἀσωμάτου δὲ, τὸ μὴ πανταχοῦ παρεῖναι, καὶ μὴ ὑπὲρ τὸ πᾶν, εἰ καὶ ἀσώματον, ἀλλὰ περιγραπτὸν καὶ αὐτὸ πάντως ὄν. Ἐπὶ δὲ τῆς δημιουργοῦ οὐσίας, τί δώσομεν; μᾶλλον δὲ πρὸς τοῦτο, εἰ ταῦτα οὐσία λέγονταί τε καὶ εἰσὶ, τὸ ταῦτα πεποιηκὸς, ὡς δέδεικται, τί ἔσται, καὶ τί αὐτὸ ὀνομάσομεν; οὐδὲν μὲν γὰρ ἔξομεν ὁριστικῶς· ἐξ ὑπερθέσεως δὲ τούτων προσαγορεύσομεν ὑπερούσιον. Εἰ οὖν ὑπερούσιος ὁ Δημιουργὸς, μακρὰν αὐτοῦ ἀποβήσεσται τὸ μανὸν καὶ τὸ πυκνὸν καὶ τὸ τριχῆ διαστατόν· καὶ ἀπόλωλε Μωάμετ τὸ ὁλόσφυρον, πεφοβημένος τὴν κένωσιν διὰ τὴν πρόοδον τοῦ Υἱοῦ καὶ Λόγου. Τοῦτο δὴ καὶ ἐπὶ δυνάμεως καὶ κινήσεως καὶ ἐνεργείας· τὸ ὑπὲρ κίνησιν, ὑπὲρ δύναμιν, καὶ ὑπὲρ ἐνέργειαν ἀνάγκη δοξάζειν· εἰ δὲ ταῦτα οὕτως ἔχει, μὴ φοβηθῇ Μωάμετ τὸν συμφυῆ καὶ συναΐδιον τοῦ Πατρὸς Λόγον, ἀκούων Δημιουργὸν ὄντα πάσης κτίσεως, καὶ ἀνακαινιστὴν, καὶ Υἱὸν ὡς ἐκ γεννήτορος τοῦ νοῦ προελθόντα· ἀνεκφοιτήτως γὰρ προελήλυθει, καὶ μένει ἐν ἑαυτῷ (94) οὐ κατὰ σχέσιν, οὐ κατὰ συνάφειαν, οὐ κατὰ μνήμην, ἀλλ' ὑπὲρ ταῦτα· ὑπερούσιος γὰρ, ὅτι ἐξ ὑπερουσίου καὶ ὑπερουσίως.

A quod si imparia viribus, ne coæterna quidem sunt: quod si non coæterna sunt, et tamen exsistunt, sequitur ut ab eo qui sine initio est producta fuerint. Quod si hic omnia producit, omnino infiniteque rebus a se productis melior erit, substantia, viribus, perpetuitate, voluntate atque efficacia. Quoniam vero tria sunt creatæ substantiæ genera, corporeum, incorporeum et ex utroque mistum; et quoniam corporis quidem demonstrativa sunt, triplex extensio, et densitas, ac raritas; incorporei autem, ut neque ubique sit, neque super omnia et quanquam sit incorporeum, nihilominus idem sit circumscriptum. De Creatoris autem substantia quid statuemus? Imo vero, si illæ res substantia sunt et dicuntur, uti demonstratum est, quid erit, aut quid appellabitur ipse Creator? nullam enim reperiemus definitionem. Ut autem supra illas extollatur, appellabimus eum supersubstantialem. Si ergo supersubstantialis est Creator, procul eo erit raritas et densitas, et triplex dimensio, peritque Mohamedis solidum, cujuscemodi eum appellavit timens, ne fieret vacuitas propter Filii et Verbi productionem. Similiter dicendum est de attributis potentiæ, motus; et efficaciæ nempe credendus est superior omni potentiæ, motui et efficaciæ. Quæ si ita se habent, ne expavescat Mohamedes dum connaturalem et coæternum Patri Verbum audit esse factorem omnis creaturæ ac instauratorem, et Filium utpote ex generantis mente progressum. Etenim sine separatione processit, manetque in se ipso non secundum relationem, non secundum conjunctionem, neque secundum memoriam, sed modo his omnibus sublimiore: est enim supersubstantialis, quia est ex supersubstantiali et supersubstantialiter.

B

ϙ'. Μὴ οὖν λεγέτω, Εἰ οὐκ ἐγεννήθη, οὐδὲ ἐγέννησεν· ἰδοὺ γὰρ ὁρῶμεν ὅτι ὥσπερ οὐκ ἐγεννήθη, οὐδὲ ἐδημιουργήθη· δύο γὰρ ταῦτα ἀναγκαίως ὁ ἄναρχος ἔχει. Ἀλλὰ μὴν ὁρῶμεν ὅτι εἰ καὶ μὴ ἐδημιουργήθη, ἀλλ' ἐδημιούργησεν. Εἰ οὖν τὸ ἐν δίδωσιν ἐκεῖνος ἐνηργηκέναι, καὶ τοῦτο αὐτῷ δόξα, τοῦ ἑτέρου τίνος ἕνεκεν ἐστέρηται; καίτοι γε οὐ τοσαύτη αὐτῷ ἡ ἐκ τῆς κτίσεως προσαγομένη δόξα, ὅση ἡ διὰ τὸν Υἱόν· πολλῷ γὰρ πλεῖον ὅσον καὶ ἡ τούτου τῆς ἐκείνων οὐσίας ὑπέρκειται. Ὥστε κρείττων κατὰ τοῦτο καὶ μᾶλλον ἦν αὐτὸν λέγειν, εἴ γε συνῆκεν, ὅτι Ἐπεὶ οὐκ ἐγεννήθη, διὰ τοῦτο μᾶλλον ἐγέννησεν· ὥσπερ καὶ μὴ δημιουργηθεὶς, ἐδημιούργησε· καὶ τούτου ἀπόδειξις ὅτι ὁ Χριστὸς Υἱὸς καὶ Λόγος ὁμοούσιός τε τῷ Θεῷ καὶ Πατρὶ, ἡ αὐτοῦ ἐκείνου παρουσία· τῆς γὰρ παρουσίας αὐτοῦ μετὰ πολλὰς προφητείας καὶ τοῦτο ἀναμφίλεκτον σημεῖον, ἡ πρὸς τὸ κρεῖττον τῶν ἀνθρώπων μετάθεσις, οὐ μόνον βαρβάρων καὶ Ἑλλήνων, ἀλλὰ καὶ τῶν ὑπ' αὐτὸν τὸν παλαιὸν νόμον· πρὸς μὲν τὸν νόμον, τοσοῦτον τὸ μέσον τῆς χάριτος, ὅση πρὸς παιδίον ὑπεροχὴ πρεσβύτου· πρὸς δὲ τὰ λοιπὰ ἔθνη, ὅσον ὁ φύσει ἄνθρωπος τοῦ φύσει ἀλόγου· ἔδει γὰρ καὶ φύσεως καὶ λόγου ψιλοῦ ἀνώτερα παιδεῦσαι καὶ συμπρᾶξαι, ὡς αὐτὸν ἐκεῖνον ἐλθόντα τὸν Θεοῦ Λόγον. Καὶ πρὸς τούτοις σημεῖον ἕτερον, τὸ τὴν θείαν καὶ νομικὴν λατρείαν καὶ ἱερωσύνην, καὶ

C

D

ρε'. Ἐπειδὴ δὲ εἴρηται ὅτι ἡ θλῖψις, ἤτοι πρόσκαιρος καὶ εὐφορωτάτη, ἤτοι αἰώνιος καὶ ἀφορωτάτη· καὶ ἡ εὐφροσύνη, ἤτοι πρόσκαιρος καὶ βραχυτερπὴς, ἤτοι αἰώνιος καὶ μεγαλοτερπής· ὁ φιλόψυχος Κύριος, καὶ οὗ αἱ δωρεαὶ ἀπόῤῥητοι καὶ ἀΐδιοι, ἐναλλὰξ ἐν σοφίᾳ τιθείς ἕκαστα τούτων, παρὰ μὲν τὴν πρόσκαιρον χαρὰν, τὴν αἰώνιον θλῖψιν· παρὰ δὲ τὴν πρόσκαιρον θλῖψιν, τὴν αἰώνιον εὐφροσύνην· διὰ τὴν ἀπατήσασαν τὸν Ἀδὰμ ἡδονὴν οὐκ ἐπόρησε, καὶ δι' εὐφροσύνης εἰς εὐφροσύνην ποδηγῆται· καὶ ἀπὸ θλίψεως εἰς θλῖψιν παραπέμψαι εἰς τὸν Κάϊν· καὶ τοῦτο τὸ ποιοῦν τοῖς βαρβάροις τὴν ἀπορίαν· καὶ διὰ τοῦτο ἀλόγως ἀποφαίνεσθαι παρασκευάζον, Ὅτι μὲν οὖν θεοσεβεῖς οἱ Χριστιανοὶ, οὐ τοὺς βαρβάρους ἐρωτητέον· ψευδεῖς γὰρ οἱ υἱοὶ τῶν ἀνθρώπων· ἀλλὰ καὶ πᾶς ἄνθρωπος ψεύστης· τὴν δὲ αὐτοαλήθειαν ὅς ἐστι Χριστὸς, καὶ τὸ Πνεῦμα τῆς ἀληθείας ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὸ ἐν νόμῳ καὶ προφήταις λαλῆσαν, καὶ τὴν χάριν τε-

Digitized by Google

λειῶσαν· ὅτι δὲ ἐκεῖνοι ἀσεβεῖς, ἤδη δέδεικται, καὶ δείκνυται, καὶ δειχθήσεται. Ἀλλ' ὅτι καὶ ἡμῶν αὐτῶν, οἱ μὲν εὔχρηστοι, οἱ δὲ ἄχρηστοι, ἡμεῖς αὐτοὶ καὶ ὁρῶμεν τοῦτο καὶ ὁμολογοῦμεν· ὑπὸ γοῦν τῆς τοῦ Θεοῦ σοφίας καὶ ἀγαθότητος τῶν καθ' ἡμᾶς διοικουμένων (οὐ γὰρ δήπου δι' ἡμᾶς ἀφῄρηται τὸ εἶναι ἀγαθὸς καὶ σοφὸς καὶ δίκαιος καὶ δυνατὸς τῷ λόγῳ, ὡς εἰρήκαμεν· τοῦτο γὰρ πᾶσα ἡ θεία διδάσκει Γραφή)· πῶς οὖν οἱ ἄγνωστοι καὶ βάρβαροι, ἓν τῆς διαιρέσεως μόλις καταλαβόντες κρῖμα, καὶ τοῦτο παναθλίως, εἰς τοῦτο τὴν θείαν ἀμαθῶς περιορίσαι δυνήσονται σοφίαν, ὡς οὐδὲν πλέον Ἀγαρηνῶν τοῦ Θεοῦ ἐγνωκότος; Εἰ οὖν θεοσεβεῖς οἱ Χριστιανοί, τούτων δὲ οἱ μὲν εὔχρηστοι, οἱ δὲ ἄχρηστοι, Θεοῦ δὲ ἀμφοτέρων προμηθεῖσθαι τὴν σωτηρίαν, οὐκ ἄρα ὡς ἀθέους ἡμᾶς καταληΐζονται, ἀλλ' ὡς ὑπὸ Θεοῦ παιδευομένους ἀφηνιάζοντας, καὶ στηριζομένους ἐκλυομένους, καὶ συστελλομένους ὑπερφρονοῦντας, καὶ ἐλεγχομένους τῇ ἀκαταλήπτῳ αὐτοῦ συνέσει ποικίλως τε καὶ πολυτρόπως. Οὐδ' αὖ πάλιν θεοσεβεῖς ἐκεῖνοι εὐπαθοῦντες πρόσκαιρα· ὅτι μηδὲ οἱ Αἰγύπτιοι θεοσεβεῖς ὄντες τοὺς χρηστοὺς ἐδουλοῦντο Κυρίου· οὐ γὰρ διότι ἀληθῶς τις ἐρεῖ, τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν κίνησιν εἶναι, καὶ ὅτι οὐκ ἔστιν ἄλλη κίνησις, πιστευθήσεται· λέγων γὰρ τὰς πλείους, τῆς μιᾶς παραλέλοιπεν· οὐδ' ὅτι δὴ οὖν καὶ δίκαιοι ἀσεβῶν κατεκράτησαν, ὡς Ἰσραὴλ τὴν γῆν Χαναάν, καὶ ἡμῶν οὗτοι ὡς ἐκεῖνοι κρατεῖν λέγοντες πιστευθήσονται. Εὑρηνται γὰρ καὶ ἀσεβεῖς εὐσεβῶν χαλεπώτερον κατακεκρατηκότες· καὶ μάρτυς ὁ Ψάλλων· *Ὁ Θεός, ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου*· οὐκ ἄρα ὡς κακῶς τὴν περὶ τὸ Θεῖον δόξαν ἔχοντας τοὺς Χριστιανοὺς τὴν τούτων χώραν ποτὲ οἱ ἐκ τῆς Ἄγαρ καταληΐζονται, καὶ εἰς προνομὴν τούτοις ἐκδέδοται, ἀλλὰ μᾶλλον τἀληθὲς εἰπεῖν, ὡς ὁ τῆς ἀληθείας λόγος παρέστησεν, δι' ἁμαρτίας παιδευομένους.

ρς'. Ταῦτα μὲν οὖν ἡμεῖς οἱ ἀσθενεῖς τῷ φιλαλήθει καὶ διελεγκτικῷ τοῦ ψεύδους λόγῳ ἑπόμενοι, οἱονεὶ ῥαπίσματά τινα, κατὰ τοῦ ἀναιδεστάτου προσώπου τοῦ ψευδηγόρου λόγου Μωάμετ καθήκαμεν· οἷς δὲ πλείων ἰσχύς τε καὶ παῤῥησία πρὸς τὴν ὄντως ἀλήθειαν πρόσεστι, τούτοις πάντως ὁ ἀπαραλόγιστος προστάξει λόγος μάστιξι καὶ βασάνοις προσφόροις, τῶν αὐτῷ δυσφημηθέντων καθυποβαλεῖν ἀξίως· καὶ τὸ τελευταῖον πέδαις ἀλύτοις καὶ φρουραῖς ἀπροσίτοις συγκατακλεῖσαι, καὶ ἀφθόγγῳ σιγῇ καταδικάσαι· ὡς ἂν πληρωθῇ τὸ εἰρημένον, ὅτι *Ἐνεφράγη στόμα λαλούντων ἄδικα.*

Τέλος τοῦ κατὰ τοῦ δυσσεβοῦς Μωάμετ ἐλεγκτικοῦ.

A vero Agareni sint impii, jam demonstratum fuit, et demonstratur, ac demonstrabitur. Verumtamen quod et nos partim frugi simus, partim secus, nos ipsi et cernimus et confitemur. Cum ergo a Dei sapientia et bonitate res nostræ administrentur, haud certe nostri causa desinit esse bonus et sapiens ac justus, ut jam diximus; hoc enim universa tradit divina Scriptura. Quomodo ergo isti ignari ac barbari uno discernendi judicio, et quidem infeliciter præditi, adeo divinam inscite circumscribere sapientiam poterunt, ut nihilo plus quam Agareni Deus sciat? Si ergo religiosi Christiani sunt; horum autem alii frugi, alii secus; Dei vero officium est utrorumque saluti consulere; haud equidem tanquam atheos nos depræ- B dantur, sed ut a Deo propter contumaciam correptos, et propter fiduciam infirmatos, et ob superbiam cohibitos, et ab incomprehensibili ejus sapientia varie ac multifariam castigatos. Neque idcirco pii sunt qui prospere agunt; nam nec Ægyptii pii erant, qui tamen bonos Domini famulos jugo servitutis premebant. Neque enim quia aliquis veraciter dicet, migrationem de loco in loco, motum esse, idcirco credetur ei dicenti nullum aliud motus genus esse: nam dicto uno, reliqua omnia genera omisit. Nec quia justi aliquando impiis potiti sunt, veluti Israel terra Chanaan, idcirco hi Agareni eodem modo nobis se esse potitos persuadebunt. Exstiterunt enim impii etiam, C qui piis atrocius potiti fuere. Testis Psalmista: *O Deus, venerunt gentes in hæreditatem tuam, polluerunt templum sanctum tuum* [46]. Non itaque, ceu si pravam de Deo sententiam gererent Christiani, horum ditionem Agareni devastant, eaque ipsorum direptioni tradita est; sed ut verus sermo affirmat, propter peccata sua corripiuntur.

106. Hos igitur, infirmi nos sermone ingenuo et falsitatem coarguente utentes, hos, inquam, ceu colaphos quosdam, impudentissimæ faciei falsidici Mohamedis infliximus. Qui autem majores vires fiduciamque habuerint, ad veritatis soliditatem monstrandam, his sine dubio invicta facundiæ ratio suadebit verberibus idoneisque cruciatibus, Moha- D medis blasphemias digne subjicere; postremo denique vinculis insolubilibus et inaccesso carcere cohibere, mutoque silentio addicere. Tunc enim illud dictum complebitur; *Obstruetur os loquentium iniqua* [47].

Explicit impii Mohamedis confutatio.

[46] Psal. LXXVIII, 1. [47] Psal. LXII, 12.

Digitized by Google

ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΤΑ ΒΥΖΑΝΤΙΟΥ

Ἔκθεσις κατασκευαστικὴ μετὰ ἀποδείξεως τοῦ Χριστιανικοῦ δόγματος ἐκ κοινῶν ἐννοιῶν, καὶ διαλεκτικῆς μεθόδου, καὶ φυσικῶν ἐπιχειρημάτων, καὶ συλλογιστικῆς πολυτεχνίας προαγομένη· καὶ ἀντίῤῥησις τῆς σταλείσης ἐπιστολῆς ἐκ τῶν Ἀγαρηνῶν πρὸς Μιχαὴλ βασιλέα υἱὸν Θεοφίλου ἐπὶ διαβολῇ τῆς τῶν Χριστιανῶν πίστεως.

—

EJUSDEM NICETÆ BYZANTINI

Expositio demonstrativa Christiani dogmatis, ex communibus notionibus, et dialectica methodo, ac naturalibus argumentis, et syllogistico artificio deducta. Item refutatio Agarenorum epistolæ ad Michaelem imperatorem, Theophili filium, missæ ob accusandam Christianorum fidem.

1. Difficilis inventionis negotium veritas, et quod A lyncæos quoque oculos latere potest; nisi forte corporalium tenebrarum densitatem anima dissipans, et connivere aut quiescere sensibus persuadens, vestigium aliquod ipsius veritatis persequi valuerit. Certe quandiu rerum materialium fumo intellectualis oculus adhuc occupatur, is illarum quasi acrimoniam aliquam experiens passionem, ne ante pedes quidem jacentem veritatem fortasse agnoscet, nedum procul valde remotam: et quanto acriorem materiæ experietur amorem, tanto crassiorem veritatis ignorantiam patietur. Cum ergo duplex sit veritatis scientia, altera circa creaturam spectata, altera circa Creatorem, quantum infra Creatorem sunt creaturæ, tantum præeminet Creatoris cognitio. Quare qui ratiocinio tantummodo cognitionem B rerum tribuerunt, longe ab illa recessisse comperti sunt. At ii qui omni vitæ delectationi nuntio remisso, unice vestigandæ scientiæ vacant, manum illis adjutricem porrigente Deo, et ipsi certe eam comprehendunt, et alios qui ipsorum vestigia sectantur, ad eamdem recto cursu deducunt. Priore itaque modo circa eos qui divina enarrare volunt invento, sine dubio secundus quoque subsequetur; vicissimque hic non subsequetur, nisi ille compertus fuerit. Si igitur illos, qui eum terminum attigerunt, hi qui ignorantia aut ignavia tenentur sectati fuerint, haud minore quam illi excellentia fruentur. Sed si ne hunc quidem secundum cursum, primo exclusi, tenere patientur, haud jam prorsus improbitatis criminationem vitare poterunt. Nam si neque vitæ per omnem virtutem exercendæ curam gerunt, qua opus foret ut ad certam Dei scientiam pervenirent; neque iis, qui illam obtinuerunt, obtemperant; solis autem suis ratiocinationibus nituntur, qui fieri potest, ut quod alia via incedit, ipsi diversam decurrentes comprehendant? Verumtamen vere vim non patitur liberum arbitrium. Igitur quia tu magis optas, eruditissime amice, ex naturalibus ratiocinationibus, propositarum quæstionum demonstrationes; id enim manifeste requirit in ipso exordio scriptum tuum; quanquam hoc haud principali loco fidei nostræ ratio esse sinit, quia omnem mentem, non humanam tantummodo, verum etiam angelicam Deus

α'. Δυσθήρατόν τι χρῆμα ἀλήθεια, καὶ τοὺς γε λίαν ὀξυωποῦντας λαθεῖν δυνάμενον, εἰ μή που ἄρα τέλεον τοῦ σωματικοῦ τοῦδε γνόφου τὸ πάχος διασχοῦσα ψυχὴ, μῦσαι ἢ ἀργῆσαι τὰς αἰσθήσεις καταπείσασα, ἴχνους τινὸς αὐτῆς ἐφικέσθαι δυνήσηται· ἕως μέντοι τοῦ καπνοῦ τῶν περὶ τὴν ὕλην ὁ νοητὸς ἔτι ἀντιλαμβάνηται ὀφθαλμὸς, ὡς δριμυξὶν τὴν τούτων ὑπομένων προσπάθειαν, τάχα καὶ πρὸ τῶν ποδῶν κειμένην οὐκ ἐπιγνώσεται, μήτιγε πόῤῥω που λίαν ἀπῳκισμένην· καὶ ὅσον ἂν μᾶλλον δριμυτέρας τῆς τούτων αἴσθηται ἀντιλήψεως, μᾶλλον τὴν ταύτης ὑποστήσεται ἄγνοιαν· διττῆς τοιγαροῦν τυγχανούσης αὐτῆς, καὶ τῆς μὲν περὶ τὴν κτίσιν θεωρουμένης, τῆς δὲ περὶ τὸν κτίσαντα, ὅσον ὑποδέδηκε τοῦ Ποιητικότος τὰ Κτίσματα, τοσοῦτον ὑπερελήλαται ἡ ἀκραιφνὴς τοῦ Ποιητικότος ἐπίγνωσις· ὅθεν ὅσοι λογισμοῖς μόνοις τὴν πάντων γνῶσιν ἀπέδοσαν, πόῤῥω που ταύτης ἐληλακότες εὑρέθησαν· ὅσοι δὲ πάσῃ τῇ κατὰ βίον ῥᾳστώνῃ χαίρειν εἰπόντες, πρὸς μόνην τὴν ταύτης ἔρευναν ἀπησχόληνται, τῆς θείας αὐτοῖς ἐπαμυνούσης χειρὸς, αὐτοί τε ἀσφαλῶς κατειλήφασι· καὶ τοὺς ἐκείνων κατακολουθοῦντας τοῖς ἴχνεσι, πρὸς αὐτὴν εὐθυδρόμως ἐχειραγώγησαν. Τοῦ τοίνυν πρώτου τρόπου περὶ τοὺς τὰ θεῖα διαγορεύειν βουλομένους εὑρισκομένου, ἀναμφιβόλως καὶ ὁ δεύτερος ἕψεται· οὐχ ἕψεται δὲ, μὴ φαινομένου ἐκείνου. Μέχρι μὲν οὖν τοῖς ὧδέ πη καταφθάσασιν οἱ ἀγνοίᾳ καὶ ῥᾳθυμίᾳ κεκρατημένοι παρέπονται, οὐδὲν ἧττον τῆς αὐτῆς ἐκείνοις θειότητος ἀπολαύσονται· ὁπηνίκα δὲ μηδὲ τὸν δεύτερον πλοῦν, ἀναβληθέντος τοῦ πρώτου, μεταδιώκειν ἀνέχονται, οὐκέτι που πάντως τὸ τῆς κακουργίας ἔγκλημα διαδρᾶναι δυνήσονται. Εἰ γὰρ βίου μὲν ἐξησκημένου φροντίδα οὐ τίθενται, ὡς ἂν εἰς τὸ τῆς ἁπλάνου θεογνωσίας καταφθάσωσι μέτρον, τοῖς τε κατειληφόσιν οὐ καταπείθονται, μόνοις δὲ τοῖς οἰκείοις ἐπερείδονται λογισμοῖς, πόθεν τοῦ δι' ἄλλης ὁδοῦ λαμβανομένου ἑτέραν ἐπιτρέχοντες καταλήψονται; πλὴν ἀβίαστον ἀληθῶς ἐν πᾶσι τὸ αὐτεξούσιον. Τοιγαροῦν ἐπειδὴ φροντὶς μᾶλλον τῇ λογιότητί σου, πολυπειρότατε φίλε, τοῖς ἐκ φύσεως λογισμοῖς τῶν αἱρετῶν τὰς ἀποδείξεις καθυποβάλλειν· τοῦτο γὰρ τὸ σὸν σαφῶς παρίστησιν ἐν προοιμίοις γράμμα, εἰ καὶ μὴ τοῦτο προηγουμένως ὁ τῆς καθ' ἡμᾶς πί-

Digitized by Google

στεως ἐπιτρέπει λόγος διὰ τὸ πάσης ἐννοίας οὐ μόνον ἀνθρωπίνης ἀλλὰ καὶ ἀγγελικῆς ὑπερβαίνειν τὸ Θεῖον, σῆς ἕνεκα χάριτος, πρῶτον μὲν ἐκ τοιούτων λόγων κατασκευαστικῶς, ὅσον κατὰ τὸ δυνατὸν τὴν περὶ τὸ Θεῖον ἡμῶν δόξαν ἐκθέμενοι, τὸ τηνικαῦτα τῶν σῶν προβλημάτων τὴν ἡμετέραν διαβαλλόντων θρησκείαν ἐπισκεψόμεθα τὴν ἰσχύν· ἄρξομαι δ' ἐντεῦθεν·

A excedit; tui tamen gratia, ante omnia ex hoc sermonis genere, demonstrative quantum fieri potest nostram ad Deo sententiam exponemus: moxque argumentorum tuorum religionem nostram oppugnantium vim perpendemus. Hinc autem initium dicendi faciam.

Nicetas ablinc repetit longam suam religionis Christianæ demonstrationem, quam in præcedente opere scripserat (in editione nostra col. 573 *usque ad* 707); *nempe : 'Ο πάνσοφος καὶ φιλάγαθος κ. τ. λ. δόγμα κατεσκεύασεν*: Sapientissimus et bonitatis amator etc., dogma comprobavit. *Omittuntur tamen in hac repetitione loci duo breves, nempe de Mohamede* col. 689, *et alter de Agarenis* col. 697, *idque euphemiæ causa, ut puto, ne amicus Mohamedanus, ad quem Nicetas scribit, offenderetur. Nos itaque universam illam Christianæ apologiæ partem repetendam non judicavimus, quia jam in volumine nostro prostabat.*

β'. Καιρὸς ἤδη λοιπὸν καὶ τὰς ἐν τῷ σῷ συγγράμματι διαβολὰς κατὰ τῆς ἡμετέρας πίστεως, εἰ εὐθυβόλως ἔχουσιν, ἐπισκέψασθαι· ἄρξομαι δὲ ἐντεῦθεν· Ἔχει τὸ σὸν γράμμα οὕτως· « Καὶ ἔδωκεν ὁ Θεὸς αὐτοῖς, δηλονότι τοῖς δημιουργηθεῖσιν ἀνθρώποις, νοῦν τοῦ γινώσκειν ὅτι ἡ δημιουργία κεχωρισμένη ἐστὶ, καὶ πόῤῥω ἀφέστηκε τῆς πρὸς τὸν Δημιουργὸν ὁμοιότητος· καὶ ὅτι πᾶν ποίημα ἐνδεές ἐστι τοῦ ποιήσαντος. » Τοῦτο σύμφημι κἀγὼ, ὅτι πᾶν παραγόμενον, ἀλλότριόν ἐστι τῆς οὐσιώδους τοῦ παράγοντος ὁμοιότητος· διὸ καὶ ὡς ὡμολογημένον καὶ παρ' ἡμῶν εἰλήφθω· εἶτα τὸ ἑξῆς τούτου συναπτόμενον τὸ λέγον, ὅτι « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος. » Ἐπί τι μὲν τὸ ἀληθὲς ἔχει ἁπλῶς τιθέμενον· ἐπί τι δὲ τὸ ψεῦδος· καὶ ὅτι ἐπὶ Θεοῦ ἀλλότριόν ἐστι καὶ χώραν οὐκ ἔχει, οὔτε ἀποδέξομαι, οὔτε ὁμολογήσω· ἐλέγξω δὲ, καὶ ἐν οἷς χώραν ἔχει παραστήσω· τοῦτο οὖν σὺ λαβὼν ὡς ὡμολογημένον, δοκεῖς μὲν ἡμᾶς παρακρούειν, ἤτοι εἰς τὸν τῆς ὁμοουσιότητος λόγον, ἢ εἰς τὴν τοῦ γεννήτορος καὶ γεννήματος σχέσιν· καὶ πῶς, ἐρῶ. Ἡμῶν γὰρ ὁμολογούντων ὁμοουσιότητα καὶ ταυτότητα τοῦ τε Πατρὸς καὶ Υἱοῦ, καὶ τὸν μὲν ὡς γεγεννηκότα Πατέρα καλεῖσθαι, τὸν δὲ ὡς γεγεννημένον Υἱὸν, λαβὼν σὺ ἐκ τῶν καθ' ἡμᾶς ἀξίωμα τὸ λέγον, ὅτι « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος· » καὶ τοῦτο ἐπὶ τῆς θείας φύσεως κακῶς ἐπισυνάψας, ὅπερ μᾶλλον ἐπὶ γενητῆς καὶ κτιστῆς φύσεως χώραν ἔχει, ἐπὶ δὲ Θεοῦ οὐκ ἔῤῥωται (καὶ γὰρ πολλὰ μὲν, καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἄπειρα ἐφ' ἡμῶν χώραν ἔχει, ἐπὶ δὲ Θεοῦ παντελῶς ἀλλότριά ἐστι), τοῦτο οὖν ὡς ἀληθὲς ἐπὶ Θεοῦ λαβὼν, ὧδέ πως συνάγεις· Εἰ ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος, οὐκ ἔσται ὁ παρ' ἡμῶν πιστευόμενος Υἱὸς τῷ Πατρὶ συναΐδιός τε καὶ ὁμοούσιος· εἰ δ' αὖ πάλιν συναΐδιος ὁ Υἱὸς τῷ Πατρὶ, ἀληθὲς δὲ τὸ λέγον, « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος, » καταναγκάζεται ἡ σχέσις ἐξ ἀλλήλων διακεχωρίσθαι.

γ'. Οὐδὲν ξένον, ὦ βέλτιστε, ἑνὸς ἀτόπου δοθέντος, μυρία ἕψεσθαι· καὶ γὰρ εἴ τις τὸν ἄνθρωπον λίθον ἀξιώσειε, πολλοῖς ἀτόποις, μᾶλλον δὲ ἀπείροις αὐτὸν ἐπισυνάψει· τοιοῦτόν τι καὶτὸς λημμάτιον λαβὼν ἐπὶ Θεοῦ τὸ λέγον, ὅτι « Ἕκαστος γεννήτωρ πρό-

B 2. Tempus est ut deinceps consideremus an accusationes quæ in tuo scripto adversus fidem nostram fiunt, recte se habeant. Hinc ergo exordiar. In scripto tuo sic legitur : « Dedit iis Deus, id est creatis hominibus, mentem ad cognoscendum, creaturam diversam esse proculque distare a similitudine cum Creatore; et rem factam longe esse inferiorem factore. » Hoc et ego concedo, quod nempe productum diversum sit a substantiali producentis similitudine. Quare hoc tanquam a nobis quoque confessum habeatur. Deinde sequitur connexa sententia sic : « Omnis genitor prior est proprio genimine. » Hoc de aliqua re simpliciter dictum, vere se habet : de alia tamen dictum, falsum est : et quia hoc Deo extraneum est, nec in C eo locum habet, id ego neque admittam neque confitebor. Quin adeo refutabo; et quandonam id eveniat, exponam. Tu vero id quasi concessum sumens, videris nos supplantare, sive quod spectat ad consubstantialitatis rationem, sive quod ad gignentis et geniti relationem. Cujus rei modum jam dicam. Nobis enim confitentibus Patrem ac Filium unam simul habere eamdemque substantiam; et illum quidem ut gignentem, Patrem vocari; hunc autem utpote genitum, Filium; tu ab humanis rebus axioma sumpsisti, quod ait, omnem genitorem priorem esse proprio genimine; idque ad divinam naturam male transtulisti; quod in natura potius genita creataque usuvenit, in Deo autem D non valet. Nam et alioqui multa quidem, imo, ut vere dicam, innumera apud nos usuveniunt, quæ a Deo prorsus sunt aliena. Tu vero, hoc tanquam verum de Deo sumens, sic fere concludis : Si omnis genitor prior est proprio genimine, jam non erit qui a nobis creditur Filius Patri coæternus et consubstantialis. Sin vice versa coæternus est Filius Patri; verax autem effatum est : Omnis genitor prior est proprio genimine; necessario mutua relatio ex utroque sejungitur.

3. Nec mirum est, o optime, si uno absurdo concesso, sexcenta hujusmodi consequantur. Nam si quis hominem existimare velit lapidem, multis hunc absurdis; imo infinitis, copulabit. Pari fere modo tu quoque dictiunculam hanc de Deo pro-

Digitized by Google

nuntians, quæ ait : « Omnis genitor prior est proprio genimine, » paralogismum insidiose struxisti. Hoc igitur confutato, quippe quia de Deo pronuntiari nequit, utroque ex latere absurditatem vitabimus. Nam præsens causa, a contraria est absens. Si ergo dictum, omnis genitor, a creata natura prave sumptum, in absurditatem trahit dicentis sermonem, cum id in Deo non usuveniat, sine dubio absurditatem vitabimus ; et sempiternum atque consubstantiale, et paternitatis filietatisque relationem inviolatam servabimus. « Omnis genitor prior est proprio genimine. » Papæ rem miram ! quæ in me quidem teque ipso valet, qui facultate homines sumus, aut aliud quidvis ; efficimur autem vi, puta genitores aut sapientes. At ubi hujusmodi vis non usuvenit, jam patet, prioratum genitoris relative ad genitum non subsistere. Si ergo vis a Deo aliena est (nam vis passione non caret ; vis aliquo exteriore indiget ; vis est de genere imperfectorum ; Deus autem supra hæc omnia est) satis patet ne prioratum quidem ei usuvenire, quia prioratus sine aliqua vi non fit. « Omnis genitor prior est proprio genimine. » Hoc creatæ naturæ, hoc genituræ per fluxum, proprium est. Nam quorum exsistentia diversa est, horum æque diversa generatio. Ergo tribus contrariis sumptis, creato, inquam, et increato, passibili et impassibili, priore ac simultaneo, si corporeum passibile est, subsequitur autem huic prius et posterius, patet incorporeum impassibile esse ac simultaneum. Ita enim logicæ methodi nos docent.

4. « Omnis genitor prior est proprio genimine. » Hoc ait qui legem vult Deo constituere, non autem qui veritatem dicit. Igitur vocabulum *genitor* vel est de numero eorum quæ per se sunt, vel quæ ad aliquid. Atqui non est ex iis quæ per se sunt : non enim ad genimen relationem haberet ; ergo est ex iis quæ ad aliquid sunt ; quæ autem sunt ad aliquid, simultanea naturæ sunt ; quæ vero simultanea naturæ, et simultanea sunt et non sunt ; ergo *genitor* quatenus genitor, ad aliquid exsistens relationem habet : quare prius et posterius non habebit. Si ergo genitor nec prius habebit nec posterius, tu vero dicis omnem genitorem priorem esse proprio genimine, constat non esse genitorem, quatenus est genitor, sed secundum aliquid aliud, sicuti Socrates et Petrus. Quoniam itaque genitoris nomen in Deo patre hypostaticum est, et secundum id solum proprietas hypostaseos denotatur ; demonstratum porro fuit, quod est relativum non habere prius et posterius ; constat ergo Deum Patrem, qui est proprii geniminis genitor, prius non habere. Quod si non habet, constat esse simultaneum : quod si simultaneus, etiam coæternus est. Ergo Filius Patri coæternus est : atque ita in quo circumvenire putabas, circumventus es. « Omnis genitor prior est genimine suo. » Nobis quidem hoc usuvenit ; quod quidem ita se habere, hinc fit

A τερός ἐστι τοῦ οἰκείου γεννήματος, » τὸν παραλογισμὸν συνεσκευώρησας. Τούτου οὖν ἐληλεγμένου καὶ χώραν μὴ ἔχοντος τὸ παράπαν ἐπὶ Θεοῦ λέγεσθαι, τὴν εἰς ἑκάτερα ἀτοπίαν ἐκφευξόμεθα · καὶ γὰρ ὃ παρὸν αἴτιον, ἀπὸν τοῦ ἐναντίου · εἰ οὖν τὸ, ἕκαστος γεννήτωρ, ἀπὸ τῆς κτιστῆς φύσεως κακῶς λαμβανόμενον, εἰς ἄτοπον τὸν λόγον ἀπάγει, τούτου χώραν ἐπὶ Θεοῦ μὴ ἔχοντος, δῆλον ὅτι καὶ ἄτοπα ἐκφευξόμεθα, τό τε συναΐδιον καὶ ὁμοούσιον, καὶ τὴν τῆς πατρότητος καὶ υἱότητος σχέσιν, ἄτρωτον διαφυλάξομεν. « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος. » Βαβαὶ τοῦ θαύματος ! περὶ ἐμὲ καὶ σὲ τοῦτο, οἳ τὸ μὲν ἐνεργείᾳ ἐσμὲν ἄνθρωποι, εἰ τύχοι, ἢ ἄλλο τι · τὸ δὲ γινόμεθα δυνάμει ὄντες, οἷον γεννήτορες ἢ ἐπιστήμονες, ἢ ἄλλο τι · ἐν οἷς δὲ

B τὸ δυνάμει χώραν οὐχ ἕξει, δῆλον ὅτι τὸ προτερεύειν τὸν γεννήτορα τοῦ γεννήματος οὐκ ἐρρώσται · εἰ τοίνυν ἐπὶ Θεοῦ τὸ δυνάμει ἀλλότριον (καὶ γὰρ τὸ δυνάμει μετὰ πάθους, τὸ δυνάμει τῶν ἔξωθεν προσδεῖται, τὸ δυνάμει τῶν ἀτελῶν · ὁ δὲ Θεὸς ἀνῴκισται τούτων πάντων), δῆλον ὅτι καὶ προτερεύειν οὐχ ἕξει χώραν διὰ τὸ ἄνευ τοῦ δυνάμει τοῦτο μὴ εἶναι. « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος. » Τοῦτο τῆς κτιστῆς φύσεως, τοῦτο τῆς ῥευστῆς γεννήσεως · καὶ γὰρ ὧν τὸ εἶναι διάφορον,

C τούτων καὶ τὸ γενναῖν διάφορον. Τριῶν οὖν ἀντιθέσεων λαμβανομένων, φημὶ δὴ κτιστοῦ τε καὶ ἀκτίστου, ἐμπαθοῦς τε καὶ ἀπαθοῦς, προτέρου τε καὶ ἅμα, εἰ ἡ ἐνσώματος ἐμπαθής, ἕπεται δὲ ταύτῃ τὸ πρότερον καὶ ὕστερον, φανερὸν ὅτι ἡ ἀσώματος ἀπαθὴς καὶ ἅμα · τοῦτο γὰρ αἱ λογικαὶ μέθοδοι ἡμῖν διαγορεύουσιν.

δ'. « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος. » Τοῦτο νομοθετοῦντός ἐστιν ἐπὶ Θεοῦ, τὸ ἀληθὲς δὲ οὐδαμῶς λέγοντος · τὸ τοίνυν *γεννήτωρ* ὄνομα, ἤτοι τῶν καθ' αὑτό ἐστιν, ἢ τῶν πρός τι · ἀλλὰ μὴν τῶν καθ' αὑτὸ οὐκ ἔστιν · οὐ γὰρ ἂν πρὸς γέννημα τὴν ἀναφορὰν εἶχε · δῆλον ὅτι τῶν πρός τι · εἰ οὖν τὸ *γεννήτωρ* τῶν πρός τί ἐστιν, τὰ δὲ πρός τι ἅμα τῇ φύσει, τὰ δὲ ἅμα τῇ φύσει, ἅμα τέ εἰσιν καὶ οὐκ εἰσίν, τὸ *γεννήτωρ* ἄρα καθ' ὃ γεννήτωρ, πρὸς ὃν τὴν ἀναφορὰν ἔχει, τὸ πρότερον καὶ ὕστερον οὐχ ἕξει. Εἰ οὖν τὸ *γεννήτωρ* τὸ πρότερον καὶ ὕστερον οὐχ ἕξει, ἔφης δὲ ὅτι ἕκαστος γεννήτωρ

D πρότερός ἐστι τοῦ οἰκείου γεννήματος · φανερὸν ὅτι τὸ *γεννήτωρ*, οὐ καθ' ὃ γεννήτωρ, ἀλλὰ κατ' ἄλλο τι, καθ' ὃ Σωκράτης ἢ Πέτρος. Εἰ οὖν τὸ *γεννήτωρ* ὄνομα ἐπὶ Θεοῦ καὶ Πατρὸς ὑποστατικόν ἐστι, καὶ κατὰ τοῦτο μόνον τὸ ἴδιον τῆς ὑποστάσεως χαρακτηρίζεται · τοῦτο δὲ δέδεικται πρὸς ὃν τὴν ἀναφορὰν τὸ πρότερον καὶ ὕστερον μὴ ἔχον, φανερὸν ἄρα ὅτι ὁ Θεὸς καὶ Πατὴρ γεννήτωρ ὤν, τοῦ οἰκείου γεννήματος, τὸ πρότερον οὐχ ἕξει · εἰ δὲ οὐχ ἕξει, δῆλον ὅτι ἅμα · εἰ δὲ ἅμα, καὶ συναΐδιος · ὁ Υἱὸς ἄρα τοῦ Πατρὸς συναΐδιός ἐστι · καὶ οὕτως δι' οὗ ἐδόκεις παρακρούειν, παρακέκρουσαι. « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος. » Τοῦτο ἐν ἡμῖν χώραν ἔχει · καὶ ὅτι οὕτως ἔχει, δῆλον ἐντεῦθεν · Πᾶσα δύναμις, τινὸς ἕνεκα ·

Digitized by Google

εἰ γὰρ μὴ ἕνεκά τινος, μάτην· μάτην δὲ οὔτε ὁ Θεὸς ποιεῖ, οὔτε ἡ φύσις· δῆλον ὅτι ἕνεκα· εἰ οὖν ἡ δύναμις ἕνεκά τινος, δῆλον ὅτι καὶ τὸ δύνασθαι· πᾶν δὲ τὸ δύνασθαί τι ποιεῖν, καὶ ποιήσει. εἰ μή τι τὸ παρεμποδίζον· εἰ οὖν ἐν ἡμῖν ἔστιν ἔμφυτος δύναμις τὸ τεκνοποιεῖν, κεκωλύμεθα δὲ, δῆλον ὅτι παρεμποδίζοντός τινος· ἐν δὲ τῷ Θεῷ οὐδὲν ἀντίσθενον ἢ παρεμποδίζον· φανερὸν ὅτι καὶ ἡ γέννησις σύμφυτος· εἰ δὲ σύμφυτος, καὶ ἅμα· εἰ δὲ ἅμα, οὐ πρότερον καὶ ὕστερον· ὥστε δῆλον ὅτι τὸ πρότερον καὶ ὕστερον ἐπὶ Θεοῦ χώραν οὐκ ἔχει. « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος. » Πόθεν τὰς ἀρχὰς, ὦ οὗτος, εἴληφας; οἱ μὲν γὰρ μηδὲν κοινὸν τοῦ κτίστου καὶ τῶν κτισμάτων ὑποτιθέμενοι, ἑαυτοὺς παραλογίζονται, ταυτῶς ἐπὶ Θεοῦ καὶ τῶν κτισμάτων τὰς θείας φωνὰς ἐκλαμβάνοντες· καὶ τὸ πρότερον λῆμμα διὰ τοῦ δευτέρου ἐξοστρακίζεται, καὶ πάλιν διὰ τοῦ προτέρου τὸ δεύτερον· καὶ γὰρ εἰ πᾶν ποίημα ἐνδεές ἐστι τοῦ ποιήσαντος διὰ τὸ πρῶτον ἀξίωμα· ὁ δὲ ἐκ τοῦ γεννήτορος Λόγος, ἐκ τῶν ποιημάτων τὸν ποιητὴν πρότερον κατασυλλογίζεται, ἐνδεές τέ ἐστι καὶ οὐκ ἐνδεὲς, καὶ ταυτὸν οὐ ταυτὸν πᾶν ποίημα τοῦ ποιήσαντος, ὅπερ ἀδύνατον.

manifestum. Potentia omnis propter aliquid est : nam si propter aliquid non sit, vana est ; nihil porro vanum Deus facit neque natura. Est ergo propter aliquid. Si ergo potentia propter aliquid est, patet quod etiam posse ; omne autem quod facere aliquid potest, re quoque vera faciet, nisi aliquid obstiterit. Si ergo in nobis est insita potentia liberos gignendi, prohibemur autem, constat quod aliquid nos impediat. Atqui Deo nihil resistit aut obstat : constat ergo generationem quoque ei esse connaturalem : quod si connaturalis, simultanea quoque est ; quod si simultanea, jam non est prior nec posterior : unde constat prius et posterius in Deo non usuvenire. « Omnis genitor prior est proprio genimine. » Undenam principia, o sodes, sumpsisti ? Nam qui nihil esse commune Creatori cum creaturis credunt, errant dum eodem sensu et de Deo et de creaturis divina vocabula sumunt ; et prius lemma a secundo excluditur ; vicissimque a priore secundum. Etenim si omnis factura inferior est factore, propter prioratus dignitatem ; quod autem est ex genitore Verbum, ex facturis factorem arguit esse prius ; illud quidem et inferius erit et non inferius, idem et non idem, quod est impossibile.

ε'. Εἴδωμεν δὲ καὶ τὸ ἐπιφερόμενον· ἔχει δὲ καὶ οὕτως· « Ἐπειδὴ ἐὰν ἡγῆσαι μίαν ἀρχὴν ἀμφοτέροις, τοῦ τε Πατρὸς καὶ Υἱοῦ, ἀπόλλυται ἡ τάξις τῆς σχέσεως ἡ οὖσα ἐκ τοῦ γεννήτορος πρὸς τὸ γέννημα· καὶ καταναγκάζεται ἡ κλῆσις τῶν ἀμφοτέρων χωρισθῆναι τοῦ γεγεννηκότος καὶ γεννήματος, τοῦ προϋπάρχοντος καὶ μεταγενεστέρου. » Ἀπήλλαξας ἡμᾶς πραγμάτων, ὦ φίλος, ἐξειπὼν τὸ ἀπόρρητον· εἰ μὲν γὰρ ἑώρων τὸ παρὰ σοῦ προτεθὲν λημμάτιον τὸ λέγον, « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος, » ἐπὶ Θεοῦ χώραν ἔχον, τάχα ἂν καὶ μὴ θέλων τῇ ἀληθείᾳ συνεφελκόμενος, καὶ τὸ δεύτερον ὡμολόγουν· ἐπεὶ δὲ τοῦτο ἕωλον καὶ πάντη ψευδὲς ἐπὶ Θεοῦ καὶ ἀλλότριον ὁ λόγος ἔδειξεν, οὗ με λόγος καταναγκάσει καὶ τὸ ἐπιφερόμενον τιθέναι· καὶ γὰρ ἐὰν δύο τινὰ ὦσι, καὶ τὸ μὲν ἐν τάξει ἡγουμένου εἴληπται, τὸ δὲ ἐν τῇ τοῦ ἑπόμενου, δῆλον ὅτι τοῦ ἡγουμένου ὁμολογηθέντος, καὶ τὸ ἑπόμενον ἕψεται· οὐχ ἕψεται δὲ, τοῦ ἡγουμένου μηδαμῶς ὁμολογηθέντος· τοῦτο δὲ δῆλον ὧδε· Ἔστω ἄνθρωπος καὶ ζῶον· καὶ τὸ μὲν *ἄνθρωπος* εἰλήφθω ἡγούμενος, τὸ δὲ ζῶον ἑπόμενον· φανερὸν τοῦ ἀνθρώπου τιθεμένου, καὶ τὸ ζῶον ἐξ ἀνάγκης ἕψεται· οὐχ ἕψεται δὲ, μὴ τιθεμένου ἐκείνου· τοιοῦτόν ἐστι καὶ τὸ παρὰ σοῦ δραματουργηθέν· διὸ εἰ μὲν χώραν ἐπὶ Θεοῦ εἶχεν τὸ, « Ἕκαστος γεννήτωρ πρότερός ἐστι τοῦ οἰκείου γεννήματος, » ἡμῶν ὁμολογούντων τὸ συναΐδιον ἔχειν τὸν Πατέρα καὶ τὸν Υἱὸν, φανερὸν ὅτι κατηναγκάζετο ἡ κλῆσις ἐξ ἀλλήλων χωρισθῆναι· ἐπεὶ δὲ τὸ πρότερον οὐκ ἀληθὲς, οὐδὲ τὸ δεύτερον· καὶ οὕτως ἠλίθιον ἀνέφανεν τὸ παρὰ σοῦ λεχθέν.

5. Videamus jam quod ibi additur, ita enim se habet : « Quia si putes unum esse principium amborum, Patris videlicet atque Filii, perit relationis ordo, quæ intercedit inter genitorem et genitum : cogiturque amborum appellatio sejungi a gignente et a genito, a præexsistente et posteriore. » Liberasti me negotio, o sodes, arcanum enarrans. Nam si mihi persuasissem a te dictam sententiam quæ ait : « Omnis genitor prior est proprio genimine, » in Deo usuvenire, fortasse etiamsi invitus, veritate compulsus, secundam hanc quoque confiterer. Sed quia illam futilem esse atque omnino falsam a Deoque alienam sermo noster demonstravit, me certe ratiocinium non coget subjunctam sententiam pensi habere. Nam si duo forte sint, quorum unum præcedentis loco habeatur, alterum vero subsequentis, patet præcedente concesso, sequens quoque concessum iri : non tamen concedetur, si præcedens nullo modo admittatur. Hoc autem sic explanatur. Esto homo atque animal : et *homo* quidem sit instar præcedentis, animal subsequentis : constat homine supposito, animal quoque necessario subsecuturum : haud sequetur autem, homine non supposito. Tale est objectum a te argumentum. Quamobrem si in Deo usuveniret propositio : « Omnis genitor prior est proprio genimine, » confitentibus nobis coæternos esse Patrem ac Filium, patet mutuam appellationem necessario ex utroque fore sejungendam. Sed quia prior propositio vera non est, ne altera quidem. Atque ita futile apparet prolatum a te argumentum.

ς'. Καὶ ἄλλως· Εἰ διὰ τὴν συναϊδιότητα τοῦ Πατρὸς καὶ Υἱοῦ ἐξ ἀνάγκης φῂς τὰς σχέσεις κεχωρίσθαι, καταναγκάσει μᾶλλον ὁ λόγος διὰ τὴν σχέσιν

6. Item aliter : Si propterea quod coæterni sunt Pater ac Filius, ais necessario relationes eorum fore sejungendas, imo coget potius ratiocinium

Digitized by Google

nostrum propter relationem, coæternitatem quoque inducere. Atque hoc ita ostenditur. *Genitoris* nomen cum sit ex iis quæ sunt ad aliquid, ad filium habet rélationem. Quæ autem sunt ad aliquid, simultanea naturæ sunt : quæ autem simultanea naturæ sunt, et sunt et item non sunt. Concluditur ergo, propter relationem simultanea esse; quod verum est. Et cur tu, o sodes, contrarium inducis? qui propter coæternitatem, videris nobis eripere paternitatis ac filietatis relationem : propter relationem autem gignentis et geniti, videris perimere coæternitatem et consubstantialitatem. Item aliter : Si *genitoris* nomen, exsistentiam simul tribuit; quæ autem simultanea exsistentiæ a te accipiuntur, relationem perimunt, quæ intercedit inter genitorem et genitum; concluditur utique genitoris nomen, et genitum, invicem referentia, non esse relativa; quod est absurdum.

καὶ τὸ συναΐδιον εἰσάγεσθαι · καὶ τοῦτο δῆλον ὧδε · Τὸ *γεννήτωρ* ὄνομα τῶν πρός τι ὄν, πρὸς υἱὸν ἔχει τὴν ἀναφοράν · τὰ δὲ πρός τι, ἅμα τῇ φύσει · τὰ δὲ ἅμα τῇ φύσει, ὁμοῦ τέ εἰσι καὶ οὐκ εἰσί · συνάγεται ἄρα διὰ τὴν σχέσιν ἅμα εἶναι · ὅπερ ἐστὶν ἀληθές · καὶ πῶς σὺ, ὦ φίλος, τὸ ἐναντίον εἰσάγεις, καὶ διὰ μὲν τὸ συναΐδιον, εἰς τὴν σχέσιν τῆς πατρότητος καὶ υἱότητος ἡμᾶς δοκεῖς παρακρούειν, διὰ δὲ τὴν σχέσιν τοῦ γεννήτορος καὶ γεννήματος, εἰς τὸ συναΐδιόν τε καὶ ὁμοούσιον; Καὶ ἄλλως · Εἰ τὸ *γεννήτωρ* ὄνομα τὴν τοῦ εἶναι ἅμα ὕπαρξιν δίδωσι, τὰ δὲ ἅμα τῇ ὑπάρξει κατὰ σὲ λαμβανόμενα, ἀπόλλυσι τὴν σχέσιν τὴν οὖσαν ἐκ τοῦ γεννήτορος πρὸς τὸ γέννημα, συνάγεται ἄρα, τὸ *γεννήτωρ* ὄνομα, καὶ τὸ γέννημα, ἐν σχέσει ὄντα, ἄσχετα εἶναι · ὅπερ ἐστὶν ἄτοπον.

7. Pergis vero dicere sic : « Quia si existimes unum principium amborum, Patris atque Filii. » Miror, o sodes, quodnam tu velis principium in Deo ponere. Principium multifariam dicitur : aliud est enim effectivum, veluti est architectus ædificiorum : aliud materiale, veluti tabulæ navis : aliud formale, veluti statuæ schema : aliud finale, veluti navis ad victualium deportationem : aliud instrumentale, ut fabri murarii ascia : aliud exemplare, veluti prototypum facti operis : aliud temporale, velut res factæ quæ in tempore fiunt et sunt : aliud causale tantummodo, veluti Seth ex principio quodam et causa ortus est, ex Adamo scilicet. Nunc si tanquam ex principio quodam, ceu causa, dicis Patris ac Filii unum principium, jam neque alterum genitorem, neque alterum esse genitum retinebis. Nam cujusnam genitor sit, si tanquam ex alio principio et causa Patrem ac Filium dicas ortos? Certe principium non dices effectivum; nam si hoc concedas, erit Dei Deus, et rursus hujus alius Deus, et hoc in infinitum. Neque principium dices materiale; non enim est Deus compositus et materialis. Sed neque formale principium; nam quodnam habere potuerunt formale principium Pater ac Filius? præterquam quod compositionem non vitarent. Neque denique finale, etenim nulla ex causa Deus provenit. Superest tibi temporale esse principium Patris ac Filii. Quod si ita est, ipsis quidem fieri contingit, et corrumpi, et alia innumera. Nam quæ in tempore, talia sunt. Constat, non posse in Deo principium antiquius inveniri. Et quomodo, o sodes, ita a nobis existimari præsumens, paralogismum contexis? Vere demonstratum tibi fuit id esse stolidum.

ζ'. Ἐπιφέρεις δὲ πάλιν οὕτως · « Ἐπειδὴ ἐὰν ἡγῆσαι μίαν ἀρχὴν ἀμφοτέροις τοῦ τε Πατρὸς καὶ Υἱοῦ. » Θαυμάζειν μοι ἐπέρχεται, ὦ φίλος, ὁποίαν ἄρα βούλῃ ἀρχὴν ἐπὶ Θεοῦ τιθέναι · τῆς γὰρ ἀρχῆς πολλαχῶς λεγομένης, τῆς μὲν ὡς ποιητικῆς, οἷον ὁ τέκτων τῶν οἰκημάτων · τῆς δὲ ὡς ὑλικῆς, οἷον αἱ σανίδες τοῦ πλοίου · τῆς δὲ ὡς εἰδικῆς [*cod.* ἰδικῆς. *Sic et infra*], οἷον τοῦ ἀνδριάντος τὸ σχῆμα · τῆς δὲ ὡς τελικῆς, οἷον τὸ πλοῖον πρὸς ἀγωγὴν τῶν χρειῶν · τῆς δὲ ὡς ὀργανικῆς, οἷον τέκτονος τὸ σκέπαρνον · τῆς δὲ ὡς παραδειγματικῆς, καθάπερ τὸ πρωτότυπον τοῦ παραγώγου · τῆς δὲ ὡς χρονικῆς, καθάπερ τὰ γινόμενα ἐν χρόνῳ γίνονται καὶ εἰσί · τῆς δὲ ὡς αἰτίας καὶ μόνης, καθὰ ὁ Σὴθ ἐξ ἀρχῆς τινος καὶ αἰτίας ἀνέφυ τοῦ Ἀδάμ · εἰ μὲν γὰρ ὡς ἐξ ἀρχῆς τινος ὡς αἰτίας φῂς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ μίαν ἀρχὴν εἶναι, οὐκέτι τὸν μὲν γεννήτορα, τὸν δὲ γέννημα φυλάξεις. Τίνος γὰρ ἂν καὶ εἴη γεννήτωρ, ἐπ' ἂν ὡς ἐξ ἄλλης ἀρχῆς τε καὶ αἰτίας τὸν Πατέρα καὶ Υἱὸν φῂς ἀναφύναι; οὐδ' αὐτὴν ὡς ποιητικὴν · εἰ γὰρ τοῦτο δῷς, ἔσται τοῦ Θεοῦ Θεὸς, καὶ πάλιν τούτου ἄλλος, καὶ τοῦτο ἐπ' ἄπειρον · οὐδ' αὐτὴν ὡς ὑλικήν · οὐ γάρ ἐστιν ὁ Θεὸς σύνθετός τε καὶ ἔνυλος · ἀλλὰ μὴν οὐδὲ τὴν ὡς εἰδικήν · τίνα γὰρ καὶ ἔχοιεν εἰδικὴν ἀρχὴν ὁ Πατὴρ καὶ Υἱός; καὶ οὕτως τὴν σύνθεσιν οὐκ ἐκφεύξονται · οὐδ' αὐτὴν ὡς τελικήν, ἀναίτιος γὰρ ὁ Θεός · λείπεται κατὰ σὲ τὴν χρονικὴν ἀρχὴν εἶναι τοῦ Πατρὸς καὶ Υἱοῦ · εἰ δὲ τοῦτο, καὶ γίνεσθαι ἂν αὐτοὺς συμβαίνει, καὶ φθείρεσθαι, καὶ ἄλλα μυρία · τὰ γὰρ ἐν χρόνῳ τοιαῦτα · φανερὸν ὅτι οὐκ ἔστιν ἐπὶ Θεοῦ ἀρχὴν ἀνωτέραν εὑρεῖν · καὶ πῶς, ὦ φίλος, ὡς ἡγεῖσθαι λαβὼν τὸν παραλογισμὸν, συῤῥάπτεις; Καὶ οὕτω δέδεικται καὶ τοῦτό σοι ἠλίθιον.

8. Sed videamus etiam quid paulo infra scribas : « Deus omnia sapientia sua gubernavit. » Concedo hoc libenter admodum : etenim enhypostatica sapientia sua, quam sermo noster perspicue demon-

η'. Ἀλλ' ἴδωμεν τί καὶ μετὰ βραχέα γράφεις · « Ὁ δὲ Θεὸς τὸ πᾶν τῇ σοφίᾳ αὐτοῦ ἐκυβέρνησε. » Σύμφημι κἀγὼ καὶ μάλα ἡδέως · τῇ μὲν γὰρ ἐνυποστάτῳ (1) αὐτοῦ σοφίᾳ, ἣν ὁ λόγος δύναμιν τὴν

(1) Enhypostatum sic definit S. Maximus opusc. theol. t. II, p. 79 : Ἐνυπόστατον, τὸ κατὰ τὴν οὐσίαν κοινὸν, ἤγουν τὸ εἶδος, τὸ ἐν τοῖς ὑπ' αὐτὸ ἀτόμοις πραγματικῶς ὑφιστάμενον, καὶ οὐκ ἐπινοίᾳ

Digitized by Google

αὐτὴν καὶ Λόγον καὶ Υἱὸν τρανῶς ἔδειξε, τὸ πᾶν συνεστήσατο, καὶ ἐφανέρωσεν ἐν τοῖς ἔργοις τὴν ἑαυτοῦ ποίησιν· καὶ ὅτι ἔστι Θεὸς εἷς ἐπὶ πάντων ὑπερούσιος καθ' ἃ πού τις τῶν παρ' ἡμῖν θεολόγων συνῳδὰ τούτοις ἔφη· « *Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ θειότης·* » καὶ τὰ τούτοις σύστοιχα· διὸ κἂν μὴ θέλῃς, ταῖς ἡμετέραις ὁμολογίαις συνῴδῃς· παρακατιὼν δὲ μικρὸν εἰς τὴν μοναρχίαν τοῦ Θεοῦ καὶ ὑπερουσιότητα, γράφεις οὕτως· « Διότι ἐὰν εἶχε κοινωνὸν εἰς τὴν ἑαυτοῦ βασιλείαν, ἔμελλε δέχεσθαι ἐναντίωσιν, ἢ ἐνδεὴς εἶχεν εἶναι ὑπουργοῦ τοῦ διοικεῖν τὴν δημιουργίαν αὐτοῦ. » Θαυμάζειν μοι ἔπεισι τοιαῦτα γράφοντός σου· οὐδὲ γὰρ συνορῶ ἐπὶ Θεοῦ τίς ἡ ἀνάγκη, ἢ κοινωνούς τινας τῆς βασιλείας, ἢ ἔνδειαν ὑπουργίας τοῦ διοικεῖν τὸν ἑαυτοῦ κόσμον εἰσάγεσθαι· καὶ ὅσα τούτοις ἐπιφέρεις· τὸν γὰρ Θεὸν καὶ Πατέρα τὸν ἑαυτοῦ Υἱὸν κατὰ πάντα ὅμοιον ἔχοντα, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως· ἡμῶν δὲ μηδ' ὅλως τὸ κοινωνὸν ὁμολογούντων ἐπὶ τοῦ Πατρὸς τὸν Υἱὸν, οὐκ οἶδ' ὅπως ἡμᾶς παραλογίζῃ ἢ σεαυτὸν καὶ τοῖς ἑαυτοῦ πτεροῖς ἀλίσκῃ· ἔστι δὲ τὸ παρὰ σοῦ σόφισμα τοιοῦτον· Ἐὰν δύο τινὰ ὦσι, καὶ τὸ μὲν καθολικώτερον, τὸ δὲ ἐπὶ μέρους, οἷον τό τε ὕειν, καὶ τὸ βεβρέχθαι τὴν γῆν· τὸ μὲν γὰρ ὕειν, ἐπέλαττόν ἐστι τοῦ βεβρέχθαι· οὐ γὰρ ἀντιστρέφει· τούτου δὲ ὄντος, δῆλον ὅτι καὶ τὸ λοιπὸν ἔσται, οἷον τὸ ὕειν καὶ τὸ βεβρέχθαι· εἶτα τοῦ λοιποῦ ὄντος, φήσει τις καὶ τὸ λοιπὸν εἶναι· τὸν παραλογισμὸν ποιεῖ οὕτω καλούμενον παρὰ τὸ μὴ ἀντιστρέφον, καὶ τὸ ἑπόμενον.

θ'. Τοιοῦτόν τι καὶτὸς ἐν τοῖς παρὰ σοῦ γραφεῖσι πεποίηκας· δύο γὰρ ὄντων, κοινόν τε καὶ κοινωνός· καὶ τὸ μὲν ἐπιπλέον, οἷον τὸ κοινόν· τὸ δὲ ἐπέλαττον, οἷον τὸ *κοινωνός*· ὁ μὲν γὰρ κοινωνὸς οὗ λέγεται κοινωνὸς, ὡς κοινόν τι ἔχων λέγεται κοινωνός· οὐκ εἴ τι δὲ κοινόν τι ἔχων μεθ' ἑτέρου, ἀνάγκη καὶ κοινωνὸν αὐτοῦ λέγεσθαι· λίθος γὰρ λίθῳ οὐ λέγεται κοινωνὸς, ἐπεὶ κοινὴ ἀμφοτέρων ἡ οὐσία· ὡσαύτωςδὲ καὶ ἵππος ἵππῳ, κοινὴν καὶ μίαν οὐσίαν ἔχοντες, οὐ λέγονται κοινωνοί· εἰ οὖν τὸ κοινὸν ἐπιπλέον, τὸ δὲ *κοινωνὸς* ἐπέλαττον· ἡμῶν δὲ λεγόντων κοινὴν καὶ ἀμέριστον ἔχειν τὸν Πατέρα τὴν ἑαυτοῦ βασιλείαν πρὸς τὸν ἑαυτοῦ Υἱὸν, αὐτὸς μεταφέρων γράφεις· « Εἰ κοινὴ βασιλεία καὶ ἐξουσία πρὸς Υἱὸν, πάντως καὶ κοινωνὸς ἔσται ὁ Υἱὸς τοῦ Πατρὸς τῆς αὐτοῦ βασιλείας· » καὶ παραλογίζῃ μᾶλλον ἢπερ ἡμᾶς, ποιῶν τὸν παραλογισμὸν παρὰ τὸ μὴ ἀντιστρέφον καλούμενον· καὶ τοῦτο ποιῶν δοκεῖς μᾶλλον ἀγνοεῖν τὸ *κοινωνὸς* ὄνομα ἐπὶ τίνων εἰκότως καὶ ἔστι καὶ κυρίως λέγεται, καὶ διὰ τοῦτο κακῶς ἐπὶ Θεοῦ μεταφέρεις· τὸ γὰρ *κοινωνὸς* ὄνομα οὐκ ἐπ' ἄλλου δοκεῖ τίθεσθαι, ἀλλ' οἷς ἰδιαζόντως καὶ ἀποτετμημένως ἑνὸς ἑκάστου τὸ ἔργον ἀποτελεῖται, καὶ κατὰ σύμβασιν προαιρετικὴν, καὶ συμπεισθισμὸν ἐν ταυτῷ πρά-

A stravit Verbum esse ac Filium, omnia constituit, manifestavitque operibus facturam suam, et quod Deus unus sit super omnia supersubstantialis, sicuti quidam de theologis nostris consonanter his dixit : *Invisibilia enim ipsius a creatura mundi, per ea quæ facta sunt, intellecta conspiciuntur; sempiterna quoque ejus deitas*[49], et his consentanea. Quamobrem velis nolis confessionibus nostris consenties. Aliquantum vero progressus ad Dei unitatem et supersubstantialitatem, sic ais : « Quia si societatem aliquam sui regni haberet, contrarietatem quoque experturus esset. Vel certe esset adjutoris indigus ad creati ab se mundi administrationem. » Miror hæc a te scribi : nullam enim necessitatem video inducendi vel socios aliquos B regni, vel adjutorii indigentiam ad mundi administrationem, vel quidquid his tu subjungis. Cum enim nos confiteamur Deum Patrem habere Filium suum prorsus sibi similem, excepta generatione ejusque negatione; neque tamen societatem ullam prorsus dicamus Patris ac Filii; haud video cur nobis fucum facere velis. Sane tuis ipsis pennis caperis. Est autem sophisma tuum hujusmodi : Si duo sint, et unum quidem generalius, aliud partiale, veluti est pluere, et terram madefieri : nam pluere minus est, quam terram madefieri : non enim convertitur; quod si est, patet alterum quoque fore, id est, pluere et madefieri. Deinde si alterum est, dicet aliquis alterum quoque fore, paralogismumque facit, C ita appellatum quia non convertitur etiam subsequens.

9. Tale quid tu quoque fecisti in scripto tuo. Nam cum duo sint, commune et communicans; et illud quidem amplius, id est, commune; hoc autem restrictius, id est, *communicans* : etenim qui communicat dicitur communicans, quatenus commune aliquid habet : nequaquam autem eum qui commune aliquid habet cum alio, necesse est communicantem eidem dicere : nam lapis non dicitur lapidi communicans, quia communis est utriusque substantia : similiter equus equo, qui communem unamque substantiam habent, non dicuntur communicantes : si ergo commune, plus est; *communicans* autem minus : nobis vero dicentibus commune et indivi- D sibile habere Patrem regnum suum cum proprio Filio, tu inverso sermone scribis : « Si commune est regnum et potestas cum Filio, prorsus et communicans erit Filius regno Patris sui : » tibique illudis potius quam nobis, paralogismum faciens in eo quod non alternat : idque faciens, videris potius ignorare, vocabulum *communicans* de quibusnam recte proprieque dicatur : ac propterea male ad Deum transfers : nam vocabulum *communicans* de alio nullo poni videtur, quam de iis quorum proprie præciseque uniuscujusque opus

[49] Rom. I, 20.

ψιλῇ θεωρούμενον. *Enhypostatum, quod commune secundum substantiam est; videlicet species quæ in individuis, quæ sub ipsa sunt, realiter subsistit, nec nudo tantum mentis cogitatu consideratur.*

Digitized by Google

perficitur, cum ex conventione prævia et soliditate in eodem negotio, duo vel tres aut plures, ad idem negotium concurrunt. Veluti si quis rhetoricam artem prius per se ipsum tantummodo exerceat, deinde aliquis alius ad eum accedat, et mox conventione prævia et consensu, ad rhetoricam professionem concorditer concurrant; tunc ambo dicentur hac in re communicantes. Verum enimvero iis, quorum opera, voluntas, deliberatio, operatio, et concordia inseparabilis suapte natura est, quomodo communicantis vocabulum congruet? Minime prorsus. Quare cum Patrem dicimus aliquid facere, Filium quoque et Spiritum sanctum inseparabiliter simul facere dicimus : et unius operatio, a tribus non est sejuncta : omnisque operatio quæ divinitus provenit, et multimodis denominatur, a Patre proficiscitur, et per Filium pergit, et in Spiritu sancto perficitur. Propterea æquum non est, vocabulum communicantis in sancta Trinitate adhibere.

10. Tu vero post vocabulum *communicans* pergis dicere, « fore ut Deus contrarietatem et seditionem experiretur. » O verborum tuorum soliditas! Si certe vocabulo *communicans* apud Deum locus esset, fortasse et contrarietas et seditio comperiretur. Sed quia illud non conceditur, nec hoc quidem concedetur. Atque ita invitus ex iis quæ adjunxisti, propositionem evidentem nobis effecisti, quomodo proprie dicatur. Nam si vocabulum *communicans* de aliquo prædicatum, contrarietas et seditio subsequitur, planum erit, quod *communicans* vocabulum iis congruet qui prævia conventione et consensu rem gerunt : unde seditio etiam et contrarietas conflt. His quippe tantum usuvenit seditio et contrarietas, propter voluntatis volubilitatem. Quibus autem immutabilis bonitas est, quomodo contrarietas et seditio incidet? Et paucis interjectis, ita scribis : « Vel certe esset adjutoris indigus ad creati ab se mundi administrationem. » Pecte, sodes, dixisti. Si enim vocabulum *communicans* de Filio prædicaretur, obnoxius utique esset, ut tu opinaris, contrarietati ac seditioni, et auxilio indigeret. Nunc quia illud futile et invalidum demonstratum fuit, constat quod et hæc similiter. Nam si positione alicujus, quædam ponuntur, sine dubio exstinctione illius, etiam alia exstinguuntur.

11. Insuper scriptum tuum hæc habet : « Et per sæculorum spatium, et ob mutuam contrarietatem, deleretur Dei dominatus una cum creaturis. Et alter alteri dominaretur, et cum creaturis compassio desineret. » Atqui hæc, o sodes, duorum principiorum et contrarietatis criminatio nobis non congruit; sed aliis a te intendi deberet, qui nempe duo principia et duos deos inducunt, bonum ac malum : et ab alio quidem dicunt hunc materialem mundum conditum et conservatum ac rectum; ab alio autem intellectualem : quam nos sententiam et odimus et toto animo aversamur; et eos, qui hanc fovent, capitali pœnæ subjicimus : vos vero

γματι, δύο ἢ τρεῖς ἢ καὶ πλείονες τούτων εἰς τὸ αὐτὸ πρᾶγμα συνέρχοιντο· οἷον ῥητορεύει τις καθ' ἑαυτὸν τὸ οἰκεῖον σπούδασμα ἐκτελῶν, ἐὰν ἄλλος τις πρὸς αὐτὸν ἀφίκοιτο καὶ κατὰ σύμβασιν προαιρετικὴν καὶ συμπειθισμὸν εἰς τὸ τῆς ῥητορείας ἔργον ὁμογνωμόνως συνέλθοιεν· λέγοιντο ἂν ἑκάτερος εἰς τοῦτο κοινωνοί· οἷς δὲ τὸ ἔργον καὶ ἡ θέλησις, βούλησίς τε καὶ ἐνέργεια καὶ ὁμόνοια ἀδιάστατος φυσικῶς ἐν αὐτοῖς πρόσεστι, πῶς ἂν καὶ χώραν ἕξει τὸ τοῦ κοινωνοῦ ὄνομα; οὐ μὲν οὖν· διὸ τὸν Πατέρα λέγοντες ποιεῖν τι, καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀδιασπάστως ἅμα λέγομεν ποιεῖν· καὶ τοῦ ἑνὸς ἡ ἐνέργεια, τῶν τριῶν πώς ἐστι μὴ διασχιζομένη· καὶ γὰρ πᾶσα ἐνέργεια ἡ θεόθεν διήκουσα, καὶ κατὰ τὰς πολυτρόπους ἐννοίας ὀνομαζομένη, ἐκ Πατρὸς ἐφορμᾶται, καὶ διὰ τοῦ Υἱοῦ πρόεισι, καὶ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ τελειοῦται· διά τοι τοῦτο, οὐ δίκαιόν ἐστι τὸ τοῦ κοινωνοῦ ὄνομα ἐπὶ τῆς ἁγίας Τριάδος τίθεσθαι.

ι'. Ἐπιφέρεις δὲ εἰς τὸν *κοινωνὸν* γράφων οὕτως· « Ἔμελλε δέχεσθαι ἐναντίωσιν καὶ στάσιν. » Ὦ τῆς ἀποπληξίας τῶν σῶν ῥημάτων! Εἰ μὲν γὰρ τὸ *κοινωνὸς* ὄνομα ἐπὶ Θεοῦ χώραν εἶχεν, ἴσως καὶ ἡ ἐναντίωσις καὶ στάσις εὑρίσκεται· ἐπεὶ δὲ τοῦτο οὐ δέδοται, οὐδὲ τὸ δι' ἐκείνου δοθήσεται· καὶ οὕτως ἄκων καὶ μὴ βουλόμενος ἐκ τοῦ ἐπιφερομένου τὸ προτεθὲν δῆλον ἡμῖν παρέστησας, καθ' ὧν κυρίως λέγεται. Εἰ γὰρ τὸ *κοινωνὸς* ὄνομα τιθέμενον, τήν τε ἐναντίωσιν καὶ στάσιν ἀκολουθοῦσαν ἔχει, φανερὸν δήπουθεν, ὅτι *κοινωνὸς* ἐπὶ τῶν κατὰ σύμβασιν προαιρετικὴν καὶ συμπειθισμὸν προερχομένων χώραν ἕξει· ἐξ οὗ καὶ ἡ στάσις καὶ ἡ ἐναντίωσίς ποτε ἐγγίνεται· τούτων γὰρ μόνων ἐστὶ τὴν στάσιν καὶ ἐναντίωσιν δέχεσθαι, διὰ τὸ εὐμετάβολον τῆς προαιρέσεως· οἷς δὲ ἀγαθότης ἄτρεπτός ἐστι, πῶς ἂν καὶ ἐναντίωσις καὶ στάσις συνεισφρήσεται; Καὶ μετὰ βραχέα γράφεις οὕτως· « Ἡ ἐνδεὴς εἶχεν εἶναι ὑπουργοῦ, τοῦ διοικεῖν τὴν δημιουργίαν αὐτοῦ. » Καλῶς, ὦ φίλος, ἔφησθα· εἰ μὲν γὰρ τὸ *κοινωνὸς* ὄνομα ἐπὶ τοῦ Υἱοῦ χώραν εἶχεν, ἔσχεν ἂν κατὰ σὲ καὶ τὸ τῆς ἐναντιώσεως καὶ στάσεως καὶ ἡ ἔνδεια τῆς ὑπουργίας· ἐπεὶ δὲ ἐκεῖνο δέδεικται ἕωλον καὶ ἀνίσχυρον, δῆλον ὅτι καὶ ταῦτα· καὶ γὰρ ἐὰν τῇ θέσει τινὸς τινὰ τίθενται, τῇ ἀναιρέσει τούτου δῆλον ὅτι συνανῄρηται.

ια'. Ἔχει δὲ πάλιν τὸ σὸν γράμμα οὕτως· « Καὶ κατὰ τὴν ἐπέκτασιν τῶν αἰώνων, καὶ τὴν πρὸς ἄλληλα ἐναντίωσιν, ἠφανίζετο ἡ τούτου κυριότης μετὰ τῶν κτισμάτων, καὶ ἐκυρίευεν ὁ εἷς τοῦ ἑτέρου, καὶ ἐκόπτετο ἡ συμπάθεια τῶν ποιημάτων. » Τοῦτο οὖν, ὦ φίλος, τὸ τῶν δύο ἀρχῶν καὶ ἐναντιώσεως ἔγκλημα ἡμῖν οὐ πρόσεστιν, ἀλλ' ἄλλοις παρὰ σοῦ ἐγκαλεῖσθαι ὤφειλε, τοῖς καὶ δύο ἀρχὰς καὶ δύο θεοὺς εἰσάγουσιν, ἀγαθόν τε καὶ κακόν· καὶ τὸν μέν φασι τὸν αἰσθητὸν κόσμον δεδημιουργηκέναι καὶ συνέχειν καὶ κρατεῖν· τὸν δέ, τὸν νοητόν· ἣν δόξαν ἡμεῖς καὶ μυσαττόμεθα καὶ λίαν ἀποστρεφόμεθα, καὶ τοὺς ταύτην σεμνύνοντας κεφαλικῇ τιμωρίᾳ κατ-

Digitized by Google

ὑποβάλλομεν (2)· ὑμεῖς δὲ καὶ προσίεσθε καὶ ἐπιθέλπετε· ἡμῖν γὰρ μία ἀρχὴ τὸ σεβαζόμενον· ἐπεὶ καὶ εἷς Θεὸς, κἂν ταῖς ἰδιότησιν εἴτ' οὖν ὑποστάσεσι τρία πιστεύηται· εἰ δέ σοι τὸ διάφορον τῶν ὑποστάσεων, διάφορον καὶ τὴν φύσιν ἐννοεῖν δίδωσι, καὶ ὅσας τὰς ὑποστάσεις, τοσαύτας καὶ τὰς φύσεις εἰσάγεσθαι, ἀμαθαίνοντός ἐστι τοῦτο, ἥπερ εἰδότος· οὐ γὰρ ταυτὸν φύσις καὶ ὑπόστασις· ἦν γὰρ ἂν οὐδὲν τῶν ὄντων ὁμοφυὲς, καὶ ταυτὸν κοινόν τι καὶ ἴδιον χρῆμα· ὅπερ οὐχ εὕρηται.

ιβ'. Καὶ ἄλλως· Εἰ τὸ διάφορον τῶν ὑποστάσεων, διάφορον καὶ φύσιν εἰσάγεσθαι δίδωσιν, ἀνάγκη τὸ μὴ διάφορον τῶν φύσεων, μηδὲ διάφορον καὶ τῇ ὑποστάσει καθίστασθαι· συνάγεται ἄρα ὅτι τὰ ταυτὰ τῇ φύσει, ταυτὰ καὶ ταῖς ὑποστάσεσιν. Ἔσται ἄρα Παῦλος καὶ Πέτρος ταυτοὶ ὄντες τῇ φύσει καὶ ἀδιάφοροι· καὶ τῇ ὑποστάσει ταυτοὶ, ὅπερ ἐστὶ γελοῖον· ἔστι γάρ σου τὸ σόφισμα παρὰ τὴν ὁμωνυμίαν οὕτω καλούμενον. Τοῦ γὰρ ἑνὸς πολλαχῶς λεγομένου, ὡς αἱ λογικαὶ μέθοδοι ἐκδιδάσκουσιν, ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ, ἢ ἀναλογίᾳ, δῆλον ὅτι καὶ τὸ *πολλά*· ὁσαχῶς γὰρ τὸ προκείμενον [*cod.* ἀντικ.], τοσαυταχῶς καὶ τὸ ἀντικείμενον ἔχει· τοῦτο γὰρ δεδιδάγμεθα· ἡμῶν δὲ ταῖς ὑποστάσεσι τὰ τρία διδόντων, σὺ δὲ καὶ τὸ τῶν φύσεων διάφορον εἰσάγεις· ταῦτα δὲ οὐχ οὕτως ἔχει· καὶ γὰρ ἡ ἐνάργεια τῶν πραγμάτων δήλη, καὶ αἱ μαθήσεις ἐκδιδάσκουσι· καὶ οὕτως σοι πᾶσαι αἱ διαβολαὶ τῆς καθ' ἡμᾶς πίστεως ἕωλοι καὶ ἀπίθανοι καὶ ψευδεῖς ἀποδεδειγμέναι εἰσί· καὶ τῶν διαβολῶν δηλονότι ἀναιρεθεισῶν, καὶ τὰ λοιπὰ πάντα συνέψεται. Καὶ ταῦτα πέρα τοῦ μέτρου, ἐπεὶ καὶ κόρος λόγου πολέμιος ἀκοαῖς· διὸ ἱκανὰ μὲν καὶ ταῦτα τοῖς θέλουσι μικρῶς πως συνορᾷν, καὶ τῇ παραθέσει τῶν κρειττόνων, τὸ ἀληθὲς διώκειν, καὶ τὸ ψεῦδος ἀπωθεῖσθαι· διὸ καὶ μέχρι τούτων τὸν λόγον στήσω (3).

illis favetis atque blandimini. A nobis autem unum principium religioso cultu colitur, quia et unus Deus est, quanquam proprietatibus, sive personis, trinus creditur. Quod si tibi personarum diversitas differentem quoque naturam reputare suggerit, et quot sunt personæ, totidem quoque naturas inducere; hoc indocti potius ingenii est quam eruditi: non enim idem est natura et persona: alioqui nihil in rebus exsistentibus homogeneum esset, idemque esset commune et proprium negotium, quod non usuvenit.

12. Item aliter. Si quis a personarum diversitate diversitatem quoque naturæ induci concedat, necesse est quod naturaliter non differt, ne personaliter quidem differre. Consequitur ergo, ut quæ sunt naturaliter eadem, personaliter quoque sint. Erunt itaque Paulus et Petrus idem naturaliter et non differentes, simulque eadem persona, quod est ridiculum. Est enim sophisma tuum per homonymiam ita vocatum. Nam quum *unum* multipliciter dicatur, ceu logicæ regulæ docent, vel genere, vel specie, vel numero, vel analogia; patet quod perinde etiam *plura*. Nam quot modis proponitur, totidem opponitur; ita enim edocti fuimus. Nobis autem personarum trinitatem agnoscentibus, tu naturarum quoque diversitatem oggeris. Sed res non ita se habet, quod et rerum evidentia palam facit, et disciplinæ tradunt. Atque ita omnes tuæ adversus fidem nostram accusationes, futiles, incredibiles mendacesque demonstratæ fuerunt. Porro accusationibus cunctis peremptis, reliqua tibi omnia subsequentur. Sed jam præter justum modulum excurrimus; namque et sermonis satietatem aures oderunt. Quare hæc sufficiant iis qui parumper voluerint considerare, et comparativo meliorum delectu veritatem sequi, ac falsitatem repellere. Quamobrem finem hic dicendi faciam.

—

ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΤΑ

Ἀντίῤῥησις καὶ ἀνατροπὴ τῆς δευτέρας ἐπιστολῆς τῆς σταλείσης παρὰ τῶν Ἀγαρηνῶν πρὸς Μιχαὴλ βασιλέα υἱὸν Θεοφίλου ἐπὶ διαβολῇ τῆς τῶν Χριστιανῶν πίστεως.

EJUSDEM NICETÆ

Confutatio et eversio secundæ epistolæ ab Agarenis missæ ad Michaelem imperatorem Theophili filium, ob accusandam Christianorum fidem.

—

α. Ἠβουλόμην, ὦ φίλος, τὸν περὶ πίστεως ἡμῶν, τοῦ Χριστιανικοῦ, λέγω, δόγματος, λόγον, ἀληθῆ πρῶτον ταῖς ἀποδεικτικαῖς ἀνάγκαις καθυποβάλλειν, καὶ ὡς οἷόν τέ ἐστιν ἐκ τῶν φυσικῶν λογισμῶν βέβαιόν τε τοῦτον καὶ ἀτρεκέστατον παριστᾷν· ἔπειτα δὲ καὶ τὰ παρὰ σοῦ ἀλλοκότως ἐπὶ τῇ διαβολῇ τῆς καθ' ἡμᾶς θρησκείας γραφέντα διελέγχειν· τοῦτο γὰρ ἐξ ἅπαντος ὁ ἀντιλογικὸς λόγος ἀπαιτεῖ.

1. Voluissem, o sodes, veram de fide nostra, id est, de Christiano dogmate, doctrinam primo demonstrativis argumentis supponere, et prout fieri poterat, naturalibus' ratiociniis firmare hanc, et certissimam præstare: deinde tua quoque ob eam accusandam absurda argumenta refutare. Ita enim prorsus antirrheticus sermo postulat. Nunc quoniam adversus alteram epistolam tuam, dogma

(2) Dicit pœnam capitalem adversus Manichæos legibus principum decretam, de qua dixi in adn. ad Petrum Siculum.

(3) Eadem hac utitur clausula noster Nicetas, non hic solum et in secunda epistola, verum etiam in illo suo, quem Allatius edidit adversus Armenios tractatu, ut jam in prævio Monito dixi.

Digitized by Google

nostrum, ut par erat, validis demonstrationibus magnopere tractatum fuit, et evidenti conclusione stabilitum; ne nunc forte videamur torpere in scribendo ad te, si tantum adversus illa argumenta quæ ad nostræ irreprehensibilis fidei eversionem tu in litteris tuis misisti, responsionem fecerimus; ideo nunc ventilabimus, num tuæ contra fidem nostram accusationes et reliquæ contradictiones, recte collineent. Sic autem se habet scriptum tuum: «Deus est unus, neminem habens communicantem potestati suæ: et quia communicantem non habet, ideo ne filium quidem habet.» Miror equidem talia a te scribi: neque enim video, quænam sit necessitas communicantem veluti Deo Patri aut regni adjutorem Filium constituere, et hujusce generis alia a te sæpe proposita. Etenim cum Deus Pater Filium suum per omnia similem habeat, excepta innativitate et nativitate; cumque nos confiteamur non esse Filium Patri communicantem, nescio quomodo nos fallere velis; vel tu ipse propriis pennis capiaris. Est enim sophisma tuum hujusmodi: Si duo quædam sint, et unum pluris sit, aliud minoris, velut homo et animal; namque homo minoris est, quam animal; quia vicissim non alternat: animal autem pluris est; his ita se habentibus, veluti si homo est, animal quoque est; non autem, si animal est, homo quoque est; si animali exsistente, dicat aliquis hominem quoque esse; hic paralogismum facit, quia ista non alternant, neque invicem consequuntur.

A Ἀλλ' ἐπεὶ πρὸς τὴν ἑτέραν ἐπιστολήν σου τὸ οἰκεῖον δόγμα ἡμῶν, ὡς εἰκὸς ἦν, ταῖς ἀποδείξεσι κατασκευαστικῶς προσάγεσθαι μεγάλως τε πεπραγμάτευται (4), καὶ σαφῶς ἐξήνυσται, ἵνα μὴ δόξωμεν νυνὶ παρέλκειν ἐν τῷ γράφειν σοι, μόνον ἀπὸ τῶν σταλέντων ἡμῖν ἐπ' ἀνατροπῇ τῆς καθ' ἡμᾶς ἀμώμου πίστεως, τὰς ἀντιῤῥήσεις ποιησόμεθα· διὸ καὶ εἰ εὐθυβόλως αἵ τε τῆς πίστεως ἡμῶν διαβολαί, καὶ αἱ λοιπαὶ ἀντιῤῥήσεις σου ἔχουσιν, ὧδε ἐπισκεψώμεθα· ἔχει δὲ τὸ σὸν γράμμα οὕτως· « Θεός ἐστιν εἷς, κοινωνὸν μὴ ἔχων τῆς αὐτοῦ ἐξουσίας· καὶ διὰ τὸ μὴ ἔχειν κοινωνὸν, οὐκ ἔσχεν οὐδὲ παῖδα. » Θαυμάζειν μοι ἔπεισι τοιαῦτα γράφοντός σου· οὐδὲ γὰρ συνορῶ ἐπὶ τοῦ Θεοῦ καὶ Πατρὸς, τίς ἡ ἀνάγκη ὡς κοινωνόν τινα, ἢ ὡς συνεργὸν τῆς ἑαυτοῦ βασιλείας B τὸν ἑαυτοῦ Υἱὸν εἰσάγεσθαι, καὶ ὅσα τοιαυτότροπα πολλάκις γράφεις· τὸν γὰρ Θεὸν καὶ Πατέρα τὸν ἑαυτοῦ Υἱὸν κατὰ πάντα ὅμοιον ἔχοντα, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως, ἡμῶν δὲ μηδ' ὅλως ὁμολογούντων κοινωνὸν ὄντα τοῦ Πατρὸς τὸν Υἱὸν, οὐκ οἶδ' ὅπως ἡμᾶς παραλογίζῃ, ἢ σεαυτὸν τοῖς ἑαυτοῦ πτεροῖς ἁλίσκῃ· ἔστι γάρ σου σόφισμα τοιοῦτον· Ἐὰν δύο τινὰ ὦσι, καὶ τὸ μὲν ἐπιπλέον, τὸ δὲ ἐπέλαττον, οἷον ὅ τε ἄνθρωπος καὶ ζῶον· ὁ μὲν γὰρ ἄνθρωπος ἐπέλαττόν ἐστι τοῦ ζώου· οὐδὲ γὰρ ἀντιστρέφει· τὸ δὲ ζῶον ἐπιπλέον· τούτου δὲ ὄντος, οἷον τοῦ ἀνθρώπου, δῆλον καὶ τὸ ζῶόν ἐστιν· οὐ μὴν τοῦ ζώου ὄντος, καὶ ὁ ἄνθρωπος· εἶτα τοῦ ζώου ὄντος, φήσειέν τις καὶ τὸν ἄνθρωπον εἶναι, τὸν παραλογισμὸν ποιεῖ, παρὰ τὸ μὴ ἀντιστρέφον, καὶ τὸ ἐπόC μενον οὕτω καλούμενον.

Hoc loco repetit Nicetas totum articulum nonum prioris epistolæ, nempe a verbis τοιοῦτόν τι *usque ad* ἐπὶ τῆς ἁγίας Τριάδος τίθεσθαι. *Nos vero omittimus, ne actum agere videamur.*

2. Item aliter: « Deus unus est, non habens aliquem communicantem potestati suæ. » Quod Deus unus sit universalis, qui cunctis rebus et exsistentiam tribuit et rectum statum, neminemque habeat communicantem aut adjutorem, ut tu dicis, a nobis pariter in superioribus demonstratum fuit, atque ita confitemur et credimus. Quod autem ille quoque a nobis creditus Filius ac Deus verus, æque ac Deus Pater, Deus unus cum Patre ac Spiritu a nobis dicatur, non tanquam communicans Patri ac Spiritui; neque tanquam unius principii, et unius Dei, qui in Patre et Filio et Spiritu sancto spectatur, et sit et a nobis inducatur, ita fit planum: Ille D qui a nobis Dei Filius ac Deus verus dicitur, si est, ut tu ais, Deo communicans, id est, ei qui a nobis Deus ac Pater appellatur; vel uni principio et uni Deo, qui in Patre et Filio et Spiritu sancto spectatur. Sed si quidem uni Deo qui in Patre et Filio ac Spiritu sancto spectatur; demonstratum autem fuit a nobis in prioris epistolæ tuæ refutatione, unum esse Deum, unumque principium, cum Patre ac Spiritu sancto, Filium qui et ita est et a nobis bene Deus appellatur; ergo ita contingit Fi-

β'. Καὶ ἄλλως· « Θεός ἐστιν εἷς, κοινωνὸν μὴ ἔχων τῆς αὐτοῦ ἐξουσίας. » Ὅτι μὲν εἷς Θεός ἐστιν ἐπὶ πάντων τοῖς οὖσιν ἅπασιν, τό τε ἁπλῶς εἶναι καὶ τὸ εὖ χαριζόμενος, καὶ οὐδενὶ τῶν ὄντων τὸ παράπαν κοινωνὸν ἢ συνεργὸν, ὡς σὺ φῄς, κεκτημένος, καὶ ἀνωτέρω παρ' ἡμῶν ἀποδέδεικται καὶ ὡμολόγηται καὶ πεπίστευται· ὅτι δὲ καὶ ὁ παρ' ἡμῶν Υἱὸς Θεοῦ πιστευόμενος, καὶ Θεὸς ἀληθινὸς ὢν καὶ αὐτὸς, καθ' ἃ καὶ ὁ Πατὴρ, καὶ Θεὸς εἷς μετὰ Πατρὸς καὶ Πνεύματος παρ' ἡμῶν καλῶς θεολογούμενος, οὐχ ὡς κοινωνὸς τοῦ Θεοῦ καὶ Πατρὸς, οὔτε τῆς μιᾶς ἀρχῆς καὶ τοῦ ἑνὸς Θεοῦ τοῦ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένου, ἔστι καὶ παρ' ἡμῶν εἰσάγεται, ὧδε δῆλον· Ὁ παρ' ἡμῖν Υἱὸς Θεοῦ καὶ Θεὸς ἀληθινὸς θεολογούμενος, εἴπερ ἐστὶ κατὰ σὲ κοινωνὸς τοῦ Θεοῦ, ἤτοι τοῦ παρ' ἡμῖν Θεοῦ καὶ Πατρὸς πρεσβευομένου, ἢ τῆς μιᾶς ἀρχῆς καὶ τοῦ ἑνὸς Θεοῦ τοῦ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένου· ἀλλ' εἰ μὲν τοῦ ἑνὸς Θεοῦ τοῦ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένου, ἀποδέδεικται δὲ ἡμῖν ἐν τῇ ἀντιῤῥήσει τῆς προτέρας σου ἐπιστολῆς, ὅτι εἷς Θεὸς καὶ μία ἀρχὴ ὁ Υἱὸς μετὰ Πατρὸς καὶ Πνεύματος ἁγίου καὶ ἔστι καὶ παρ' ἡμῶν καλῶς θεο-

(4) Dicit illam Christianæ religionis demonstrationem, quam ipse repetiverat in priore epistola, sed nos utpote jam in superiore opere, hoc eodem volumine editam, necessario omisimus.

Digitized by Google

λογεῖται· εἰ δὲ τοῦτο, συμβαίνει ἂν ὁ Υἱὸς αὐτὸς ἑαυτοῦ εἶναι κοινωνὸς, ὅπερ ἄτοπον· οὐδὲν γὰρ τῶν ὄντων αὐτὸ ἑαυτοῦ λέγεται εἶναι κοινωνόν· οὐκ ἄρα ὁ Υἱὸς τῆς μιᾶς ἀρχῆς καὶ τοῦ ἑνὸς Θεοῦ τοῦ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένου ἐστὶ κοινωνός· οὔτε μὴν τοῦ Θεοῦ καὶ Πατρός· ἐπὶ τούτων γὰρ καὶ μόνον ἔστιν υἱὸν εὑρεῖν τοῦ ἰδίου πατρὸς λεγόμενον κοινωνὸν, ἐν οἷς γνώμης παραλλαγὴ παρεισδύνεται, καὶ βουλήσεως ἑτερότης πάρεστιν, καὶ ἀπορία καλοῦσα πρὸς τὴν χρείαν, καὶ ἐνέργεια ἀποτετμημένη ἰδίως πρόσεστιν· οἷς δὲ γνώμη μία, καὶ βούλησις ἀεὶ ἀδιάκοπος, καὶ φύσεως ταυτότης, καὶ μία ἐξουσία, καὶ θέλησις ἄτρεπτος πάρεστι, πῶς ἂν ὁ *κοινωνὸς* εἰσφρήσεται; οὔκουν κοινωνὸν ἐπὶ τοῦ ἑνὸς Θεοῦ, οἱ ἐπὶ τῇ θεολογίᾳ Υἱὸν καὶ Πνεῦμα θεολογοῦντες συνεισάγουσιν, εἰ καὶ κακῶς παρ' ὑμῶν [*cod.* ἡμῶν] ἐπιφημίζονται.

A lium sibimet esse communicantem; quod est absurdum : nulla enim res exsistens dicitur sibimet ipsa communicare. Nequaquam igitur filius communicans est uni principio unique Deo qui in Patre et Filio et Spiritu sancto spectatur; neque item Deo Patri. Tunc enim tantummodo dicitur filius patri suo communicans, cum sententiæ aberratio subit, et consilii diversitas adest, cum dubitatio rei gerendæ, et operatio seorsum suscepta cernitur. Iis autem, quorum est una sententia, et deliberatio semper indivisa, et natura eadem, et potestas unica, et voluntas immutabilis, quomodo vocabulum *communicans* obrepet? Non ergo faciunt uni Deo communicantem, illi qui Filium ac Spiritum Deum esse theologice dicunt; etiamsi prave a B vobis ita diffamantur.

γ'. Καὶ ἄλλως· « Θεὸς εἷς ἐστι, κοινωνὸν μὴ ἔχων τῆς αὐτοῦ ἐξουσίας· καὶ διὰ τὸ μὴ ἔχειν κοινωνὸν, οὐκ ἔσχεν οὐδὲ παῖδα. » Ἀπήλλαξας ἡμᾶς πραγμάτων ἐξειπὼν τὸ ἀπόῤῥητον· εἰ μὲν γὰρ ἑώρων τὸ *κοινωνὸς* ἐπὶ τῆς θεολογικῆς γεννήσεως ἑπόμενον καὶ χώραν ἔχον, τάχα ἂν καὶ μὴ θέλων τῇ ἀληθείᾳ συνεφελκόμενος τῇ ἀναιρέσει τούτου, καὶ τὸ ἡγούμενον συνανῄρουν· τουτέστι τὸ ἐπὶ τὴν θεολογίαν τὸν Υἱὸν ἀποκηρύττεσθαι. Ἐπεὶ δὲ τοῦτο ἕωλον καὶ πάντη ψευδὲς, ἐπὶ τῆς θεολογικῆς γεννήσεως, καὶ ἀνακόλουθον ὂν ὁ λόγος ἔδειξεν, οὗ με λόγος καταναγκάσει καὶ τὸ ἡγούμενον, τουτέστι τὸν Υἱὸν, ἐπὶ τῆς θεολογίας ἀπαρνεῖσθαι. Ἐπὶ μὲν γὰρ τῶν ἐξ ἀνάγκης C ἑπομένων, καὶ τούτων ἀναιρουμένων, δῆλον ὅτι καὶ τὰ ἡγούμενα συνανῄρηται· οὐ μὴν δὲ ἐπὶ τῶν ἥκιστα ἑπομένων, ὡς αἱ μαθήσεις ἐκδιδάσκουσι· διὸ ἦν τὸ παρὰ σοῦ συλλογιζόμενον δυνάμει τοιοῦτον· Εἰ ἔστιν Υἱὸς ἐπὶ τῆς θεολογίας πιστευόμενος, εὑρεθήσεται καὶ κοινωνὸν ὁ εἷς Θεὸς ἔχων· ἀλλὰ μὴν Θεὸς εἷς ἐστιν ἐπὶ πάντων κοινωνὸν οὐκ ἔχων· οὐκ ἄρα οὐδὲ Υἱὸς ἐπὶ τῆς θεολογίας εὕρηται. Καὶ πρῶτον μὲν, ὡς αἱ φιλοσοφικαὶ μέθοδοι ἡμᾶς ἐκδιδάσκουσι, τὸ ἑπόμενον ἔσφαλται. Ἀποδέδεικται γὰρ ὅτι οὐχ ἕπεται ἐπὶ τῆς θεολογικῆς γεννήσεως τὸ κοινωνὸν λέγεσθαι τὸν Υἱὸν τοῦ Πατρός· διά τοι τοῦτο καὶ ἀναπόδεικτος ὁ λόγος πρόεισιν· ἔπειτα μικρῶς πως τὴν καθ' ἡμᾶς θεολογίαν ἐπισκεψώμεθα, ὅπως εὐφωρατώτερον ἅπασι τὸ ἀδρανὲς ὂν καὶ ἀπίθανον τοῦ παρὰ σοῦ δογματιζο- D μένου λόγου παραδείξωμεν.

3. Item aliter : « Deus unus est, nullum habens potestati suæ communicantem, ergo ne filium quidem habet. » Liberasti me negotio, arcanum enarrans : nam si viderem vocabulum *communicans* in theologica generatione connexum et subsistens, fortasse quamquam invitus, veritate trahente, cum hujus vocabuli exstinctione, principale quoque de medio tollerem : id est Filium prædicari Deum non sinerem. Sed quia hoc futile omnino et falsum in theologica generatione minimeque consectaneum sermo noster ostendit, nullum me ratiocinium coget, rem principalem, id est Filium, a Dei appellatione excludere. Nam in iis quæ necessario nexu cohærent, patet, his sublatis, principalia quoque perire : non ita tamen in iis usuvenire quæ minime mutuo cohærent, disciplinæ docent. Propterea syllogismi tui hæc vis erat : Si Filii divinitas creditur, comperiemus unum Deum habere aliquem sibi communicantem : atqui unus est universalis Deus, nullum habens communicantem : nequaquam itaque Filius in theologia invenitur. Et primum quidem, prout nos philosophicæ regulæ docent, quod subsequens est evertitur. Demonstratum enim fuit, non esse consequens in theologica generatione, communicantem dici Filium Patri. Propterea absque demonstratione assertio illa est. Mox aliquantum theologiam nostram considerabimus, ut evidentius omnibus infirmitatem et incredibilitatem dogmatis a te prolati ostendamus.

δ'. Τὰ τοίνυν ἐπὶ τῆς θεολογίας παρ' ἡμῶν ἀληθῶς λεγόμενα, τὰ μὲν κοινῶς ἐπὶ τῶν τριῶν ὑποστάσεων λέγεται, ὡς ἐπὶ μιᾶς οὐσίας ἤτοι θεότητος, καὶ ἑνὸς Θεοῦ ὄντος· οἷόν φημι τὸ *Θεὸς* ὄνομα, καὶ τὸ *Κύριος* καὶ τὸ *φιλάνθρωπος*, καὶ τὰ παραπλήσια, ἃ καὶ οὐ συναριθμεῖται διὰ τὸ ἐνιαίως λέγεσθαι, ὡς καὶ ἀποδέδεικται· τὰ δὲ ἰδίως, ἃ καὶ τῶν ὑποστάσεων πρώτως καὶ κυρίως εἰσίν· οἷόν φημι τὸ *Πατὴρ* καὶ τὸ *Υἱὸς* καὶ τὸ *Πνεῦμα τὸ ἅγιον*· ἃ καὶ διὰ τὸ ἰδίως λέγεσθαι, συναριθμεῖται· ἡ γὰρ συναρίθμησις, κυρίως τῶν ἰδίως λεγομένων ἐστὶν, οὐ τῶν κοινῶς, ὡς ἐν ἄλλοις δέδεικται· ἐνίοτε δὲ εὕρηται καὶ ἐπὶ δύο

4. Quæ igitur in theologia a nobis vere dicuntur, partim communiter de tribus personis dicuntur, tanquam de unica substantia seu deitate, veluti exempli gratia *Dei* nomen, et *Dominus*, et *benignus*, et his similia; quæ neque connumerantur, quia singulariter dicuntur, prout demonstratum fuit. Partim vero dicuntur privatim, quæ et personarum in primis ac præcipue propria sunt; veluti *Pater* et *Filius* et *Spiritus sanctus*, quæ quia privatim dicuntur, etiam connumerantur : nam connumeratio causa præcipue eorum quæ privatim dicuntur est, non eorum quæ communiter, sicut alibi osten-

Digitized by Google

sum fuit. Interdum vero etiam in duabus thearchicis personis invenitur, velut ex causa processio. Et quæ quidem communiter dicuntur, et communiter cum Patre et Filio et Spiritu sancto, ea tanquam de uno Deo qui et est et cogitatur, dicuntur, et proprie particulatim de personis prædicantur. Etenim et Pater vere Deus; et Filius tanquam ex Deo Deus, ac lumen de lumine; similiter et sanctus Spiritus. Privatim autem de personis dicta, ea privatim quidem dicuntur, sed communiter nequaquam; quia restrictiora de amplioribus prædicari nequeunt eisque exæquari. Atque hoc de creata quoque natura dictum comperies, veluti perspicuitatis causa in exemplo hoc: *Homo*, et *mortalis*, et *loquens*, vocabula hæc singula communiter quoque accepta de quibuslibet hominibus dicuntur, et privatim etiam de unoquoque. Nam et Petrus et Paulus, et singillatim homines, tum simul communi sermone dicuntur homo, tum privatim quoque unusquisque dicitur. Nam Petrus homo dicitur, item et Paulus, et alii similiter.

5. Sed etiamsi in nostra theologia alia quidem communiter dicuntur de tribus personis, alia privatim; et quæ quidem communiter, ea communiter etiam prædicantur, et privatim per partes. Nam cum communiter ac simul de Patre et Filio et sancto Spiritu, nomen puta *Dei* dicitur, aut *Dominus*, patet unum Deum in tribus dici, in quibus divinitas est, atque a nobis recte sic theologice dicitur. Cum autem de Patre dicitur privatim et particulariter *Dei* nomen aut *Dominus*, vel de Filio aut Spiritu, tunc Pater Deus dicitur non privatim et particula iter, et quasi sit heterogeneus unus Deus Pater; et rursus unus alius Deus Filius; similiter et Spiritus sanctus; apage hujusmodi blasphemum polytheismum; nos enim unum colimus principium et unum Deum, et in tribus proprietatibus seu personis Trinitatem credimus. Quamobrem cum de Filii Dei divinitate loquimur, diversum quidem persona dicimus a Patre, haud tamen diversum natura et divinitate, sed unum eumdemque, ut in priore epistola ostensum fuit.

6. Nostra igitur theologia ex communibus notionibus, et ex divinis prophetis pendens, indidemque firmitatem stabilitatemque sortita, Patrem et Filium et sanctum Spiritum, ut unum Deum, Trinitatem theologice dicit. Tu vero non ita intelligens, sed unum Deum dici Patrem separatim et particulariter; deinde Filium tanquam extrinsecus unum Deum, reputans obtrusum et sic intelligens, paralogismum machinatus es. Quapropter falso sic colligis: « Si est Filius in Deo, communicans quoque est: atqui Deo communicans nullus est: ergo ne Filius quidem. » Quod dum ais, in multa incurris absurda. Nam primo idem facis personam atque naturam, quod jamdiu explosimus. Deinde non concedis Filium quoque cum Patre ac Spiritu esse unum Deum, alioqui apud nos recta cum theologia assertum; quod item a nobis demonstratum

A τῶν θεαρχικῶν ὑποστάσεων, οἷον τὸ αἰτιατόν· καὶ τὰ μὲν κοινῶς λεγόμενα, καὶ κοινῶς ἅμα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ὡς ἑνὸς ὄντος Θεοῦ καὶ νοουμένου, λέγεται. Καὶ ἰδίως ἀνὰ μέρος τῶν ὑποστάσεων κατηγορεῖται· καὶ γὰρ ὁ Πατὴρ Θεὸς ἀληθῶς· καὶ ὁ Υἱὸς ὡς ἐκ τοῦ Θεοῦ Θεὸς, καὶ φῶς ἐκ φωτός· ὡσαύτως καὶ τὸ Πνεῦμα τὸ ἅγιον· τὰ δὲ ἰδίως ἐπὶ τῶν ὑποστάσεων λεγόμενα, ἰδίως μὲν λέγονται, κοινῶς δὲ οὐ λέγονται· ἐπειδὴ τὰ ἐλάττω τῶν ἐπιπλέον ἀδυνατεῖ κατηγορεῖσθαι καὶ ἐξισάζειν. Καὶ τοῦτο ἂν εὕροις καὶ ἐπὶ τῆς γενητῆς φύσεως λεγόμενον· οἷον ὡς ἐν παραδείγματι σαφηνείας χάριν· τὸ μὲν *ἄνθρωπος* καὶ τὸ *βροτὸς* καὶ τὸ *μέροψ*, ἕκαστον αὐτῶν καὶ κοινῶς μὲν ἅμα λαμβανομένων τῶν καθ' ἕκαστα ἀνθρώπων λέγεται, καὶ ἰδίως ἑκάστου B νοουμένου· καὶ γὰρ Πέτρος καὶ Παῦλος καὶ οἱ κατὰ μέρος ἄνθρωποι, καὶ ἅμα μὲν κοινῷ λόγῳ λέγονται ἄνθρωπος, καὶ ἰδίως ἕκαστος λέγεται. Πέτρος γὰρ ἄνθρωπος λέγεται καὶ Παῦλος καὶ παραπλήσιοι.

ε'. Ἀλλ' εἰ καὶ ἐπὶ τῆς καθ' ἡμᾶς θεολογίας, τὰ μὲν κοινῶς λέγεται ἐπὶ τῶν τριῶν ὑποστάσεων, τὰ δὲ ἰδίως· καὶ τὰ μὲν κοινῶς, καὶ κοινῶς ἅμα κατηγορεῖται, καὶ ἰδίως ἀνὰ μέρος· ὅτ' ἂν μὲν γὰρ κοινῶς ἅμα ἐπὶ τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οἷόν φημι τὸ *Θεὸς* ὄνομα ἢ τὸ *Κύριος* λέγηται, δῆλον ὅτι εἷς μὲν Θεὸς τὰ τρία λέγεται, ἐν οἷς ἐστιν ἡ θεότης, καὶ παρ' ἡμῖν καλῶς οὕτως θεολογεῖται. Ὅτ' ἂν δὲ ὡς ἐπὶ τοῦ Πατρὸς λέγηται ἰδίως καὶ ἀνὰ μέρος τὸ *Θεὸς* ὄνομα, ἢ τὸ *Κύριος*, ἢ ἐπὶ Υἱοῦ ἢ C Πνεύματος, τότε μὲν Θεὸς λέγεται ὁ Πατὴρ, οὐ μὴν ἰδίως καὶ ἀνὰ μέρος καὶ ἑτεροφυῶς εἷς Θεὸς ὁ Πατήρ· καὶ πάλιν εἷς ἄλλος Θεὸς ὁ Υἱός· ὡσαύτως δὲ καὶ Πνεῦμα τὸ ἅγιον· ἄπαγε τῆς τοιαύτης πολυθεΐας ἐξ ἡμῶν τὸ βλάσφημον! ἐπειδὴ ἡμῖν ἀρχὴ μία τὸ σεβαζόμενον· καὶ εἷς Θεὸς, κἂν ταῖς ἰδιότησιν, ἤγουν ὑποστάσεσι, τρία πιστεύηται· ὅθεν Υἱὸν Θεοῦ θεολογοῦντες, ἕτερον μέν φαμεν τῇ ὑποστάσει παρὰ τὸν Πατέρα, οὐ μὴν δ' ἕτερον τῇ οὐσίᾳ καὶ τῇ θεότητι, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν, ὡς ἐν τῇ προτέρᾳ ἐπιστολῇ δέδεικται.

ς'. Μενοῦνγε ἡ καθ' ἡμᾶς θεολογία ἐκ τῶν κοινῶν ἐννοιῶν καὶ τῶν θείων προφητῶν ἠρτημένη, καὶ τὸ D βέβαιον καὶ πάγιον κληρωσαμένη, Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον ἐπὶ τῆς θεολογίας ὡς ἕνα Θεὸν τὰ τρία θεολογεῖ· σὺ δὲ οὐχ οὕτως ἐκλαβὼν, ἀλλὰ τὸ ἕνα Θεὸν λέγεσθαι τὸν Πατέρα ἰδίως καὶ ἀνὰ μέρος· εἶτα τὸν Υἱὸν ὡς ἔξωθεν τοῦ ἑνὸς Θεοῦ παρεισκρινόμενον λογισάμενος καὶ νοήσας, τὸν παραλογισμὸν συνεσκευώρησας· διὸ καὶ ψευδῶς ὧδε συνάγεις· « Εἰ ἔστιν Υἱὸς ἐπὶ Θεοῦ, καὶ κοινωνός ἐστιν· ἀλλὰ μὴν κοινωνὸς οὐκ ἔστιν ἐπὶ Θεοῦ· οὐκ ἄρα οὐδὲ Υἱός. » Τοῦτο δὲ λέγων, πολλοῖς ἀτόποις περιπέπτωκας· καὶ πρῶτον μὲν ταυτὸν ποιεῖς ὑπόστασιν καὶ φύσιν ἐπὶ Θεοῦ, ὅπερ ἤδη προαπελήλεγκται· ἔπειτα καὶ τὸν Υἱὸν οὐ δίδως μετὰ Πατρὸς καὶ Πνεύματος ἕνα Θεὸν ὄντα, καὶ παρ' ἡμῶν καλῶς θεολογούμενον· καὶ τοῦτο πάλιν ἡμῖν προαποδέδεικται· διά τοι τοῦτο

Digitized by Google

καὶ ἠλίθιον ἀνέφανε τὸ παρὰ σοῦ δογματιζόμενον. Εἴδωμεν δὲ καὶ ἐπιφερόμενον· ἔχει δὲ καὶ αὐτὸ ὧδε· « Ὃς ἐποίησε τὴν πίστιν τῶν Σαρακηνῶν, φῶς· καὶ ἑτέρα πίστις οὐκ ἔστι, δι' ἣν τις τῷ Θεῷ δύναται προσεγγίσαι, » καὶ ὅσα ἄλλα γράφεις ἀποσεμνύνων τὴν οἰκείαν πίστιν. Ἀλλὰ τὸ μὲν οὕτω ψιλαῖς τὸν λόγον χωρὶς ἀποδείξεως τὴν ἀλλοτρίαν πίστιν ὕβρεσι βάλλειν, καὶ τὴν οἰκείαν μεγάλως ἀποσεμνύνειν, ῥᾷστον καὶ εὐπετὲς ἂν εἴη παντὶ τῷ βουλομένῳ· τὸ δὲ τὴν ἑαυτοῦ πίστιν μετ' ἀποδείξεως εὔχρηστον καὶ ὠφέλιμον καὶ ἐκ Θεοῦ δοθεῖσαν ἀποδεικνύναι, ἀνδρὸς ἂν εἴη εὐσεβοῦς καὶ νοῦν ἔχοντος. Οὐκοῦν καὶ ὑμᾶς ἔδει τοῦτο ποιεῖν· καὶ μὴ ἁπλῶς βρενθυνομένους τὴν ὑμετέραν πίστιν ὡς φῶς παρὰ Θεοῦ ποιηθεῖσαν καὶ δοθεῖσαν ἀποφαίνεσθαι· ὅθεν ἡμεῖς μᾶλλον τῆς ὑμετέρας πίστεως τὴν πλάνην καὶ τὸ ψεῦδος, καὶ τῆς ἡμετέρας τὴν ἀλήθειαν καὶ τὸν κόσμον μετὰ ἀποδείξεως παραθεῖναι πειρασόμεθα.

ζ'. Ἅπασι τοῖς νοῦν ἔχουσιν ὁμολόγηται ὅτι πίστις μὲν εὔχρηστος καὶ ὠφέλιμος καὶ ὡς φῶς οὖσα καθέστηκεν· καὶ τοὺς ταύτην ἐπισπωμένους Θεῷ οἰκειοῦσθαι παρεγγυᾷ· ἧς τὰ θεσπιζόμενα τῶν χειρίστων καὶ βλαβερῶν τὴν ἀπόθεσιν ἔχει, καὶ τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν παρὰ φύσιν ἐπὶ τὰ κατὰ φύσιν καὶ ὑπερφυῆ μετατίθησιν· ἧς δὲ τὰ θεσπιζόμενα τῶν καλῶν τὴν ἀπόθεσιν, καὶ τῶν φαύλων τὴν οἰκείωσιν ἐπαγγέλλεται, καὶ τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν κατὰ φύσιν ἢ καὶ ὑπερφυῶν ἐπὶ τὰ παρὰ φύσιν κατασπᾷ, αὕτη πάντως δύσχρηστός τε καὶ βλαβερά, καὶ ἥκιστά τις τῷ Θεῷ προσοικειοῦσθαι δι' αὐτῆς δύναται. Ἐπεὶ οὖν καὶ ἡ ὑμετέρα πίστις τῶν φαύλων τὴν οἰκείωσιν, καὶ τῶν καλῶν τὴν ἀπόθεσιν προθεσπίζει, καὶ ἐκ τῶν ὑπερφυῶν, ἢ καὶ κατὰ φύσιν, ἐπὶ τὰ παρὰ φύσιν τοὺς ταύτην ἐπισπωμένους κατασπᾷ, φανερὸν ὅτι δύσχρηστός τε καὶ βλαβερά, καὶ οὐδεὶς δι' αὐτῆς τῷ Θεῷ οἰκειοῦται· καὶ ὅτι τοῦτο ἀληθὲς, ἐντεῦθεν ἄδρει· Τὸ παρὰ φύσιν πάντες ἴσασιν εἰδήμονες μετάθεσιν εἶναι τοῦ κατὰ φύσιν ἐπὶ τὸ χείριστον· τὸ δὲ ὑπὲρ φύσιν, μετάθεσιν ἀπὸ τοῦ κατὰ φύσιν ἐπὶ τὸ κρεῖττον. Εἰ οὖν ὁ ἄνθρωπος μέσος πως δεδημιούργηται τῆς αἰσθητῆς, φημι, κτίσεως καὶ νοητῆς, καὶ διὰ τοῦτο ἑκατέρας τῆς τε ἀλόγου φύσεως καὶ ἀγγελικῆς ἐπικοινωνεῖ· καὶ τῆς μὲν ἀγγελικῆς κοινωνεῖ κατὰ τὸ λογιστικόν τε καὶ τὸ διακριτικόν· τῆς δ' αὖ ἀλόγου, κατὰ τὸ θυμικὸν καὶ ἐπιθυμητικόν· πεφύλακται δὲ καὶ διατετήρηται κατὰ φύσιν ὁ ἄνθρωπος, ὅτ' ἂν τὸ λογιστικὸν τοῦ θυμικοῦ τε καὶ ἐπιθυμητικοῦ ἄρχῃ. Ἔτι γε μὴν καὶ τῇ ἀγγελικῇ φύσει οἰκειοῦται μᾶλλον, καὶ πρὸς τὰ ὑπερφυῆ ἄνεισιν, ἡνίκα τὸ ἄλογον μέρος τῆς ψυχῆς ὑποπιάζεται καὶ ὑποθλίβεται. Ὅτ' ἂν δ' οὖν τὸ ἐναντίον ἐν αὐτῷ καθοράται, καὶ τὰ μὲν πάθη τοῦ λόγου ἐπικρατεῖ, ὁ δὲ λόγος ὑπηρετεῖ, τοῦτο δὲ συμβαίνει ἀνενδοιάστως ἐπὶ τῶν ἀκολάστως ἢ καὶ φονικῶς βιούντων· φανερὸν ὅτ' ἂν τὰ χείρονα διαπράττηται, ἐκ τῶν κατὰ φύσιν ἢ καὶ ὑπερφυῶν, ἐπὶ τὰ παρὰ φύσιν κάτεισιν· ὅθεν ὅσον ἂν μᾶλλον τὸ θυμικόν τε καὶ ἐπιθυμητικὸν ἀνετόν ἐστιν, τοσοῦτον καὶ τὰ πάθη σκαίρει· καὶ ὅσον ἂν μᾶλλον σκαίρῃ, τοσοῦτον καὶ ἐπαύξεται· καὶ

A fuit : quamobrem fatua apparuit prolata a te dogmatis instar sententia. Jam vero videamus quod addis : namque ita se habet : « Qui fecit Saracenorum fidem lucis instar. Neque alia fides est, qua Deo quispiam propinquare possit. » Et quidquid aliud scribis, fidem tuam exaltans. At enim nudis ita verbis, absque ulla demonstratione, alienæ fidei maledicere, et propriam magnificare, facile est et expeditum volenti cuique. Verumtamen propriam fidem vi argumentorum bonam utilemque atque a Deo datam ostendere, id demum viri religiosi et cordati negotium est. Itaque et vos ita agere oportebat ; neque mera jactantia fidem vestram lucis instar a Deo constructam datamque pronuntiare. Proinde nos potius vestræ fidei errorem ac falsi-
B tatem, nostræque veritatem et pulchritudinem, cum argumentis exponere conabimur.

7. Cordati omnes fatentur, fidem bonam et utilem, lucis vice fungi, et eas qui hanc gerunt ut ad Deum accedant hortari : cujus fidei præcepta a deterioribus noxiisque retrahunt, hominesque ab iis quæ contra naturam sunt, ad naturalia et supernaturalia convertunt. Cujus autem fidei præcepta virtutis fugam, et vitii familiaritatem suadent, hominesque a naturalibus vel etiam supernaturalibus ad ea quæ contra naturam sunt trahunt ; hæc omnino prava et noxia est, minimeque per ipsam propinquare Deo quispiam potest. Quia igitur fides
C vestra vitiorum familiaritatem, et a virtutibus aversionem decernit ; atque a supernaturalibus aut saltem naturalibus, ad ea quæ contra naturam sunt, asseclas suos trahit, patet eam esse pravam et noxiam, neminemque per eam ad Deum accedere. Quodque id verum sit, hinc pervide : Quod contra naturam est, prudentes omnes sciunt transitionem esse a naturali ad deterius : supernaturale autem, transitionem esse a naturali ad melius. Quia ergo homo medius quodammodo conditus fuit inter sensibilem creaturam et intellectualem, idcirco utramque participat, irrationalem scilicet atque angelicam naturam. Et angelicam quidem participat secundum ratiocinium et discretionem, irrationalem
D vero secundum irascibile et concupiscibile. Servatur autem et continetur intra naturæ fines homo, cum pars rationalis irascibili et concupiscibili dominatur. Item ad angelicam naturam magis accedit, et ad supernaturalia extollitur, cum animæ pars irrationalis cohibetur et comprimitur. Quando autem contrarium in homine cernitur, et passiones rationi prævalent, ratioque succumbit (hoc autem accidit hominibus luxurioso immanique vitæ genere utentibus), constat hominem deteriora facientem, a naturalibus vel etiam supernaturalibus, ad ea quæ contra naturam sunt migrare. Quapropter quo magis irascibile et concupiscibile freno carent, tanto magis passiones exsiliunt ; et quo magis hæ exsiliunt, eo plus augentur ; et quo magis augentur, tanto plus homo irrationalibus brutis com-

Digitized by Google

municat; quod dum facit, ad belluinam conditionem festinat. Propterea et propheticus sermo volutantem se in passionibus hominem, jumentis similem esse definit: *Homo cum in honore esset, non intellexit; comparatus est jumentis insipientibus, et similis factus est illis* [49].

8. Quoniam itaque vestra fides proponit et lege sancit intemperantem vitam, et passionum incrementum potius atque dominium, quam rationis, et ad deteriora inhiare homines impellit; hoc nimirum est quod diximus, a naturalibus et supernaturalibus ad illa quæ naturæ adversantur pertrahere: est autem apud nos in confesso, fidem illam, cujus statuta hujuscemodi sunt, noxiam esse pravamque, ac neminem per illam ad Deum accedere: ergo concluditur, fidem vestram, o Saraceni, tenebras potius dicendam quam lucem, ac neminem per ipsam ad Deum accedere. Quod si ita est, ne a Deo quidem data fuit: tuque temere de hac falsi nominis fide vel, ut verius dicam, infidelitate, gloriaris et extolleris nobisque obloqueris. Quoniam vero nostra fides contrarium vestræ præscribit; nam vestra luxuriam, nostra pudicitiam; vestra ingluviem, nostra temperantiam; vestra luxuriam, nostra ingenuitatem; en demonstratum fuit vestram esse pravam et noxiam, neque Deo conciliantem, propterea quod brutis potius communicare facit. Exploratum est itaque, nostram bonam esse et utilem, et Dei nos familiares efficientem, quia homines ad angelorum conditionem extollit: ideoque possumus confidenter dicere, nullam esse fidem præter nostram qui Christiani sumus, cujus ope potest quispiam Deo propinquare, verumque bonum participare. Atque hactenus de vestra nostraque fide satis dictum sit.

9. Paulo autem progressus, ostendere niteris hominem nequaquam ad Dei imaginem ac similitudinem fuisse creatum; uti nos Moysis historiæ et rebus ipsis credentes, ad te scripsimus. Quare cum specioso prætextu sic videris scribere: « Deus inenarrabilis est, indefinibilis, incomprehensibilis. Semper enim fuit Deus, nemoque similis ei est. Nam celsitudo ejus infinita est, isque plasma suum fecit absque ulla sui similitudine. » Ex quo videris concludere, hominem haud fuisse creatum ad imaginem ac similitudinem Dei. Nam quia Deus incomprehensibilis est et invisibilis et similia, nullaque res ei comparabilis est, patet ne hominem quidem, quoniam inter res exsistentes est, ad Dei imaginem ac similitudinem factum. Hæc sunt verba hominis Deo legem statuentis ejusque creationibus, nihil tamen verum dicentis. Profecto si nos, dum hominem ad Dei imaginem ac similitudinem factum affirmamus, substantiæ similitudinem diceremus, quæ et indifferens, imo eadem cum Deo esset, et mox Deum confiteremur inenarrabilem,

[49] Psal. XLVIII, 13.

A ὅσον ἂν ἐπαύξηται, τοσοῦτον ὁ ἄνθρωπος τοῖς ἀλόγοις ζώοις ἐπικοινωνεῖ· καὶ τοῦτο πυιῶν σπεύδει ἀποκτηνωθῆναι. Διά τοι τοῦτο καὶ ὁ προφητικὸς λόγος τὸν ἐν τοῖς πάθεσι κυλινδούμενον ἄνθρωπον, ἀφωμοιωμένον τοῖς κτήνεσιν ὧδε ἀποφαίνεται· *Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.*

η'. Ἐπεὶ οὖν ἡ ὑμετέρα πίστις ἐπαγγέλλεται καὶ προσθεσπίζει τὸν ἀκόλαστον βίον, καὶ τῶν παθῶν τὴν αὔξησιν καὶ ἐπικράτειαν, ἥπερ τοῦ λόγου, καὶ πρὸς τὰ χείρω κεχηνέναι τοὺς ἀνθρώπους προσωθεῖ, τοῦτο δέ ἐστι τὸ ἐκ τῶν κατὰ φύσιν καὶ ὑπερφυῶν ἐπὶ τὰ παρὰ φύσιν τοὺς ἀνθρώπους κατασπᾷν· ὡμολόγηται δὲ ἡμῖν ὅτι ἧς τὰ θεσπιζόμενα τοιαῦτα καθίσταται, βλαβερά ἐστι καὶ δύσχρηστος, καὶ οὐδεὶς δι' αὐτῆς οἰ- B κειοῦται Θεῷ· συνάγεται ἄρα ὅτι ἡ ὑμετέρα τῶν Σαρακηνῶν πίστις, σκότος μᾶλλον ἢπερ φῶς, καὶ οὐδεὶς δι' αὐτῆς τῷ Θεῷ οἰκειοῦται· εἰ δὲ τοῦτο, οὐδὲ παρὰ Θεοῦ δέδοται, καὶ μάτην ἐπὶ τὴν ψευδώνυμον πίστιν, μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἀπιστίαν ἐπαυχῇ καὶ ἐπαίρῃ καὶ ἡμᾶς προσκαλῇ. Ἐπειδὴ δὲ καὶ ἡ ἡμετέρα πίστις, τὸ ἐναντίον τῆς ὑμετέρας ἐπαγγέλλεται, ἐκείνη μὲν ἀκολασίαν, αὕτη σωφροσύνην· ἐκείνη γαστριμαργίαν, αὕτη ἐγκράτειαν· ἐκείνη ἀσωτίαν, αὕτη ἐλευθεριότητα, δέδεικται δὲ ἐκείνη ἄχρηστος καὶ βλαβερὰ καὶ οὐ Θεῷ οἰκειοῦσα, διὰ τὸ τοῖς ἀλόγοις μᾶλλον κοινωνεῖν παρασκευάζουσα, φανερὸν ὅτι ἡ ἡμετέρα εὔχρηστος καὶ ὠφέλιμος καὶ Θεῷ οἰκειοῦσα, διὰ τὸ τοὺς ἀνθρώπους μᾶλλον τοῖς ἀγγέλοις ἐπι- C συνάπτειν· διὸ μᾶλλον ἡμῖν ἔστιν ἀραρότως φθέγγεσθαι, ὅτι οὐκ ἔστι πίστις παρὰ τὴν ἡμετέραν τῶν Χριστιανῶν, δι' ἧς δύναταί τις Θεῷ οἰκειωθῆναι, καὶ τῶν καλῶν ἐν μετουσίᾳ γενέσθαι. Καὶ ταῦτα μὲν περί τε τῆς ὑμετέρας καὶ ἡμετέρας πίστεως ἀποχρώντως ὧδε λελέχθω.

θ'. Παρακατιὼν δὲ μικρὸν πειρᾶσαι δεῖξαι τὸν ἄνθρωπον μὴ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν διαπεπλᾶσθαι, ὡς ἡμεῖς τῇ κατὰ Μωϋσέα ἱστορίᾳ καὶ αὐτοῖς τοῖς πράγμασι πειθόμενοι πρὸς σὲ γεγράφαμεν· διὸ καὶ μετ' εὐλόγου αἰτίας δοκεῖς γράφειν οὕτως· « Ὁ Θεὸς ἀνεκδιήγητός ἐστι καὶ ἀπεριόριστος καὶ ἀπερίληπτος· ἀεὶ γὰρ ἦν ὁ Θεὸς, καὶ ὅμοιος αὐτῷ οὐκ ἦν· τὸ γὰρ ὕψος αὐτοῦ ἀόριστόν ἐστιν· ὃς ἔπλασε τὸ D πλάσμα αὐτοῦ χωρὶς τῆς ὁμοιότητος τῆς πρὸς αὐτόν· » ὡς ἐντεῦθεν δοκεῖς συνάγειν, ὅτι ὁ ἄνθρωπος οὐ πέπλασται κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν. Ἐπεὶ γὰρ ὁ Θεὸς ἀπερίληπτός ἐστι καὶ ἀόρατος καὶ ἀόριστος καὶ τὰ παραπλήσια, καὶ οὐδὲν τῶν ὄντων ἔοικεν αὐτῷ, δῆλον ὅτι οὐδὲ ὁ ἄνθρωπος, ἐπειδὴ καὶ αὐτός τι τῶν ὄντων ἐστίν· εἰ δὲ τοῦτο, κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν οὐ γεγένηται. Ταῦτα νομοθετοῦντός ἐστιν ἐπὶ Θεοῦ καὶ τῶν αὐτοῦ κτισμάτων, τὸ ἀληθὲς δὲ οὐδαμῶς λέγοντος. Διὸ εἰ μὲν τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν ἡμεῖς λέγοντες γεγενῆσθαι, τὴν κατ' οὐσίαν ὁμοίωσιν ἐλέγομεν, ἤτις τὸ ἀπαράλλακτον καὶ ταυτὸν τῆς οὐσίας πρὸς τὸν Θεὸν ἔχει·

Digitized by Google

εἶτα τὸν Θεὸν ὁμολογοῦντες ἀνεκδιήγητον καὶ ἀπεριόριστον καὶ ἀκατάληπτον καὶ ἄπειρον, καὶ οὐδὲν τῶν ὄντων τι τοιοῦτον, τάχα ἂν εἰς ἑαυτοὺς περιεπίπτομεν, καὶ εἶχεν εὔλογον τὸ παρὰ σοῦ γραφόμενον. Ἐπεὶ δὲ οὐ τὴν κατ' οὐσίαν ὁμοίωσιν ἐν τῷ λέγειν ἡμᾶς τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γεγενῆσθαι ἐκλαμβάνομεν, ἀλλὰ τὴν τὸ ἀνάλογον ἔχουσαν πρὸς Θεὸν, ἣ καὶ ἐπὶ τῶν κτισμάτων εὕρηται, οὐδὲν ἀπεικὸς ἔνεστιν ἡμᾶς γράφειν, ὅτι ὁ ἄνθρωπος κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν πέπλασται (5). Τοῦτο γὰρ καὶ πείθει ἡμᾶς ὁμολογεῖν ἡ κατὰ Μωϋσέα τῆς γενέσεως τοῦ κόσμου ἱστορία· διὸ κατ' εἰκόνα μέν φαμεν, κατὰ τὸ ἀρκτικόν [*ita cod.*] τε καὶ αὐτεξούσιον. Ἔτι γε μὴν ἐν τῷ ἀνθρώπῳ ἔστι νοῦς καὶ λόγος καὶ πνεῦμα· καὶ ὁ μὲν νοῦς, γεννήτωρ ἐστὶ τοῦ ἐν ἡμῖν λόγου· ὁ δὲ λόγος, γέννημά ἐστι νοός· καὶ τὸ πνεῦμα διὰ τοῦ λόγου ἐκδίδοται. Καὶ ὥσπερ δίχα λόγου νοῦς ἄλογος οὐκ ἔστιν, οὕτω καὶ ὁ λόγος δίχα νοὸς ἄνους οὐχ εὕρηται, ἀλλ' ἅμα συνυπάρχει, καὶ οὐ προτερεύει θάτερος θατέρου· ὁμοίως δὲ καὶ ὁ λόγος, ἄνευ πνεύματος οὐκ ἔνεστιν, οὐδὲ τὸ πνεῦμα τὸ εἰς φωνὴν ἐκτυπούμενον ἄνευ λόγου.

ι'. Ἐπεὶ οὖν ἡ ὑπερούσιος καὶ ἄκτιστος οὐσία, ἥτις ἐστὶν ὁ Θεὸς, ἐν τρισὶν ὑποστάσεσι θεωρεῖται, ἔν τε τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, ὡς ἡμῖν ἀποδέδεικται καὶ καλῶς πιστεύεται, ἀναλογεῖ μὲν ὁ καθ' ἡμᾶς νοῦς, γεννήτωρ ὢν τοῦ ἐν ἡμῖν λόγου, τῷ Θεῷ καὶ Πατρὶ τῷ ἀϊδίως καὶ ἀχρόνως τὸν ἑαυτοῦ Υἱὸν γεννήσαντι· ὁ δὲ λόγος ὁ ἐν ἡμῖν, γέννημα ὢν τοῦ ἐν ἡμῖν νοὸς, ἀναλογεῖ τῷ ἐκ τοῦ Θεοῦ ἀρεύστως καὶ ἀπαθῶς γεννηθέντι Υἱῷ καὶ Θεῷ ἀληθινῷ ὄντι· τὸ δὲ ἐν ἡμῖν Πνεῦμα, τῷ Πνεύματι ἁγίῳ, τῷ ἐκ Πατρὸς μὲν ἐκπορευομένῳ, καὶ δι' Υἱὸν τοῖς οὖσιν ἐκχεομένῳ καὶ διαδιδομένῳ· καὶ κατὰ τοῦτο πάλιν λέγεται ὁ ἄνθρωπος κατ' εἰκόνα Θεοῦ πεπλάσθαι· καθ' ὁμοίωσιν δὲ πάλιν φαμὲν τὸν ἄνθρωπον Θεοῦ γεγενῆσθαι, διὰ τὴν τῶν ἀρετῶν τελείωσιν, καὶ τῶν ἀγαθῶν τὴν μετουσίαν· ἐπειδὴ πάντα ὅσα πρώτως καὶ ἀναιτίως ἡ δημιουργὸς αἰτία, ὅπερ ἐστὶν ὁ Θεὸς, ταῦτα δευτέρως καὶ μεθεκτῶς καὶ αἰτιατῶς ὁ ἄνθρωπος· οἷόν ἐστι τὸ πρῶτον καὶ ὑπερούσιον, ζωὴ, φῶς, σοφὸς, δυνατὸς, ἀγαθὸς, πρᾶος, δίκαιος· ἔστιν καὶ οὗτος σοφὸς, καὶ ζωὴ, καὶ δυνατὸς, καὶ ἀγαθὸς, καὶ πρᾶος, καὶ δίκαιος ὁ ἄνθρωπος· ἀλλὰ φύσει μὲν ὁ Θεὸς καὶ οὐσιωδῶς, θέσει δὲ καὶ χάριτι καὶ ἐπουσιωδῶς ὁ ἄνθρωπος. Εἰ δὲ τοῦτο, εἰκότως καθ' ὁμοίωσιν τοῦ Θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπόν φαμεν, τὸ ἐξ ἀνακλάσεως [*ita cod.*], ἔσχατον ἀπήχημα φέροντα. Καὶ οὕτω πάλιν ἠλίθιον ἀνέφανε τὸ παρὰ σοῦ γραφέν.

ια'. Μεταβαίνων δὲ ἐπ' ἄλλο τῶν παρ' ἡμῶν γραφέντων, καὶ τοῦτο πειρώμενος ἀναιρεῖν, πάλιν γράφεις· « Θεωροῦμεν τὰ εἴδη τῶν θηρίων ὅτι ὁ ἰσχυρότερος ἐπανίσταται κατὰ τοῦ ἀσθενεστέρου, καὶ ὁ

A indefinitum, incomprehensibilem et immensum, cum nulla res exsistens talis sit, nobismet ipsi contradiceremus, et quod tu scribis videretur probabile. Nunc quia non substantiæ similitudinem intelligimus, cum hominem ad Dei imaginem ac similitudinem factum dicimus, sed potius analogiam erga Deum, quæ etiam in creaturis invenitur, nihil absonum est, nos scribere hominem ad imaginem Dei ac similitudinem fuisse formatum. Hanc enim confessionem nobis suadet Moysis historia de mundi genesi. Ideo ad imaginem dicimus, secundum liberam voluntatem et arbitrium. Præterea in homine est mens, verbum, ac spiritus. Mens quidem, verbi nostri genitrix : verbum mentis genimen : et spiritus per verbum profertur. B Et quemadmodum nulla mens irrationalis exsistit, id est, absque verbo ; ita ne verbum quidem irrationale ullum, id est, sine mente, invenitur : sed una coexsistunt, neque alterum alteri antecedit. Sic etiam verbum sine spiritu non est, neque spiritus, qui voce exprimitur, sine verbo est.

10. Quoniam itaque supersubstantialis et increata substantia, cujusmodi Deus est, in personis tribus spectatur, Patre videlicet, Filio, et Spiritu sancto, ut jam nos demonstravimus recteque credimus ; nostra quidem mens, verbi quod intra nos est genitrix, analogiam habet ad Deum Patrem, qui sempiternaliter et intemporaliter Filium suum C genuit. Verbum autem, quod intra nos est, analogiam habet ad illum, qui ex Deo Patre sine fluxu et passione generatus fuit Filius Deus verus. Spiritus denique noster analogiam habet ad sanctum Spiritum, qui a Patre procedit, et per Filium in creaturas effunditur ac diribetur. Secundum hæc, inquam, homo dicitur ad imaginem Dei formatus. Ad similitudinem præterea dicimus Dei hominem factum propter virtutum exercitium, et bonorum participationem : quia quæ primitus et non causaliter habet causa creatrix, id est, Deus, eadem secundo et partiario et causaliter habet homo. Nempe Deus primigenius est et supersubstantialis, vita, lux, sapiens, potens, bonus, mitis, justus. D Est vero et homo sapiens, vita, potens, bonus, mitis, justus ; sed naturaliter quidem ac substantialiter talis est Deus ; adoptione autem, et gratia, et non essentialiter, homo. Quæ cum ita sint, merito nos dicimus hominem ad similitudinem Dei factum, ita ut extrema veluti repercussionis echo sit. Atque ita denuo futile demonstratum est scriptum tuum.

11. Deinde tu, ad alium libelli mei locum transiens, eumque pessumdare nitens, rursus scribis : « Cernimus in ferarum speciebus, fortiorem insurgere contra infirmiorem, majorem adversus mi-

(5) De homine ad imaginem Dei formato infinita prope dixerunt in commentariis suis Patres Ecclesiæ, et quidem præcipue Anastasius Sinaita. Quibus nunc præclarus et peracutus theologus noster accedit Nicetas.

Digitized by Google

norem, potiorem adversus deteriorem. Et illæ has saepenumero sibi pabulum faciunt : interdum et lacerant, zelotypia quadam ex ipsarum cubilibus pellendi, » et reliqua. Hoc loco ignorare videris quomodo argumenta proferri oporteat, vel secus. Nam si quod nos scripsimus de omni animali, quatenus homogenea sunt vel heterogenea, id una etiam conversari et congregari illas affirmaret, propter mutuam mansuetudinem, et conservandæ salutis curam ; tu vero in nonnullis animalibus haud tale esse observasti, imo et contrarium, nempe adversari et mutuo lacerari, et quod debilius est a validiore opprimi, et deterius a potiore, quæ tu in scripto tuo posuisti, veluti fit a leone, urso, et similibus ; posses equidem sermonem nostrum fortiter perimere. Sed quia quod scripsimus non de omni irrationali animali loquitur, stulte blateras, male conflictum drama inducens, et quasi personatus agens. Quis enim vel minima perspicacia præditus ignorat, non omnia animalium genera naturaliter esse comparata ut congregentur et socialem vitam sectentur ? Namque animalium alia sunt solivaga, alia gregalia ; rursusque gregalium alia sub gubernatore ordinantur, alia secus. Utraque vero hæc partim sunt civilia, partim minime, sicut ipsorum physiologiæ atque historiæ docent. Si ergo alia sunt solivaga, alia minime ; constat comparatum esse a natura ut partim congregentur cum homogeneis suis, partim secus. Quod si ita est, nemo sana mente pollens, aut putat aut scribit, omnia animalia inter se congregari solere et simul vivere. Ne nos quidem itaque hoc diximus. Sed quia maxime propria nota et characteristica inest animali præcipue sociali, ratiocinium et prudentia et cum ratione judicium, propterea sermone exteriore indiget homo, ut arcane repositas cogitationes in externam lucem educat, et cum proximis communicet. Quo fit, ut naturaliter sit cicur animal, et apprime sociale. Cæteris vero cunctis animalibus sodalitas et naturalis mansuetudo principaliter non inest : sed tamen in nonnullis cernitur conversandi et simul vivendi atque communicandi studium. Sed multo magis hoc inter homines constitutum est. Nam si quod minus esse videtur, tamen est, multo magis quod amplius est : quanto scilicet convenientius utiliusque est conversari simulque vivere cum homogeneo suo hominem, animal nimirum præcipue sociale, et suapte natura cicur. Hoc enim et nos præ oculis habentes, vobis scripsimus.

12. Denno progrediens ad alium scripti nostri locum, cumque refutare conitens, ita scribis : « Cædium aliæ licitæ sunt, aliæ illicitæ. Illicitum est, prout reapse a Deo vetatur, occidere fidelem privato proposito : legitimum autem est occidere eum qui dandum censet Deo sodalem, et hunc pari potentia præditum confingit. » Hæc dum scribis, indo-

A μείζων κατὰ τοῦ ἐλάσσονος, καὶ ὁ κρείττων κατὰ τοῦ χείρονος, καὶ πολλάκις ποιεῖται τροφὴν αὐτοῦ· ἔστιν ὅτε καὶ διαφθείρει αὐτὸν, ἀντιζηλῶν τοῦ διωχθῆναι αὐτὸν ἀπὸ τῆς κοίτης αὐτοῦ, » καὶ τὰ ἑξῆς. Ἐνταῦθα δοκεῖς ἠγνοηκέναι τὰς ἀποδείξεις, πῶς δεῖ προάγειν, καὶ πῶς οὐ δεῖ. Εἰ μὲν γὰρ τὸ παρ' ἡμῖν γραφὲν περὶ παντὸς ἀλόγου ζώου, πρός τε τὸ ὁμογενὲς ἢ καὶ ἑτερογενὲς, τὸ συναλίζεσθαί τε καὶ ἑνοῦσθαι ὑπισχνεῖτο, διὰ τὴν πρὸς ἄλληλα ἡμερότητα, ὡς φειδόμενα τῆς ἑαυτῶν σωτηρίας· εἶτα ἐπί τινων ζώων τοῦτο εὑρὼν σὺ μὴ θεωρούμενον, μᾶλλον δὲ τὸ ἐναντίον τὸ ἐπανίστασθαι καὶ διαφθείρειν καὶ ἀποδιώκειν τὸν ἰσχυρότερον τὸν ἀσθενέστερον, καὶ τὸν κρείττονα τὸν χείρονα, ἃ καὶ ἐν τῷ σῷ γράμματι παρετίθεις, οἷον λεόντά φημι καὶ ἄρκον καὶ τὰ παραπλήσια· εἶχες ἂν γενναίως τὸν ἡμέτερον λόγον B ἀναιρεῖν. Ἐπεὶ δὲ τὸ παρ' ἡμῖν γραφὲν οὐ περὶ παντὸς ἀλόγου ζώου τοῦτο ἐπαγγέλλεται, καὶ ματαιολογεῖς, τὸ κακόπλαστον εἰσάγων δρᾶμα καὶ ὑποκρινόμενος· τίνα γὰρ καὶ τῶν μικρὰ συνορᾷν δυναμένων λέληθεν, ὅτι οὐχ ἅπαντα τὰ εἴδη τῶν ζώων συναλίζεσθαι καὶ συνδιαιτᾶσθαι πρὸς ἄλληλα πέφυκε ; Τῶν γὰρ ζώων τὰ μέν εἰσι μοναδικὰ, τὰ δὲ ἀγελαῖα, καὶ τῶν ἀγελαίων τὰ μὲν ὑφ' ἡγεμόνι τάττονται, τὰ δὲ οὔ. Ἑκατέρων δὲ τούτων τὰ μέν εἰσι πολιτικὰ, τὰ δὲ οὔ· ὡς αἱ περὶ αὐτῶν φυσιολογίαι καὶ ἱστορίαι ἐκδιδάσκουσιν. Εἰ οὖν τὰ μέν εἰσι μοναδικὰ, τὰ [δὲ] οὔ, φανερὸν ὅτι τὰ μὲν συναλίζεσθαι μετὰ τῶν ὁμογενῶν πέφυκε, τὰ δὲ μή. Εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐδεὶς ἂν C ἀδιάστροφον φρένα ἔχων, οὔτε νοεῖ οὔτε γράφει τὸ, Πάντα τὰ ζῶα ἔχει τὸ συναλίζεσθαι πρὸς ἄλληλα καὶ συνδιαιτᾶσθαι· ὅθεν οὐδὲ ἡμεῖς· ἀλλ' ἐπειδὴ ἰδιαίτατον γνώρισμα καὶ χαρακτηριστικὸν ἔνεστι τοῦ κυρίως κοινωνικοῦ ζώου, ὅ τε λόγος καὶ ἡ φρόνησις καὶ ἡ μετὰ λόγου κρίσις, διά τοι τοῦτο καὶ λόγου τοῦ ἔξωθεν ἐδεήθη ὁ ἄνθρωπος, ὡς ἂν τὰ ἐν βάθει κείμενα νοήματα εἰς φῶς ἔξωθεν ἄγηται καὶ τοῖς πέλας κοινοποιῆται· ὅθεν καὶ φύσει ἥμερον ζῶον ὁ ἄνθρωπος, καὶ κοινωνικὸν ζῶον κυρίως ἐνταῦθά ἐστιν. Ἐν δὲ τοῖς ἀλόγοις ζώοις ἅπασι τό τε κοινωνικὸν καὶ φύσει ἥμερον κυρίως οὐκ ἔνεστιν· εὕρηται δὲ ὡς ἐπί τινων τῶν ἀλόγων ζώων τοῦτο συναλίζεσθαι καὶ συνδιαιτᾶσθαι καὶ κοινοποιεῖσθαι· πολλῷ μᾶλλον καὶ ἐπὶ τῶν ἀνθρώπων τοῦτο θεμιτὸν ἂν εἴη. D Εἰ γὰρ τὸ ἧττον δοκοῦν ὑπάρχειν ὑπάρχει, πολλῷ μᾶλλον καὶ τὸ μᾶλλον· ὅπερ προσῆκόν ἐστι καὶ μᾶλλον ὀφείλει τὸ συναλίζεσθαι καὶ συνδιαιτᾶσθαι πρὸς τὸ ὁμογενὲς τὸν ἄνθρωπον ὡς κοινωνικὸν ζῶον κυρίως καὶ ἥμερον φύσει. Εἰς τοῦτο γὰρ καὶ ἡμεῖς ἀφορῶντες πρὸς ὑμᾶς γεγράφαμεν.

ιβ'. Καὶ πάλιν δὲ μεταβαίνων ἐφ' ἕτερον τῶν παρ' ἡμῖν γραφέντων, καὶ τοῦτο ὡσαύτως πειρώμενος ἀνασκευάζειν, γράφεις ὧδε· « Τῶν φόνων οἱ μέν εἰσι θεμιτοὶ, οἱ δὲ ἀθέμιτοι· καὶ ἀθέμιτόν ἐστιν, ὃ ἀποτέτραπται παρὰ Θεοῦ, τὸ φονεύειν πιστὸν τῇ ἰδίᾳ προαιρέσει· ἔννομον δὲ καὶ θεμιτὸν, τὸ φονεύειν τὸ δοξάζοντα συγκοινωνὸν τοῦ Θεοῦ (6) καὶ ἀναπλάττοντα

(6) Sur. VIII, IX et alibi. Confer retro col. 685 et 761, cum annotatione.

Digitized by Google

ἰσοδύναμον. » Ταῦτα μὲν γράφων ὡς ἀμαθὴ καὶ ἀμύητον πάντη τῶν πραγμάτων σεαυτὸν εἰσάγεις· οὐδὲ γὰρ συνῆκας ὅτι πᾶς φόνος, ᾗ φόνος ἐστὶ, φευκτὸς καὶ ἀποτρόπαιος, εἴπερ κακός· τὸ δὲ κακὸν ἅπαν οὐ θεμιτόν· καὶ ὅτι κακὸν ὁ φόνος, ἐντεῦθεν δῆλον· Πᾶς φόνος, ᾗ φόνος ἐστὶν, ἡ φθορά ἐστιν ἀνθρώπου, ἡ φθορᾶς ποιητικός ἐστιν ἀνθρώπου· ὁ δὲ ἄνθρωπος μᾶλλον καλὸν καὶ μᾶλλον ἀγαθὸν τῶν ἐπὶ γῆς· εἴπερ τὸ πρώτιστον κτίσμα Θεοῦ τῶν ἐπὶ γῆς· συνάγεται ἄρα· Πᾶς φόνος, ᾗ φόνος ἐστὶν, ἀγαθοῦ τινος ἡ φθορὰ ἡ φθορᾶς ποιητικόν· εἰ δὲ τοῦτο, καθ' αὑτὸ κακόν. Τῶν γὰρ ἀγαθῶν αἱ φθοραὶ, καὶ τὰ τούτων φθαρτικὰ, πάντως ἐστὶ κακά· ὥσπερ τῶν κακῶν αἱ φθοραὶ, καὶ τὰ φθαρτικὰ τούτων ἀγαθά· οὕτω γὰρ ἡμῖν αἱ κοιναὶ ἔννοιαι καὶ αἱ φιλοσοφικαὶ μαθήσεις ἐκδιδάσκουσιν. Εἰ οὖν πᾶς φόνος, ᾗ φόνος ἐστὶν, δέδεικται ὢν κακὸς, δῆλον ὅτι καὶ οὐ θεμιτός· τὸ γὰρ κακὸν πᾶν, οὐ θεμιτόν· γίνεται δὲ ἐνίοτε κατὰ συμβεβηκὸς ἀγαθόν. Τῶν γὰρ ὄντων τὰ μέν εἰσι καθ' αὑτὰ ἀγαθά· γίνεται δὲ κατὰ συμβεβηκὸς κακὰ, οἷον ἐλεημοσύνη· τὰ δὲ καθ' αὑτὰ μέν εἰσι κακά· γίνεται δὲ κατὰ συμβεβηκὸς ἀγαθὰ, οἷον τὸ ψεῦδος (7)· τὰ δὲ καθ' αὑτὰ μὲν τὸ οὐδέτερον ἔχει· κατὰ συμβεβηκὸς δὲ ἐπαμφοτερίζει, οἷον πλοῦτος, ἰσχὺς, καὶ τὰ παραπλήσια· καὶ τὰ μὲν καθ' αὑτὰ ἀγαθὰ, ἀεὶ μὲν δεῖ γίνεσθαι, ἢ ὡς ἐπὶ τὸ πολύ· τοιαύτη γὰρ ἡ φύσις τῶν καθ' αὑτὸ ἀγαθῶν. Τὰ δὲ καθ' αὑτὸ κακὰ, ἔμπαλιν· ἢ ἀεὶ μὲν οὐ δεῖ γίνεσθαι, ἢ ὡς ἐπὶ τὸ πολὺ, ἀλλ' ἐπέλαττον τοιαύτη γὰρ καὶ τούτων ἡ φύσις· τὰ δὲ καθ' αὑτὰ τὸ οὐδέτερον ἔχοντα ἐπ' ἴσης ἔχει τό τε γίνεσθαι καὶ μή. Ἐπεὶ οὖν καὶ φόνος τῶν καθ' αὑτὸ κακῶν ἐστι (τοῦτο γὰρ ἡμῖν ἀποδέδεικται)· τὸ δὲ καθ' αὑτὸ κακὸν, κατὰ πρῶτον λόγον, ἢ ὅλως οὐ δεῖ γίνεσθαι, ἢ ὡς ἐπὶ τὸ πολύ· καὶ τοῦτό ἐστι τὸ πρῶτον ἀγαθόν· σπανιάκις δὲ γίνεται κατὰ συμβεβηκὸς ἀγαθόν· καὶ τοῦτό ἐστι τὸ δευτέρως ἀγαθὸν καὶ ἐπέλαττον. Τὸ δὲ κατὰ πρῶτον λόγον ἀγαθὸν καὶ ἐπιπλέον, τοῦ κατὰ τὸ δεύτερον καὶ ἐπέλαττον ὄντος, αἱρετώτερον καὶ κρεῖττον, ὡς αἱ λογικαὶ ἡμᾶς μέθοδοι ἐκπαιδεύουσι· τὸ μὴ φονεύειν ἄρα, τοῦ φονεύειν, εἰ καὶ κατὰ συμβεβηκὸς ἐνίοτέ ἐστιν ἀγαθὸν, κρεῖττον καὶ αἱρετώτερον· εἰ δὲ τοῦτο, οἱ τὸ φονεύειν ἐφιέμενοι ἀναιρεῖν ἐκ τῶν ἀνθρώπων, κατὰ πολὺ ἂν κρείττονες καὶ τιμιώτεροι δειχθεῖεν τῶν μὴ προαιρουμένων τοῦτο ποιεῖν, ὡς τὸ κρεῖττον ἀγαθὸν ἐφιέμενοι. Ἡμεῖς ἄρα κρείττονες ἀνεφάνημεν διὰ τῆς ἀποδείξεως, τὸν φόνον ἀναιρεῖν ἐκ ποδῶν προαιρούμενοι.

ctum te et omnium rerum ignarum exhibes. Etenim non intelligis, omnem cædem, quatenus cædes est, vitandam esse et aversandam, utpote malam. Porro nullum malum licet. Quod autem mala res sit cædes, hinc fiet manifestum : Omnis cædes, quatenus cædes est, destructio est hominis, sive causa est destruendi hominis. Homine autem nihil pulchrius meliusve in terra versatur, siquidem præcipua est creatarum a Deo in terra rerum. Concluditur ergo omnem cædem, quatenus cædes est, boni alicujus destructionem esse, vel causam destructionis. Quod si ita est, cædes per se mala est. Nam bonarum rerum destructiones et harum causæ, omnino malæ sunt : sicut vicissim malarum rerum destructiones, et harum causæ, bonæ sunt. Quippe ita communes notiones et philosophicæ disciplinæ nos docent. Si ergo omnis cædes, qua cædes est, mala esse demonstratur, patet eam ne licitam quidem esse. Nullum quippe malum licet : sed id tamen aliquando per accidens in bonum convertitur. Nam rerum aliæ sunt per se bonæ, sed fiunt per accidens malæ, velut eleemosyna. Aliæ per se malæ sunt, sed fiunt per accidens bonæ, velut mendacium. Aliæ denique per se quidem neutrius conditionis, per accidens autem in alterutram partem inclinantur, velut divitiæ, vires, et similia. Et eæ quidem res quæ sunt per se bonæ, semper fieri debent, vel certe plerumque : talis enim est rerum per se bonarum natura. Contraria ratio est rerum per se malarum, quæ vel nunquam fieri debent, vel raro, et minima quantitate. Talis enim est harum natura. Quæ denique per se neutrius naturæ sunt, perinde est utrum fiant, an secus. Quod autem cædes sit in numero rerum per se malarum, id nos jam ostendimus. Quod vero per se et principaliter malum est, id vel omnino fieri non debet, vel raro ; et hoc principaliter bonum est : quod raro autem fit per accidens bonum, id secundo loco bonum est ac minimum. Jamvero quod est primigenia ratione bonum et gradu majore, illo certe quod est secundo loco bonum et gradu minore, optabilius est et melius, prout nos logicæ regulæ erudiunt. Ergo non occidere melius optabiliusque est quam occidere, etsi hoc postremum quandoque per accidens bonum fit. Quod si ita se habet, ii qui cædem abolere inter homines student, meliores majoreque laude digni apparent, quam hi qui ita se gerere non constituerunt : illi enim melius bonum amplexi sunt. Nos igitur meliores esse exploratum est, qui cædem ex hominibus exterminare studemus.

ιγ'. Ὅτι δὲ καὶ ὁ ἐξ ὑμῶν εἰς ἡμᾶς ἐνεργούμενος καθ' ἑκάστην φόνος (8) οὔτε τῶν κατὰ συμβεβηκὸς

13. Quod vero quotidiana vestra adversus nos cædes, non sit de bonis per accidens contingenti

(7) Puta cum aliquis mentitur, ut alicui prosit. Verumtamen id quoque Augustinus reprehendit enarr. in ps. V, n. 7 : *Duo sunt omnino genera mendaciorum, in quibus non magna culpa est, sed tamen non sunt sine culpa, cum aut jocamur, aut ut prosimus mentimur. Illud primum*, etc. *Secundum ideo mitius est, quia retinet nonnullam benevolentiam.* Videsis ibi cætera ; tum alia plurima hujusmodi apud Augustinum, qui constanter mendacium improbat.

(8) Loquitur de superstitiosa et fanatica Mohamedanorum adversus Christianos sævitia, quam, præter ætatas retro suras, videmus etiam in epistola tertia Nicolai patriarchæ Græci inter editas a nobis in Spicilegio Rom., T. X.

Digitized by Google

bus, hinc fiet palam : Quod fit per accidens bonum, prudenti aliquo consilio fit : quod autem ita prudenter fit, propter frugi aliquid fit : ergo quod per accidens fit, propter frugi aliquid fit. Vestræ autem nostrorum hominum occisiones, haud ob aliud fiunt, ut ipsi dicitis, nisi quia vos Saracenismum sequimini : hoc autem frugi non est : consequitur ergo, ut vestræ nostrorum hominum occisiones, ne per accidens quidem bonæ sint. Quod autem Saracenismi secta minime bona sit, sic ostenditur : Saraçenismus nihil aliud est quam a naturalibus aut etiam supernaturalibus, ad ea quæ naturæ adversantur, hominum translatio ; namque hoc etiam demonstravimus. Jam id agere, malum esse, nemo non videt. Si ergo vestræ nostrorum hominum occisiones, neque per accidens neque per se ipsæ bonæ sunt : et si quod neque per se bonum est, neque per accidens, id omnino fieri non debet ; ergo vestræ quotidianæ nostrorum hominum occisiones fieri non debent. Nam quod fieri non oportet, id ne licet quidem. « Cædium aliæ licitæ sunt, inquis, aliæ illicitæ. » Ego quoque assentior, cædes aliquas licere, nimirum per accidens, si quidem de illorum bonorum numero sint, quæ ita evadunt per accidens. At sunt illicitæ, per se ; quoniam cædes, quatenus cædes est, de numero esse per se malorum ostensum fuit ; idcirco hoc tanquam plane confessum a nobis quoque sumatur.

14. Age vero breviter deinde subnectis dicens : « Legitimum insonsque est occidere eum qui censet dandum Deo socium, et quidem pari potentia præditum. » Id, inquam, quam superbe a te dicitur et arroganter ! aut si magis proprie loquendum est, quanta stoliditate atque insania scatet ! Nam propter multam stupiditatem tuam et infidelitatem, absque ratiocinio nescio quomodo judicans, neque ut nos prædicamus, sed vane pugnans et stulte blaterans, sine causa nos irrides, quasi participantes quosdam, et Deo unico unique principio æquipollentes inducamus. Quis enim ex nostris, sive pusillus sive magnus, cogitavit unquam aut confinxit quemquam esse Deo unico unique principio communicantem aut æquipollentem ? quo prætextu vestræ nostrorum hominum occisiones, justæ, ut tu ais, evadant ? Etsi enim a nobis Filius Dei tanquam verus Deus, idemque Deo Patri homogeneus dicitur atque glorificatur, non tamen ut communicans uni principio, aut Deus extra Patrem exsistens et adjunctus, ut tu putas, in nostra theologia definitur ; hoc enim jam a nobis demonstratum fuit ; sed unus Deus cum Patre et Spiritu sancto est, et a nobis Christianis creditur et glorificatur. Quod si ita est, temere tu nobis probrum ex vocabulo communicantis impingis : temere item occisiones quas nostrorum hominum facitis, divinitus inspiratas legitimasque reputas, uti scribis. Nam si, propterea quod communicantem

A ἀγαθῶν ἐνδέχεται εἶναι, ἐντεῦθεν δῆλον· Τὸ κατὰ συμβεβηκὸς ἀγαθὸν γινόμενον, δι' οἰκονομίαν γίνεται· τὸ δι' οἰκονομίαν γινόμενον, διὰ καλὸν γίνεται· τὸ ἄρα κατὰ συμβεβηκὸς γινόμενον, διὰ καλὸν γίνεται· ὁ δὲ ἐξ ὑμῶν εἰς ἡμᾶς γινόμενος φόνος, οὐ δι' ἄλλο τι γίνεται, ὡς αὐτοί φατε, εἰ μὴ διὰ τὸ Σαρακηνίζειν ὑμᾶς· τοῦτο δὲ οὐ καλόν· συνάγεται ἄρα ὅτι ὁ ἐξ ὑμῶν εἰς ἡμᾶς γινόμενος φόνος, οὐδὲ τῶν κατὰ συμβεβηκός ἐστιν ἀγαθῶν· καὶ ὅτι τὸ Σαρακηνίζειν οὐ καλόν ἐστιν, ὧδέ ἐστι δῆλον· Τὸ Σαρακηνίζειν οὐδὲν ἄλλο ἐστὶν, ἀλλ' ἢ τὸ ἐκ τῶν κατὰ φύσιν ἢ καὶ ὑπερφυῶν εἰς τὸ παρὰ φύσιν κατασπᾷν τοὺς ἀνθρώπους· τοῦτο γὰρ ἡμῖν καὶ ἀποδέδεικται (9)· τὸ δὲ τοῦτο ποιεῖν, πᾶσιν ἀρίδηλόν ἐστιν ὅτι οὐ καλόν ἐστιν. Ἐπεὶ οὖν οὔτε τῶν καθ' αὐτὸ ἀγαθῶν ἐστιν B ὁ φόνος ὁ ἐξ ὑμῶν εἰς ἡμᾶς ἐνεργούμενος, οὐδὲ κατὰ συμβεβηκός· τὸ δὲ οὔτε καθ' αὐτὸ ἀγαθὸν, οὔτε κατὰ συμβεβηκὸς, οὐ χρὴ γίνεσθαι τὸ παράπαν· ὁ ἄρα εἰς ἡμᾶς ἐξ ὑμῶν καθ' ἑκάστην ἐνεργούμενος φόνος, οὐ δεῖ γίνεσθαι· εἰ δὲ τοῦτο, καὶ οὐ θεμιτόν· ὃ γὰρ οὐ δεῖ γίνεσθαι, οὐδὲ θεμιτόν ἐστι. « Τῶν φόνων, οἱ μέν εἰσι θεμιτοὶ, οἱ δὲ ἀθέμιτοι. » Σύμφημι κἀγὼ, ὅτι τῶν φόνων οἱ μέν εἰσι θεμιτοὶ, δηλονότι κατὰ συμβεβηκὸς, εἴπερ τῶν κατὰ συμβεβηκὸς ἀγαθῶν εἰσιν· οἱ δὲ ἀθέμιτοι, δῆλον ὅτι καθ' αὐτό· ἐπεὶ καὶ ὁ φόνος, ᾗ φόνος ἐστὶν, τῶν καθ' αὐτὸ κακῶν εἶναι ἀποδέδεικται· διὸ καὶ ὡς ὡμολογημένον καὶ παρ' ἡμῖν εἰλήφθω.

ιδ'. Εἶτα τὸ βραχὺ τούτου συναπτόμενον τὸ λέγον· C « Ἔννομον δὲ καὶ θεμιτὸν τὸν δοξάζοντα φονεύειν συγκοινωνὸν τοῦ Θεοῦ καὶ ἀναπλάττοντα ἰσοδύναμον, πολλῆς ἀλαζονείας καὶ φυσιώσεως, ἢ οἰκειότερον φάναι, ἐκπληξίας τε καὶ ἐμβροντησίας ἀνάμεστον οὐκ ἂν εἴη; Ἐκ γὰρ πολλῆς εὐηθείας καὶ ἀπιστίας ἀλογιστὶ, οὐκ οἶδ' ὅτῳ τρόπῳ δόξαν, καὶ οὐχ ὡς ἡμεῖς κηρύττομεν, σκιομαχῶν καὶ μάταια ἐρευγόμενος, ἡμᾶς ἀναπλαστικῶς διακωμῳδεῖς κοινωνούς τινας καὶ ἰσοδυνάμους τοῦ ἑνὸς Θεοῦ καὶ τῆς μιᾶς ἀρχῆς ἐπεισάγοντας· τίς γὰρ τῶν ἐν ἡμῖν μικρὸς ἢ μέγας ποτὲ ἐνενόησεν ἢ ἔπλασεν ἐπὶ τοῦ ἑνὸς Θεοῦ καὶ τῆς μιᾶς ἀρχῆς κοινωνὸν ἰσοδύναμον, ἵνα καὶ ὁ εἰς ἡμᾶς ἐνεργούμενος φόνος θεμιτὸς ἂν εἴη, ὡς σὺ φῄς ; εἰ γὰρ καὶ παρ' ἡμῖν Υἱὸς Θεοῦ ὡς Θεὸς ἀληθινὸς καὶ αὐτὸς ὢν ὁμοφυὴς τῷ Θεῷ καὶ Πατρὶ θεο- D λογεῖται καὶ δοξάζεται, ἀλλ' οὐχ ὡς κοινωνὸς τῆς μιᾶς ἀρχῆς, ἢ τοῦ Πατρὸς ἔξωθεν ὢν Θεὸς παρεισκρινόμενος, ὡς σὺ ἐπινοεῖς, θεολογεῖται (τοῦτο γὰρ ἡμῖν καὶ ἀποδέδεικται [10]) · ἀλλ' ὡς εἷς Θεὸς μετὰ Πατρὸς καὶ Πνεύματος ἁγίου, καὶ ἔστι καὶ παρ ἡμῶν τῶν Χριστιανῶν καλῶς πιστεύεταί τε καὶ δοξάζεται. Εἰ δὲ τοῦτο, μάτην τὸν οὑτωσὶ μῶμον τὸν ἐκ τοῦ κοινωνοῦ ἡμῖν προστρίβεις· ἔτι γε μὴν καὶ τὸν ἐξ ὑμῶν εἰς ἡμᾶς ἐνεργούμενον φόνον ἔνθεον καὶ ἔννομον λογίζῃ, ὡς γράφεις· εἰ γὰρ διὰ τὸ κοινωνὸν καὶ ἰσοδύναμον Θεοῦ, ὡς αὐτοί φατε ἀναπλάττειν ἡμᾶς, ἔννομόν ἐστι τὸ ὑφ' ὑμῶν φονεύεσθαι,

(9) In hac ipsa epistola cap. 7, col. 829.
14. Quamobrem cum Deus illum etiam bonis præsentibus remunerare vellet (est autem bonum, imo bonorum omnium optimum, similem aliquem in virtutis stadio currentem reperire, et proposito sibi illius exemplo ejusdem virtutis cursum augere), pervenit in urbem Thessalonicensium, ita Deo volente, ætate provectus, et miraculis celeberrimus, Decapolitarum decus, et ut verius dicam, omnium civitatum ornamentum divinus Gregorius, qui ubi monasterium illud appulit, in quo generosus hic agonista, magnus inquam Joseph, adversus hostes invisibiles strenuissime depugnabat, videns stabiles et constantes illius mores, animæque ejus habitum agnoscens, ex gratia illa divina ac plenitudine, quæ in ejusdem facie refulgebat (cito enim, ac facile sanctorum animæ eorum, quos in virtutis æmulatione similes habent, habitus agnoscunt, ac veluti veneranlur) cum illo familiaritatem contraxit, et corpore simul ac mente conjunctus est, nec ab eo separari volebat; quæ enim natura similia sunt facillime copulantur. Sed Gregorium negotia alio evocabant, et Thessalonicam relinquere cogebatur: iter tamen differebat amore erga divinum Joseph, ut ita dicam, impeditus ac retentus. Propterea cum in urbium reginam vellet proficisci, nec ferre posset, vel ad exiguum tempus a suo in virtute æmulo separari, perrexit ad monasterii præsidem, et omnem movit lapidem, innumeris precibus adhibitis, ut Joseph socium itineris sui posset obtinere, tandemque obtinuit. Jam enim didicerat Gregorio cedere atque obsequi propter virtutis eminentiam.

ιδ'. Ὅθεν καὶ Θεοῦ τοῦτον ἀμειβομένου καὶ τοῖς ἐνταῦθα καλοῖς (καλὸν δὲ ἄρα καὶ καλῶν κάλλιστον τὸ εὑρίσκειν τὸν ἀρεταίνοντα ὅμοιον, καὶ τῇ προθέσει συνεπαυξάνειν τὸν δρόμον τῆς ἀρετῆς), ἐπιδημεῖ τῇ C Θεσσαλονικέων [οὕτω δόξαν αὐτῷ, ὁ πολὺς τὸν βίον, καὶ τοῖς θαύμασι περιβόητος, τὸ Δεκαπολιτῶν περιλάλημα, μᾶλλον δὲ πασῶν τῶν πόλεων ἐγκαλλώπισμα, ὁ θεῖος Γρηγόριος· ὃς ἐπεὶ παρέβαλε τῇ μονῇ], ἐν ᾗ [ὁ γενναῖος ἀγωνιστὴς] τὰ κατὰ τῶν ἀοράτων ἐχθρῶν ἐπετέλει ἀνδραγαθήματα, ὁ μέγας, φημὶ, Ἰωσὴφ, ἰδὼν ἧθος βεβηκὸς, καὶ ψυχῆς ἐπιγνοὺς κατάστημα, ἐκ τῆς ἐπιφαινομένης τῷ προσώπῳ χάριτος θείας καὶ ὡραιότητος (ταχεῖαι γὰρ αἱ ψυχαὶ τῶν ἁγίων πρὸς τὸ θηρᾶσαι τὰ τῶν ὁμοζήλων αὐτοῖς καταστήματα), οἰκειοῦται τούτῳ καὶ συνάπτεται σωματικῶς ἅμα καὶ νοερῶς, καὶ οὐκ ἐθέλει τούτου χωρίζεσθαι· φύσει γὰρ οἰκειοῦται τῷ ὁμοίῳ τὸ ὅμοιον. Ἀλλ' ἐκάλει τὸ πρᾶγμα, καὶ ἔμελλεν ὁ θεῖος Γρηγόριος τὴν D Θεσσαλονικέων καταλιπεῖν· ἀνεδάλλετο δὲ τὸν δρόμον, τῇ πρὸς τὸν θεῖον Ἰωσὴφ ἀνακοπτόμενος, ὡς ἄν τις εἴποι, στοργῇ. Διὸ διά τινας ἀνάγκας ἐπιδημῆσαι θέλων πρὸς τὴν μεγάλην τῶν πόλεων, οὐ φέρων δ' οὐδ' ἐπολίγον τὴν τοῦ ὁμοζήλου διακοπὴν, προσελθὼν τῷ προεστῶτι τῆς μονῆς, καὶ πάντα κάλων κινήσας, λόγους τε μυρίους παρακλητικοὺς ποιησάμενος, λαμβάνει τὸν Ἰωσὴφ συναπόδημον· ἔμαθε γὰρ ᾧ τέως ὑπείκειν τῷ Γρηγορίῳ, διὰ τὸ ὑπερβάλλον τῆς ἀρετῆς.

Digitized by Google

ιε'. Καὶ δὴ τῇ βασιλίδι παραβαλόντες τῶν πόλεων, ἐν τῷ τῶν καλλινίκων μαρτύρων Σεργίου καὶ Βάκχου ναῷ τὴν παροικίαν πρὸς βραχὺ ἐποιήσαντο. Καὶ ἦν ἰδεῖν τὸν ἱερὸν Ἰωσὴφ ὡς ἄρτι τῆς ἀρετῆς ἠργμένον, πᾶσαν μὲν ὑπακοὴν τηροῦντα τῷ Γρηγορίῳ, πᾶν δὲ εἶδος τῆς ἀσκήσεως ἐξ ὑπαρχῆς μετερχόμενον. Ἃ μὲν γὰρ κατωρθώκει, ὡς οὐδὲν ἐλογίζετο, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτείνετο, καὶ ἅμα ἐπιβεβαιῶν καὶ τὰ πρώτως κατορθωθέντα τῇ πρὸς ἐκεῖνον ἀκριβεστάτῃ διαμορφώσει, τὸν μέγαν λέγω Γρηγόριον, ὡς ἄρτι τῆς καλῆς ἀκορέστως ἀσκήσεως ἀπαρχόμενος, νεαλὴς ἐχώρει πρὸς τοὺς ἀγῶνας, καὶ τὸν τῶν ἀσωμάτων ἀπεμιμεῖτο βίον ἐν σώματι, χαίρειν μὲν πᾶσιν εἰπὼν αἰσθητοῖς, τῷ ἀοράτῳ δὲ κάλλει ἐνηδυνόμενος. Καὶ δροφον μὲν εἶχε τὸν οὐρανόν, ἀντὶ δὲ πάσης γλυκείας στρωμνῆς τὸ σύντροφον ἐκείνῳ καὶ φίλον ἔδαφος, εἴ ποτε ἄρα διαναπαύειν ἔμελλε τὸ συνεργοῦν ἐκείνῳ πρὸς ἀρετήν· οὕτω γὰρ ἐώρα διάγειν καὶ τὸν θεῖον Γρηγόριον, καὶ κάτοπτρον εἶχε τὸν ἐκείνου βίον· καὶ πρὸς ἐκεῖνον ἑαυτὸν ἀπευθύνων, καθεκάστην ἀναβάσεις ἐν τῇ καρδίᾳ ἐτίθετο.

15. Cum igitur Constantinopolim pervenissent, in templo gloriosissimorum martyrum Sergii et Bacchi brevi temporis spatio moram fecerunt, ibi vero videre erat sacrum Joseph, tanquam novitium ac virtutis tironem, omnibus in rebus exactam Gregorio obedientiam præstare, atque omnem religiosæ exercitationis speciem a principio repetere; quæ enim antea recte gesserat, tanquam nihil reputans, ad ulteriora sese extendebat, et ea, quæ prius præclare egerat, simul confirmabat, et per exactissimam conformationem ad illum (ad magnum, inquam, Gregorium) honestæ exercitationis, tanquam recenter susceptæ, insatiabili fame cruciatus ab exordio incipiebat, et novus atque integer miles ad certamina procedens, incorporeorum vitam adhuc in corpore positus imitabatur. Omnibus quidem sensibilibus gaudere recusabat, sola vero invisibili pulchritudine delectabatur. Et tectum quidem illius erat cœlum, pro universa vero lectuli dulcedine connutritum sibi ac dilectum pavimentum habebat, si quando cooperarium ejus ad virtutem, corpus scilicet, requiescere optaret. Ita enim etiam divinum Gregorium vitam agere videbat, atque illius vitam tanquam speculum ob oculos habens, eidemque seipsum componens et conformans, per singulas dies ascensiones in corde suo disponebat.

ις'. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ (οἷα τὰ τοῦ Θεοῦ κρίματα!) Λέων ὁ θηριώδης, ὁ ἐκ τῆς Ἰσαυρίας [*imo* Ἀρμενίας], τῆς βασιλείας τῶν σκήπτρων ἐπιλαβόμενος, κυκᾷ μὲν ὅλην τὴν Ἐκκλησίαν, καὶ ταῖς παναγίαις εἰκόσι πάλαι προσωχθηκὼς, πόλεμον κατ' αὐτῶν τῶν πώποτε γεγενημένων ἐκίνησε τὸν σφοδρότατον· τὰ δὲ τῶν φιλοχρίστων στίφη, μὴ πεπεισμένα τῷ ἐκείνου θελήματι, ἄλλος ἀλλαχόθι διεσκορπίζοντο. Διὸ καὶ οἱ μὲν τὸν Βόσπορον κατελάμβανον, οἱ δὲ εὐθὺς τῆς Σικελίας ἀπέπλεον, ἄλλοι δὲ τὰς κορυφὰς τῶν ὀρέων καταλαμβάνοντες, τοῦ δεινοῦ μονιοῦ τὰς συώδεις ὁρμὰς ἀπεδίδρασκον. Ἀλλ' οὐχ ὁ γενναῖος ἀγωνιστὴς, καὶ τῶν ἱερῶν μορφωμάτων προσκυνητὴς οὕτως ἐποίει Γρηγόριος· ἀλλὰ τὸν θεῖον ἐνδεδυμένος τῆς πίστεως θώρακα, περιέρχεται μὲν πανταχόθεν τῆς πόλεως, κηρύσσων ἐν ἀγυιαῖς, καὶ διδάσκων ἐν στενωποῖς, καὶ παῤῥησίαν ἐν ταῖς πλατείαις ἐπιδεικνύμενος, μὴ τῷ λαοπλάνῳ πείθεσθαι βασιλεῖ, μηδὲ τοῖς ἐκείνου ληρήμασι τὴν ἀκοὴν ἐνδιδόναι κἂν πρὸς μικρόν. Καὶ ἦσαν οἱ ἐκείνου λόγοι πρὸς τὰς τῶν εὐσεβῶν καρδίας ἐνστάζοντες δρόσος ἐωθινὴ καὶ ἴαμα πνευματικὸν καὶ σωτήριον· ᾧ καὶ τὸ πλῆθος τῶν ἐν τῇ μεγάλῃ τῶν πόλεων ἀσκητῶν συνελθόντες, κατὰ ταυτὸν προσάγουσι κοινὴν ἱκετηρίαν τῷ Γρηγορίῳ, τὸν γενναῖον ἐν λόγοις, καὶ σταθηρὸν ἐν πόνοις, πρὸς τὴν πρεσβυτέραν Ῥώμην ἐξαποστεῖλαι, διασημανοῦντα τῷ πάπᾳ καὶ τοῖς ἐκεῖσε τὰ νῦν συνέχοντα τὴν πόλιν δεινά, ἵνα τις

16. Haud multum vero temporis intercessit, cum (o qualia Dei judicia!) Leo ille immanissimus ex Armenia (1) egressus, atque imperii sceptra invadens, universam Ecclesiam cœpit exagitare, et sanctissimis imaginibus, quibus olim infensus fuerat, dirum atque atrocissimum bellum inferre. Christi autem amantium civium ordines, illius voluntati parere recusantes, per varias regiones, alii alio fugientes, dispersi sunt. Alii quidem in Bosporum profugerunt, alii vero recta in Siciliam (2) navigaverunt: alii demum ad montium cacumina sese receperunt, ut singularis feri illius immanissimi porcinos appetitus evaderent. At non ita se gessit generosus agonista, et sacrarum imaginum adorator Gregorius, sed divinum fidei thoracem induens, circuibat quaquaversus civitatem, prædicans in vicis, docens in angiportis, et in plateis libertatem fiduciamque præferens, ne minima quidem in re seductori plebis regi obtemperans, aut illius nugis ac deliramentis præbens auditum. Erant autem illius allocutiones in corda piorum stillantes, ros matutinus, ac medicamentum spirituale ac salutiferum. Igitur multitudo ascetarum, qui Constantinopolitana urbe morabantur, convenit in unum, et communem supplicationem detulit Gregorio, statuens eum mittere legatum (utpote efficacem in sermonibus, et constantem in laboribus) Romam veterem, ut significaret papæ (3) aliisque Romanis ea mala

(1) Hic ab audaci manu scriptum erat, ἀπὸ τῆς Ἰσαυρίας, cum Leo Armenus esset intelligendus. De persecutionis autem ab eo an. 414 moveri cœptæ acerbitate, vide Acta SS. Theophanis et Nicephori, 12 et 13 Martii. Menologium Basilii imp. hæc omnia ad Theophili tempora refert: minus recte.

(2) Cajetanus huc trahit, quod Gregorium Decapolitam Menæa dicant Syracusas venisse: non recte, quia patet hoc ibi factum dici antequam accederet Thessalonicam, adeoque ante persecutionis tempus. Quid quod hic expresse dicatur Gregorius non fugisse?

(3) Idem propter errorem de Leone Isaurico, quem

Digitized by Google

quæ Constantinopolitanam civitatem affligebant, quo aliquod auxilium Ecclesiæ Dei afferretur. Vides enim, aiebant, o Pater, quomodo res nostræ in Iliadem malorum sint commutatæ, et magnum Christi ovile periclitetur, eo quod non sit qui defendat illud.

17. Admittit advocationem magnus Gregorius, et magis rogans, quam rogatus, sermonem breviter absolvit, divinumque Josephum accersens : « Nunc, inquit, o fili, tempus est ostendendi eloquentiam tuam plurimam, et comprobandi incrementa amoris tui in Deum pro viribus. » Ille, qui semper subjectus esse didicisset, caput humiliter inclinat, et ne rerum quidem necessariarum minimum quid accipiens, navim conscendit, et Romam versus vela facit. Sed forte non erat hæc Dei voluntas, qui sæpe per res adversas admiranda disponit. Quid ergo accidit, et quid factum est ? Barbaricæ triremes piratarum supervenientes omnia navigia invaserunt, atque ad sese attraxerunt illud etiam in quo magnus Joseph ferebatur. Adducitur itaque captivus in Cretam, quo cum pervenisset, in carcerem conjectus, atque gravissimis catenis alligatus est. Tantum autem vinculis suis exsultabat ac gestiebat, ut cæteris quoque captivis afferret solatium dulcissimum ferro mala incurrentia, et doloribus afflictari.

18. Dulcia quippe sunt vincula quæ propter Christum tolerantur, quamvis ad tempus tristitiam afferant ac discrucient. Gratias igitur agamus, aiebat, magni Pauli exemplum præ oculis habentes[3], qui tanquam monilibus ferrea catena circa collum alligata decorabatur, et gaudebat quod pro Christi nomine flagella pati meruisset. Quin etiam Christus ipse Pauli Dominus cum malediceretur, non maledicebat ; cum pateretur, non comminabatur : tradebatur autem judicanti injuste, quemadmodum loquitur coryphæa apostolorum summitas magnus Petrus[4]. Sed videntur aliquibus aspera ac dolorifica, propter multam sensuum imbecillitatem, ea, quæ corporibus inferuntur tormenta. At quo pacto aliter possibile erit Christi jugum ferre, nisi quis incedat per omnes ætatis gradus sine macula, omnes etiam virtutes exercens, quas exercuit ille pro nobis, et quidem cum Deus esset, et voluntati potentiam conjunctam et concurrentem haberet, possetque aliter nobis ingratis salutem afferre? Verum illi, quod in virtute laboriosum est, subscribens (per quam iis, qui salvantur, cœli portæ antea occlusæ aperiuntur) per vitam laboribus plenam, tanquam Deus ac Dominus salutem omnibus demonstravit. Debemus igitur pro divina imagine Christi, ejusque immaculatæ ac purissimæ Matris, pericula subire, ut adversus moderatorem sæculi hujus usque ad sanguinem decertantes, gratiam invenire possimus, quemadmodum sacra loquuntur oracula, in auxilium opportunum. His aliisque hujusmodi multis sermonibus

ἐπικουρία γένηται τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Ὁρᾷς γάρ, ἔλεγον, ὦ Πάτερ, ὡς Ἰλιάς ἐστι κακῶν τὰ ἡμέτερα, καὶ κινδυνεύει τὸ μέγα ποίμνιον τοῦ Χριστοῦ, διὰ τὸ μὴ εἶναι τὸν ἐκδικήσαντα.

ιζ'. Δέχεται τὴν παράκλησιν ὁ μέγας Γρηγόριος καὶ ὡς μᾶλλον αἰτήσας, οὐκ αἰτηθείς, ἀπαρτίζει τὸν λόγον ταχύ· καὶ τὸν θεῖον μετακαλεσάμενος Ἰωσὴφ, Νῦν, εἶπε, τέκνον, καιρὸς τοῦ τε λόγου τὸ πολὺ ἐπιδείξασθαι, καὶ τὸν πρὸς Θεὸν ἔρωτα πολυπλασιάσαι ὡς ἐφικτόν. Ὁ δὲ μαθὼν ἀεὶ ὑποτάσσεσθαι, κλίνει μὲν ἠρέμα τὴν κεφαλὴν, καὶ μηδὲ τῶν ἀναγκαίων μηδέν τι παραλαβὼν, νηός τε ἐπέβαινε καὶ πρὸς τὴν Ῥώμην ἀπέπλεεν. Οὐκ ἦν δὲ ἄρα καὶ Θεῷ βουλητὸν, τῷ διὰ τῶν ἐναντίων πολλάκις οἰκονομοῦντι παράδοξα. Τί οὖν γίνεται, καὶ τί τελεῖται ; Νῆες ἐπιστᾶσαι βαρβαρικαὶ ἀνδρῶν πειρατῶν, ἅλλα τε πλοῖα συνεπισπῶνται, καὶ δὴ κἀκεῖνο, ὃ τὸν μέγαν ἔφερεν Ἰωσήφ. Ἤγετο οὖν αἰχμάλωτος εἰς τὴν Κρήτην· ἔνθα γενόμενος ἐντίθεται μὲν τῇ εἱρκτῇ ἀλύσεσι βαρείαις δεσμούμενος· τοσοῦτον δὲ τοῖς δεσμοῖς ἐνηγάλλετο, ὅσον καὶ τοῖς ἄλλοις δεσμώταις ἐποιεῖτο παράκλησιν ἡδέως φέρειν τὰ ἐπιόντα, καὶ μὴ δυσχεραίνειν τοῖς ἀλγεινοῖς.

ιη'. Ἡδέα γάρ εἰσι τὰ διὰ Χριστὸν δεσμὰ, καὶ εἰ πρὸς καιρὸν ἀνιᾷ. Εὐχαριστῶμενοῦν, ἔλεγε, τῷ Θεῷ, τὸν μέγαν Παῦλον παράδειγμα ἔχοντες, ὃς καὶ ὡς ὁρμίσκοις τοῖς κλοιοῖς ὡραΐζετο, καὶ ἔχαιρεν ὅτι ἠξιώθη ὑπὲρ τοῦ ὀνόματος Χριστοῦ μαστιχθῆναι· ἀλλὰ καὶ ὁ Παύλου Χριστὸς λοιδορούμενος οὐκ ἀντελοιδόρει, καὶ πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως, ὡς ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης ὁ μέγας Πέτρος φησίν. Ἀλλὰ δοκεῖ τισιν ἀλγεινὰ, διὰ τὸ πολὺ τῆς αἰσθήσεως, τὰ τοῖς σώμασιν ἐπαγόμενα. Καὶ πῶς ἄλλως δυνατὸν τὸν Χριστοῦ ἆραι ζυγὸν, εἰ μή τις διοδεύσει διὰ πασῶν τῶν ἡλικιῶν ἀμέμπτως αὐτοῦ καὶ δυνάμεων, πάντα γινόμενος ὅσα ἐκεῖνος ὑπὲρ ἡμῶν, καὶ ταῦτα Θεὸς ὤν, καὶ σύνδρομον ἔχων τῇ βουλήσει τὴν δύναμιν, καὶ δυνάμενος ἄλλως τὴν ἡμῶν τῶν ἀχαρίστων πραγματεύσασθαι σωτηρίαν ; Ἀλλὰ τὸ ἐπίπονον ὑπογράφων τῆς ἀρετῆς, δι' ἧς τοῖς σωζομένοις αἱ κεκλεισμέναι πύλαι ἀνοίγονται, δι' ἐπιπόνου βίου, ὡς Θεὸς καὶ Δεσπότης, τὴν σωτηρίαν πᾶσιν ὑπέδειξε. Χρεὼν τοιγαροῦν ὑπὲρ τῆς θεανδρικῆς εἰκόνος Χριστοῦ καὶ τῆς αὐτοῦ ἀμώμου καὶ παναχράντου προκινδυνεῦσαι Μητρὸς, ἵνα μέχρις αἵματος πρὸς τὸν κοσμοκράτορα τοῦ αἰῶνος τούτου ἀντικαθιστάμενοι, χάριν εὕροιμεν, ὡς τὰ ἱερά φησι Λόγια, εἰς εὔκαιρον βοήθειαν. Τούτοις καὶ τοιούτοις ἄλλοις μυρίοις λογίοις τοὺς ὑπὲρ Χριστοῦ ἐγκεκλεισμένους ὑπῆλειφε, δι' οὓς τάχα καὶ πρὸς ἄλλην στελλόμενος, τὴν ἐπὶ Κρήτην Θεοῦ ἀῤῥήτῳ λόγῳ κατέλαβεν, ἵνα καὶ νῆσος πᾶσα καὶ ἤπειρος τὸν βίον γνοίη τοῦ μάκαρος, καὶ μετὰ τοῦ βίου

[3] Hebr. IV, 16. [4] 1 Petr. II, 19.

cavere Floritus nesciverat, Gregorium III hic intelligit : ast Leone Armeno persequente Ecclesiam, eidem præsidebat S. Leo III.

Digitized by Google

καὶ τὸ ὑπερβάλλον τῆς γνώσεως· ὃ καὶ γέγονε, Πνεύματος ἁγίου αὐτῷ οἰακίζοντος.

eos qui pro Christo in carcere captivi tenebantur, alloquebatur, quorum causa quamprimum ad aliam quoque urbem Cretæ missus, ineffabili Dei verbo illud assecutus est, ut insula illa tota cum continenti beati hujus vitam atque eminentissimam virtutem illius ac scientiam agnosceret. Quod factum est, Spiritu sancto illum dirigenti et gubernante.

ιθ'. Ἔνθα καί τινα τῷ τῆς ἐπισκοπῆς τετιμημένον βαθμῷ καταλαβὼν ἐν φρουρᾷ, καί τι καὶ ἀνθρώπινον πάσχοντα, καὶ λογισμοῖς ἀλλεπαλλήλοις βαλλόμενον, καὶ μικροῦ δεῖν κινδυνεύοντα νῶτα δοῦναι τοῖς μισοῦσι Θεὸν καὶ τὴν αὐτοῦ εἰκόνα ὑβρίζουσιν, ἀναλαμβάνει τοῖς λόγοις, ὑποστηρίζει τοῖς παραδείγμασι, καὶ ὑπεραποθνήσκειν ἕτοιμον ἀπειργάζετο Χριστοῦ τῆς εἰκόνος αὐτοῦ· κἂν ὁ τὸ ἀσθενὲς τῆς αὐτοῦ ψυχῆς ἐπιστάμενος, οὐκ εἴασεν αὐτὸν πειρασθῆναι ὑπὲρ τὴν δύναμιν. Μετὰ μικρὸν γὰρ πρὸς τὰ ἐκεῖθεν μεταστειλάμενος ὁ θεῖος Ἰωσὴφ, τῷ μὲν ἐπισκόπῳ τοιαύτη τις ἄγκυρα καιρῷ χειμῶνος ἀλλεπαλλήλων λογισμῶν κινδυνεύοντι ἀναδείκνυται· ἑτέρῳ δὲ ἰδιώτῃ, καὶ διὰ τὸ μὴ φέρειν τὰς ἐκ τοῦ πάσχειν ἀνίας συνθεμένῳ τὸ πᾶν τῆς ἀῤῥήτου οἰκονομίας διαπτύσαι μυστήριον, ἔτι τε τὴν θεόσωμον εἰκόνα καταπατῆσαι Χριστοῦ, ἀθρόον περιτυχὼν, τί μὲν οὐκ εἶπε τῶν μαλάττειν εἰδότων καὶ λιθίνας ψυχάς; ποῖα δὲ δάκρυα οὐκ ἀφῆκε τῶν ὀφθαλμῶν; τὰς χεῖρας κατασπαζόμενος, καὶ χεῖλη τῷ τραχήλῳ προσάπτων, ἵνα μετακινήσῃ τοῦτον τῶν δεδογμένων, καὶ πείσῃ διὰ Χριστὸν προέσθαι καὶ τὴν ζωήν· ὃ δὴ καὶ τετέλεκε, καὶ ὅπως, ἐγὼ διηγήσομαι.

19. Ibidem etiam quemdam invenit in carcere, episcopali dignitate insignitum, qui cum ut homo humano more pateretur, et alternis variisque cogitationibus jactaretur, parum aberat a discrimine dandi terga inimicis Dei, qui sacram illius imaginem aspernabantur. Hunc Joseph hortationibus suis ad viam veritatis reduxit, exemplis confirmavit, et ita disposuit, ut pro Christo ejusque imagine vitam cum sanguine profundere paratus esset. Quanquam ille, qui animi illius infirmitatem non ignorabat, non permisit illum supra vires tentari, inde enim alio deportatus est. Talis quidem ancora fuit divinus Joseph episcopo illi inter fluctuantes procellas alternarum cogitationum periclitanti. Alii vero idiotæ ac vulgari, qui tristitiam ex calamitate sua consurgentem ferre non poterat, ac propterea de respuenda ineffabilis mysterii œconomia, et divina Christi imagine conculcanda pactus erat, cum in illum repente incidisset, quid non dixit eorum, quæ vel lapideos animos possent emollire? Quales autem lacrymas ab oculis non emisit? manibus illum submissis amplexans, et oscula collo ejus infigens, conabatur eumdem a sententia dimovere, et persuadere, ut propter Christum vitam ipsam profunderet. Quod sane obtinuit, quemadmodum nunc ego enarrabo

κ'. Ἑσπέρα μὲν ἦν ὅτε τῷ ἀνθρώπῳ τὰς θαυμασίας παραινέσεις ἐν τῇ καρδίᾳ παρέθετο, ἅμα δὲ πρωῒ σπεῖρα βαρβαρικὴ πρὸς τὴν φρουρὰν παραγέγονε, ῥινολαβίδας ἐπαγομένη καὶ πιεστήρια, καὶ ἀνηρώτα τὸν ἄνθρωπον, εἰ μὴ τῆς γνώμης ὑφῆκεν, εἰ μὴ ἠλλοιώθη κατά τι, ἀλλὰ τοῖς πρὸ μικροῦ κριθεῖσιν ὁλικῶς ἐμμένει καὶ ἀπαρνεῖται Χριστόν. Καὶ ὃς, οὐδὲν ὑποστειλάμενος οὐδ' ἐνδυάσας, ἀλλὰ διαῤῥήξας τὸν χιτῶνα καὶ γυμνωθείς, Ἕτοιμος ἐγώ εἰμι, ἔλεγεν, εἰ οἷόν τε ἄρα, μυριάκις ὑπὲρ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἀποθανεῖν. Ταῦτα εἰπὼν καὶ μηδέ[ν] τι πλέον προσθείς, χερσὶ δημίων ἑαυτὸν εἰσωθεῖ· ὁ δὲ (οὕτω προσταγὲν ὑπὸ τοῦ ἐκεῖσε τὴν ἀρχὴν περιέποντος) ἀναρτᾶται τῷ ξύλῳ, καὶ ἅπαν τὸ σῶμα καταβελὴς γίνεται· ἔνθεν τοι καὶ ὀφθαλμοὶ διεῤῥύησαν, καὶ ἔγκατα ὡς ὕδωρ, Δαυϊτικῶς εἰπεῖν, ἐξεκέχυντο, καὶ πᾶσα ἡ ἔνδον ἐθριαμβεύθη διάπλασις· ἡ ψυχὴ δὲ τῷ γενναίῳ ἐκείνῳ καὶ ἔτι κατεῖχετο, καὶ γλῶσται, κεκμηκυῖα τοῖς πόνοις καὶ ταῖς ὑπερβαλλούσαις ὀδύναις, τὸν Χριστὸν ἀνεκήρυττεν. Ὢν οὕτως ὁρᾷν, καὶ ἀθλίως ἔχοντα, ὡς ἐκείνοις ἐδόκει, οἱ ἀλιτήριοι μὴ ἀνεχόμενοι δήμιοι, παντοίως προσπατταλεύουσι, καὶ λίθον ἅπαντες πάμμεγα[ν] ἐπαφιᾶσι τῇ κεφαλῇ· ἡ δὲ διαῤῥήγνυται ἄρα κατὰ μικρὰ, καὶ ἡ βιαία ψυχὴ ἐκείνη πρὸς Θεὸν ἐκδημεῖ.

20. Tempus erat vespertinum, cum admirandis cohortationibus suis in cor hujus hominis penetravit. Summo autem mane cohors barbarica ad carcerem venit, ferens secum forcipes ad nares distorquendas, et alia instrumenta ad torquendos miseros apta, et interrogabat hominem, an perstaret in sententia, nihilque circa eam immutatus fuisset, an vero cum iis, qui paulo ante judicati fuerant, sentiens circa omnia Christum abnegaret? Ille vero, nihil reformidans, aut hæsitans, discissa tunica, ac denudatus: Ego, inquit, paratus sum, si fieri possit, pro magno Deo et Salvatore millies ac millies mori. Hæc dicens, et nihil amplius addens, in manus tortorum sese conjecit. Tunc, ita imperante illo, qui ibi cum imperio residebat, suspensus est in ligno, totumque illius corpus est dilaceratum. Oculi illius efluxerunt, et interiora ejus, velut aqua, ut cum Davide loquar, effusa sunt, omnis vero interior forma et compositio dissoluta. Adhuc tamen anima generosi illius in corpore detinebatur, et lingua, quantumvis laboribus et excessivis doloribus delassata, Christum tamen iterum prædicabat. At vero cum profani illi immanesque satellites, illum in tam misero, prout ipsis videbatur, statu intueri non sustinerent, undequaque eum confugunt, et magnum vastumque lapidem attollentes, super caput illius demiserunt, quod statim in frusta comminutum est; anima vero illa fortis atque invicta ad Deum evolavit.

κα'. Ταῦτα τὰ πάρεργα γέγονε τῷ ὑπερμάχῳ Χριστοῦ Ἰωσήφ· οὗτος ἐν Κρήτῃ τοῦ γενναίου διάδρο-

21. Hæc sunt quæ veluti perfunctorie, ac per transennam propugnator Christi Joseph peregit: hic

Digitized by Google

fuit generosi hujus per Cretensem regionem discursus. Hujusmodi victimam, cum captivus detineretur, Deo, qui ita res suas disponebat, consecravit, ac feliciter votum suum assecutus est, animumque honestatis amicum explevit. Nam licet esset in exsilio, atque in carcere, linguam tamen liberam ad prædicandam pietatem ac religionem semper habuit. Pressuris angustiabatur, et Deo martyres transmittebat : catenis gravabatur, et multos a sicarii Tartarei manibus liberabat.

A μος· τοιοῦτον τὸ καλλιέρημα ὁ αἰχμάλωτος τῷ οὕτως οἰκονομοῦντι τὰ κατ' αὐτὸν Θεῷ ἀφιέρωσεν. Ὑπέρευγε τῆς γνώμης! ὑπέρευγε τῆς φιλοκάλου ψυχῆς! ὅτι καὶ ἐν ὑπερορίᾳ καὶ ἐν φρουρᾷ ἀσίγητον εἶχε τὴν γλῶσσαν, μετὰ παῤῥησίας ἀνακηρύττουσαν τὴν εὐσέβειαν. Ἐστενοχωρεῖτο ταῖς θλίψεσι, καὶ Θεῷ προσήγαγε μάρτυρας· ἐβαρύνετο τοῖς δεσμοῖς, καὶ πολλοὺς ἐλυτροῦτο τῶν τοῦ παλαμναίου χειρῶν.

22. Sed qualisnam fuerit illius ad urbem regiam regressus exponamus. Nox illa erat, in qua Christi Natalitia consuevit Ecclesia celebrare. Joseph autem cum pedes compedibus constrictos, et collum catenis gravatum haberet, totam illam noctem in divinis laudibus concinendis illi, qui propter nos similis nobis ineffabiliter factus est, transegit; produxit autem sacros hymnos usque ad galli cantum; cum ecce subito quidam canus crinibus, sacerdotali veste indutus, gratiam vultu emicantem præ se ferens, illi apparuit, eumque ita allocutus est : « Nuper ex Myrensi Lyciæ civitate discedens, ad te et ad tuam charitatem deveni; Dei, propter quem laboras ac decertas, velocissima urgente celeritate. Apporto autem tibi grata ac festiva nuntia : ille, qui Ecclesiam Dei exagitabat, et oves Christi dilaniare aggrediebatur, imperio privatus, tanquam exsecrabilis ac detestandus, futuris judiciis in diem revelationis, quemadmodum Paulus loquitur[5], reservatus est. Te autem oportet in regiam civitatem contendere, ut confirmes plurimos gratia tibi a Spiritu sancto concessa. Sed prius accipe hoc capitulum, et comede illud. » Videbatur autem habere in dextera exiguum quemdam libellum. Hic vero scripturæ quidem illius venustate delectabatur : ea vero, quæ ibi scripta erant, interiori animæ gutture suavissime recitabat. Erant autem in eo libello scripta hæc verba : « Accelera tanquam misericors, et festina tanquam miserator in adjutorium nostrum : potes enim, si vis. » Et ubi jussus a divino illo viro cecinisset hæc cum summa dulcedine ac suavitate, aspexit seipsum a compedibus solutum : catenas vero, quibus collum alligatum erat, ante pedes suos jacentes, et audivit illum dicentem : « Sequere me. » Et, o miraculum! o auxilii celeritatem! o Dei prodigia ineffabilia atque admiranda! invisibilis videbatur intactum aerem dissecare, et celer instar Euri ad omnium maximam civitatem cursum dirigere. Hujuscemodi alis novit Deus feliciter deducere, qui cor suum ad illum faciunt evolare.

B

C

D

23. Hoc sane miraculum ad Deum hymnis collaudandum Joseph incitabat; illud vero quod deinde accidit, ad lacrymas et fletus excitavit. Nondum enim ab omnibus, qui eum amabant ac desiderabant, conspectus fuerat, cum audivit, divinum Gregorium, communem omnium consolationem, qui verarum Ecclesiarum ore celebrabatur, et animatum

κβ'. Ἀλλ' οἷα καὶ ἡ αὐτοῦ πάλιν πρὸς τὴν βασιλεύουσαν ἐπανάζευξις; Ἡ νὺξ παρῆν ὅτε τὴν τῶν γενεθλίων τοῦ Χριστοῦ ἡμέραν ἡ Ἐκκλησία εἴθισται τελεῖν· ὁ δὲ καὶ ξύλῳ τὸν πόδα ἐκπιεζόμενος, καὶ τοῖς κλοιοῖς τὸν τράχηλον κατακαμπτόμενος, παννύχιον ἐπετέλει τὴν ὑμνῳδίαν, καὶ τῷ δι' ἡμᾶς ὑπὲρ λόγον καθ' ἡμᾶς ὀφθέντι Χριστῷ παρετείνετο, μέχρι καὶ ἀλεκτρυόνων ᾠδῶν. Καὶ δὴ ἐφίσταταί τις ὑπὲρ [ὕπαρ?] ἀθρόον, πολιὸς τὴν τρίχα, ἱεροπρεπὴς τὴν ἐσθῆτα, ἀγλαΐζομένην τῷ προσώπῳ χάριν ἐπιφερόμενος, καὶ πρὸς αὐτὸν ἄρτι φησίν· « Ἐκ Μύρων τῆς Λυκίας ἀπάρας, πρὸς σὲ καὶ τὴν σὴν ἀγάπην ἀπήντησα, Θεοῦ δι' ὃν ἐναθλεῖς ἀπτέρῳ τάχει μὲν κατεπείγοντος· καὶ δή σοι τὰ θυμήρη λέγω ἀγγελτήρια, ὡς ὁ μὲν τὴν Ἐκκλησίαν κυκῶν, καὶ κατασπαράττειν ἐπιχειρῶν τὰ πρόβατα τοῦ Χριστοῦ, παραλυθεὶς τῆς ἀρχῆς, τοῖς ἐκεῖθεν δικαιωτηρίοις ὡς ἐναγὴς εἰς ἡμέραν ἀποκαλύψεως, ὥς φησι Παῦλος, ἀποτετήρηται· σὲ δὲ χρεὼν τὴν βασιλίδα καταλαβεῖν, ὡς ἂν ἐπιστηρίξῃς πολλοὺς τῇ δεδομένῃ σοι παρὰ τοῦ Πνεύματος χάριτι. Πλὴν ἀλλὰ λαβὼν τὴν κεφαλίδα ταύτην, κατάφαγε (ἐψκει γὰρ παρακατέχειν τῇ δεξιᾷ βραχύ τι βίβλου ἀπότμημα). » Ὁ δὲ ἐνηδύνετο μὲν τῇ γραφῇ, καὶ, « Ὡς ἡδέα, ἔλεγε, τῷ νοουμένῳ λάρυγγι τῆς ψυχῆς τὰ γεγραμμένα ταυτί! » Εἶχε δὲ ἡ γραφὴ κατὰ λέξιν οὕτως· « Τάχυνον ὡς οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος. » Καὶ ὡς ταῦτα ψάλλειν ἐμμελῶς ἄγαν καὶ λιγυρῶς ἐκελεύσθη παρὰ τοῦ θείου ἀνδρὸς ἐκείνου, ὁρᾷ μὲν ἑαυτὸν τῆς ποδοκάκης ἀπολυθέντα, τοὺς δ' ἐν τῷ τραχήλῳ κλοιοὺς κειμένους ἐν τοῖς ποσί· καὶ, « Παρομάρτει μοι, » ἤκουε παρ' αὐτοῦ· καὶ (ὦ τοῦ θαύματος! ὦ τῆς ταχείας ἐπικουρίας! ὦ τῶν ἀνεκλαλήτων καὶ παραδόξων τεραστίων Θεοῦ!) ἀοράτως ὡρᾶτο τὸν ἀναφῆ διατέμνων ἀέρα, καὶ ὑπηνέμιος ὥσπερ πρὸς τὴν μεγάλην τῶν πόλεων ἁπάντων. Τοιούτοις οἶδε Θεὸς τοῖς πτεροῖς δεξιοῦσθαι τοὺς τὴν ἑαυτῶν καρδίαν πρὸς ἐκεῖνον ἀναπτερώσαντας.

κγ'. Ἀλλὰ γὰρ τὸ μὲν θαῦμα πρὸς ὑμνῳδίαν ἐκίνει τοῦτον Θεοῦ, τὸ δὲ συμβὰν πρὸς ὀδυρμοὺς παρώθει καὶ δάκρυα. Οὕπω γὰρ πᾶσι τοῖς ποθοῦσιν ὀφθείς, ἀναμανθάνει, ὡς ὁ θεῖος Γρηγόριος, τὸ κοινὸν παρηγόρημα, τὸ τῶν Ἐκκλησιῶν ἀληθινὸν περιλάλημα, τὸ ἔμψυχον τῶν ἀρετῶν ἀποτύπωμα, πολλοῖς κτυπήμασι κατακαμφθεὶς καὶ πόνοις ἀμυθή-

[5] Rom. II, 25.

Digitized by Google

τοις καταταχεὶς, πρὸς ὃν ἐπόθει Θεὸν ἐπανέζευξεν· ὃ καὶ θρήνων ὑπόθεσιν ποιησάμενος, ἀναλαμβάνει τὸ σκῆνος ἐν ταῖς χερσὶ, καὶ ὡς ἔμψυχον ἤδη ὁρῶν, τοιαύτας πρὸς αὐτὸν ἐποιεῖτο τὰς παρακλήσεις, θαλάσσας δακρύων ἐξ ὀφθαλμῶν ἀπορρέων, καὶ πόδας ἐπιβρέχων τοὺς εὐαγγελισαμένους εἰρήνην καὶ ἀγαθὰ, μεθ' ὧν ἐκεῖνο; ἐλήλυθε· « Πῶς ὑπομενῶ σου, Πάτερ, τὴν στέρησιν; πῶς δ' ἄτερ σοῦ τῷ περιγείῳ χώρῳ παραμενῶ; Τίς μου τὸ θλιβόμενον τῆς ψυχῆς λόγοις παρακαλέσει τῆς παρακλήσεως; τίνι δὲ καὶ τὸν χειμῶνα τῶν λογισμῶν ἀναγνωρίσω ποτέ; τίνα εὕροιμι οἷα Χριστὸν ταύτῃ τῇ χαλεπῇ θαλάσσῃ τὸ, *Φιμώθητι*, ἐπιλέγοντα; Ἵνα τί μὴ πρῶτον ἐμὲ τῷ σῷ Δεσπότῃ προέπεμπες, ἵν' εἶχον, παρὰ χερσὶν ἀποψύχων ταῖς σαῖς, τῶν ἐν ἀέρι ὁδοστατῶν καὶ πονηρῶν φορολόγων τὰς παλαμναίας χεῖρας ἀποδιδράσκειν διὰ τῆς σῆς παρακλήσεως; Πλὴν ἐπειδὴ προέδραμες, ὦ γενναῖος τὴν ψυχὴν καὶ πρὸς πόνους ἀνένδοτος, τὸ ἀσθενὲς τῆς ἐμῆς ψυχῆς ἀναῤῥώννυε, καὶ σοῦ ταῖς πυκναῖς ἐπιστασίαις ἐν νυκτὶ μὲν καὶ ἐν ἡμέρᾳ πρὸς τὰ τοῦ Θεοῦ διευθέτει θελήματα· ἵν' ὑπὸ τὴν ἐκείνου χεῖρα τὴν κραταιὰν ταπεινούμενος, διὰ τῶν σῶν προσευχῶν, ἃς ἀμέσως τελεῖς τῇ μακαρίᾳ Τριάδι καταλαμπόμενος, ἀβλαβῶς διαπεράσω τοῦ βίου τὴν θάλασσαν, καὶ σοῦ τῷ λιμένι προσορμισθεὶς, βλέποιμί σε διηνεκῶς κατὰ τὴν ἀδιάτμητον ἕνωσιν. »

A virtutum exemplar erat, multis laboribus victum, et ærumnis innumeris confectum, ad Deum, quem desiderabat, emigrasse (4). Hoc tanquam fletuum ac lacrymarum materiam accipiens, corpus illius manibus amplexabatur, et tanquam adhuc vivum aspiceret, tales ad eum allocutiones dirigebat (flumina lacrymarum ex oculis profundens, et pedes illos irrigans, qui evangelizaverant pacem ac bona cum quibus ille venerat) : « Quomodo sustinere potero, o Pater, aiebat, ita sine te orbus remanere ? Quo pacto procul a te in hac terrena regione permanebo ? Quis cordis mei angustias suavissimis alloquiis consolabitur ? Cui potero identidem exponere cogitationum mearum tempestatem, ut scilicet Christum inveniam, qui turbido huic mortalis vitæ pelago B comminetur, ac dicat : Compescere, ac sedare? Cur me priorem ad Dominum tuum non præmisisti, ut scilicet possem per tuas manus respirare, ac mediante consolatione tua pessimorum aereæ regionis stationariorum atque exactorum dæmonum truculentas manus effugere ? Verumtamen, quandoquidem præcurristi, generosus animo, et in laboribus indefessus, animæ meæ infirmitatem corrobora, et frequentibus præsidiis tuis nocte ac die ad Dei voluntatem efficiendam dispone ; ut sub potenti illius manu humiliatus, per tales preces, quas sine ullo intermedio beatissimæ Trinitati lucidissimus effundis, sine offensione vitæ hujus mare pertranseam, et ad tuum portum appulsus, per inseparabilem unionem te semper intuear. »

κδ'. Οὕτως εἰπὼν τῷ τόπῳ προσκαρτερεῖν, ἐν ᾧπερ ὁ θεῖος Γρηγόριος ἐγκλειόμενος τῆς φιλοσόφου παλαίστρας ἀντείχετο, ἑλόμενος ἔχειν τῶν πόνων συμμεριστὴν Ἰωάννην, τὸν τοῦ μεγάλου Γρηγορίου φοιτητήν τε καὶ ζηλωτήν. Ὃς συμβιώσας χρόνον συχνὸν, ἐδόκει βλέπεσθαι Γρηγόριος, καὶ διδοὺς καὶ λαμβάνων ἀφορμὰς ἀρετῶν. Πολλὰς γὰρ εἶχε καὶ Ἰωάννης ἐπικαθημένας τῇ γλώσσῃ τὰς χάριτας. Ἐπεὶ δὲ καὶ οὗτος, νηστείᾳ καὶ ἀγρυπνίᾳ καταδαμάσας τὸ τῆς ψυχῆς περικάλυμμα, πρὸς Θεὸν ἐξεδήμησεν· ὁ θεῖος Ἰωσὴφ τὸν τόπον καταλιπὼν, τῷ τοῦ μεγάλου καὶ χρυσοῦ τὴν γλῶσσαν Ἰωάννου σηκῷ ἐμφιλοχωρεῖ, ὥς τινα θησαυρὸν ἐπαγόμενος Γρηγορίου τὸ ἱερώτατον λείψανον καὶ τοῦ αὐτοῦ μαθητοῦ, πολλῶν συνεδεδραμηκότων κατὰ ταυτὸν, ὥστε ποιμαίνεσθαι καὶ καθοδηγεῖσθαι τεχνικῶς παρ' αὐτοῦ, καὶ γλώττης ἐκείνης ἀκροᾶσθαι τῆς μελιχρᾶς, ὡς ἐδίδου τοῦ τόπου τὸ πάνσθενον. Ὅθεν καὶ πλησίον τοῦ τόπου, ἐρήμου τότε πάντη τυγχάνοντος, ἐνιδρύεται φροντιστήριον· ἐν ᾧ τό τε πλῆθος κατατέμνει τῶν μαθητῶν, καὶ πρὸ πάντων ὥς τι κειμήλιον ἄσυλον τὸ σκῆνος τοῦ μεγάλου καὶ τοῦ φοιτητοῦ κατατίθεται.

24. His dictis, in eodem loco constanter perseveravit, in quo divinus Gregorius inclusus philosophica sese in palæstra exercuerat, elegitque sibi C socium laborum suorum Joannem quemdam, qui magni Gregorii discipulus erat atque æmulator, cum quo multo tempore vitam traducens, videbatur sibi Gregorium ipsum videre, ac multa dabat et accipiebat virtutum documenta. Etenim Joannes etiam plurimas in lingua charites residentes habebat. Postquam autem iste similiter jejuniis vigiliisque corpore edomito atque consumpto ad Deum emigravit : divinus Joseph, loco illo derelicto, in magni atque aurea lingua præditi Joannis templo libenter conversabatur, in quo tanquam thesaurum quemdam sacratissimas Gregorii reliquias, ejusque discipuli collocavit. Multis autem ad eum concurrentibus, ut ab eo regerentur, solertique cura dirigerentur, et linguæ illius mellitissimæ arcana audirent, angustia loci eos excludebat. Unde cum locum undequaque desertum non procul inde invenisset, ibi sedem suam, curarum scholam, collocavit, in qua et discipulorum multitudinem distribuit, et ante omnia, tanquam inviolabile quoddam monimentum magni Gregorii et ejus discipuli corpus collocavit.

κε'. Οὐ μὴν, ἀλλ' ἐπειδὴ πάλαι τοῖς Θεσσαλικοῖς ἐνδιατρίβων ὁρίοις, παρά τινος θείου ἀνδρὸς καὶ τὴν γνῶσιν οὐ μιμητοῦ, τὸ θεῖον καὶ γερώτατον λείψανον

25. Quoniam vero olim in Thessalicis finibus vitam traducens a viro quodam divino, et in divina scientia incomparabili, divinas ac sacratissi-

(4) Elogium in Menæis 20 Novembris, brevi admodum tempore reducem Gregorium vixisse insinuat.

Digitized by Google

mas magni apostoli Bartholomæi reliquias (5) in sortem acceperat, templum etiam illi restaurare decrevit, etenim miraculorum gratiæ ex illo veluti e fonte emanabant. Videbat autem in somnis frequenter prædictum apostolum, futuræ vitæ mysteria revelantem, atque omnia Scripturarum sacrarum ænigmata et quæstiones implicitas explicantem. Quadam vero die cum hymnis et canticis illum vellet celebrare, ab hoc suo desiderio retrahebatur, dicens in corde suo : Fortasse non erit juxta Apostoli beneplacitum hæc mea deliberatio. At vero cum quadraginta dierum spatio novus hic nostræ ætatis Moyses carnem jejuniis vigiliisque macerasset, ut divinarum melodiarum seu modulationum tabulas posset accipere, et tota mente in hoc incumberet, ac sensibus omnibus alio evagandi aditum undique occluderet, ad apostoli reliquias caute timideque accedit, ubi ineffabili quadam visione dignus factus est. Etenim die, quæ magni hujus apostoli memoriam præcedit, vidit virum quemdam sindone ex lino Ægyptio (6) contexta circumdatum (quemadmodum Palæstinæ etiam habitatores amicti incedere fortasse consueverunt) pro sacris templi foribus consistentem, atque ad sese Josephum advocantem. Deinde vir iste, qui apparuerat, sacrum mensæ velamen (7) ex altera parte reducens, evangelicorum Christi sermonum pyctidem (8) tollit, et ponit episternium (9) subdens hæc verba : « Benedicat te manus Dei, et linguam tuam dogmatum maria circumdent, et Spiritus sanctus resideat in corde tuo, et modulationes tuæ universum terrarum orbem circumquaque demulceant. » Quispiam vero, qui his delectetur ac perfruatur, Sirenas spirituales, eas dixerit, propter gratiam inventionum atque argumentorum et propter dictionem humore quodam suavissimo, atque aromatum instar undequaque fluentem. Porro licet is, qui oculis subjectus fuerat, ab aspectu remotus esset; verba tamen illius indita atque sata in cordis sulcis uberrimam segetem proferebant.

26. Hæ fuerunt charismatis primitiæ; hæ magni doni divitiæ, hoc magnum ac pretiosissimum munus. Denique cum suavissimas cantiones scribere cœpisset, voce quidem arguta ac sonora auribus concentum reddebat, illum vero, qui iis quæ cane-

A τοῦ μεγάλου ἀποστόλου Βαρθολομαίου κεκλήρωται, ναὸν ἔγνω καὶ τούτῳ ἀναδείμασθαι, πολλὰς θαυμάτων ἀναβρύοντι χάριτας. Ὃν καὶ πυκνὰ ἐώρα κατὰ τοὺς ὕπνους τὰ ἐκεῖθεν μυστηριώδη ἀνακαλύπτοντα, καὶ πᾶν γρῖφον ἐν τῇ Γραφῇ ἐπιλύοντα. Καί ποτε μελῳδήμασι τοῦτον ἀνυμνῆσαι βουλόμενος, ἀνεκόπτετο τῆς ὁρμῆς, Μή ποτε, λέγων ἐν τῇ καρδίᾳ, ἀβούλητόν ἐστι τῷ Ἀποστόλῳ τὸ βούλημα. Καὶ δὴ τεσσαράκοντα ἡμέρας ὁ τῶν καθ' ἡμᾶς ἡμερῶν Μωϋσῆς ἐκπιέσας τὴν σάρκα, ἵνα λάβῃ τῶν θείων μελῳδημάτων τὰς πλάκας, καὶ ὅλον νοῦν συναγαγὼν ἐν ταυτῷ, καὶ τὰς αἰσθήσεις μύσας παντάπασι, τῷ τοῦ Ἀποστόλου λειψάνῳ πεφιλημένως καὶ εὐλαβῶς περιφύεται, καί τινος ἀῤῥήτου ἀξιοῦται τῆς θεωρίας. Πρὸ γὰρ τῆς τοῦ μεγάλου μνήμης, ὁρᾷ τινα
B ἄνδρα, σινδόνιον μὲν ἐσθῆτα, οἷος ἄρα καὶ τοῖς ἐν Παλαιστίνῃ κατασκευάζεται, περικείμενον, τὰς ἱερὰς τε πύλας κατέχοντα τοῦ νεὼ, καὶ πρὸς ἑαυτὸν τὸν Ἰωσὴφ ἐκκαλούμενον· εἶτα τὸ ἱερὸν τῆς τραπέζης ὁ φανεὶς ἀνταναλέσας ἀράχνιον, αἴρει μὲν τὴν πυκτίδα τῶν εὐαγγελικῶν ῥημάτων Χριστοῦ, καὶ τίθησιν ἐπιστέρνιον, ἐπειπών· « Εὐλογήσῃ σε ἡ χεὶρ τοῦ Θεοῦ, καὶ σοῦ τὴν γλῶσσαν θάλασσαι δογμάτων περικυκλώσωσι, καὶ τῇ καρδίᾳ ἐνιδρυνθείη τὸ Πνεῦμα τὸ ἅγιον, καὶ σοῦ τὴν πᾶσαν οἰκουμένην τὰ μελῳδήματα περιθέλξαιεν, καί τις τούτοις ἐπεντρυφῶν Σειρῆνας εἴποι τὰς νοητὰς, διά τε τὴν χάριν τῶν νοημάτων καὶ τὴν ὑγραίνουσαν λέξιν καὶ πανταχόθεν ἀρωματίζουσαν. » Εἶπε, καὶ ἀπῆν ἐκεῖνο τὸ θεαθέν·
C τὸ δὲ λεχθὲν ἐντεῦθεν καὶ ἐνεσπάρην καρδίας ταῖς αὔλαξι, πολύχουν ἀναδεδώκει τὸν ἄσταχυν.

κς'. Αὕτη ἡ ἀπαρχὴ τοῦ χαρίσματος· οὗτος ὁ πλοῦτος τῆς μεγαλοδωρεᾶς· τοῦτο τὸ μέγα καὶ πολυτίμητον χαριστήριον. Ἀμέλει καὶ ἀπαρξάμενος γράφειν τὰ ἐμμελῆ μελῳδήματα, τῷ μὲν λιγυρῷ τῆς ἠχῆς κατεμουσούργει τὴν ἀκοὴν, κατέθελγε δὲ

(5) Ita etiam Synaxarium Claromontanum, sed in margine duntaxat, tanquam ex consensu aliorum Synaxariorum, his verbis, ἐν ἄλλοις συναξαρίοις λέγεται τοῦ Βαρθολομαίου λείψανον· in textu autem legitur τοῦ Ἀνδρέου· et ita etiam habet alterum Synaxariorum mss. in Crypta ferrata. Verum de S. Andrea nihil composuisse Joseph invenitur : de sancto autem Bartholomæo exstat apud Lipomanum et Surium oratio Josephi τοῦ ταπεινοῦ καὶ ἐλαχίστου, humilis et minimi : quem Hymnographum esse merito judices : et 25 Augusti ad diem translationis invenitur canon ad hanc acrostichidem compositus :

Ὑμνοις γεραίρω τὸν καλόν μου προστάτην.

Ubi quod προστάτην præsidem, patronum, protectorem suum appellet Bartholomæum Poeta, idque in acrostichide, Josephum auctorem possis agnoscere, quamvis nomen nusquam exprimatur.

(6) Floritus *Sidoniam vestem* reddidit.

(7) *Ἀράχνιον*. An quia filis diversi a reliqua tela coloris reticulariter intexi solebant istiusmodi altarium operimenta ? Nolim certe lineam mappam intelligere, qua ad sacrificium insternitur altare : sed velum accipio, qua idem altare et omnis altaris supellex, extra divini officii tempora, contegi solet.

(8) Tabellam. Fortassis moris fuit Græcis Evangelium sub Missa legendum in tabula descriptum seorsim habere, aut saltem Evangeliorum per Dominicas et festa distributorum codicem elaboratis pretiosius tabulis obducere, indeque eum sic nominare ; quemadmodum in Ecclesia Latina videmus hodieque usurpari. Maraccius vocem Græcam retinuit.

(9) Vocem Græcam retinens Maraccius vertit, *ponit Episternium*, quasi substantive, ut vestis pectoralis intelligatur. Ego vero existimo adjective debere sumi, ut referatur ad ipsum codicem pectori impositum, eo modo quo in Ecclesia Latina subdiaconus tenet Evangeliorum librum, cum ex eo diaconus Evangelium cantaturus est : nam et hoc magis facit ad rem præsentem, et in sacris Græcorum vestibus nulla est, quæ ἐπιστέρνιον vocetur.

Digitized by Google

τῷ ᾠδεῖ τὴν δυναμένην συμβαλεῖν τοῖς λεγομένοις διάνοιαν. Καὶ ποῖον γὰρ εἶδος ἐκεῖθεν φθόγγων οὐκ ἐδιδάσκετο μουσικῶν; ἢ ποία χάρις οὐκ ἐπέλαμπε τοῖς ἁσματιζομένοις αὐτῷ; Ἐκεῖθεν ὕπνος καὶ τοῖς ἄγαν ῥᾳθύμοις ἀπετινάσσετο, σπεύδουσι κηληθῆναι τὴν ἀκοὴν ὁμοῦ καὶ διάνοιαν τῷ λιγυρῷ προσφωνήματι. Ἐντεῦθεν καὶ τοῖς πρὸς ἀρετὴν ἑαυτοὺς ἐπιτείνουσι τῆς ἀρετῆς ἡ ἕξις κατανενόηται. Ταῦτα καὶ οἱ ἐν λύπαις ἀναλαμβάνοντες, τὸ ἀθυμοῦν καὶ δακνόμενον τῆς ψυχῆς κατεκοίμιζον· τούτοις καὶ οἱ ἐν εὐθυμίᾳ ὄντες πρὸς ἡδονῆς κατ' ἄλλον τρόπον μετέπιπτον δάκρυα. Οἱ γράφοντες δὲ, τοῖς ἄλλοις χαίρειν εἰπόντες πονήμασι, τοῖς τοῦ θείου Ἰωσὴφ πολύ τι κέρδος ἐμμελῳδήμασι συνηθροίκασι, μᾶλλον δὲ συναθροίζουσι. Γλῶσσαι γὰρ πᾶσαι κατὰ φυλὰς, πρὸς τὴν ἑαυτῶν διάλεκτον τὰ μελετήματα βαλλόμεναι, τὴν νύκτα πᾶσαν καταφωτίζουσι, καὶ τὸ αὐτῆς σκοτεινὸν καὶ πρὸς ὕπνον ἑλκόμενον τῇ πυκνῇ φρυκτωρίᾳ πρὸς ἡλιακὰς φωτοχυσίας μεταβιβάζουσι, καὶ χαίρειν τῷ ὕπνῳ εἰποῦσαι τοῖς ἄσμασιν ὡραΐζονται.

A bantur, mentem potuisset animumque advertere, mira dulcedine oblectabat. Etenim qualis musicorum sonorum species inde non addiscebatur? vel qualis gratia in iis, quæ ab eodem canebantur, non elucebat? Inde vel ignavissimis ac socordia plenis somnus excutiebatur, festinantibus ad oblectandas aures simul et animum cantu illius suavissimo. Inde et illis, qui ad virtutem vehementer animum intendebant, virtutis ipsius habitus comparatus est. Hæc memoria repetentes illi, qui mœrore oppressi erant, animi pusillitatem ac molestiam deponebant. His etiam illi qui hilaritatem animi experiebantur, ad voluptatis lacrymas, sed diverso modo, transitum faciebant. Scriptores autem in aliis operibus componendis lætari recusantes, ex B divini Joseph canticis ac modulis collegerunt, vel potius colligunt lucrum quoddam peramplum ac nobile. Omnium enim linguæ juxta tribus suas, ac proprietates loquelæ suæ, per totam noctem sacris meditationibus vacantes, illius tenebras ac somnolentiam, frequenti luminum accensione in solares radios commutant, et somni dulcedine frui recusantes, sancti hujus viri canticis decorantur.

κζ'. Ἔστι τις ἄτεγκτος καὶ ἀμείλικτος καὶ πρὸς δακρύων ἐπιῤῥοὰς ἄφυής; Τὰ εἰς τὴν Παρθένον καὶ Μητέρα Θεοῦ, τὴν ὑπὲρ λόγον συλλαβοῦσαν τὸν Λόγον, λιγυρὰ μελῳδήματα ἐπιὼν, θαλάσσας δακρύων τοὺς ὀφθαλμοὺς πληρωθείς, καὶ τὴν διάνοιαν συντακείς, ἀΰλῳ νῷ κατατρυφήσει τῶν νοερῶν ἰύγγων τῆς κατανύξεως· μυρία δὲ ταῦτα τούτῳ συντέθειται ἐν διαφόροις ἐναλλαγαῖς, καὶ ἤχων κατατομαῖς, καὶ C ῥυθμῶν ποικίλων διαφοραῖς τὸ ἡδύ πως ἀρωματίζοντα. Βούλεταί τις μαθεῖν τὸν βίον τοῦ πρὸς ἡμέραν τιμωμένου ἁγίου τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ; Μετερχέσθω τὸ εὔρυθμον, καὶ ἐφ' ἑνὶ ἑκάστῳ τῶν ᾀδομένων, ἐπιγινωσκέτω τὴν τοῦ βίου διαγωγήν. Καὶ πᾶς μὲν τῶν ἁγίων ὑπ' ἐκείνῳ τιμώμενος ἀναδείκνυται· αὐτὸς δὲ ἐν πᾶσιν ὁρᾶται τιμώμενος, ἐν ἄλλων βίοις αὐτὸς ἐξυμνούμενος, διὰ τὸ λιγυρὸν καὶ εὔρυθμον τῆς ἐμμελοῦς μελῳδήσεως. Ἄλλος μὲν οὖν μεγαλυνέτω τὸν βίον τοῦ μακαρίου, ὁ δὲ τῆς γνώσεως τὸ ὑπερφέρον, πάντες δὲ πάντα ἐπίσης καὶ διὰ πάντων μεγαλυνέτωσαν τὴν χάριν τοῦ Πνεύματος, ἥτις τούτῳ οὕτως ἐκκέχυται, ὡς εἰς πᾶσαν τὴν οἰκουμένην ἐξελθεῖν τὸν φθόγγον αὐτοῦ, καὶ εἰς τὰ πέρατα πάντα τὰ τῶν μελῳδημάτων θεοκρότητα ῥήματα. Περὶ γὰρ D τῶν ἄλλων τί χρὴ καὶ λέγειν; ὁπόσους ἐκεῖνος ἐκ τοῦ βυθοῦ τῆς ἀπιστίας ἐξείλκυσε, καὶ πρὸς τὴν τῆς ἁγίας Τριάδος γνῶσιν ἐρύθμισε· πόσους δὲ πέπεικε, χαίρειν εἰπεῖν τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ, καὶ τὸν μονήρη βίον ἀσπάσασθαι· πόσας δὲ γυναῖκας παρθενεύειν ἐδίδαξεν, ἵν' ἔχοιεν τὰς λαμπάδας ἀναπτομένας διηνεκῶς, καὶ συνέλθοιεν τῷ μνηστῆρι Χριστῷ, ἄρτι κραυγῆς τελουμένης ἐν τῷ μέσῳ δὴ τῆς νυκτός; amplexari; quot feminas virginitatem servare docuerit, ut haberent assidue lampades accensas, et cum sponso Christo nuptias inirent, statim atque clamor media nocte fieret?

27. Est quispiam rigidus ac durus, atque ad lacrymas effundendas ineptus? Suavissimas melodias ab eo scriptas in Virginem ac Dei Matrem (10), quæ ineffabiliter Verbum concepit, assidue legens ac decantans, lacrymarum maria plenis oculis effundet, et mente colliquefactus, immateriali sensu spiritualibus compunctionis deliciis perfruetur. Hæ autem melodiæ sexcentæ sunt, quæ ab eo variis commutationibus et sonorum concisionibus, variisque rhythmorum differentiis compositæ, dulcedinem quodammodo atque odorem suavitatis aromatizant. Est porro aliquis, qui sancti illius, qui currenti die ab Ecclesia Dei honoratur, vitam addiscere cupiat? Capessat ac legat lepidissima illius cantica, et in unoquoque eorum, quæ canuntur, vitæ sancti illius rationem recognoscat. Et profecto uniuscujusque sanctorum, qui ab eo honoratur, vita in lucem profertur, oculisque subjicitur. Ipse vero inter omnes honoratus apparet, atque in aliorum vita ipse laudatur propter suavitatem et concinnitatem dulcissimæ melodiæ. Alii igitur hujus beati vitam sane magnificent: alii autem scientiæ illius eminentiam; omnes vero omnia æqualiter et per omnia magnificent Spiritus gratiam, quæ ita in illo effusa est, ut in omnem terrarum orbem exierit sonus ejus, et in fines terræ universos verba Deum resonantia melodiarum ejus. De aliis porro quid opus est præterea dicere, quot ille ex infidelitatis barathro ad sanctæ Trinitatis cognitionem eduxerit; quot persuaserit mundi et eorum quæ in mundo sunt gaudia respuere, et solitariam vitam

(10) Plurimas eas fuisse non dubitamus: et multæ forsitan adhuc latent in mss. Siculis apud Basilianos. Hippolytus Maraccius ex Græcorum Menæis novem integros canones de Deipara edidit, et maximum numerum Theotociorum, id est stropharum de Beata, in fine cujusque odæ canendarum, ex omnibus quos a Josepho compositos credidit canonibus, per totius anni officium sparsis.

Digitized by Google

28. Verum rursus extorris atque exsul esse compellitur; caudam sua commovente Satana fraudulento, et pessimum illius temporis imperatorem (11) excitante. Non enim potest is quiescere, qui tanquam triticum pios fideles cribrare expetit, sed animas ad sese proclives penitus commovet et exagitat. Quamobrem iterum bellum adversus Ecclesiam inconcussam suscitatur, et sacræ Christi sanctorumque illius imagines exploduntur, quas cum magnanimus noster tota lingua populum honorare doceret, et catholicæ orthodoxæque fidei dogmata, non in privato, aut in domo, sed in plateis cum libertate prædicaret, exturbatur atque ejicitur e civitate in exsilium, ubi magnis in angustiis versabatur, majores tamen angustias atque afflictiones ipse proprio sensu sponteque subibat. Non multo autem post, cessante malo, ac tempestate quiescente, concessis a Deo imperii fascibus imperatoribus orthodoxis (12), iterum accersitur secundum Deum. Ille vero non obtemperavit; etenim in exsilio paradisi dulcedinem degustabat propter Christum.

κη'. Οὐ μὴν ἀλλὰ καὶ πάλιν ὑπερόριος γίνεται, τὸ οὐραῖον περισείσαντος τοῦ πτερνοσκόπου Σατὰν, καὶ τὸν τότε πονηρὸν βασιλέα κινήσαντος. Οὐκ ἦν γὰρ ἡρεμεῖν, τὸν ὡς σῖτον σινιάσαι ζητοῦντα τοὺς εὐσεβεῖς, ἀλλὰ παντοίως κινεῖ τὰς πρὸς αὐτὸν ῥεπούσας ψυχάς. Ὅθεν καὶ πάλιν πόλεμος κατὰ τῆς ἀτινάκτου πανταχόθεν Ἐκκλησίας ἀναῤῥιπίζεται, καὶ τὰ ἱερὰ μορφώματα Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων πάλιν διώκονται, ἃ τιμᾶσθαι ὅλῃ γλώσσῃ τὸ πλῆθος ἀναδιδάσκων ὁ γενναιότατος, καὶ ἀνακηρύττων τῆς ὀρθοδοξίας τὰ δόγματα, οὐκ ἐν οἰκίᾳ οὐδ' ἐπὶ δώματος, ἀλλ' ἐν πλατείαις καὶ παῤῥησίᾳ, ἐξωθεῖται τῆς πόλεως, καὶ ἦν ἐν ὑπερορίᾳ στενοχωρούμενος, μᾶλλον δ' ἑαυτὸν οἰκειογνωμόνως στενοχωρῶν. Μετ' οὐ πολὺ δὲ λήξαντος τοῦ κακοῦ, καὶ τοῦ χειμῶνος λωφήσαντος, καὶ ὀρθοδόξοις δοθέντων τῶν σκήπτρων βασιλεῦσιν ἀπὸ Θεοῦ, μεταλαλεῖται αὖθις κατὰ Θεόν. Ὁ δὲ οὐ πείθεται, τῇ ὑπερορίᾳ ὡς παραδείσῳ διὰ Χριστὸν ἡδυνόμενος.

29. Sed quoniam hi vehementer instabant, ac veluti admoto exercitu urgebant, ille vero repugnare non valebat, præsertim quia magno cives amore prosequebatur, frequentibus imperantium precibus obedivit, atque exsilii tandem derelicto loco, in Byzantinam urbem profectus est. Et nihilominus cum aliorum honorum gaudio frui recusaret, vix illum perstuaserunt, ut ecclesiasticorum negotiorum curam capesseret, sacramque Ecclesiæ supellectilem in suam fidem susciperet. Et forsitan principibus non obtemperasset, nec propterea ministerium illud suscepisset, sed divino Ignatio (13), qui plurima virtute ornatus, et ferventissimum pro Christo zelum gerens, nuper patriarchatus gubernacula sibi credita susceperat, non obtemperare non potuit. Hic, excellentissimam Josephi nostri virtutem admiratus, eumdem in laborum suorum partem, et in rebus necessariis adjutorem assumere studebat: et cum ministerii jam prædicti prætextum invenisset, id quod cupiebat facile obtinuit. Frequentes igitur cum eo sermones et colloquia miscebat, et ea quæ ignorabat, ab eo dem addiscebat. Nihil porro novi erat, si qua ineffabilium divinæ Scripturæ mysteriorum viro illi essent ignota. Magno autem huic Patri, et propter multum studium, et propter eminentem puritatem et cognita erant, et eadem plurima cum dulcedine ac suavitate explicabat: id quod donum est, ex iis, quæ a magno Apostolo commendantur, et nullius alterius doni indigere videtur.

κθ'. Πλὴν ἐπεὶ ἐκεῖνοι μὲν ἐπέκειντο ἀντιβολοῦντες τὴν ἀνάζευξιν, ὁ δὲ ἀντιτείνειν οὐκ εἶχε, διὰ τὸ καὶ πρὸς τοὺς; ἐν τῇ πόλει φιλάνθρωπον, εἴκει ταῖς τῶν κρατούντων πυκναῖς παρακλήσεσι, καὶ τὴν ὑπερορίαν τέως καταλιπὼν τῇ Βυζαντίδι ἐπιφοιτᾷ· καὶ μόλις μὲν, πείθουσι δ' ὅμως, ταῖς ἄλλαις; χαίρειν εἰπόντα τιμαῖς, ἐκκλησιαστικῶν προστῆναι πραγμάτων, καὶ τὴν φυλακὴν ἐμπιστευθῆναι τῶν τῆς Ἐκκλησίας ἱερῶν κειμηλίων. Οὐκ ἐπείθετο δὲ ἄρα τοῖς ἄρχουσι, καὶ διὰ τοῦτο τὴν διακονίαν ἐδέχετο, ἀλλ' Ἰγνατίῳ τῷ θείῳ (πολὺς δὲ ἄρ' οὗτος τὴν ὀρετὴν, καὶ τὸν ὑπὲρ Χριστοῦ ζῆλον θερμότατος;), ἄρτι τῆς ἀρχιερωσύνης ἐμπιστευθέντι τοὺς οἴακας· ὃς τὸ περιὸν τῆς ἀρετῆς τοῦδε τοῦ ἱεροῦ δυσωπούμενος, ἔσπευδεν ἔχειν συγκοινωνὸν τῶν πόνων, κἀν τοῖς ἀναγκαίοις συλλήπτορα· καὶ πρόφασιν τὴν διακονίαν εὑράμενος, τοῦ ποθουμένου ἐτύγχανε. Καὶ ἦν ἐκείνῳ συνομιλῶν θαμὰ, καὶ παρ' αὐτοῦ τὰ ἀγνοούμενα διδασκόμενος. Καινὸν δὲ πάντως οὐδὲν εἴ τινα τῶν ἀπορῥήτων τῆς Γραφῆς μυστηρίων ἐκείνῳ μὲν ἠγνοεῖτο, τῷ δὲ μεγάλῳ τῷδε Πατρὶ, διά τε τὸ πολὺ τῆς σπουδῆς καὶ τὸ περιὸν τῆς καθάρσεως, καὶ ἐγινώσκετο καὶ διηρθροῦτο μετὰ πολλῆς μελιχρότητος, ὃ χάρισμα τῶν παρὰ τῷ μεγάλῳ Παύλῳ ὑμνουμένων ἐστὶν, ἄλλου μὴ προσδεόμενον θείου χαρίσματος.

30. Postquam autem magnus hic antistes senectute laboribusque innumeris confectus emigravit ad Deum, successit in ejus locum et patriarchalem dignitatem Photius, qui in publicis consiliis in sententia ferenda, et propter sermonis copiam,

λ'. Ἀλλ' ἐπεὶ καὶ ὁ μέγας ἀρχιερεὺς οὗτος γήρᾳ ἐταλαιπωρεῖτο, καὶ καμάτῳ πολυειδεῖ πρὸς Θεὸν ἐξεδήμησε, διαδέχεται τὸν τῆς ἀρχιερωσύνης θρόνον ὁ Φώτιος, ὃς τῆς συγκλήτου βουλῆς ἐτύγχανε τὸ πρωτεῖον ἐπιφερόμενος, διά τε τὸ πολὺ τοῦ λόγου

(11) Theophilum scilicet, ut in Prolegom. dictum.

(12) Sunt hi Theodora et filius ejus Michael. Mendum autem in Menologio Basilii imper. est, quod nonnisi Theophilo mortuo, Josephus scribatur ex carcere ereptus D. Nicolai ope, iterumque ejectus in exsilium.

(13) S. Ignatius, qui colitur 23 octob., Methodio successit, quarto post orthodoxiam restitutam anno; pulsus et iterum restitutus, usque ad an. 879 sedem tenuit patriarchalem.

Digitized by Google

καὶ τὸ ὑπερβάλλον τῆς γνώσεως, καὶ ἅμα διὰ τὸ δεινὸν τοῦ νοὸς, καὶ πρὸς τὸ συνθεῖναι καὶ σκευάσαι πράγματα ἐπιτήδειον, ἐξ οὗ καὶ τὴν ἀρχὴν τῆς ἱερωσύνης ἀπεκληρώσατο, ἵνα μὴ λέγω πάντα τὰ τοῦ ἀνδρὸς, καί που καὶ πρὸς διαβολὰς χωρήσω τοῦδε, ἀπὸ τοῦ πράγματος εἰς τοῦτο παρακινούμενος. Πλὴν ὅτι καὶ οὗτος τῷ μεγάλῳ τούτῳ Πατρὶ Ἰωσὴφ τὴν ἴσην ἐτήρει τιμὴν, καὶ τῷ μέσῳ τῆς καρδίας ὑπέκρυπτε, Θεοῦ ἄνθρωπον ὀνομάζων, καὶ ἰσαγγέλῳ κατὰ τὸ θεμιτὸν προσέχων αὐτῷ. Ἔνθεν τοι καὶ ὅλην τὴν φροντίδα τῶν ἐκκλησιαστικῶν πραγμάτων αὐτῷ ἀναθέμενος, Πατέρα Πατέρων ἐκάλει, καὶ τοὺς τῶν πρώτων βαθμῶν ἀξιουμένους τῆς Ἐκκλησίας παρεκάλει τούτῳ ἀνατιθέναι τοὺς λογισμούς· ὃ δὴ καὶ πᾶς ἐτέλει καὶ πρὸ τῆς πατριαρχικῆς παρακλήσεως. Ἦν γὰρ, κατὰ τὰ Ἄσματα τῶν ἀσμάτων, κομιδῇ εὐφυὴς, ἀλώπεκας ἁμαρτημάτων κατέχειν σμικρὰς, καὶ ἀποκτέννειν τῆς νοουμένης γῆς τοὺς ἁμαρτωλοὺς, ὅ φησιν ὁ θεῖος Δαβὶδ, καὶ δῆτα καὶ ψυχὴν ἐπιστηρίξαι καὶ βεβαιώσασθαι, καὶ τὸν εἰς σαρκικὰς ὀρέξεις δίκην σφαῖρας κατὰ πρανοῦς κυλιόμενον ἀναστῆσαι τῆς ἁμαρτίας καὶ ποιῆσαι μετάρσιον· ἀλλὰ καὶ τὸν ἀπερικτυπήτῳ συζῶντα σχολῇ, καὶ ταῖς τῆς ἁγίας Τριάδος θεωρίαις περιλαμπόμενον, ἔτι πεῖσαι, μὴ χαλάσαι τὸ θεῖον πτερὸν, μηδὲ μετεωρισθῆναι, διὰ τὰς ἐν θεωρίαις παγίδας (δι' ὧν ὁ πτερνοσκόπος οἰήσεως πάθει τοὺς πολλοὺς πρὸς τὸ τῆς ἀπωλείας κατήγαγεν βάραθρον), γαλήνην μὲν διδάσκων ὅπως συνίσταται ἡ ψυχὴ, καὶ ὅπως τὰ φυσικῶς ἐγκατεσπαρμένα τῆς γνώσεως σπέρματα, παντοίως ἐν ἡμῖν κατὰ κρᾶσιν καὶ ἰδιότητα μεταποιοῦνταί τε καὶ ἐπαύξονται, πρὸς ὅπερ ἕκαστος πέφυκε.

(39) Ne aliquis putaret B. Virginem false, inaniter et ficte dici puram et immaculatam, addidit Josephus, *vere*, significans ipsam in veritate puram fuisse atque immaculatam. Revera autem non fuisset pura, nec dici posset vere immaculata, si in primo instanti sui esse impuritate ac macula originalis criminis sordidata apparuisset.

Digitized by Google

πάθη ὠλίσθησα χαλεπά· διό σε, Θεοῦ νεὰ, ἱκετεύω, Δέσποινα, βοήθει μοι.

nem effectus, voluntarie in molestissimas passiones prolapsus sum. Propterea supplex rogo te, o Domina, quæ es templum Dei, adjuva me.

Παστὰς Κυρίου ἐκλεκτὴ, οὐρανίου παστάδος ποίησόν με κληρονόμον τὸν τῇ θείᾳ σου σκέπῃ, ὡς ἐν παστάδι σεπτῇ καθ' ἑκάστην πόθῳ σε γεραίροντα.

Regis Domini thalamus electus, fac me cœlestis thalami consortem divina protectione tua; ego quippe in augusto thalamo quotidie cum affectu te honoro.

Ὠδὴ δ'.

Ode 4.

Ῥανίσιν, ἄχραντε, πλευρᾶς τοῦ τόκου σου τῶν παθῶν μου τὸν ῥῦπον καὶ τοὺς δεινοὺς σπίλους τῆς καρδίας μου ἐναποκάθαρον, ἁγνὴ, καὶ φωτί σου καταλάμπρυνον.

Absterge, o immaculata et pura, (40) guttis e latere Filii tui manantibus, sordes affectionum mearum, et pessimas maculas cordis mei; et luce tua illustra me.

Ὁδὸς εὐθεῖά μοι, ὁδὸς εἰσάγουσα σωτηρίας πρὸς τρίβους ἡ τὴν ὁδὸν τέξασα γενήθητι, ἀποπλανήσει πονηρᾷ καθ' ἑκάστην ὀλισθαίνοντι.

Sis mihi, tu, quæ viam ipsam peperisti, via recta; via quæ deducat me in semitas salutares; nam quotidie errore malo prolabor.

Σταγόνα δμβρισον ἐν τῇ καρδίᾳ μου κατανύξεως, Κόρη, ἡ τὴν πηγὴν τῆς ζωῆς κυήσασα, τὰς διεκχύσεις τῶν ἐμῶν παθημάτων ἀναστέλλουσα.

Effunde stillas compunctionis in corde meo, o Puella, quæ fontem vitæ peperisti, et passionum mearum effusiones compesce.

Ἁγία Δέσποινα, τὸν ὑπεράγιον ἡ κυήσασα Λόγον, ἁγιασμὸν τῇ ψυχῇ μου δώρησαι, καὶ τρικυμίας πειρασμῶν τὴν ζωήν μου ἐλευθέρωσον.

Nulli sanctitate secunda Domina (41), quæ omni sanctitate superius Verbum peperisti, sanctificationem largire 36 animæ meæ, et a tentationum procellis libera vitam meam.

Ὠδὴ ε'.

Ode 5.

Ξένον ὡς ἔσχηκας τοκετὸν, ξένον με γενόμενον Θεοῦ δι' ἁμαρτίας οἰκείωσον, ξένωσον ἐκ ταύτης, καὶ τῷ οἰκτίρμονι οἰκείωσον, Παρθένε, τῇ μεσιτείᾳ σου.

Ipsa, quæ partum peregrinum habuisti, me a Deo peregrinum effectum, eo quod peccati domesticus fuerim, ab eodem peccato peregrinum redde; et misericordi me domesticum effice, o Virgo, mediatione tua.

Ὡς ὄρος πάλαι σε Δανιὴλ βλέπει, τηλαυγῶς μαρμαρυγαῖς τῆς παρθενίας ἐκλάμπουσαν, ἐξ οὗ ἐτμήθη λίθος συντρίβων, πάναγνε, τὰ εἴδωλα τῆς πλάνης σθένει θεότητος.

Sicut montem vidit te olim Daniel, virginitatis radiis splendide coruscantem, o tota immaculata: ex quo abscissus est lapis, qui robore divinitatis, erroris simulacra contrivit.

Truculentorum latronum invasionibus sauciatum in anima, et semimortuum in via hujus vitæ, gravique in discrimine positum, visita me, o Verbum, per eam quæ peperit te.

Ὠδὴ ς'.

Ode 6

Ἡ ῥάβδος ἡ ἔντιμος ἡ βλαστήσασα ἡμῖν ξύλον ζωῆς τὸν Κύριον, τὴν ταπεινὴν ψυχήν μου φθοροποιοὺς ἐννοίας βλαστάνουσαν τῷ σταυρῷ τοῦ Υἱοῦ σου ἀποκάθαρον

Emunda cruce Filii tui infelicem animam meam, cogitationes noxias pullulantem, o virga venerabilis, ex qua nobis lignum vitæ Dominus germinavit.

Θηρὸς ἁμαρτίας με, ὡς κυτώας ἐκ γαστρὸς τὸν Ἰωνᾶν, ἐξάγαγε σαῖς ἱκεσίαις, Λόγε, τῆς ἐν γαστρὶ ἀγνῶς χωρησάσης σε τὸν ἀχώρητον φύσει, πολυέλεε.

Me a fera peccati, tanquam Jonam a ventre ceti educ, o Verbum, multa præditum misericordia, per intercessionem illius, quæ te incomprehensibilem natura, in suo utero castissime comprehendit.

Ἐπλήθυναν, Δέσποτα, ὑπὲρ ἄμμον θαλασσῶν τὰ πονηρά μου πταίσματα· ὡς κεκτημένος πέλαγος

O Domine, multiplicata sunt super arenam maris pessima peccata mea: tu, tanquam possidens

(40) Quando Patres, ut Origenes Homil. 1 de diversis in Matthæum; S. Bernardus serm. 13, de Cœna Domini; S. Leo papa epist. 38, S. Joan. Chrysostomus in cap. XI Epist. ad Hebræos, et alii, Christum vocant immaculatum, non solum a Christo peccatum actuale excludunt, verum etiam et originale, id quod expresse docuit Odo Cameracensis in Expositione Canonis, dist. 3, dicens: *Hostiam immaculatam, id est, sine omni macula culpæ, utpote concepta et nata sine peccato.* Eodem prorsus modo de Virgine censendum: nam quemadmodum Christus non diceretur revera immaculatus absolute et simpliciter, si aliquod admisisset peccatum actuale aut originale, æque minus Virgo immaculata nuncuparetur, si aliquod agnovisset. Meritoque Odo Cameracensis loco citato eodem modo copulavit Jesum Christum et Matrem ejus in Elogio nominis immaculati dum dixit: ab immaculata Matre sumptam esse hostiam immaculatam. Vide Nierembergium, in Exceptionibus cap. 2.

(41) Hoc Elogio Deiparam Virginem omnes omnino tam homines quam angelos in sanctitate excessisse proclamavit Josephus, quod verificari nullatenus posset contracto peccato originali; ex hac enim parte angeli et protoplasti in paradiso essent B. Virgine sanctiores. Nam si primos parentes, quod essent humanum genus propagaturi, visum est Deo sanctimonia ornatos in lucem educere (ex communiori sententia), an videri ipsi aliter potuit de hac altera Eva reparandæ salutis adjutrice, sociaque amplificandæ sanctitatis, et aliis insigni gloriis, quæ primigeniæ labis probrum aut excludant oportet, aut in dubium revocentur? Si angeli in sanctitate a Deo creati, cur non similiter eorum Regina?

Digitized by Google

pelagum misericordiarum, converte, et salva me, o Verbum, advocationibus Genitricis tuæ.

37 Ode 7.

Deificasti partu tuo, qui fuit supra naturam, naturam primi parentis. Me igitur qui supra naturam pecco, et Deum natura bonum ad iram provoco, maternis tuis reconciliationibus eidem domesticum redde.

Jugiter emanant a corde meo peccatorum flumina : tu ex qua aqua salutis fidelibus scaturivit, emunda illud, ut canere possim dulcisonis modis: Benedicta, quæ Deum in carne peperisti.

Supra terram tu fuisti cœlum Factoris cœli et terræ, quem supplex precare ut liberet me a terrenis malis, et dignum me faciat ut particeps sim bonorum cœlestium, o Dei Genitrix.

Ode 8.

Ego miser, quantumvis nolim, turpia perpetor, consuetudini deserviens, quæ me subjicit pessimis dominis, qui a Deo exciderunt; o Domina Virgo, libera me.

Genuisti, o Domina Virgo, nostrum nullius manu agricolæ cultum, ex quo vinum salutiferum profluit universis; me peccati ebrietate obtenebratum, sobrietati ac saluti restitue.

O Domine, licet damnationis reus sim, ne statuas me cum damnatis, in hora judicii : sed exiguum suspirium meum suscipiens, salvum me fac, o miserator, intercessionibus Matris tuæ.

Ode 9.

Conculcavi ego solus per summam amentiam legem tuam salutiferam, o Christe; et gravissimæ transgressioni 38 deservio, jamque damnationis reus factus sum : salva me, et miserere mei, per castam illam, quæ peperit te, tu quippe es omni bonitate superior.

A tempestate tentationum mihi graviter periclitanti esto portus, o Deo charissima Domina : et passionum mearum fluctus mitigans, peccatorum meorum pelagum desicca, ut pro debito laudem te omni laude dignissimam.

Notifica mihi viam rectam, o Virgo, per quam invenire possim portam ad regna superna ferentem, ad divina paradisi tabernacula, ad veram ac sempiternam beatitudinem.

Ordines angelorum sanctorum, exercitus martyrum, confessorum, hierarcharum, justorum, prophetarum atque apostolorum cœtus, una cum Genitrice tua, te, Christe, precantur : Tu tanquam multa præditus misericordia, salva nos, et miserere nostri.

VIII

In sanctissimam Deiparam Canon VIII (42) *cujus acrostichis est : « Octava do tibi, Maria, cantica. Joseph. »*

Ode 1.

O gloriosa et casta, quæ sola fidelium gloria

οἰκτιρμῶν, ἐπίστρεψον, σῶσόν με παρακλήσεσι, Λόγε, τῆς Τεκούσης σε.

Ὠδὴ ζ'.

Ἡ τὴν φύσιν τοῦ προπάτορος θεώσασα τῷ ὑπὲρ φύσιν τόκῳ σου, ἁμαρτῶντά με ὑπὲρ φύσιν, καὶ τὸν ἀγαθὸν τῇ φύσει πικράναντα Θεὸν, καταλλαγαῖς σου μητρικαῖς αὐτῷ οἰκείωσον.

Τὴν πηγάζουσαν ἑκάστοτε καρδίαν μου ἁμαρτημάτων ῥεύματα, ἡ πηγάσασα σωτηρίας ὕδωρ τοῖς πιστοῖς, καθάρισον μέλπειν ἐμμελῶς · Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Οὐρανὸς ἐπὶ τῆς γῆς σὺ ἐχρημάτισας τοῦ οὐρανοῦ καὶ γῆς Ποιητοῦ, ὃν ἱκέτευε τῶν τῆς γῆς με ῥύσασθαι κακῶν, καὶ μέτοχον τῶν ἐν οὐρανοῖς καταξιῶσαι ἀγαθῶν, Θεογεννήτρια.

Ὠδὴ η'.

Καὶ μὴ θέλων, ὦ τάλας, πράττω τὰ ἄτοπα συνηθείᾳ δουλεύων καταδουλούσῃ με δούλοις πονηροῖς, ἐκ Θεοῦ ὀλισθήσασι · Δέσποινα Παρθένε, ἐλεύθερόν με δεῖξον.

Ὡς τὸν βότρυν τεκοῦσα τὸν ἀγεώργητον, τὸν πηγάζοντα οἶνον πᾶσι σωτήριον, μέθῃ με πικρᾷ ἁμαρτίας σκοτούμενον, Δέσποινα Παρθένε, σωφρόνησον καὶ σῶσον.

Μή με στήσῃς ἐν ὥρᾳ, Δέσποτα, κρίσεως μετὰ τῶν κατακρίτων ὄντα κατάκριτον, ἀλλὰ τὸν μικρὸν στεναγμόν μου δεξάμενος, σῶσόν με πρεσβείαις τῆς σῆς Μητρὸς, οἰκτίρμον.

Ὠδὴ θ'.

Ἐμὲ τὸν μόνον καταπατήσαντα φρενοβλαβῶς τὸν νόμον σου, Χριστὲ, τὸν σωτήριον, καὶ δεινῇ παραβάσει δουλεύσαντα, καὶ κατακεχριμένον σῶσον, οἰκτείρησον διὰ τῆς τεκούσης σε ἁγνῆς, ὡς ὑπεράγαθος.

Λιμὴν ἐν ζάλῃ μοι κινδυνεύσαντι τῶν πειρασμῶν γενοῦ, θεοχαρίτωτε Δέσποινα, καὶ παθῶν μου τὸν σάλον πράϋνον, τὸ τῶν ἁμαρτιῶν μου ξήρανον πέλαγος, ὅπως κατὰ χρέος σε ὑμνῶ τὴν πολυύμνητον.

Ὁδὸν εὐθεῖάν μοι καθυπόδειξον, δι' ἧς εὑρεῖν δυνήσωμαι τὴν πύλην τὴν φόρουσαν πρὸς τὰ ἄνω, Παρθένε, βασίλεια, πρὸς τὰ τοῦ παραδείσου θεῖα σκηνώματα, πρὸς τὴν δι' αἰῶνος ἀληθῆ μακαριότητα.

.... στρατὸς μαρτύρων, ὁσίων σύλλογος, ἱεραρχῶν, δικαίων, προφητῶν, ἀποστόλων τε, τῶν ἀγγέλων τὰ τάγματα, μετὰ τῆς σε τεκούσης ἐκδυσωποῦσί σε · Σῶσον ἡμᾶς, οἰκτειρον, Χριστὲ, ὡς πολυέλεος.

H'.

Εἰς τὴν ὑπεραγίαν Θεοτόκον, Κανὼν η', οὗ ἡ ἀκροστιχίς ἐστι · « Δέησίς ἐστιν ὀγδόη τῇ Παρθένῳ. » Ἰωσήφ.

Ὠδὴ α.

Δεδοξασμένα περὶ σοῦ λελάληται, δεδοξασμένη,

(42) Exstat hic Canon Græce tantum in Paracletico Græcorum edito feria IV octavi toni seu quarti plagii, et in Paracletico ms. Bibliothecæ monasterii Cryptæferratæ feria VI.

Digitized by Google

ἁγνὴ, ἡ τῶν πιστῶν δόξα μόνη χρηματίσασα· διὸ μελλούσης δόξης με κοινωνὸν σαῖς πρεσβείαις δοξάζοντά σε ἀνάδειξον, ἄχραντε πανάμωμε Δέσποινα.

Εὐλογημένος ὁ καρπὸς, πανάμωμε, ὁ τῆς κοιλίας σου, δι' οὗ βροτοὶ πάντες τῆς ἀρᾶς ἐλύθημεν, εὐλογημένη πάναγνε, ἀνερμήνευτον θαῦμα, ἀκατανόητον ὅραμα, πάντων τε βροτῶν τὸ διάσωσμα.

Ἡ τῶν ἀγγέλων δυσωπεῖ σε, Κύριε, πληθὺς ἑκάστοτε, τῶν μαθητῶν δῆμος, προφητῶν ὁ σύλλογος, μαρτύρων καὶ ὁσίων σου· διὰ τῆς Θεοτόκου, ἁμαρτημάτων συγχώρησιν δώρησαι ἡμῖν, ὡς φιλάνθρωπος.

Σὲ τὴν ἐν σπλάγχνοις δεξαμένην, ἄχραντε, τὸ φῶς τὸ ἀστεκτον ἐκδυσωπῶ πίστει· τῆς γεέννης ῥῦσαί με, καὶ τῆς ἀποκειμένης μοι διὰ πλῆθος πταισμάτων κολάσεως ἐλευθέρωσον, σοῦ ταῖς εὐπροσδέκτοις δεήσεσιν.

Ὠδὴ γ'.

Ἱερᾶς πολιτείας ἀποπεσὼν, ἄχραντε, παρασυνεβλήθην τοῖς κτήνεσι καὶ κατάκριτος ὅλος γεγένημαι· ἡ τὸν Κριτὴν τετοκυῖα πάσης, κατακρίσεως ῥῦσαι καὶ σῶσόν με.

Στεναγμοὺς ἀνενδότους, καὶ ψυχικὸν δάκρυον, καὶ διηνεκῆ μοι πάρασχου, κόρη, κατάνυξιν, ὅπως πενθήσω μου τὰ συμφυέντα μοι πάθη ἐξ ἀπροσεξίας μου, Θεοχαρίτωτε.

Ἐπουράνιαι τάξεις, λειτουργικὰ πνεύματα, δῆμος προφητῶν, ἀποστόλων σου, καὶ μαρτύρων σου, σὺν τῇ τεκούσῃ σε, ἐκδυσωποῦσιν, οἰκτίρμον, τῷ λαῷ σου δώρησαι πταισμάτων ἄφεσιν.

Συμπαθείας με θείας, ὡς συμπαθὴς, ἄχραντε, νῦν καταξιῶσαι δυσώπει τὸν εὐσυμπάθητον, τρόπους ἀσπλάγχνους καὶ ἀσυμπαθεῖς κεκτημένον, μετανοίας τρόπους με νῦν ἀνακάλεσαι.

facta es: gloriosa dicta sunt de te: propterea, dum te glorifico, fac me participem futuræ gloriæ intercessionibus tuis, o Domina immaculata, et ab omni labe aliena (43).

39 Carens omni macula Virgo (44), tota casta ac benedicta, inexplicabile miraculum, incomprehensibile spectaculum, omnium mortalium salus, benedictus sit fructus ventris tui, per quam nos homines universi a maledictione liberati sumus.

Turba angelorum copiosa, discipulorum conventus, prophetarum, martyrum et confessorum tuorum cœtus, te, Domine, semper precatur: per Deiparam largire nobis peccatorum veniam, utpote hominum amator.

Ad te, o immaculata, quæ ignem intolerabilem intra viscera suscepisti, supplices cum fide preces fero: a gehenna eripe me, et a supplicio, quod propter multitudinem peccatorum meorum paratum est mihi, libera me acceptissimis precibus tuis.

Ode 3.

Ut a sacris vitæ institutis excidi, o immaculata, comparatus sum jumentis, et damnatus totus factus sum; tu quæ Judicem peperisti, ab omni damnatione libera me, et salva me.

Assiduam compunctionem, veros gemitus, ac lacrymas ex animo emanantes concede mihi, o puella, ut passiones quæ mihi ex mea negligentia inhæserunt, deflere possim, o Deo gratissima.

Digestæ per cœlum angelorum acies, administratorii spiritus, turba prophetarum, apostolorum, ac martyrum tuorum, una cum Genitrice tua, te suppliciter exorant, o misericors, ut populo tuo peccatorum indulgentiam largiaris.

O immaculata, tanquam compatiens precare illum qui maxime omnibus compatitur, ut me divina compassione dignum efficiat: et cum mores immites, et compatiendi ignaros induerim, tu me nunc ad pœnitentiæ mores revoca.

(43) Hæc vox *immaculata*, adjuncta Dominæ nostræ Virgini Deiparæ, exserit omnes vires suas et plenitudinem puritatis significat, excludens omnem maculam sive actualem, sive originalem; nobilius significans exclusionem maculæ originalis in conceptione conjuncta Virgini, quam si conceptioni ipsi jungatur. Indicat enim originem et fontem, unde conceptioni provenit quod sit immaculata et ab omni labe aliena, nempe gratiam, quæ animæ Virginis inhæret. Virgo enim non est immaculata ex vi suæ conceptionis, sed ex beneficio Dei infundentis illi gratiam, in ipso conceptionis momento. Quare (ut more scholastico loquar) hæc causalis est vera: quia anima Virginis est immaculata in momento conceptionis, conceptio ipsa est immaculata non e contra. Ad hæc, Virgo est immaculata intrinsece per gratiam, et carentiam maculæ ipsi inhærentem; conceptio vero est immaculata solum extrinsece per denominationem a puritate quæ est in Virgine. Conceptio enim neque intrinsece potest habere gratiam, neque culpam, sed sancta dicitur a sanctitate animæ, maculata vero tum ab infectione seminis ex debito et quasi radicaliter, tum formaliter a macula inhærente animæ, quæ omnia conceptioni ipsi extrinseca sunt. Nobilius ergo significatur puritas conceptionis conjungendo cum Virgine epithetum immaculatæ, quam si cum conceptione ipsa conjungeretur. Vide Calderon, *Pro titulo immaculatæ conceptionis*, cap. 5, n. 197.

(44) Potuitne Virgo omni carere macula, si originalis peccati macula non caruit? Nonne mirum apparet, quod cum dubitet nemo Dei Matrem actuali peccato nunquam fuisse vel leviter afflatam, esse nihilominus qui velint fœdatam macula longe turpiori? *Is* sanctus, impollutus, segregatus a peccatoribus tam procul, ut sanctitatis notas populo sacrificiis et templo, sacerdotibus, throno, ac reliquis olim fabricandi sibi palatii nudis imaginibus atque umbris ab orbe condito impresserit, hoc ipsum palatium, nempe Matrem divinitatis corporandæ, æternum augustale, cum facile posset, non exemit, scilicet, a labe detestanda peccati nobis ab ortu congeniti? Et in illis ab sese plurimum remotis, fumique instar defecturis, ad se tamen utcunque spectantibus, puritatis summæ curiosus, copulandam sibi arctissimo omnium ac maxime intimo ac sempiterno vinculo neglexit? Passus exsecrandarum sordium contumelias patere quam sibi Matrem delegerat? Passus dæmoni carnem semel mancipari, quam deinde secum esset in perpetuum juncturus? Vide Ludovic. Janinum Soc. Jesus in *Corona augustissimæ Virginis Matris Dei*, tract. 1, excellent. 7.

Digitized by Google

Ode 4.

Tota pura, discinde pessimum peccatorum meorum chirographum divina lancea, quæ pupugit divinum latus illius, qui ex te, o Virgo, homo fieri atque inter homines versari voluit, et precare, ut ego a Deo per meam insipientiam elongatus, salvandorum libro ascribar.

Indulgentia dignum me fac, o puella, qui vehementer pecco, et in gravia delicta prolapsus sum, ut cum vocibus plenis gratiarum actione te glorificem et cum divino affectu glorificem te, quæ excellentissimo partu tuo universos viles atque abjectos, o purissima, magnificasti.

Beatissima illibata puritate Virgo, in te naturæ eges innovantur; etenim supra naturam Verbum peperisti: propterea te cum fide precor, ut me qui supra humanam naturam multa peccavi, et a Deo elongatus sum, convertas, et salvum facias intercessionibus tuis.

Inimicus ferox, peccati jaculis totam animam meam consauciavit meumque cor fœdis concupiscentiis commaculavit, atque a via recta seduxit me. Propterea clamo ad te, ut revertentem suscipias, et salves me.

Ode 5.

Maxima te semper beatitudine fruentem, beatificant nunc generationes generationum: et cœlestes virtutes solam te concelebrant, o benedicta inter mulieres, atque Adami collapsi revocatio; quippe quæ inferiora cum superioribus copulaveris.

Ad hoc ut integer sanusque perseverem, nec ullo modo a meliori statu dimovear, sed recto tramite incedam, Deoque placita faciam, tu me virtute corrobora, quæ **41** Verbum bonum peperisti quod nos ab irrationalitate liberavit.

Redundantem ob misericordiæ abyssum sanguinem tuum, o Verbum, in cruce totum effudisti: ideo exsicca passionum mearum abyssum, et dignum me fac mediante Deipara, ut cum compunctione tibi Deo placere et gratus esse possim.

Ode 6.

Invenit per te misericordiam humana natura; etenim misericordem Dominum peperisti, o miseratrix ac tota pura: unde tibi supplico, miserere animæ meæ.

Acies incorporeorum spirituum exorant te, o Christe, simulque martyrum, prophetarum, et apostolorum cœtus: per Genitricem tuam salvum fac populum tuum ab omni circumstante calamitate.

Cultoris nescia terra, quæ agricolam peperisti, omniumque Creatorem, sylvescentem passionibus animam meam, fructiferam redde, mediante divina scientia.

Ad Deum me deducentia præcepta transgressus sum, et sponte pessimis passionibus servus factus

A

Ὠδὴ δ'.

Τὸ πονηρὸν ἁμαρτιῶν μου χειρόγραφον θείᾳ λόγχῃ, πάναγνε, διάρρηξον τῇ κεντησάσῃ θείαν πλευρὰν τοῦ ἐνανθρωπίσαι ἐκ σοῦ, Παρθένε, θελήσαντος, καὶ βίβλῳ με γραφῆναι σωζομένου δυσώπει, τὸν ἀφρόνως Θεοῦ μακρυνόμενον.

Ἵνα φωναῖς χαριστηρίοις δοξάζω σε, ἵνα θείῳ ὕμνῳ μεγαλύνω σε, τὴν τῷ μεγίστῳ σου τοκετῷ πάντας σμικρυνθέντας, πανάμωμε, μεγαλύνασαν, μεγάλως ἁμαρτῶντα καὶ δεινῶς συμπτωθέντα συγχωρήσεως, κόρη, ἀξίωσον.

Νόμοι ἐν σοὶ κεκαινοτόμηνται φύσεως· ὑπὲρ φύσιν λόγον γὰρ ἐκύησας· διό σε πίστει ἐκδυσωπῶ τὸν ὑπὲρ τὴν φύσιν τὴν ἀνθρωπίνην, πανάμωμε, πολλὰ ἡμαρτηκότα, καὶ Θεοῦ μακρυνθέντα, ἐπιστρέψαντα σῶσον πρεσβείαις σου.

Ὁ δυσμενὴς τῆς ἁμαρτίας τοῖς βέλεσι τὴν ψυχήν μου ὅλην ἐτραυμάτισε, καὶ κατεμόλυνεν ἡδοναῖς τὴν ἐμὴν καρδίαν, καὶ τῆς ὁδοῦ ἀπεπλάνησε, Παρθένε, τῆς εὐθείας· διὰ τοῦτο βοῶ σοι, Ἐπιστρέφοντα δέξαι καὶ σῶσόν με.

Ὠδὴ ε'.

Γενεαὶ γενεῶν σε τὴν ἀειμακάριστον νῦν μακαρίζουσιν· οὐρανῶν δυνάμεις, ὡς τὰ κάτω τοῖς ἄνω συνάψασαν, εὐφημοῦσι μόνην, ἐν γυναιξὶν εὐλογημένη, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.

Διαμένειν με σῶον, μὴ περιτρεπόμενον στάσεως κρείττονος, ἀλλ' εὐθυποροῦντα, καὶ Θεῷ τὰ εὐάρεστα πράττοντα, ἐνδυνάμωσόν με, τὸν ἀγαθὸν τεκοῦσα Λόγον τὸν ἡμᾶς ἀνοίας ῥυσάμενον.

Ὁ τὸ αἷμά σου, Λόγε, διὰ ὑπερβάλλουσαν ἐλέους ἄβυσσον ἐν σταυρῷ κενώσας, τῶν παθῶν μου τὴν ἄβυσσον ξήρανον, καὶ ἐγκαταρύξει σοι τῷ Θεῷ εὐαρεστῆσαι διὰ τῆς Θεοτόκου ἀξίωσον.

Ὠδὴ ς'.

Ἱλέηται διὰ σοῦ ἡ φύσις τῆς ἀνθρωπότητος· τὸν ἐλεήμονα γὰρ ἐκύησας Κύριον, ἐλεῆμον πάναγνε· ὅθεν δυσωπῶ σε, τὴν ἐμὴν ψυχὴν ἐλέησον.

Τῶν ἀσωμάτων, Χριστὲ, τὰ τάγματα δυσωποῦσί σε, μαρτύρων τε, προφητῶν, καὶ τῶν ἀποστόλων σου· διὰ τῆς τεκούσης σε, τὸν λαόν σου σῶζε ἀπὸ πάσης περιστάσεως.

Ἡ ἀγεώργητος γῆ τὸν γεωργὸν ἡ κυήσασα, καὶ πάντων Δημιουργὸν, τὴν ὑλομανήσασαν ψυχήν μου τοῖς πάθεσι, δεῖξον καρποφόρον διὰ τῆς θείας ἐπιγνώσεως.

Παρέβην τὰς ἐντολὰς τὰς πρὸς Θεὸν ὁδηγούσας με, καὶ θέλων τοῖς πονηροῖς δεδούλωμαι πάθεσι· διὸ

Digitized by Google

ἱκετεύω σε τῆς αὐτῶν με ῥῦσαι δεσποτείας, Ἀειπάρθενε.

Ὠδὴ ζ'.

Ἀῤῥήτῳ κυήσει σου, φρικτῶν ἀῤῥήτων ἡμᾶς ἠξίωσας, Θεοτόκε, πραγμάτων· διὸ φρικτῆς με ῥῦσαι κολάσεως, καὶ τῆς ἀῤῥήτου χαρᾶς καταξίωσον, ἵνα ὑμνῶ σε ἀεὶ τὴν πολυύμνητον.

Ῥαθύμως τὸν βίον μου ἐκδαπανήσας, ἄκαρπος ἔμεινα, καὶ πτοοῦμαι τὴν δίκην καὶ τῆς γεέννης τὸ πῦρ τὸ ἄσβεστον· ἡ πῦρ τεκοῦσα, Παρθένε, τὸ ἀστεκτον, πρόστηθι ῥῦσαί με πυρὸς τῇ μεσιτείᾳ σου.

Θαυμάτων ἐπέκεινα τὸ μέγα θαῦμα τῆς σῆς κυήσεως· διὰ τοῦτο βοῶ σοι· Ἀγνὴ Παρθένε, Θεογεννήτρια, τὰ σὰ ἐλέη ἐπ' ἐμοὶ θαυμάστωσον, καὶ τῆς μελλούσης ὀργῆς ῥῦσαι καὶ σῶσόν με.

Ἐμὲ τὸν βιώσαντα ἐν ἀμελείᾳ καὶ παραβλέψαντα τοὺς ἁγίους σου νόμους, καὶ τὰ σεπτά σου, Σῶτερ, ἐντάλματα, οἰκτειρον, σῶσον διὰ τῆς τεκούσης σε, ὡς εὐεργέτης Θεὸς καὶ πολυέλεος.

Ὠδὴ η'.

Νενεκρωμένην ζώωσον, συμπτωθεῖσαν ἀνάστησον, τετραυματισμένην τὴν ψυχήν μου ἴασαι, τὸν νοῦν μου εἰρήνευσον, τῶν πειρασμῶν τὰ κύματα πράῢνον, Παρθένε, καὶ βοῶντά με σῶσον· Οἱ παῖδες, εὐλογεῖτε· ἱερεῖς, ἀνυμνεῖτε· λαός, ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς ὁ λῃστὴς κραυγάζω σοι· Μνήσθητί μου, φιλάνθρωπε· κλαίω ὡς ἡ πόρνη, καὶ βοῶ σοι· Ἥμαρτον, ὡς πάλαι ὁ ἄσωτος. Μετανοοῦντα δέξαι με τὸν ἀπεγνωσμένον, διὰ τῆς Θεοτόκου, προθύμως ἵνα μέλπω· Ἱερεῖς, εὐλογεῖτε· λαός, ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἱκετικῶς βοῶμέν σοι, Θεοτόκε πανύμνητε, μετὰ τῶν ἀπείρων νοερῶν δυνάμεων, μαρτύρων, ὁσίων τε, καὶ ἀποστόλων, καὶ προφητῶν· ποίησον πρεσβείαν ὑπὲρ πάντων τῶν πίστει ἐνθεῷ μελῳδούντων· Ἱερεῖς, εὐλογεῖτε· λαός, ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'.

Ἡ θεία κλίνη Σολομῶντος, ἣν κυκλοῦσι δυνατοὶ νῦν ἑξήκοντα, ῥήσεις τῆς θείας Γραφῆς· ἐν ᾗ ὁ Λόγος ἐπανεπαύσατο· ταῖς μυριάσι με ἀεὶ δαιμόνων κλονούμενον, ἄτρωτον φύλαξον τῇ δυνάμει σου, ἀγνὴ ἀειπάρθενε.

Στάζουσα θεῖον γλυκασμὸν, τὸν ἁπάντων γλυκασμὸν ἡ κυήσασα, ἰῷ τοῦ ὄφεως τὴν φαρμαχθεῖσαν ψυχήν μου γλύκανον· ἀλλοτριοῦσά με πικρᾶς ἁμαρτίας πάντοτε τῇ μεσιτείᾳ σου, προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

Ἥλιε δόξης, Ἰησοῦ, τὴν ἀθλίαν μου ψυχὴν φωταγώγησον ταῖς παρακλήσεσι τῆς σε τεκούσης ἁγνῆς θεόπαιδος, τῶν ἀσωμάτων λειτουργῶν. σεπτῶν

A sum : propterea te supplex oro, o Virgo perpetua, ut me ab earum imperio liberare digneris.

Ode 7.

Inenarrabili partu tuo, o Deipara, dignos fecisti nos rebus ineffabilibus atque horrore et reverentia plenis : quamobrem ab horribili supplicio libera me ; atque ineffabili gaudio dignum me fac, ut laudem te semper plurimis laudibus dignam.

Totam vitam meam per summam socordiam absumpsi, atque sine ullo fructu permansi, et judicium formido, ac gehennæ 42 ignem inexstinguibilem, o Virgo, quæ ignem intolerabilem peperisti, patrona mihi adesto ut liberes me ab igne, intercessione tua.

B Ingens miraculum partus tui, miracula universa transcendit : ideo clamo ad te : O casta Virgo ac Dei mater, mirifica in me misericordias tuas, et ab ira futura libera, et salva me.

Cum vitam meam in incuria ac negligentia transegerim, sanctasque leges tuas, et veneranda præcepta tua transgressns fuerim, miserere mei ac salva me, o Salvator, per Genitricem tuam, tanquam Deus beneficus, ac multæ misericordiæ plenus.

Ode 8.

Animam meam peremptam, vivifica, o Virgo : prolapsam erige, sauciatam cura ; mentem meam pacifica ; tentationum fluctus concitatos tranquilla, et salvum me fac clamantem : Benedicite, pueri ; sacerdotes, laudate ; populi, superexaltate Christum C in sæcula.

Instar latronis clamo ad te : Memento mei, o amator hominum ; tanquam meretrix fleo ; et tanquam antiquus ille prodigus luxuriosus exclamo : Peccavi. Tu me pœnitentem ac desperatum suscipe per Deiparam, ut alacri promptoque animo canam : Benedicite, sacerdotes ; populi, superexaltate Christum in sæcula.

O Deipara omni laude dignissima, suppliciter ad te clamamus cum innumeris intellectualibus potestatibus, cum martyribus, confessoribus, apostolis ac prophetis ; intercede pro omnibus qui cum fide divinitus canunt : Benedicite, sacerdotes ; populi, superexaltate Christum in sæcula.

D 43 Ode 9.

Salomonis divine lectule, quem nunc sexaginta potentes ambiunt, id est divinarum Scripturarum verba ; in quo Verbum requievit : me a dæmonum myriadibus assidue exagitatum, conserva sine vulnere, virtute tua, o castissima semper Virgo.

Effundens divinam dulcedinem, quæ omnium dulcedinem peperisti, animam meam serpentis veneno infectam dulcore tuo perfunde ; semper me ab amaritudine peccati alienum efficiens mediatione tua, o patrocinium fidelium, quod pudore non suffunditur.

Perfunde lumine tuo infelicem animam meam, o Jesu sol gloriæ, intercessionibus illius castissimæ divinæ puellæ, quæ peperit te : itemque incorporeo-

Digitized by Google

rum ministrorum, venerandorum apostolorum tuorum, hierarcharum, prophetarum, et martyrum gloriosissimorum, confessorumque tuorum.

Horresco, o sole rex, ac vehementer formido secundum adventum tuum, cum sim totus damnatus, et auxilio consilioque destitutus; propterea antequam finis adveniat, ad te clamo, o Domine: Per eam quæ te genuit, parce mihi, et salva me, misericors, bone et amator hominum.

ἀποστόλων σου, ἱεραρχῶν, προφητῶν, καὶ μαρτύρων εὐκλεῶν, καὶ ὁσίων σου.

Φρίττω σου, μόνε βασιλεῦ, τὴν δευτέραν παρουσίαν καὶ δέδοικα, ὅλος κατάκριτος ἠπορημένος ὑπάρχων, Κύριε· διὸ πρὸ τέλους σοι βοῶ· Διὰ τῆς τεκούσης σε, φεῖσαι καὶ σῶσόν με, ἐλεῆμον, ἀγαθὲ, καὶ φιλάνθρωπε.

44 IX.

In sanctissimam Deiparam Canon IX (45) *Paracleticus.*

Ode 1.

O sanctissima, tota immaculata (46) et pura, quæ Verbum Dei omni sanctitate superius, supra naturæ modum genuisti, omnes sanctifica, et guberna, atque a passionibus emunda, et ab ingruenti periculo quantocius libera.

Theotocion.

O patrocinium omnium fidelium, assiste, et auxiliare mihi a molestiis vitæ circumvento, neque permittas me fluctibus illius immodicis agitari, ac conteri; sed extende auxilii tui manum, te precor, o puella.

Ode 3.

O fons pure, ex quo Christus emanavit, irriga animam meam, quæ omnium passionum æstu adduritur, et ab ingruentibus molestiis salva me.

Theotocion.

O Virgo pura, patrocinium omnium, quod non confunditur, protege me, et libera me ab operibus confusionis, te precor, et ab hominibus qui semper student inferre malum mihi.

45 Ode 4.

Deprecor, o Domina, bonitatem tuam, auxiliare mihi, dum tribulationes, et tentationes invadunt me, et gravissima tempestate exagitant cor meum.

Theotocion.

Ne despicias me tempestate jactatum; ne derelinquas me calamitatibus circumdatum et assidue attritum, o Deipara, auxilium fidelium.

Ode 5.

Ab horrenda disquisitione, ac damnatione, ab hominibus iniquis, qui gratis conturbant me, atque ab omni angustia quæ me invadit, libera me servum tuum inutilem, tibi, o castissima, ferventi affectu supplicantem.

Theotocion.

Concede mihi, Domina, imbres lacrymarum quibus abluantur sordes miseri cordis mei, et ab ingruentibus periculis libera me, ut semper te magnificem cum lætitia, o Deo charissima.

Ode 8.

Tanquam ea quæ divinam pluviam suscepisti, desicca intercessionibus tuis flumina delictorum meorum, et tentationum imbres imminue, et salva me.

Theotocion.

O Domina pura, quæ cœlos excedis amplitudine, libera 46 nos supplices tuos ab omni angustia; et in tribulatione consolare omnes dilatatione bona, ut te debitis laudibus beatificemus.

Ode 9.

O Domina Virgo, eripe me a luto peccati, in eodem infixum; et periclitantem libera a tentationibus adversariorum ac malorum hominum, qui gratis conturbant me, et graviter me invadunt.

Theotocion.

Tu quæ lucis es habitaculum, o immaculatissima (47); animæ meæ tenebras et tentationum nebulos celeriter expelle, et a malis ingruentibus salva me, precor, dum te fideliter collaudo.

(45) Græca desunt. EDIT. — Hic Josephi canon non solum est in S. Deiparam, sed etiam in Michaelem principem cœlestis militiæ, et sanctos Acyndinos sanctumque Nicolaum. Quæ vero in eo erant non pertinentia ad B. Virginem, cum huc non facerent, consulto omissa sunt. Desumptus est autem ex quodam ms. bibliothecæ Cryptæ Ferratæ sub numero 93, cujus titulus est: *Canones Anastasimi et Stauroanastasimi et Anabathmi Octœchorum Echus primus*, in quo libro sunt plures alii canones ejusdem Josephi, ex quibus Theotocia superius adduxi.

(46) Totalis B. Virginis immaculatio non potest cum aliqua macula bene cohærere, quocunque instanti vel tempore sit hæc macula contracta, atque ideo obnixe et necessario tenendum S. Josephum, dum Deiparam totam immaculatam salutavit, illam nullius peccati macula, etiam in primo instanti, fuisse deturpatam credidisse.

(47) Quid est Deiparam esse immaculatissimam, nisi ipsam privilegio singularissimo ac prærogativa omnes per generationem naturalem ab Adamo descendentes in munditia, puritate, et carentia cujuscunque maculæ superasse? Admissa autem in B. Virgine macula peccati originalis, plures ex posteris Adæ, quoad peccati carentiam in munditia, et puritate, a B. Virgine non superarentur: nam omnes infantes innocentes, qui post baptismum moriuntur, antequam ad usum rationis perveniant, quotquot etiam adulti perfecti judicii ac rationis expertes, totum vitæ suæ stadium percurrerunt, modo a peccato originali lavacro regenerationis mundentur, essent æque immaculati ac Virgo beatissima; sunt enim pares quoad peccati actualis carentiam, nec beatissima Virgo ab ipsis in immunitate a labe originali dissideret. Unde deducitur B. Virginem quoad peccati impuritatem reliquis ab Adamo descendentibus speciali privilegio non præstare, nec vere a S. Josepho et aliis passim Patribus salutari immaculatissimam.

Digitized by Google

ΘΕΟΤΟΚΙΑ

Η

ΕΙΣ ΤΗΝ ΘΕΟΤΟΚΟΝ ΣΤΡΟΦΑΙ

Ἐκ τῶν Μηναίων τῆς Ἑλληνικῆς Ἐκκλησίας.

—

47 THEOTOCIA (48),

SEU

DEIPARÆ STROPHÆ

Ex Menæis Græcorum (49).

—

ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ.

Ἐκ τοῦ Κανόνος ἐν προεορτίᾳ τῶν Φώτων, καὶ μνήμῃ τοῦ Σιλβέστρου, πάπα Ῥώμης, ἡμέρᾳ β'.

Ἵνα τοὺς κάτω τοῖς ἄνω συνάψειεν, ὁ μόνος πάντων Θεὸς μήτραν ἀπειρόγαμον ὑπέδυ, καὶ σαρκὸς φανεὶς ἐν ὁμοιώματι, τῆς ἔχθρας τὸ μεσότοιχον

MENSIS JANUARIUS.

Ex canone in pervigilia Epiphaniæ, et sanctum Sylvestrum, papam Romanum, die 2.

Ut inferiores superioribus ac cœlestibus conjungeret solus omnium Deus, virginalem uterum ingressus est, eumque in similitudine carnis appa-

(48) Hæc S. Josephi de Deipara Virgine Theotocia ex Mænæis Græcorum impressis, ex Menæis mss. bibliothecæ monasterii Cryptæ Ferratæ, et ex pluribus Græce manuscriptis codicibus celeberrimæ bibliothecæ Barberinæ, in quibus multi exstant sub nostri Josephi nomine canones qui in Menæis Græce tantum impressis desiderantur; decerpsit, ac e Græco in Latinum sermonem transtulit P. Ludovicus Marracius, frater meus. — Scire debet lector fere omnes Græcorum canones, hymnos et odas, de sanctis quibuslibet scriptos, cum insigni aliqua ad Deiparam apostrophe claudi. Has Græci clausulas hymnorum suorum, *Theotocia* nominant, quasi dicas Deiparæ strophas. Alii scribunt *Theotochia* non recte, cum apud Græcos non fit X, sed K. Cum autem Josephus noster innumeros fere de sanctis canones, hymnos et odas composuerit, infinita prope virginearum inde laudum seges excrescit, quam per omnes pene Menæorum paginas sparsam, ad ingerendos fovendosque teneros erga magnam Dei Matrem affectus, hoc loco collectam lectori exhibeo.

(49) Menæa nihil aliud sunt quam duodecim non exigui codices Ecclesiæ Græcæ quibus continentur per singulos singulorum mensium dies variæ Dei, Deiparæ, ac sanctorum laudes, in templis Græcorum sub divinis Officiis decantari consuetæ; et in lingua Romana hos duodecim Menæorum tomos non incommode libros menstruales appellandos censet P. Simon Vuagnereck in *Mariana Pietate Græcorum* in Prolegomenis, n. 9, velut et Plautus in *Captivis*, *menstruales epulas* dixit. Ili autem duodecim tomi, manuscripti a Græcis Venetias missi, ante annos circiter quinquaginta ibidem Græce solum excusi sunt, ad commodiorem templorum Græciæ usum : tam tum enim ipsis etiam Græcis pervetustus ille manuscriptorum codicum squalor esse tædio cœperat : plus undique blandientibus Latinæ Ecclesiæ libris arte typographica cultis. De his Menæis loquens Leo Allatius in suo opere *De libris Eccles. Græc.* Dissert. I, pag. 78, ait inter alia : Menses singuli singula explent volumina, singulis diebus unius vel plurium sanctorum Officium, quorum solemnitas eo die celebratur, digeritur. Troparia scilicet in primis et secundis Vesperis, Missa et Canones in Matutino, aliisque divinis Officiis recitandis, inter quos Synaxaria, rerum nempe gestarum ab illis sanctis, quorum dies agitur, succincta oratio : aliorum item sanctorum, licet eorum Officium peculiare non habeatur, eaque vel prosa vel carmine commemoratio, sic a mense Menæa appellantur. Ea plerique in rebus ecclesiasticis minus accurati cum Menologiis confundunt, quæ omnino diversa esse manifestum est. Menologia enim (ut idem Leo infra subdit) non alia sunt, quam quæ Latinus Martyrologia vel Kalendaria dixerit, nec aliud in illis habetur, nisi vel sanctorum Vitæ, quolibet die per totum annum summatim expositæ, vel quorum vitæ non habetur, commemoratio, nullaque ibi aut Officii ordinandi aut recitandi series continetur. Verum est tamen sæpissime Menologiorum horum partem, eamque non minimam in Menæis inter canones post odam sextam esse digestam, ut sine alterius libri ope, qui officium in ecclesia aut domi recitat, habeat unde celebrandorum sanctorum historiolas, et commemorationes legat. Hoc Menologium apud Græcos non unum est, sed pro opportunitate temporis variam quoque faciem induit : aliud quippe est quod nobis Latine tantum ex versione cardinalis Sirleti Canisius in *Antiquis Lectionibus* repræsentavit : aliud quod separatim hinc inde manuscriptum adhuc in bibliothecis, et Barberina potissimum, quod et antiquissimum est, asservatur, quæ nec omnia sibi invicem respondent : aliud quod in Menæis Græcorum insertum est : aliud quod post divinas Horas, Evangelium, Apostolum, aliosque libros legitur. Menologium ex Menæis Græcorum erutum, et in linguam Græcorum vernaculam versum a Maximo Margunio,

Digitized by Google

ruisset, intermedio inimicitiæ pariete sublato, pacem interposuit ; vitamque ac divinam redemptionem largitus est.

Virgo casta post partum permansisti, o sanctissima; Deum enim Verbum genuisti similem nobis factum, sine peccato.

Sana vulnera cordis mei, o puella ; et motus animæ meæ recto ac felici tramite dirige, o Virgo, ad Dei voluntatem faciendam.

Salve, o unica Genitrix illius, qui carnem.... emendicavit ; salve, collapsi mundi erectio, o immaculatissima ; salve, mœroris dissolutio ; salve, salus fidelium ; salve, throne Dei altissime.

Mente revolventes diviniloqui prophetæ, mysterii tui profunditatem, o Virgo, prophetice prænuntiaverunt illud, **48** divino Spiritu illustrati : nos vero cum illorum vaticinia opere completa nunc læti intueamur, eredimus.

O puella, omnibus miraculis admirabilior, illum genuisti, qui est ante omnia sæcula, nobis similem factum propter summam misericordiam suam, ut salvos faceret eos, qui canunt : Benedictus es, Deus patrum nostrorum.

Divinis verbis tuis hominum generationes inhærentes, beatam te dicunt, o semper beatissima, suaviter concinentes : Benedicite, omnia opera, Dominum.

O Virgo, bonorum amatrix, bonam effice animam meam, peccati malitia depravatam ; tu enim bonum Deum ac Dominum peperisti.

Ex Canone in pervigiliis Luminum, seu Epiphaniæ, die 3.

O miraculorum miraculum ! Quomodo Deus noster, qui est superior omni creatura, creatur et plasmatur ex Dei Matre ; et voluntate sua renovat et plasmat iterum nos ex aqua, et spiritu solus beneficus plasmatione maxime admirabili ?

Horrescunt cherubim, atque universa cœlestis natura ob reverentiam venerandæ prolis tuæ incomprehensibilis, o immaculatissima, quæ similis facta est nobis propter ineffabilem misericordiam suam, et secundum carnem baptizata est ; cujus divinam apparitionem nunc omnes exsultantes celebramus.

Ex Canone in sanctos septuaginta apostolos, die 4.

Divinum regis palatium honoremus, in quo, quemadmodum ipse voluit, habitavit ; innuptam ac solam Deiparam, per quam deificati sumus, collaudemus.

49 Casta ante partum, in partu, et post partum vere, o Virgo Mater, apparuisti : Deum enim peperisti, quem apostolorum collegium manifeste prædicavit.

Beatissimus olim prophetarum chorus sacris va-

ἐλὼν, εἰρήνην ἐμεσίτευσε, καὶ ζωὴν ἐβράβευσε, καὶ θείαν ἀπολύτρωσιν.

Παρθένος ἁγνὴ μετὰ τὴν κύησιν, παναγία, διέμεινας · Θεὸν Λόγον γὰρ ἐγέννησας ἡμῖν ὁμοιωθέντα, χωρὶς ἁμαρτίας.

Ἴασαί μου τὰ τραύματα, κόρη, τῆς καρδίας, καὶ κατευόδωσον τῆς ψυχῆς μου τὰ κινήματα εἰς Θεοῦ, Παρθένε, τὰ θελήματα.

Χαῖρε, μόνη τεκοῦσα τὸν.... σάρκα πτωχεύσαντα, χαῖρε, τοῦ πεσόντος ἐπανόρθωσις κόσμου, πανάμωμε· χαῖρε, λύπης λύσις· χαῖρε, πιστῶν ἡ σωτηρία· χαῖρε, θρόνε Θεοῦ ὑψηλότατε.

Νοήσαντες θεηγόροι προφῆται μυστήριόν σου, Παρθένε, τὸ βάθος προφητικῶς προκατήγγειλαν τοῦτο, φωταγωγούμενοι θείῳ ἐν Πνεύματι · καὶ νῦν ἡμεῖς περιχαρῶς τὰς ἐμφάσεις ὁρῶντες πιστεύομεν.

Ὑπερθαύμαστε κόρη, τὸν πρὸ πάντων αἰώνων ἐκυοφόρησας ἡμῖν ὁμοιωθέντα, δι' ἄκραν εὐσπλαγχνίαν, ἵνα σώσῃ τοὺς ψάλλοντας · Ὁ τῶν πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Ῥήμασί σου θείοις γενεαὶ ἐπόμεναι αἱ τῶν ἀνθρώπων μακαρίζομέν σε τὴν ἀειμακάριστον, καὶ μελῳδοῦμεν · Εὐλογεῖτε, πάντα τὰ ἔργα, τὸν Κύριον.

Φιλάγαθε Παρθένε, τὴν κεκακωμένην τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον · τὸν ἀγαθὸν ἡ τεκοῦσα Θεὸν καὶ Κύριον.

Ἐκ τοῦ Κανόνος ἐν προεορτίᾳ τῶν Φώτων, ἡμέρᾳ γ'.

Ὦ θαῦμα θαυμάτων ! Πῶς ὁ πάσης ἐπέκεινα κτίσεως Θεὸς ἡμῶν κτίζεται καὶ πλάττεται ἐκ τῆς Θεομήτορος, καὶ καινουργεῖ θελήματι καὶ ἀναπλάττει ἡμᾶς, δι' ὕδατος καὶ πνεύματος πλάσιν θαυμασιωτάτην, ὁ μόνος εὐεργέτης ;

Φρίττει χερουβὶμ καὶ πᾶσα οὐράνιος φύσις, παναμωμε, τὸν ὑπὲρ κατάληψιν σεπτόν σου τόκον ὁμοιωθέντα ἡμῖν, δι' εὐσπλαγχνίαν ἄφατον, καὶ βαπτισθέντα σαρκὶ, οὗ τὴν θείαν πάντες ἐπιφάνειαν ἑορτάζομεν νῦν ἀγαλλόμενοι.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους ἑβδομήκοντα ἀποστόλους, ἡμέρᾳ δ'.

Τὸ θεῖον παλάτιον τοῦ βασιλέως τιμήσωμεν, ἐν ᾧ κατεσκήνωσε, καθὼς ἠθέλησε · τὴν ἀπείρανδρον καὶ μόνην Θεοτόκον, δι' ἧς ἐθεώθημεν, ὑμνολογήσωμεν.

Ἁγνὴ πρὸ τοῦ τόκου, καὶ ἐν τόκῳ, καὶ μετὰ τόκον ἀληθῶς, Παρθενομῆτορ, πέφηνας · Θεὸν γὰρ ἀπεκύησας, ὃν ἀποστόλων σύλλογος περιφανῶς ἀνεκήρυξεν.

Σὲ μακαριώτατος πάλαι χορὸς τῶν προφητευόντων

Cytherorum episcopo, edidit Antonius Pinellus Venetiis anno 1629, in 4. Cum autem in Menæis, de quibus diximus, plurimi sparsim in quolibet mense exstent sub Josephi nostri nomine de sanctorum laudibus canones, ex his omnia, quæ ad Deiparam spectabant, decerpta, nunc piorum oculis sese offerunt legenda

Digitized by Google

ἐν Πνεύματι θεηγορίαις ἱεραῖς θεοπρεπῶς κατονομάζει, πάναγνε, πύλην καὶ ὄρος κατάσκιον.

Τὰ ὄμματα φώτισον, Παρθένε, τῆς καρδίας μου, λάμψον μοι ἀκτῖνα μετανοίας, σκότους με ῥῦσαι διαιωνίζοντος, πύλη τοῦ φωτὸς, Χριστιανῶν πάντων τὸ προσφύγιον τῶν πιστῶς ἀνυμνούντων σε.

Ὑμνῶ σε, μόνη πανύμνητε· δοξάζω σε, ἀεὶ θεοδόξαστε, καὶ μακαρίζω σε ἣν γενεαὶ μακαρίζουσι τῶν γενεῶν, Παρθένε θεομακάριστε.

Ἱλαστήριον, πανάμωμε, γεγένησαι ἁμαρτανόντων ἀεὶ, τεκοῦσα ὑπερφυῶς τοῦ κόσμου τὸν αἴροντα τὴν ἁμαρτίαν Χριστὸν, ᾧ κραυγάζομεν· Ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς, εὐλογητὸς εἶ.

Ὦ θαῦμα ἐπέκεινα θαυμάτων! Πῶς τίκτεις καὶ μένεις παρθενεύουσα, πάναγνε θεόνυμφε; Λόγον γὰρ ἐγέννησας τὸν τῷ Πατρὶ συνάναρχον, ᾧ πάντες ψάλλομεν· Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φέγγος ἀστραπῆς τοῦ τόκου σου ἔλαμψε καὶ κατεφαίδρυνε πᾶσαν τὴν ὑφήλιον, καὶ τὸν προστάτην τοῦ σκότους ὤλεσε, Θεογεννῆτορ πάναγνε, ἀγγέλων καύχημα, καὶ ἀνθρώπων πάντων τὸ διάσωσμα, τῶν ἀπαύστοις φωναῖς εὐφημούντων σε.

Ἐκ τοῦ Κανόνος εἰς τὴν ὁσίαν μητέρα ἡμῶν Δομνίκαν, ἡμέρᾳ η'.

Καὶ πρὸ τόκου ἄφθορος, ἁγνὴ, καὶ μετὰ τὴν κύησιν Μήτηρ Θεοῦ, ὑπερφυῶς διέμεινας· ὅθεν σε ποθήσασα θείῳ Πνεύματι ἡ Δομνίκα, ὀπίσω σου ἄφθορος προσήχθη τῷ παμβασιλεῖ Υἱῷ σου, ἄχραντε.

Δυνάμωσον, πανάχραντε, τὸ ἀσθενές μου, Δέσποινα, δύναμιν τὴν τοῦ Ὑψίστου τέξασα, τὴν τὸ εἶναι πᾶσι προσέχουσαν, καὶ Δομνίκας τὴν μνήμην μεγαλύνασαν.

Νεκρώσεως τοὺς χιτῶνας Ἀδὰμ ἐξεδύσατο τῇ θείᾳ γεννήσει σου, καὶ τὴν στολὴν ἠμφιάσατο, μόνος ἦν ἐξύφανεν ἐν τῇ γαστρί σου ὁ Λόγος σωματούμενος.

Ἅγιον Κύριον, Κυριοτόκε, τοῦ παντὸς τέτοκας, ὃν ἐκ ψυχῆς Δομνίκα ποθοῦσα, παθῶν φθοροποιῶν κατακυριεύει, Παρθένε, ὑμνοῦσα σε.

Δι' ἐμὲ, κατ' ἐμὲ ἐχρημάτισε βρέφος ὁ παντέλειος, ἀνακαινίζων με παλαιωθέντα πάθεσι, διὰ σοῦ, παναγία θεόνυμφε.

Ἰσχύς μου, καὶ ὕμνησις, καὶ σωτηρία ὑπάρχει ὁ Κύριος, ὃς σε Μητέρα πάναγνον καὶ νύμφην ἀνύμφευτον προεκλεξάμενος, ὃν ὑπὲρ τῶν δούλων σου ἀεὶ μὴ διαλίπῃς πρεσβεύειν, ἄχραντε.

Ὁ ὑπερούσιος Θεὸς οὐσιοῦται δι' ἡμᾶς ἐκ τῶν σῶν σπλάγχνων, τὴν φθαρεῖσαν οὐσίαν ἀνακαινίσαι ζητῶν, δι' οἶκτον, Παρθένε, καὶ ἔλεον, ὁ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας.

Φεῖσαί μου, Κύριε, φεῖσαι, ὅταν μέλλῃς με κρῖναι,

ticiniis in Spiritu divinitus te, o castissima, portam, et montem umbrosum nominavit.

Illumina, o Virgo, oculos cordis mei, effulge super me pœnitentiæ radio; a tenebris perennantibus libera me, o porta lucis, refugium omnium Christianorum te fideliter laudantium.

Laudo te, o sola digna omni laude: glorifico te, o semper a Deo glorificatissima; et beatifico te, o Virgo divina beatitudine felicissima, quam generationes generationum beatam appellant.

Expiatorium facta es, o purissima, eorum qui assidue delinquunt, supra naturæ ordinem enixa Christum, qui tollit peccatum mundi, ad quem clamamus: Dominus ac Deus patrum, benedictus es.

O miraculum, quod omnia miracula transcendit! Quomodo paris, et permanes Virgo, o castissima sponsa Dei? Nimirum Verbum Patri coæternum genuisti, cui omnes psallimus: Laudate, omnia opera, et superexaltate Dominum in omnia sæcula.

Jubar fulgoris partus tui effulsit, atque universum terrarum orbem lætissimo lumine perfudit, ac tenebrarum principem perdidit, o Dei Genitrix castissima, angelorum gloriatio, atque omnium hominum salus, qui incessantibus vocibus te concelebrant.

Ex Canone in sanctam Matrem nostram Dominicam, die 8.

Ante partum incorrupta, etiam post partum Virgo permansisti supra naturæ ordinem, o Dei Mater. Quamobrem **50** Domnica te in Spiritu sancto desiderans, post te incorrupta adducta est, o inviolata, regi omnium Filio tuo.

Corrobora, o intemeratissima Domina, infirmitatem meam, tu quæ virtutem Altissimi peperisti, quæ omnibus dat esse, et Domnicæ memoriam magnificat.

Tunica mortalitatis exuit Adamus, divino partu tuo, et induit se stola, quam incarnatum Verbum solum in utero tuo contexuit.

Sanctum omnium Dominum peperisti, o Dominipara, quem ex animo Domnica concupiscens, passionum mortiferarum dominatur, te, o Virgo, collaudans.

Propter me factus est similis mei infans ille, qui est perfectissimus, ut me passionibus inveteratum renovaret per te, o sanctissima Dei sponsa.

Fortitudo mea, et laus et salus mea est Dominus, qui te Matrem intaminatissimam, et sponsam innuptam elegit; apud quem ne prætermittas assidue pro servis tuis intercedere, o inviolata.

Supersubstantialis Deus fit substantia propter nos ex visceribus tuis, substantiam corruptam redintegrare cupiens, o Virgo, propter suam misericordiam, et pietatem, qui est gloriosus in omnia sæcula.

Parce mihi, Domine, parce cum veneris ad judi-

Digitized by Google

candum me, et ne me condemnes ad ignem, nec in ira tua arguas me; precatur te Virgo, quæ peperit te, o Christe, una cum angelorum turbis, atque ordinibus sanctorum.

A καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε Παρθένος, ἡ σε κυοφορήσασα, Χριστὲ, τῶν ἀγγέλων τὰ πλήθη, καὶ τῶν ὁσίων τάγματα.

Ex Canone in SS. Hermylum et Stratonicum MM. die 13.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Ἑρμύλον καὶ Στρατόνικον, ἡμέρᾳ εγ'.

Dominus, qui a nulla creatura capi aut contineri potest, in te, Domina, continetur, propter suam misericordiam **51** factus homo, ut homines per ineffabilem humanitatem ac benignitatem salvos faciat.

Ὑπάρχων ὁ κατὰ φύσιν Κύριος πᾶσιν ἀχώρητος, ἐν σοὶ χωρεῖται, Δέσποινα, βροτὸς εὐσπλαγχνίᾳ γενόμενος, ἵνα βροτοὺς δι' ἄφατον φιλανθρωπίαν διασώσηται.

O sanctissima, quæ sanctissimum Verbum peperisti, sanctifica animas et corpora nostra, dum te omni laude dignissimam beatificamus.

Ὑπεραγία ὑπεράγιον Λόγον κυήσασα, καθάγιασον ἡμῶν καὶ τὰς ψυχὰς καὶ τὰ σώματα τῶν μακαριζόντων σε τὴν παναμώμητον.

Renovat humanam naturam novus infans, Dominus, qui est ante sæcula, apparens ex Virgine, B factus homo. Illi concinamus: Gloria, Domine, potentiæ tuæ.

Νεουργεῖ τὴν ἀνθρωπότητα νέον βρέφος, ὁ πρὸ αἰώνων Κύριος, ὀφθεὶς ἐκ Παρθένου, καὶ βροτὸς γενόμενος· αὐτῷ μελῳδήσωμεν· Δόξα τῇ δυνάμει σου, Κύριε.

Deum supra omnem sermonis mentisque conceptum genuisti, et qualis fueras ante partum, post partum etiam permansisti virgo, o casta Deo charissima.

Ἐκύησας Θεὸν ὑπὲρ λόγον καὶ ἔννοιαν, καὶ ἔμεινας μετὰ τόκον ὡς πρὸ τόκου παρθένος, ἁγνὴ Θεοχαρίτωτε.

Passionum carnis meæ fluctus, te precor, o puella, fac quiescere, ac veluti obdormire, semper vigilanti intercessione tua; neque sinas me in profundissimum peccati somnum incidere.

Κοίμησον τῶν παθῶν τῆς σαρκός μου τὰ κύματα τῇ ἀκοιμήτῳ σου, κόρη, ἱκεσίᾳ, δέομαι, καὶ μὴ δώῃς ἁμαρτίας ἀφυπνῶσαί με ὕπνον βαρύτατον.

Te, quæ vitæ manna in utero portasti, urna illa, quæ manna continebat, olim verissime ac manifestissime præfigurabat. Benedicta tu in mulieribus, o Domina purissima.

Σὲ τὴν τὸ μάννα τῆς ζωῆς ἐν κοιλίᾳ φέρουσαν, πάλαι μανναδόχος στάμνος ὡς ἀληθῶς προετύπου ἐμφανέστατα. Εὐλογημένη σὺ ἐν γυναιξὶ, πανάμωμε Δέσποινα.

Aperitur per te iterum antiquus ille Paradisus, C et introducitur in eum homo antea damnatus, o casta Deo charissima. Et Deus verissime assumit hominum massam clamantium: Laudate, omnia opera, Dominum.

Ἀνοίγεται πάλιν διὰ σοῦ ὁ πρὶν Παράδεισος, καὶ ἐπεισάγεται ὁ πρὶν κατάκριτος ἄνθρωπος, καὶ θεοῦται ἀληθέστατα, Θεοχαρίτωτε ἁγνὴ, βροτῶν τὸ φύραμα, τῶν βοώντων· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Exhorrescunt cherubim videntes Verbum illud, quod inter eos ineffabili verbo est, et residet, gestatum maternis ulnis tuis infantem, o sanctissima Domina, quæ res omnes creatas dignitatis celsitudine præcellis.

Φρίττει χερουβὶμ καθορῶντα τὸν ἐν αὐτοῖς ἀῤῥήτῳ λόγῳ ἐπικαθεζόμενον Λόγον, μητρὸς ἀγκάλαις βρέφος κρατούμενόν σου, παναγία Δέσποινα, ὑψηλοτέρα πάσης κτίσεως.

Ex altero in eosdem Canone.

Ἐκ τοῦ ἑτέρου Κανόνος εἰς τοὺς αὐτούς.

Compesce peccatorum meorum fluxus, tu, quæ mortis corruptelam partu tuo exsiccasti; et compunctionem concede mihi, o Dei Genitrix purissima.

Στῆσόν μου ἁμαρτίας τοὺς ὀχετοὺς, ἡ τοῦ θανάτου τὴν φθορὰν τῷ τόκῳ σου μαράνασα, καὶ κατάνυξίν μοι δὸς, Θεοκυῆτορ πανάμωμε.

D

Gladius ille versatilis, qui Paradisi ingressus præcludebat, erubescit ac pudore perfunditur videns lanceam illam, quæ Filium tuum, o Virgo Mater, vulneravit.

Ῥομφαία τὸ πρὶν ἡ στρεφομένη τὰς εἰσόδους μοι διδοῦσα, αἰδουμένη τὴν κεντήσασαν, Παρθενομῆτορ, λόγχην, τὸν ἐκ σοῦ τεχθέντα.

52 Me in segnitie dormientem, et peccatis coopertum, ad pœnitentiam excita, o castissima, tanquam Verbi Mater.

Ῥαθυμίᾳ καθεύδοντα, καὶ τῇ ἁμαρτίᾳ συγκαλυπτόμενον, πρὸς μετάνοιάν με, πάναγνε, ὡς τοῦ Λόγου Μήτηρ ἀνακάλεσαι.

Tanquam pulchra, tanquam speciosa, tanquam puritatis fulgore coruscans, Verbum speciosum forma corporasti ac peperisti, o Virgo Mater: quod divina operatione omnibus dat esse ex divitiis benignitatis suæ.

Ὡς καλὴ, ὡς ὡραία, ὡς τῇ καθαρότητι περιαστράπτουσα, τὸν ὡραῖον κάλλει ἐσωμάτωσας Λόγον καὶ τέτοκας, τὸν τὸ εἶναι πᾶσι θεουργικῶς, Παρθενομῆτορ, παρεχόμενον πλούτῳ χρηστότητος.

Sana, o Deipara Virgo, tanquam compatiens, passiones infirmæ animæ meæ, et dolorem cordis

Τὰ πάθη τῆς ἀσθενούσης μου ψυχῆς, καὶ τὸ ἄλγος τῆς καρδίας, Παρθένε, καὶ τοῦ νοὸς ἐκτροπὰς

Digitized by Google

πολυτρόπους, ὡς συμπαθὴς, Θεοτόκε, θεράπευσον, καὶ κόπασον τὸ χαλεπὸν τῶν παθῶν μου κλυδώνιον δέομαι.

Λύων τῆς Εὔας τὴν κατάραν, τὴν πανάμωμον κατῴκησας γαστέρα, εὐλογίας πηγὴν βλύζων τοῖς βοῶσιν· Εὐλογημένος, πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὁ κατὰ πάντα τέλειος καὶ τῇ φύσει ἀπρόσιτος ὤφθη πρόσιτός μοι σάρκα περικείμενος ἐκ σοῦ, ἀπειρόγαμε· ὃν ἐκτενῶς ἱκέτευε τῶν ἀνομιῶν μου τὸ φορτίον σκορπίσαι, καὶ σῶσαι μελῳδοῦντα· Ἱερεῖς, εὐλογεῖτε· λαός, ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Φεῖσαί μου, Σῶτερ, ὁ τεχθεὶς καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου, τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου, ὡς ἁμάρτητος, ἐλεήμων ὡς Θεὸς καὶ φιλάνθρωπος.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον Ἰωάννην τὸν Καλύβητον, ἡμέρᾳ ιε'.

Χαλεπαῖς παθῶν ἐπιβουλαῖς, κόρη, χειμαζόμενος, καὶ προσβολαῖς ἁμαρτιῶν κλονούμενος, σοῦ πρὸς τὴν ἀκοίμητον προστασίαν, πανύμνητε, πόθῳ καταφεύγω. Οἰκτειρόν με, σῶσον, Ἀειπάρθενε.

Μυρίπνουν ὡς ῥόδον ἀπὸ κοιλάδων, ἄχραντε, ὁ καθαρός σε εὗρατο, καὶ ἐν μέσῳ σου κατεσκήνωσεν, εὐωδίας πληρώσας τὸ ἀνθρώπινον.

Ἴθυνόν μου τῆς ψυχῆς τὰς κινήσεις, πανάμωμε, πρὸς θεῖα προστάγματα, τοῦ ἐκ γαστρός σου ἐκλάμψαντος, ζάλης λυτρουμένη με τῶν ἐν τῷ βίῳ σκανδάλων μεσιτείαις σου.

Ἐμμανουὴλ τὸν ἁπάντων Δεσπότην τέκτεις ἀφθόρως, μείνασα παρθένος καὶ μετὰ τόκον, Παρθενομῆτορ· ὃν ἀπαύστως δυσώπει ἐπηρείας ἐχθρῶν λυτρώσασθαι τοὺς ὑπὸ τὴν σκέπην τὴν σὴν καταφεύγοντας.

Ἰσουργὸν καὶ σύνθρονον τῷ τεκόντι Λόγον ἐκ γαστρός σου, ἁγνὴ, ἐσωμάτωσας, δι' εὐσπλαγχνίαν ἄφατον τὸ ἡμέτερον ὅλον φορέσαντα.

Ὑμνοῦμεν τὸν τόκον σου, εὐλογημένη, δι' οὗ ἐλυτρώθημεν τῆς πάλαι κατακρίσεως, καί σε μακαρίζομεν, θεομακάριστε, μόνην ἣν ἠγάπησεν ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ῥεῖθρον ἀένναον ἡμῖν τοῖς προστρέχουσιν εἰς σὲ, ἁγνὴ, πηγάζεις, οὗ τὴν ἄφθορον χάριν ἀπαρδυόμενοι, σοῦ ὑμνοῦμεν τὸν τόκον, πανάχραντε, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Φωτὸς οἰκητήριον ἡ μήτρα σου γεγένηται, δι' οὗ φῶς οἱ ἐν σκότει εἶδον καθήμενοι· ὅθεν σε φωναῖς ἀσιγήτοις, Μῆτερ Θεοῦ, ἀεὶ ἀνυμνοῦμεν, καὶ πόθῳ γεραίρομεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἐκ τοῦ Κανόνος εἰς τὴν προσκύνησιν τῆς τιμίας ἁλύσεως τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου, ἡμέρᾳ ις'.

Ῥομφαῖαι πᾶσαι δολίου ἐχθροῦ, ἄχραντε Παρθένε,

mei, mentisque varias evagationes et errores : et gravissimam affectionum mearum tempestatem, quæso, compesce.

Ut Evæ solveres maledictionem, uterum omni carentem labe inhabitasti, benedictionis fontem effundens iis qui clamant : Benedictus, o castissima, fructus ventris tui.

Qui per omnia perfectus est, et natura inaccessibilis, factus est mihi accessibilis carne circumdatus, ex te accepta, o innupta. Eumdem tu enixe precare, ut allevet onus iniquitatum mearum, et salvet me concinentem : Sacerdotes, benedicite; populi, superexaltate Christum in sæcula.

O lucis receptaculum, Deo charissima, illuminativis radiis tuis illustra cor meum, socordiæ nubes depellens, ac peccati tenebras eliminans ; tu, quæ Deum omni peccati labe carentem peperisti.

72 *Ex canone in SS. martyres Basileum, Ephræm, etc., die 7.*

Primorum parentum pœna sublata est, o casta et inviolata, ineffabili partu tuo ; atque illis pristinus ad Paradisum patuit ingressus, quamobrem te magna voce concelebrant.

O Virgo tota casta et inviolata, peperisti Dominum illum potentissimum, qui homines ab hostis potestate liberavit.

Homines mortuos vivificasti, o Virgo, supra omnis cogitationis captum enixa Christum Deum nostrum, qui propter suam misericordiam homo factus est

Beatus est ille populus, qui agnoscit te, o immaculatissima, omnium Domini Matrem, et cum affectu te beatificat.

Te legis umbræ, te prophetarum ænigmata præfigurabant, o Virgo purissima, quæ per Verbum ineffabile illum conceptura ac paritura eras, qui mundo salutem afferret.

Dei Verbum, quod manu sua Evam formavit, universos reformare volens, ex utero tuo, o puella, humanam formam accepit, incipiens esse, cum tamen Patri ac Spiritui sancto sit coæternum, et coæquale.

Deus supersubstantialis, ex te natus, o inviolata, homo apparuit, cum duabus naturis, operationibus et voluntatibus ; illis manifeste apparens, quibus sponte similis factus est. Quamobrem illi clamamus : Omnia opera, laudate Dominum.

Puella Deo charissima ferens in ulnis Christum, qui manu fert universa, stupore perculsa exclamabat dicens : Quomodo te et Filium et Creatorem meum video, o incomprehensibilis ?

73 *Ex canone in S. Quadratum, et socios martyres, die 10.*

A sordibus passionum, a tempestate cogitationum, a jaculis maligni, ab omni impetu hostili salva, o Deipara immaculata ac tota pura, animas laudantium ineffabilem partum tuum.

Ne cœlestis quidem mens explicare valet, o

Νομίμων σε ἀνευθεν τῶν τῆς φύσεως, Χριστὲ, ὑπερφυῶς ἐκύησεν ἡ Θεοτόκος κόρη ὡς ἀληθῶς, νομίμως τοὺς μάστυρας ἐναθλήσαντας πίστει στεφανώσαντα.

Τόμος, ἄχραντε, καινότατος ὑπάρχουσα, τὸν Λόγον ἐγγραφόμενον ἐν σοὶ ἔσχηκας, τὸν ἐν βίβλῳ ζώντων τοὺς αὐτοῦ ἐγγράψαντα θείους ἀθλητὰς, τὰ γεγραμμένα ἐμμελῶς ἀποπληρώσαντας.

Νυμφοστόλος φανείς σοι θεῖος ἀρχάγγελος· Χαῖρε, πύρινε θρόνε Θεοῦ, ἐβόα σοι, ἄχραντε ἁγνὴ, ἀθλοφόρων κραταίωμα ὁμολογησάντων Θεὸν σαρκὶ φανέντα.

Φωτὸς δοχεῖον, θεοχαρίτωτε, φωτιστικαῖς αὐγαῖς σου τὴν καρδίαν μου φώτισον, ῥαθυμίας τὰ νέφη διώκουσα, καὶ τὸ τῆς ἁμαρτίας σκότος ἐξαίρουσα, ἡ τὸν ἀναμάρτητον Θεὸν ἀποκυήσασα.

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Βασίλειον, Ἐφραὶμ, κ. τ. λ., ἡμέρᾳ ζ'.

Ἐλύθη τῶν προπατόρων, ἄχραντε, τὸ ἐπιτίμιον τῇ ὑπὲρ νοῦν κυήσει σου, ἁγνὴ, καὶ τὴν πρώτην ἀπέλαβον τοῦ Παραδείσου εἴσοδον, μεγαλοφώνως εὐφημοῦντές σε.

Ῥυόμενον τοὺς βροτοὺς τῆς δυναστείας τοῦ ἐχθροῦ, πάναγνε, τὸν δυνατὸν Κύριον, ἄχραντε Παρθένε, ἐκύησας.

Νενεκρωμένους ἐζώωσας τοὺς ἀνθρώπους, ζωὴν τὴν ἐνυπόστατον τεκοῦσα, Παρθένε, ὑπὲρ πᾶσαν ἔννοιαν Χριστὸν τὸν Θεὸν ἡμῶν, ἄνθρωπον δι' οἶκτον γενόμενον.

Μακάριός ἐστιν ὁ λαὸς ὁ γινώσκων σε, πανάμωμε, τοῦ Δεσπότου τῶν ἁπάντων μητέρα, καὶ πόθῳ μακαρίζει σε.

Νόμου σε αἱ σκιαὶ, προφητῶν τε αἰνίγματα προδιετύπουν, Παρθένε, τὴν ἀῤῥήτῳ Λόγῳ κυοφορίαν ἐσχηκυῖαν διασώζουσαν κόσμον, πανάμωμε.

Ὁ διαπλάσας χειρὶ τὴν Εὔαν Λόγος Θεοῦ, κόρη, ἀναπλάσαι ἅπαντας βουληθεὶς, ἐκ γαστρός σου ἀναπλάττεται ἀρχὴν δεχόμενος, ὁ τῷ Πατρὶ καὶ Πνεύματι σύνθρονος.

Ὡράθη ὡς ἄνθρωπος ἐκ σοῦ ἀποτικτόμενος ὁ ὑπερούσιος, διπλοῦς ταῖς φύσεσιν, ἄχραντε, ἐνεργείαις καὶ θελήσεσι· οἷς ὡμοιώθη βουληθεὶς ἐμφανιζόμενος, ᾧ βοῶμεν· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Φέρουσα Χριστὸν ἐν ἀγκάλαις χειρὶ τὸν φέροντα τὰ πάντα ἡ θεοχαρίτωτος κόρη, ἐκπληττομένη ἐβόα λέγουσα· Πῶς καὶ Υἱὸν γνωρίζω σε καὶ Ποιητήν μου, ἀκατάληπτε ;

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Κόδρατον, καὶ τοὺς σὺν αὐτῷ, ἡμέρᾳ ι'.

Ἴλυος ἐκ παθῶν, λογισμῶν τρικυμίας, ἐκ βελῶν τοῦ πονηροῦ, ἐκ πάσης προσβολῆς ἐναντίας διάσωσον, ἄχραντε Θεοκυῆτορ, τὰς ψυχὰς τῶν ὑμνούντων σου τὸν ἀνέκφραστον τόκον, πάναγνε.

Νοῦς οὐδὲ οὐράνιος τὴν ὑπὲρ νοῦν σου λοχείαν

Digitized by Google

διερμηνεῦσαι, κόρη, δύναται· νοῦ γὰρ τοῦ πρώτου ἐν γαστρὶ Λόγον, ἁγνὴ, συνέλαβες, τὸν τὰ πάντα λόγῳ συστησάμενον.

Ἡ ἁγία Θεοτόκος, ἣν οἰκῆσαι ηὐδόκησεν ὡς εὐώδη οἶκον Ἀόγος τοῦ Πατρὸς ὁμοούσιος, οὐ κατεφλέχθη τὴν μήτραν, οὐκ ὠδίνησε· καὶ γὰρ τέτοκεν Ἐμμανουὴλ τὸν Θεάνθρωπον.

Ὁ πλαστουργήσας, ἄχραντε, τὴν Εὔαν ἐκ πλευρᾶς, σοῦ ἐκ νηδύος, ἁγνὴ, πλαστουργεῖται, σῶσαι τὸν Ἀδὰμ δι' εὐσπλαγχνίαν βουληθεὶς, ὡς φιλάνθρωπος.

Οὐράνωσας γεωθεῖσαν τὴν φύσιν, πανάμωμε, τῶν ἀνθρώπων, καὶ φθαρεῖσαν αὐτὴν ἐθεούργησας· διὰ τοῦτο πάντες ἀσιγήτοις φωναῖς σε δοξάζομεν.

Εὐλογημένος ὁ καρπὸς τῆς εὐλογημένης γαστρός σου, ὃν εὐλογοῦσιν οὐρανῶν αἱ δυνάμεις, βροτῶν τὰ συστήματα, ὁ ἡμᾶς λυτρωσάμενος τῆς κατάρας τῆς ἀρχαίας, εὐλογητὸς εἶ.

Λυτρωθέντες τῆς ἀρᾶς τῆς προμήτορος διὰ σοῦ τῆς ἁγνῆς Θεομήτορος, εὐλογημένη Δέσποινα, εὐλογοῦμέν σε πίστει καὶ μελῳδοῦμεν, παναγία Παρθένε θεόνυμφε.

Φανεῖσα τοῦ πάντων ποιητοῦ λοχεύτρια ὑπὲρ πάντα νοῦν, πανάμωμε, τῶν οὐρανῶν ὑψηλοτέρα ἐδείχθης, καὶ τῶν ὅλων δεσπόζουσα, Παρθένε θεοτόκε πανύμνητε· ὅθεν σε πάντες μεγαλύνομεν.

Ἐκ τοῦ κανόνος εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Βενεδίκτον, ἡμέρᾳ ιδ'.

Οἱ διὰ σοῦ τὴν ἀφθαρσίαν πλουτήσαντες, Θεοκυῆτορ πάναγνε, Χαῖρε, βοῶμέν σοι, ἡ κεχαριτωμένη, ὁσίων καὶ δικαίων τὸ ἐγκαλλώπισμα.

Ὁ μόνος ἀγαθὸς τὴν σὴν σαρκούμενος ὑπέδυ, πανομώμητε, γαστέρα, καὶ βροτὸς ὡράθη τέλειος· ὃν ἱκέτευε σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὡς ὄμβρος ἐπὶ πόκον, ἄχραντε, τῇ σεπτῇ σου γαστρὶ ὁ Λόγος κατῆλθε σαρκούμενος, καὶ ἔπαυσε πολυθείας σαφῶς τὰ ὀμβρήματα, πανάμωμε, καὶ τὸν πικρὸν χειμῶνα διεσκέδασεν.

Ὁ κατοικῶν οὐρανοὺς τὴν σὴν πανάμωμον νηδὺν ᾤκησεν, ὅπως ἡμᾶς οἴκους τῆς Τριάδος ἐναποτελέσῃ, τοὺς σὲ Θεοτόκον κηρύττοντας, ἄχραντε.

Ἐκ γαστρός σου ἁγίας ἀνέτειλε τῆς δικαιοσύνης ἀνέσπερος ἥλιος, καὶ τοὺς πιστοὺς ἐφώτισε, Θεοτόκε παρθένε πανύμνητε.

Ἴασαι τῆς ψυχῆς μου τὰ πάθη, τῆς ἀπαθείας τὴν πηγὴν ἡ συλλαβοῦσα, Παρθένε, καὶ κατανύξεως ὄμβρους παράσχου μοι προξενοῦντάς μοι τὴν παράκλησιν ἐκεῖ, ἁγία Θεοτόκε.

Ἰδοὺ γεγέννηται ἐκ σοῦ, Ἡσαΐας ἐμφανῶς, ἁγνὴ, ἐβόα, ὁ Υἱὸς τοῦ Ὑψίστου, καὶ σὸς ὁρᾶται Υἱὸς, Παρθένε, υἱοὺς ἐργαζόμενος τοῦ ἐπουρανίου Πατρὸς τοὺς σὲ ὑμνοῦντας.

puella partum tuum, qui transcendit omnem mentem : primæ enim mentis Verbum in utero tuo concepisti, o casta, quod omnia verbo produxit.

Deipara sanctissima, in qua tanquam in domo suavi odore plena habitare sibi complacuit Verbum Patris consubstantiale, non sensit uteri combustionem, neque dolores partus experta est : peperit enim Emmanuel Deum et hominem.

Ille, qui Evam e costa formavit, ex utero tuo, o casta, formatus est, volens Adam salvare propter pietatem suam, tanquam hominum amator.

Hominum naturam, quæ terrena facta erat, cœlestem effecisti, o immaculatissima, et corruptam deificasti : propterea omnes te incessabili voce glorificamus.

Benedictus ventris benedicti fructus tui, quem benedicunt cœlorum potestates hominumque cœtus; qui nos ab antiqua maledictione redemit.

A primæ matris maledictione per te castam Dei Matrem redempti, cum fide te benedicimus, atque canticis celebramus, o Domina benedicta, sanctissima Virgo, sponsa Dei.

Cum omnium factoris Genitrix supra omnem cogitationem, o purissima, fueris, facta es cœlis sublimior, atque omnium Dominatrix, o Virgo Deipara omni laude dignissima : unde te universi magnificamus.

74 *Ex canone in S. P. N. Benedictum, die* 14.

Nos qui per te incorruptione ditati sumus, o Dei genitrix castissima, ad te clamamus : Salve, o gratia plena, sanctorum omnium ac justorum ornamentum.

Ille qui solus bonus est, ingressus est in uterum tuum, ubi carnem suscepit, et homo perfectus factus est : quem tu deprecare, o purissima, pro salute animarum nostrarum.

Velut imber super vellus, descendit Verbum carnem assumens in venerandum uterum tuum, o inviolata, et idololatriæ pluvias manifeste sedavit, et amarulentam tempestatem dissipavit, o immaculatissima.

Qui habitat in cœlis, in purissimo ventre tuo habitavit, ut Trinitatis domos efficeret nos, qui te Deiparam prædicamus, o inviolata.

Ex utero tuo sancto ortus est Sol justitiæ inocciduus, et fideles illuminavit, o Deipara Virgo omni laude dignissima.

Sana, o Virgo, animæ meæ passiones, tu quæ fontem impassibilitatis concepisti, et compunctionis imbres concede mihi, o Deipara sancta, qui futuram in cœlo consolationem acquirant mihi.

Ecce natus est ex te, quemadmodum Isaias aperte clamabat, Altissimi Filius, et Filius tuus factus est, o Virgo casta, qui filios Patris cœlestis efficit eos, qui te collaudant.

Digitized by Google

O Virgo lucis genitrix, animæ meæ nubes expelle, et concede, o Domina omni laude celebranda, ut ad radios salutiferæ pulchritudinis illius qui ex tuo sanctissimo utero in lucem gentium coruscavit, pure illuminetur.

A Φωτοκυῆτορ Παρθένε, τῆς ψυχῆς μου τὰ νέφη ἀπέλασον, καὶ δίδου καθαρῶς προσενοπτρίζεσθαι, Δέσποινα, τὸ σωτήριον κάλλος τοῦ λάμψαντος ἀρρήτως ἐκ τῆς σῆς παναγίας νηδύος εἰς φῶς ἐθνῶν, πανύμνητε.

75 *Ex canone in SS. Martyres Agapium et socios, die 15*

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Ἀγάπιον καὶ τοὺς σὺν αὐτῷ, ἡμέρᾳ ιε'.

Splendore lucidissimo illius, qui ex te ortus est, illumina, o Virgo, pupillas animæ meæ, ut te glorificare possim.

Αἴγλῃ φαεινοτάτῃ τοῦ ἐκ σοῦ, Παρθένε, ἀνατειλαντος τῆς ψυχῆς μου τὰς κόρας φωταγώγησον, ὅπως δοξάζω σε.

Creatorem agnovimus, qui in carnis similitudine propter viscera misericordiæ suæ ex utero tuo lucifero, o Mater semper Virgo, apparuit manifeste nobis collaudantibus te.

Σαρκὸς ὁμοιώματι ἐμφανισθέντα ἐκ τῆς φωτοφόρου νηδύος, τὸν Κτίστην ἐπέγνωμεν διὰ σπλάγχνα ἐλέους, ἡμῖν τοῖς ὑμνοῦσί σε, Μήτερ ἀειπάρθενε.

Unguentum suscepisti in utero tuo, o casta et inviolata, Verbum scilicet, quod mundum a fœdissimo omnium peccatorum odore repurgavit: quamobrem te cum fide beatam appellamus.

B Μύρον ἐν γαστρὶ τὸν Λόγον ὑπεδέξω, ἄχραντε ἁγνή, τὸν κόσμον δυσωδίας ἀποκαθαίροντα πάσης τῶν ἐπταισμένων· ὅθεν πιστῶς σε μακαρίζομεν.

Divinis canticis Deiparam fideles beatificemus, dicentes: Salva, porta, per quam solus Dominus pertransivit.

Ὑμνολογίαις θείαις τὴν Θεοτόκον πιστοὶ μακαρίσωμεν· Χαῖρε, λέγοντες, πύλη, ἣν μόνος διώδευσε Κύριος.

O purissima sponsa Dei (55), quæ sancto germine tuo infidelitatis plantas arefecisti, hostis malitiam imminue, in me assidue repullulantem.

Μαράνασα τὰ φυτὰ τῆς ἀθεΐας, πανάμωμε, τῷ σῷ ἁγίῳ φυτῷ | τὴν ἀναβλαστάνουσαν ἐν ἐμοὶ ἑκάστοτε τοῦ ἐχθροῦ κακίαν ἀπομείωσον, θεόνυμφε.

Exsolve me, o immaculatissima, inextricabilium peccatorum vinculis colligatum, ac lacrymarum imbres concede mihi, canenti ad eum qui ex te ortus est: Benedictus es, Deus patrum nostrorum.

Δεδεμένον σειραῖς με ἀμυθήτων πταισμάτων λύσον, πανάμωμε παρέχουσά μοι ὄμβρους δακρύων μελῳδοῦντι τῷ ἐκ σοῦ ἀνατείλαντι· Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Medere passionibus cordis mei, o mater Salvatoris, quæ impassibilitatis fontem peperisti, et ad vitam divinam deduc me, ut glorificem te in omnia sæcula.

C Ἴασαί μου τὰ πάθη τῆς καρδίας, ἀπαθείας πηγὴν ἡ τετοκυῖα, καὶ πρὸς ζωὴν με θείαν καθοδήγησον, ἵνα σε δοξάζω, Μῆτερ τοῦ Σωτῆρος, εἰς πάντας τοὺς αἰῶνας.

Illustra me, o intemeratissima, negligentiæ te-

Φωτί με μετανοίας τὸν ἐσκοτισμένον τῇ ἀμελείᾳ,

(55) Nemo nescire debet (inquit Ambrosius Catharinus in Disput. pro veritate immaculatæ conceptionis libr. III, testim. 6,) quod in Scripturis sanctis, inter multas, quæ ibi commemorantur, adolescentulas et concubinas regis, imo etiam reginas, una est ipsius Regis Christi primaria Sponsa electa et præelecta, quod de Maria procul dubio intelligitur, sicut et canit Ecclesia. Nam propter nimirum illius excellentiam declarandam, scriptum est: *Sexaginta sunt reginæ, et octoginta concubinæ,* D *adolescentularum non est numerus. Una est columba mea, perfecta mea.* Nulli autem nisi supra modum austero homini potest videri decens, quod summus et primarius rex voluerit sibi adoptare in Sponsam talem, scilicet primam et primariam, eam de qua dici aliquando posset, vel pro aliquo momento, quod sub hostis et adulteri potestate fuerit: et ita sub ira sua, et Patris sui maximi et altissimi Regis, cum præsertim potuerit ipse ac noverit, si modo voluerit, eam præripere ac præservare sibi, ne in hosticam manum dimitteretur. Obsecro, discamus hoc saltem a prudentia sæculi; nec minoris benignitatis ac prudentiæ faciamus Deum. Si enim quæratur sponsa cuipiam magni regis filio, qui speciosus ipse fuerit præ filiis hominum, aut ipse filius sibi ipsi eam quærat, imo (ut aptior parabola fiat) si detur ipsi filio eligendi facultas, quin potius et condendi et componendi potestas unam aliquam pro voto, an quæso, talem eliget, aut sibi condet, quam comprehendi ab hoste et violari patiatur, quam tamen prius potuerit ipse ac meruerit servare? Profecto austerus nimirum necesse sit, qui hoc fateatur: indecentissimum enim est hoc in sponsa primaria. Fœdissime enim claudicarent hæ nuptiæ, neque enim sponso esset sponsa conveniens, quem jam speciosum facimus præ filiis hominum. Quod vero post unam hanc primariam penitus illibatam, alias habeat secundario, sive ancillas, sive concubinas, redemptas tamen et ab hostium manu ereptas, atque ideo non penitus intactas, nihil absurdum est, nullus enim vituperio dederit, modo illa una prima ac præcipua servata sit illi, ut prorsus illibata, intacta, immaculata fuerit. Quid ergo? Prudentiores erunt filii sæculi in generatione sua, non dico, quam filii lucis (hoc enim per socordiam nostram sæpe contingit), sed dico quam ipsa lux? Ipsa, inquam, lux æterna, et sapientia vera, unde omnis sapit, quicunque sapit? Absit. Quis enim dicere hoc potest sine blasphemia? Ergo speciosissimus omnium Sponsus, et sapientissimus, et omnipotentissimus Rex, non talem sibi potius adoptaverit Sponsam, imo (ut Hieronymi utar verbis) etiam condiderit, ac servaverit, qualem sibi omnino convenire prævideret, scilicet perpetuo speciosam, intemeratam, incorruptam penitus et mente et corpore, et cum qua nullum unquam potuerit intervenire dissidium? Qui hoc negaverit, male affectus sit, prorsus necesse est. » Hactenus Catharinus loco citato.

Digitized by Google

πανάμωμε, λάμπρυνον, ὅπως ὑμνῶ καὶ δοξάζω τὰ μεγαλεῖά σου.

A nebris offusum, luce pœnitentiæ, ut laudem et glorificem magnalia tua.

76 *Ex canone in S. Papam martyrem, die* 16 (55*).

Tanquam angelis sanctior exsistens, Deum sanctum, sanctissima, concepisti, qui sanctitatem largitur omnibus sese incessanter glorificantibus, sanctosque ipsius martyres venerantibus.

Canens propheta David te, Dei Mater, montis pinguis nomine manifestissime præsignificavit, ex quo advenit Christus, qui malitiæ montes contrivit.

Templum sanctum apparuisti, o Virgo innupta, quod Deum in se continuit, universis sanctitatem largientem, propter misericordiam suam ineffabi- B lem, et pietatem prorsus inenarrabilem.

Te, o Deo charissima, Prophetarum chorus præmonstravit fore Creatoris Matrem, quem sine ulla intermissione precare, ut misereatur animarum nostrarum.

Abyssum misericordiæ et miserationum Christum

Ἐκ τοῦ κανόνος εἰς τὸν ἅγιον Ἀλέξιον τὸν ἄνθρωπον τοῦ Θεοῦ, ἡμέρᾳ ιζ'.

Ὁ Θεοῦ συνάναρχος Υἱὸς ἔσχεν ὡς αἰτίαν σε τῆς πρὸς ἡμᾶς, Παρθένε, ὁμοιώσεως μόνην ὑπὲρ ἅπασαν κτίσιν, ἄχραντε, καθαράν σε εὑράμενος· ὅθεν σε ὑμνοῦμεν πᾶσαι γενεαὶ καὶ μακαρίζομεν.

Ὁ ἄνω ἀθεώρητος τοῖς ἀγγέλοις, ἄχραντε, κάτω C ἐκ σοῦ γενόμενος καθορᾶται τέλειος ἄνθρωπος, ἀπολλύμενον κόσμον ἀνακτώμενος.

Θηλάσασα τὸν δοτῆρα, Παρθένε, τοῦ γάλακτος, πεινῶσαν καὶ στένουσαν νῦν τὴν καρδίαν μου κόρεσον πάσης ἐπιγνώσεως καὶ κατανύξεως θείας, ἱκετεύω σε.

Ὁ φῶς κατοικῶν τὴν ἁγίαν ᾤκησέν σου νηδύν, ἀγνή, κόσμον ἀπολλύμενον σκότει ἀγνωσίας ἀνακτώμενος, ὃν ἱκέτευε πάντας φωτίσαι τοὺς ὑμνοῦντάς σε.

Νόμους φύσεως, ἄχραντε Δέσποινα, ὁ Δημιουργὸς καινουργήσας, τῆς κτίσεως ἐκ σοῦ ἀῤῥήτως τέτκεται, καὶ θεοῖ με δι' ἄμετρον ἔλεος.

Μεγάλου διάκονος σὺ μυστηρίου ἐγένου, πανάμωμε· θεὸν γὰρ ἐσωμάτωσας μεγάλων κακῶν ἡμᾶς ἀπολυτρούμενον τούς σε μεγαλύνοντας, ἁγνή, εὐλογημένη θεοχαρίτωτε.

Ῥεύσαντας ἡμᾶς τῇ πάλαι παραβάσει ἀνακαινίζων ὁ φιλάνθρωπος ἀῤῥεύστως σεσάρκωται ἐξ ἀφθό-

Dei Filius, illi coæternus, habuit te, o Virgo inviolata, tanquam causam, qua similis factus est nobis, cum te solam super omnem creaturam invenisset puram (56) : unde omnes generationes te laudamus, ac beatam appellamus.

Qui superius in cœlo est angelis invisibilis, inferius in terra natus ex te, o inviolata, ab omnibus conspicitur perfectus homo, perditum mundum recuperaturus.

O Virgo, quæ datorem lactis lactasti, cor meum famescens ac gemens satia, precor, omni cognitione ac compunctione divina.

Qui habitat in luce, in sancto utero tuo habitavit, o casta, ut mundum in tenebris ignorantiæ pereuntem recuperaret; eumdem deprecare, ut omnes te laudantes illuminet.

Cum creaturarum conditor naturæ leges innovasset, o Domina inviolata, ex te ineffabili modo natus est, et me propter immensam misericordiam D suam deificavit.

Magni mysterii ministra facta es tu, o immaculatissima; Deum enim corporasti, qui a magnis malis redemit nos, qui te magnificamus, o casta, benedicta, Deo charissima.

Nos, qui propter antiquam transgressionem defluxeramus in corruptionem, Amator hominum

(55*) Græca desunt in Menæis impressis.

(56) Non invenisset Dei Filius B. Virginem solam omni creatura puriorem, si hæc non fuerit immunis ab originali macula, qua primi parentes carnerunt creati in justitia et sanctitate veritatis. Cum autem solam omni creatura puriorem invenisset, in ea habuit causam qua similis nobis fieret, nempe summam puritatem, sine qua Dei Filius in ea non fuisset incarnatus. Non enim decebat puritatem infinitam ex Matre, quæ aliquando contaminata fuisset, progigni, cum præteritarum sordium ipsa quoque memoria offendere soleat. Quapropter dum S. Josephus Deiparam solam a Deo super omnes creaturas puritate fulgentem inventam fuisse, eademque de causa in Dei Matrem electam affirmat, omnem ab ipsa originariam maculam propulsat.

Digitized by Google

renovaturus, incorruptibiliter incarnatus est ex impolluto utero tuo, o purissima, atque omnes a peccati corruptione liberavit, o immunis ab omni macula (57).

Ad te Gabrielis vocibus lætabundi clamamus, dicentes : Salve, o ager inarate; salve, o maledictionis solutio: salve, o fons aquæ vivæ; salve, gloriatio sanctorum Deipara semper Virgo.

ρου σου, πανάμωμε, νηδύος, καὶ ἐρρύσατο ἅπαντας ἁμαρτίας καταφθορᾶς, παναμώμητε.

Φωνὴν σοι προσάγομεν τοῦ Γαβριὴλ γηθόμενοι· Χαῖρε, λέγοντες, χώρα ἡ ἀγεώργητος, χαῖρε, τῆς κατάρας ἡ λύσις, χαῖρε, πηγὴ ὕδατος τοῦ ζῶντος, ὁσίων τὸ καύχημα, Θεοτόκε ἀειπάρθενε.

78 *Ex canone in SS. Chrysanthum, et Dariam martyres, die* 19.

Qui secundum naturam divinam est inaccessibilis, accessibilis apparuit mihi, ex te, o Virgo carne suscepta : quem Daria concupiscens, constanter decertavit, et in sponsæ morem ad eum adducta est.

Filius, qui ex utero tuo, o Virgo inviolata, secundum carnem natus est, desponsavit sibi sponsam castam martyrem Dariam.

Incomprehensibilis ille ab omni intellectu, qui te post partum virginem conservavit, quemadmodum fueras ante partum, ex te, o inviolata, incarnatus est, Dariam martyrem sibi sponsam asciscens.

Quis tuum valeat explicare mysterium, o castissima? Deum enim Verbum, supra cogitationis verbique conceptum, duplicem in natura peperisti.

Te tanquam novum puerum Virgo peperit, antesæculare Verbum, quod puellæ concupiscentes, tanquam sponsæ post illam adductæ sunt tibi omnium Regi.

Qui secundum divinam substantiam est incircumscriptus, in sinu tuo, o Virgo, factus est similis nobis secundum carnem circumscriptus. Benedicta es tu inter mulieres, o domina immunis ab omni macula.

Cum te tanquam rosam in medio spinarum hujus vitæ, invenisset Deus immaculatam (58), o castissima, habitavit in utero tuo inviolato, et mystica suaveolentia replevit mundum clamantem : Omnia opera, laudate Dominum.

Horrore quatiuntur mens et cor, dum partum tuum, o puella, recogitant. Deum enim, quem nulla cogitatio comprehendere potest, concepisti, qui per te liberat ab omni necessitate eos qui te honorant.

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Χρύσανθον καὶ Δαρείαν, ἡμέρᾳ ιθ'.

Ὁ φύσει τῇ θείᾳ ἀπρόσιτος προσιτὸς ὤφθη μοι, ἐκ σοῦ, Παρθένε, σάρκα προσλαβών· ὃν Δαρεία ποθήσασα καρτερικῶς ἐνήθλησε, καὶ νυμφικῶς αὐτῷ προσήνεκται.

Σαρκὶ τεχθεὶς ἐκ γαστρός σου τῆς παρθένου υἱὸς, ἄχραντε, νύμφην ἀγνὴν μάρτυρα ἑαυτῷ Δαρείαν μνηστεύεται.

Συντηρήσας σε παρθένον, ὡς πρὸ τοῦ τόκου, μετὰ τὸν τόκον, ἄχραντε, ἐκ σοῦ ἐσαρκώθη ὁ ἀπερινόητος, Δαρείαν τὴν μάρτυρα νύμφην ἑαυτῷ ἐπαγόμενος.

Τίς δύναται τὸ σὸν ἑρμηνεῦσαι μυστήριον, ὦ πάναγνε; Θεὸν Λόγον γὰρ ὑπὲρ νοῦν καὶ λόγον, διπλοῦν τῇ φύσει τέτοκας.

Νέον σε ὡς παιδίον Παρθένος ἐκύησε τὸν προαιώνιον Λόγον, ὃν ποθοῦσαι κόραι ταύτης ὀπίσω σοι τῷ πάντων βασιλεῖ νυμφικῶς ἀπηνέχθησαν.

Ὁ κατ' οὐσίαν τὴν θείκὴν ὢν ἀπερίγραπτος κόλποις σου, Παρθένε, γέγονε καθ' ἡμᾶς τῇ σαρκὶ περιγραφόμενος. Εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα.

Ὡς ῥόδον ἐν μέσῳ ἀκανθῶν τοῦ βίου, πάναγνε, θεὸς εὑράμενός σε τὴν ἀμώμητον, ᾤκησε τὴν γαστέρα σου τὴν ἄχραντον, καὶ εὐωδίας μυστικῆς κόσμον ἐπλήρωσεν ἐκβοῶντα· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Φρίττει λογισμὸς καὶ καρδία κατανοοῦντες τὴν λοχείαν τὴν ἀκατανόητον, κόρη· Θεὸν γὰρ Λόγον ἐκυοφόρησας τὸν διὰ σοῦ ῥυόμενον πάσης ἀνάγκης τοὺς τιμῶντάς σε.

(57) Sæpissime S. Josephus se egregium pro Deiparæ immunitate ab originali fidejussorem præbet, cum non solum hic, sed alibi eam deprædicet ab omni macula et labe immunem, ab omni labe et macula liberam, omni labe et macula carentem, ab omni labe vacuam, ab omni labe puram, ab omni nævo mundam, quæ elogia absolute prolata, ut ea profert S. Josephus, maculam etiam, labem et nævum peccati originalis a B. Virgine ablegant.

(58) Si B. Virgo tanquam rosa in medio spinarum hujus vitæ immaculata inventa non fuisset, in ea Dei Filius per humanæ carnis assumptionem non inhabitasset. Hinc Nicolaus Cusanus S. R. E. cardinalis libr. v. Exerc. ad illa verba : *Cælum et terra transibunt*, hæc litterarum monumentis consignavit : « Virgo gloriosa cum esset prædestinata ante sæcula, ut ex ipsa reciperet Dei Filius naturam humanam, et Dei Filius fieret filius hominis, ita concepta est, ut dignum ad hoc habitaculum fieret. Induere se debuit Deus humanitate Mariæ, quare humana natura Virginis digna facta est ab initio. Nam etsi ipsa concepta fuit ex virili semine via propagationis ab Adam, et quantum ad suum initium indiguit liberatore, quia in Adam, nisi liberentur aut præserventur, omnes, moriuntur, ut in Christo omnes vivificantur ; tamen sicut anima ejus rationalis, nullo tempore fuit, antequam esset corpori unita, ita ipsa dum crearetur, sancta creata fuit, sic etiam quod nulla duratione fuit verum dicere Virginem fuisse sub peccato. » Sic ille.

Digitized by Google

79 *Ex Canone in S. Cyrillum episcopum Cataniæ, die* 11 (58*).

Fortitudo mea, laus, et salus mea Christus est, A o castissima; qui ex te tanquam homo natus est circa corruptionem, propter suam multam misericordiam, et factus est quod non erat.

O immensam mysterii profunditatem : Deus incarnatur et nascitur ex puella incorrupta, et corruptionem dissolvit per passiones quas subit solus bonus et amator hominum.

Quomodo Verbum peperisti? quomodo post partum incorrupta, qualis ante fueras, permansisti, o Virgo immaculatissima? Quomodo omnium nutritorem aluisti, voluntarie apparentem infantem mansuetum ac placidum? O novitatem miraculi tui, purissima!

Salva me, o mundissima, a gravissimis periculis : erige me a libidinum mearum sterquilinio; et a B captivitate, et vexatione pessimorum dæmonum libera me, dum te devote collaudo.

Ἐκ τοῦ κανόνος εἰς τὸν ἅγιον ἱερομάρτυρα Βασίλειον πρεσβύτερον, ἡμέρᾳ κβ'.

Ὁ τῷ Πατρὶ συνυπάρχων Μονογενὴς βουληθεὶς κατῴκησέ σου τὴν ἄχραντον νηδὺν, καὶ βροτὸς ἐγένετο, ἁγνὴ, σῶσαι θέλων τοὺς βροτοὺς δι' ἀγαθότητα.

Γνωρίσας πόρρωθεν τὴν σὴν σύλληψιν Ἡσαΐας διὰ πνεύματος, κόρη, διετράνωσεν αὐτὴν βοῶν· Ἰδοὺ ἐν γαστρὶ ἡ Παρθένος τὸν Θεὸν συλλήψεται.

Ὑμνῶ σε, Δέσποινα, τὴν πολυύμνητον· εὐλογῶ σε, Παρθένε, δι' ἧς βροτοὶ πάντες εὐλογήθημεν, C καὶ τῆς κατάρας ἀληθῶς τῆς ἀρχαίας ἐλυτρώθημεν.

Τὴν ἀνωτέραν τῶν χερουβὶμ, τὴν ὑψηλοτέραν οὐρανῶν, τὴν ὑπερτέραν τῆς κτίσεως, τῶν σοφῶν μαρτύρων τὸ περιτείχισμα, τὴν μόνην Θεοτόκον τιμήσωμεν.

Ὑμνῶ σε, πανύμνητε, ἣν ὑμνοῦσι στρατιαὶ ἐπουρανίων τάξεων, καὶ δυσωπῶ σε, πάθη μου τῆς ψυχῆς ἰάτρευσον, ἄχραντε, καὶ πυρὸς αἰωνίου ἐλευθέρωσον.

Παρθενίαν μετὰ τόκον ἀδιάφθορον, Παρθένε, διαμένουσαν κατανοοῦσα, τῷ ἐκ σοῦ τεχθέντι ὑπὲρ νοῦν ἐδόας Σωτῆρι καὶ Θεῷ· Εὐλογητὸς εἶ, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Σωτηρίαν ἀνθρώπων γένος ἠξίωται διὰ σοῦ, παναγία θεοχαρίτωτε· μόνη γὰρ ἡμῖν τὸν Σωτῆρα ἐκύησας, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Φρικτὸς ὁ τρόπος ὁ τῆς λοχείας σου· Θεὸς γὰρ ἦν, Παρθένε, σαρκωθεὶς ὁ τικτόμενος, ὃν ἱκέτευε φρικτῆς κολάσεως πάντας τοὺς ἀδιστάκτῳ πίστει τιμῶντάς σε, μῆτερ ἀπειρόγαμε σεμνὴ, ἀπολυτρώσασθαι.

Ἐκ τοῦ κανόνος εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Νίκωνα, ἡμέρᾳ κγ'.

Ἡ πύλη τῆς πρὸς ἡμᾶς σου, Κύριε, συγκαταβά-

Esto mihi gubernatrix, o Virgo, in pelago tentationum hujus vitæ periculosissime fluctuanti, et dirige me in portum salutis, et salva me.

Mentem meam plurimarum passionum morbo peremptam vivifica, o immaculatissima; et da mihi vires, ut Deo placita efficere possim, ut magnificem te fervens patrocinium, et spem Christianorum.

Curasti contritionem Adæ terreni, dum Deum Salvatorem peperisti, o illibatissima. Eumdem exora pro curatione plagarum animæ meæ, quæ insanabili morbo laborat.

Cum ferret tanquam recens natum infantem Verbum quod est ante sæcula, veneranda puella stupore perculsa, **80** sic loquebatur : Fili mi, quo- B modo fero te, qui nutu contines universa? quomodo te lacte nutrio nutritorem, Salvatorem, ac Deum?

Ex canone in S. Basilium presbyterum et martyrem, die 22.

Unigenitus, qui simul est cum Patre, habitare voluit inviolatum uterum tuum, o casta; et homo factus est ut homines propter suam bonitatem salvos faceret.

Cum a longe conceptionem tuam Isaias per spiritum agnovisset, o puella, clare manifestavit illam exclamans : Ecce Virgo Deum in utero concipiet.

Laudo te, Domina, omni laude dignissima : be- C nedico te, Virgo, per quam omnes homines benedicti sumus, atque ab antiqua maledictione vere liberati.

Sublimiorem Cherubim, excelsiorem cœlis, eminentiorem omni creatura, sapientissimorum martyrum munimentum ac vallum, solam Deiparam hymnis honoremus.

Laudo te, o summe laudabilis, quam laudant acies cœlestium exercituum; et precor te, o inviolata, ut animæ meæ affectionibus medearis, meque ab igne liberes sempiterno.

Cum virginitatem tuam post partum incorruptam permansisse cognosceres, exclamabas, o Virgo, Salvatori ac Deo, qui ex te supra omnem mentis captum natus est : Benedictus es, Deus pa- D trum nostrorum.

Per te humanum genus salute dignum factum est, o sanctissima ac Deo charissima : sola enim nobis Salvatorem peperisti, quem superexaltamus in omnia sæcula.

Pavendus est modus partus tui, o Virgo : Deus enim incarnatus ex te natus est : quem supplex exora, ut a pavendo supplicio eripiat omnes, qui te inconcussa fide venerantur, o veneranda Mater innupta.

81 *Ex canone in S. P. N. Niconem, die* 23.

Porta ilia, per quam ad nos, Domine, descen-

(58*) Græca desiderantur in Menæis.

Digitized by Google

disti, supernaturali modo genuit orientem, et solem, et lucem mystice advocatam atque accersitam, Deum scilicet et hominem, natura duplici præditum.

Σεως, ἀνατολὴν καὶ ἥλιον καὶ φῶς μυστικῶς συγκαλούμενον ὑπερφυῶς γεγέννηκε, διπλοῦν τὴν φύσιν τὸν Θεάνθρωπον.

Martyrum cœtus occisionem tuam, Domine, imitatus est atque in se expressit, cum agnovisset te ex Virgine innupta exortum esse.

Μαρτύρων δῆμος τὴν σὴν ἀπεικονίσατο σφαγὴν, Δέσποτα, ἐπεγνωκὼς κόρης σε ἐξ ἀπειρογάμου βλαστήσαντα.

Tanquam omni creatura superiorem, Creator dilexit te, o Virgo mater, faciens te Matrem suam; quam etiam deprecantur martyrum turbæ cum omni honore ac veneratione.

Ὡς ὑπάρχουσαν τῆς κτίσεως ἀνωτέραν ὁ Ποιητὴς ἠγάπησέ σε, Παρθενομῆτορ, δείξας σε μητέρα αὐτοῦ, ἣν καὶ λιτανεύουσι δῆμοι ἀθλητῶν εὐπρεπέστατα.

Lucem illam sine tempore, quæ est splendor Patris, genuisti, o immaculatissima, factam sub tempore, propter divitias bonitatis suæ.

Φῶς ἄχρονον ἡμῖν τοῦ Πατρὸς τὸ ἐπαύγασμα ἐγέννησας, ὑπὸ χρόνον ἀγαθότητος πλούτῳ γενόμενον, πανάμωμε.

Templum et palatium Dei animatum agnoscens te martyrum triumphantium chorus, te Domina, deprecatur, quæ sola mulierum opprobrium abstulisti.

Ναόν σε τοῦ Θεοῦ καὶ παλάτιον ἔμψυχον τῶν ἀθλοφόρων χορεία ἐπιγνοῦσα, Δέσποινα, λιτανεύει σε τὴν μόνην γυναικῶν ἀραμένην τὸ ὄνειδος.

Verbum Patris, absque ulla virginitatis tuæ corruptione, in te habitavit; et celeberrimum martyrum chorum attraxit, te Deiparam castam, prædicantem.

Μὴ διαφθείρας τὴν παρθενίαν ὅλως τὴν σὴν Λόγος τοῦ Πατρὸς, ἐσκήνωσεν ἐπὶ σοὶ, καὶ μαρτύρων ἐπεσπάσατο χορὸν ἀοίδιμον, Θεοτόκον ἀγνήν σε κηρύττοντα.

Perrumpe pondus grave malorum meorum, o tota casta atque inviolata, et omni laude dignissima, quæ partu tuo Adæ lapsum reparasti; et illumina me, ut clamare possim mente pura: Benedicite, omnia opera, Dominum.

Ῥῆξον τῶν κακῶν μου τὸ βαρὺ φορτίον, πάναγνε, ἡ ἀνορθώσασα Ἀδὰμ τὴν ἔκπτωσιν, ἄχραντε, τῇ κυήσει σου, πανύμνητε, καὶ φωταγώγησον βοᾷν ἐν καθαρῷ λογισμῷ· Εὐλογεῖτε, πάντα τὰ ἔργα, τὸν Κύριον.

Lucis habitaculum facta es, illius scilicet qui ex te propter nos natus est; quem sine intermissione deprecare ut lumine suo perfundat eos, qui te, o castissima Virgo Mater, collaudant ac Deiparam confitentur.

Φωτὸς οἰκητήριον ὤφθης τοῦ δι' ἡμᾶς ἐκ σοῦ τεχθέντος, ὃν ἀδιαλείπτως δυσώπει φωταγωγῆσαι τοὺς ἀνυμνοῦντάς σε, καὶ Θεοτόκον, πάναγνε Παρθενομῆτορ, καταγγέλλοντας.

82 *Ex canone in Synaxim archangeli Gabrielis, die 26.*

Ἐκ τοῦ κανόνος εἰς τὴν σύναξιν τοῦ ἀρχιστρατήγου Γαβριὴλ, ἡμέρᾳ κϛ'.

Statim atque Gabriel vidit te castam omni labe carentem, illustri voce exclamavit: Ave, Domina, thalami nescia, hominum salus, angelorum gloriatio et venustas.

Ἁγνὴν σε πανάμωμον ὁ Γαβριὴλ ὡς ἑώρακε, τὸ Χαῖρε, σοὶ, Δέσποινα, λαμπρῶς ἐβόησεν, ἀπειρόγαμε, βροτῶν ἡ σωτηρία, ἀγγέλων τὸ καύχημα καὶ σεμνολόγημα.

Agnoscens Gabriel mysterium olim absconditum, ad te clamabat, o puella: Ave, Dei palatium, in quo inhabitans, omnes homines, utpote misericors, deificabit.

Γνωρίζων τὸ πάλαι κεκρυμμένον μυστήριον, κόρη, σοί ποτε ὁ Γαβριὴλ ἐκραύγασε· Χαῖρε, Θεοῦ παλάτιον, ἐν ᾧ οἰκήσας ἅπαντας βροτοὺς θεώσει ὡς εὔσπλαγχνος.

Cum te totam a Spiritu sancto castificatam vidisset Gabriel, o immaculatissima, exclamavit ad te claris vocibus: Ave, redemptio a maledictione et primorum parentum revocatio.

Ὅλην σε τῷ Πνεύματι ὁ Γαβριὴλ περιηγνισμένην, πανάμωμε, κατανοήσας ἐκβοᾷ σοι ἐμφανῶς· Χαῖρε, ἀρᾶς ἡ λύτρωσις, καὶ τῶν πρωπατόρων ἀνάκλησις.

Cum templum sanctificationis esses, o intemeratissima, per vocem Gabrielis archangeli concepisti eum, qui requiescit in sanctis suis, sanctissimum Deum, qui universos sanctificat ac liberat a malis.

Ναὸς ἁγιάσματος ὑπάρχουσα, πανάμωμε, φωνῇ Γαβριὴλ τοῦ ἀρχαγγέλου, τὸν ἐν ἁγίοις ἀναπαυόμενον τέτοκας πανάγιον Θεὸν, πάντας ἁγιάζοντα καὶ δεινῶν ἐξαιρούμενον.

Divinis Gabrielis verbis obediens fuisti, o casta, et Verbum æternum in carne perperisti quod mundum ab irrationalitate liberavit.

Ῥημάτων θείων ὑπήκοος, ἁγνὴ, τοῦ Γαβριὴλ ἐχρημάτισας, καὶ τὸν προάναρχον Λόγον σαρκὶ ἀπεκύησας, τῆς ἀλογίας κόσμον ἀπολυτρούμενον.

Missus est princeps militiæ cœlestis Gabriel, ut tibi gaudium annuntiaret, o casta Virgo Mater, per quam vere tristitia cessavit, et maledictio sterilis facta est, ac floruit benedictio fidelibus in sæcula.

Ἀπεστάλη Γαβριὴλ ὁ ἀρχιστράτηγος χαρὰν μηνύων σοι, Παρθενομῆτορ ἁγνὴ, δι' ἧς λύπη πέπαυται, καὶ ἡ ἀρὰ ἀληθῶς ἀπεστείρωται, καὶ εὐλογία ἤνθησε τοῖς πιστοῖς εἰς τοὺς αἰῶνας.

Tanquam jucundum Regis thronum, tanquam

Ὡς θρόνον τὸν πνευματικὸν τοῦ βασιλέως, ὡς

Digitized by Google

πάντων τῶν ποιημάτων ὑπερέχουσαν, ὡς τὸν ὑπερούσιον μόνον οὐσιώσασαν τὸν τοὺς βροτοὺς θεώσαντα ἑνώσει κρείττονι γεννήσεως ἀῤῥήτου καὶ ξένης, τὴν εὐλογημένην ὑμνήσωμεν Παρθένον.

Φέγγος ἀστραπῆς τοῦ τόκου σου ἔλαμψεν καὶ κατεφαίδρυνε πᾶσαν τὴν ὑφήλιον, καὶ τὸν προστάτην τοῦ σκότους ὤλεσε, Θεογεννῆτορ πάναγνε, ἀγγέλων καύχημα, καὶ ἀνθρώπων πάντων τὸ διάσωσμα, τῶν ἀπαύστοις φωναῖς εὐφημούντων σε.

Ἐκ τοῦ κανόνος εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Ἱλαρίωνα τὸν Νέον, ἡμέρᾳ κη'.

Τῶν ἐμῶν πταισμάτων τὰς σειρὰς, πάναγνε, διάῤῥηξον, τὸν σὸν Υἱὸν καὶ Θεὸν ἱκετεύουσα· καὶ τὴν τυραννοῦσάν με, Ἀειπάρθενε, ἁμαρτίαν κατάβαλε, ὅπως σε γεραίρω πάντοτε, πανάμωμε, σωζόμενος.

Ἴατρευσον τὰ τραύματα τῆς ψυχῆς μου, δέομαι, καὶ τοῦ νοὸς κυβέρνησον τὰς κινήσεις πρὸς τὰ θελήματα τοῦ ἐκ σοῦ σαρκωθέντος, κόρη πάναγνε.

Ὁ Κύριός σε Κυρίαν ἁπάντων καὶ Δέσποιναν εἰργάσατο, ἄχραντε· σοῦ γὰρ ἐκ μήτρας σεσάρκωται κατακυριεύοντος αὐτοῦ τὸ ἴδιον πλάσμα λυτρωσάμενος.

Ἰσχὺς τῶν πιστῶν καὶ ὁσίων γέγονας κραταίωμα· διὰ σοῦ γὰρ, ἄχραντε, ἅπασιν ἐπήγασας τὰ κρείττονα, καὶ οἱ γῆν κατοικοῦντες πρὸς οὐρανὸν βαδίζουσιν.

Τὴν παστάδα Θεοῦ τὴν ἀμόλυντον, θρόνον τὸν πυρίμορφον τοῦ Παντοκράτορος, τὴν Θεοτόκον ἅπασαι γενεαὶ γενεῶν μακαρίσωμεν.

Συμβόλοις σε πόῤῥωθεν προδιετύπου ἡ χάρις τοῦ Πνεύματος προφητικοῖς χαρίσμασιν, ὄρος πίον ἅγιον, πύλην σωτήριον, τόμον τε καινότατον, ἁγνὴ, καὶ κιβωτόν σε κατονομάζουσα.

Ῥύπου με παθῶν, καὶ σπίλου ἁμαρτίας, θεοχάριτωτε ἀπόπλυνον, καὶ πύλας μοι ἄνοιξον μετανοίας ὀλισθαίνοντι, καὶ συνεχῶς τοῖς πταίσμασιν, ἄχραντε, συναντῶντι, καὶ τὸν Θεὸν παροργίζοντι.

Φωνὴν σοι προσάγομεν τοῦ Γαβριὴλ γηθόμενοι· Χαῖρε, λέγοντες, οἶκος τοῦ Παντοκράτορος, χαῖρε, τῶν ὁσίων ἡ δόξα καὶ τῶν πιστῶν πάντων σωτηρία, δι' ἧς ἐθεώθημεν, Θεοτόκε ἀειπάρθενε.

Ἐκ τοῦ κανόνος εἰς τὸν ἅγιον Μάρκον ἐπίσκοπον Ἀρεθουσίων, ἡμέρᾳ κθ'.

Ὄρος σε κατάσκιόν ποτε ὁ Ἀββακοὺμ ἐλλαμφθεὶς ἐθεάσατο, Μῆτερ ἀπειρόγαμε, ἐξ ἧς Θεὸς σωματωθεὶς ἐπέφανεν ἀρετῇ καλύψας ὡς ἀληθῶς τὰ οὐράνια.

Ὁ μόνος οἰκῶν τοὺς οὐρανοὺς τὴν μήτραν σου κατῴκησεν ὑπερβολῇ, Παρθένε, χρηστότητος, καὶ σὰρξ ὡράθη ἐκ σοῦ τικτόμενος· ἀλλ' αὐτὸν ἱκέτευε πάσης περιστάσεως, παναγία, ῥυσθῆναι τοὺς δούλους σου.

Συλλαβοῦσα ἀφλέκτως τὸ πῦρ τῆς θεότητος, καὶ

A omnibus creaturis eminentiorem, tanquam eam, quæ solum supersubstantialem substantiam effecit, qui præstantissima unione ineffabilis ac peregrinæ generationis homines deificavit, Virginem benedictam collaudemus.

Jubar fulgoris partus tui coruscavit, atque universum terrarum orbem læta luce perfudit; tenebrarumque præsidem profligavit, o Dei Genitrix castissima, angelorum gloriatio, **83** et omnium hominum salus, qui te incessabilibus vocibus concelebrant.

Ex canone in S. P. N. Hilarionem Juniorem, die 28.

Disrumpe, o castissima, peccatorum meorum B vincula, deprecans pro me Filium ac Deum tuum; et peccatum, quod me tyrannice premit, dejice, ut salutem consecutus te semper honorare valeam, o semper Virgo purissima.

Cura, precor, vulnera animæ meæ, o puella castissima; et mentis meæ motus rege ac dirige ad voluntatem ejus faciendam, qui ex te incarnatus est.

Dominus constituit te, o inviolata, Dominam ac Reginam universorum: ex utero enim tuo incarnatus est, ut suum plasma ab eo, qui eidem dominabatur, liberaret.

Fortitudo fidelium et firmamentum sanctorum facta es, o intemerata: per te enim omnibus præstantissimorum bonorum fons emanavit, et habi- C tantibus in terra ad cœlum iter patefactum est.

Thalamum Dei impollutum, thronum Omnipotentis igniformem, Deiparam omnes generationes generationum beatificemus.

Gratia Spiritus sancti propheticis charismatibus te a longe per symbola præfigurabat, o casta; nominans te montem pinguem ac sanctum, portam salutarem, volumen novum ac recentissimum, et arcam.

Emunda me, o Deo charissima, a sordibus passionum, et a maculis peccati, et pœnitentiæ portas aperi mihi, o illibata, qui cado, et assidue in peccata incurro, Deumque provoco ad iram.

Vocem Gabrielis ad te cum gaudio proferimus, dicentes: Ave, domus Omnipotentis: ave, gloria D sanctorum, **84** et salus omnium fidelium, o Deipara semper Virgo, per quam deificati sumus.

Ex canone in Festo S. Marci episcopi Arethusiorum, die 29.

Montem umbrosum, quondam Abbacuch illuminatus te vidit, mater innupta, ex qua Deus incorporatus apparuit, virtute occultans verissime cœlestia.

Is, qui solus inhabitat cœlos, in utero tuo habitavit, o Virgo, ob excessum benignitatis, et caro apparuit natus ex te. Tu vero ipsum deprecare, o sanctissima, ut liberet servos tuos ab omni adversitate.

Quæ suscepisti absque combustione ignem Divi-

Digitized by Google

nitatis, et peperisti sine semine fontem vitæ Dominum, o Deipara, gratia plena, salva ab omni parte, magnificantes te.

Nos qui tuam protectionem possidemus, o immaculata, et tuis intercessionibus a malis liberamur, a cruce Filii tui in omnibus custoditi, jure te omnes religiose magnificamus.

Mons ille, quem propheta Daniel vidit, ex quo lapis Christus abscissus est sine manu, conterens idola, et evertens dæmonum fastum, tu es, o Virgo, propterea te glorificamus.

Admirans sanctissima eum, qui ex se natus erat ineffabiliter, terrore concutiebatur, et magnificabat, et clamabat, Quomodo in ulnis meis complector te, Fili, universa complectentem.

Palatium Dei apparuisti, Domina, omnium regnatoris, quem deprecare, ut me malorum latronum diversorium factum expurget, et salvet me, o immaculata.

Segnitiem, quæ est in me, Domina, et somnolentiam gravem vigilantibus tuis et venerandis precibus apud Deum, immaculata, expelle, et miserere mei, qui cano : **85** Laudabilis et supergloriosus Deus patrum nostrorum.

Contritam hominum naturam antiqua transgressione, reformasti super naturam, et deificasti, o pura, psallentem partui tuo : Benedicite, omnia opera, etc.

Miserere populi tui, Domine, et hujus hæreditatis tuæ, quam possedisti, flexus precibus pro nobis oblatis Genitricis tuæ Dei Filiæ, ut te velut Dominum et misericordissimum glorificemus.

A τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη, Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι, ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν λυτρούμενοι, τῷ σταυρῷ τοῦ Υἱοῦ σου ἐκ παντὶ φρουρούμενοι, καταχρέως σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Τὸ ὄρος, ὁ προφήτης Δανιὴλ ὃ τεθέαται, ἐξ οὗ ὁ λίθος ὁ Χριστὸς ἐτμήθη ἀνευθεν χειρὸς, συντρίψας τὰ εἴδωλα καὶ καθελὼν τὰ τῶν δαιμόνων φρυάγματα, σὺ εἶ, Παρθένε · διό σε δοξάζομεν.

Θαυμάζουσα τὸν ἐκ ταύτης ἀῤῥήτως τικτόμενον, ἡ πάναγνος κατεπλήττετο, καὶ ἐμεγάλυνε, καὶ βοῶσα ἔλεγε · Πῶς ἐν ἀγκάλαις σε κατέχω, τέκνον, τὸν B πάντα κατέχοντα ;

Παλάτιον Θεοῦ ἐδείχθης, Δέσποινα, τοῦ πάντων βασιλεύοντος · ὃν ἱκέτευε ληστῶν με πονηρῶν ἤδη γεγονότα καταγώγιον ἀποκαθάραι, καὶ σῶσαί με, ἄχραντε.

Τὴν ἐν ἐμοὶ ῥαθυμίαν, Δέσποινα, καὶ νυσταγμὸν τὸν χαλεπὸν ταῖς ἀγρύπνοις σου πρὸς Θεὸν καὶ σεπταῖς δεήσεσιν, ἄχραντε, ἀπέλασον, καὶ μελῳδοῦντά με οἰκτειρον· Ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Συντριβεῖσαν φύσιν τῶν βροτῶν τῇ πάλαι παραβάσει ἀνέπλασας ὑπὲρ φύσιν, καὶ ἐθέωσας, ἁγνὴ, τῷ τόκῳ σου ψάλλουσαν· Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

C Φεῖσαι τοῦ λαοῦ σου, Κύριε, καὶ ἧς ἐκτήσω ταύτης κληρονομίας σου, ταῖς ὑπὲρ ἡμῶν τῆς σε τεκούσης θεόπαιδος παρακλήσεσιν ἐπικαμπτόμενος, ἵνα σε ὡς Δεσπότην καὶ πανοικτίρμονα δοξάζομεν.

Ex canone in SS. martyres Jonam et Barachisium, die 29.

(Idem est cum superiori, et ideo omittimus.)

86 MENSIS APRILIS. ΜΗΝ ΑΠΡΙΛΙΟΣ.

Ex canone in SS. martyres Theodulum et Agathopodem, die 4 (58**).

Salvatorem, factorem omnium, ac Dominum concepisti, quem Agathopus una cum illustri Theodulo prædicavit esse Deum et hominem, o Virgo Mater, omni beatitudine cumulatissima.

Ex te salus hominibus exorta est, o Dei Genitrix benedicta, propterea te laudamus universæ generationes.

Peperisti, o inviolata, Redemptorem, qui ab hostili captivitate homines liberavit, carne nostra circumdatum.

Prædicantes incarnationem Domini, qui ex utero tuo, Deipara coruscans, exortus est, gloriosi martyres salutare martyrii poculum lætantes biberunt.

O Mater Dei, animæ meæ pessimum morbum cura, tu quæ optimum Verbum peperisti, quod universos efficit bonos.

Medere passionibus animæ meæ, o immaculatissima, quæ impassibilitatis fontem peperisti, et compesce tyrannidem eorum, o Virgo, qui assidue conturbant ac **87** perterrent cor meum.

Cum te, o casta, virtutum splendore exornatam invenisset Verbum illud, quod cœlos virtutibus cælavit, habitavit in te, o purissima, et humanam D naturam in cœlestem convertit.

Absque ulla naturæ suæ mutatione vere totum hominem ex te Deus assumpsit, o divina gratia cumulatissima Domina ; cujus passionem Theodulus atque Agathopus repræsentantes, constantes ac fortes clamabant : Omnia opera, laudate Dominum.

Intimæ pietatis tuæ fulgore perfunde atque illumina me in ignorantiæ tenebris jacentem, o tu quæ unica lucis datorem et Redemptorem ac Dominum in utero tuo conceptum peperisti, qui sanctos coronavit.

(58**) Græca desunt in Menæis impressis.

Digitized by Google

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Κλαύδιον, Διόδωρον, Οὐίκτορα, Οὐϊκτωρῖνον, Πάπιον, Νικηφόρον καὶ Σεραπίωνα, ἡμέρᾳ ε'.

Ἐν χρόνῳ ὁ ἔξω χρόνων Κύριος ἐκ σοῦ σεσαρκωμένος τὰ τῶν βροτῶν διέλυσεν, ἁγνὴ, πολυχρόνια πταίσματα, ὃν ἐκτενῶς ἱκέτευε τοῦ οἰκτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

Ῥυόμενον τοὺς βροτοὺς αἱχμαλωσίας νοητῆς τέτοκας, τὸν τοῦ παντὸς Κύριον, ἄχραντε Παρθένε πανύμνητε.

Νοερῶς σε ὁ προφήτης προεθεώρει ὄρος, σεμνὴ, κατάσκιον, ἐξ οὗ ὁ Δεσπότης ἀληθῶς ἐπέφανε σαρκὸς ὁμοιότητι, σώζων ἐκ φθορᾶς τὸ ἀνθρώπινον.

Τὴν πτῶσιν τῶν βροτῶν ἐπανώρθωσας, Δέσποινα, ἵνα κυήσασα Θεὸν Λόγον τὸν τοὺς κατερραγμένους ἐπανορθοῦν δυνάμενον.

Νεύρωσον τῆς ψυχῆς μου τὸν τόνον, πανάμωμε, τῇ συνεχεῖ ἀμελείᾳ καὶ τῇ ἁμαρτίᾳ κεχαυνωμένον, ἵνα πίστει καὶ προθυμίᾳ μέλπω σε πάντοτε.

Ὦ; τοῦ Ὑψίστου θρονον, Παρθένε, ὑψηλώτατον πάντες, καὶ χρυσῆν λυχνίαν, καὶ κιβωτὸν ἁγιάσματος ὑμνοῦμέν σε· Εὐλογημένη σὺ ἐν γυναιξὶ, βοῶντες, πανάμωμε.

Νοὸς ὁ φρικτός σου τοκετὸς νικᾷ κατάληψιν, θεοχαρίτωτε· Θεὸς γὰρ πέφυκεν ἄναρχος χρονικὴν ἀρχὴν δεξάμενος, διὰ τὸ σῶσαι τοὺς πιστῶς αὐτῷ κραυγάζοντας· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φέρουσα Χριστὸν ἐν ἀγκάλαις σάρκα θνητὴν ἐκ σοῦ λαβόντα, τοῦτον ἐκδυσώπει, Παρθένε, ἀθανασίας τυχεῖν, πανάμωμε, τούς σε πιστῶς γεραίροντας, καὶ Θεοτόκον μεγαλύνοντας.

Ex Canone in SS. martyres Claudium, Diodorum, Victorem, Victorinum, Papium, Nicephorum et Serapionem, die 5.

In tempore, Dominus qui est extra tempora, ex te, o Virgo, incarnatus, hominum peccata multi temporis abolevit : quem impense deprecare, ut animarum nostrarum misereatur.

Universi Dominum peperisti, o Virgo inviolata, omni laude celebranda, qui homines a spiritali captivitate liberavit.

Prævidit te intellectualiter propheta, montem umbrosum, o veneranda, ex quo Dominus vere illuxit in similitudine carnis, ut humanum genus a corruptione liberaret.

Hominum ruinam reparasti, o Domina, Deum Verbum enixa, qui confractos ac dejectos potest saluti restituere.

Corrobora animæ meæ vigorem, o immaculatissima, **88** assidua negligentia et peccatis relaxatum, ut cum fide atque alacritate semper laudes tuas canere possim.

Tanquam Altissimi thronum eminentissimum, et lucernam auream, atque arcam sanctificationis, universi te, o Virgo, laudamus, clamantes : Benedicta tu inter mulieres, o inviolatissima.

Tremendus partus tuus mentis captum superat, o Deo gratissima : Deus enim qui est sine principio, principium temporis habuit, ut salvaret eos, qui cum fide clamant ad illum : Benedicite, omnia opera Domini, Domino.

O Virgo, quæ Christum, qui ex te mortalem carnem accepit, in ulnis tuis gestasti, eumdem deprecare, o immaculatissima, ut illi qui te fideliter honorant, et Deiparam magnificant, immortalitatem consequantur.

Ex canone in sanctam et admirabilem Theodoram, die 5 (58***).

Μεδέρε animæ meæ morbis ac passionibus immoderatis, o Virgo Deo charissima, et salvum me fac, precor, tu quæ Salvatorem ac Dominum supra rationis captum corpore induisti.

Matrem Verbi, quod ante sæcula ex Patre absque corruptione coruscans emanavit, te solam agnovimus, o sponsa Dei illibata. Propterea ad te clamamus : Ave, o benedicta. Teque precamur, ut impleas gaudio animas nostras.

Amore tui allecta illustris Theodora, post te, o Virgo, adducta est Regi ex utero tuo incarnato, cum animæ exsultatione tripudians.

Voluntarie attrahor et inescor malorum pulchro aspectu, et coinquino animam meam : propterea converte me intercessione tua, et salva me, o purissima.

Ἐκ τοῦ κανόνος εἰς τὸν ἅγιον μάρτυρα Καλλίοπον, ἡμέρᾳ ζ'.

Ὁ νεύματι πάντα δημιουργῶν ἐκ σοῦ σωματοῦται ὑπὲρ λόγον, Μῆτερ Θεοῦ, ὁ τὸν ἀθλοφόρον στεφανώσας, μεθ' οὗ πιστῶς σε ἀεὶ μακαρίζομεν.

O Domina, quæ Dominum, lumen de lumine, peperisti, **89** illumina animam meam negligentiæ et gravissimarum culparum cæcitate laborantem.

Cogitationes tanquam stamina cum gaudio conglomerans ac nens, pulcherrimum Verbo vestimentum texuisti ex tuis sanguinibus, o Virgo, quod gestabit in æternum.

Interfice peccatum nostrum vivens, tu quæ vitam vere exsistentem peperisti, o sola Virgo pura ac benedicta, ut te laudemus per universa sæcula.

Luce vultus tui illumina jacentem in tenebris passionum, o porta lucis spiritalis. Ne me deprehendat et involvat nox mortis, o casta Domina, a qua salutis meæ spes penitus abscindatur.

Ex canone in S. Calliopum martyrem, die 7.

Qui nutu condidit universa, ex te ineffabiliter corpus assumpsit, o Dei Mater, qui martyrem suum victorem certaminis coronavit, cum quo semper te fideliter beatificamus.

(58***) Græca desunt.

Digitized by Google

O sanctissima Virgo, martyrum gloriatio, et sacrorum apostolorum decus et ornamentum : eos qui te laudibus cum gaudio concelebrant, libera ab omni angustia intercessionibus tuis.

Tanquam vitis fructifera botrum produxisti, o immaculatissima, ex quo illis, qui te fideliter beatificant, divinum mustum exprimitur.

Liberati, o virgo, a progenitorum nostrorum culpa mediante opera tua, cum archangelo Gabriele, tibi, o intemeratissima, clamamus : Salve, o unica omnium peccatorum salus : salve, martyrum omnium robur firmissimum.

Sana, o casta, immensa animæ meæ peccata, et illumina mentem meam, quæ omnium transgressionum **90** perpetuis in tenebris versatur, ut te debitis laudibus beatificem.

Venerandi uteri tui fructus, o Deipara, vivificavit nos per fructum peremptos ac mortuos : propterea te pro debito collaudantes, clamamus : Laudabilis Deus patrum.

Jesum Dominum corpore amictum peperisti, o Virgo inviolata, et ulnis portasti, qui omnipotenti nutu portat universa. Quamobrem tanquam Dei Matrem te laudamus, clamantes cum præconio : Sacerdotes, benedicite; populus, superexaltate Dominum.

Mysticis lucis tuæ radiis mentis meæ tenebras elimina, o Mater Dei; et gravissimam cogitationum mearum tempestatem seda, et ad tranquillos portus deduc me, o unica omnium salus, ut te cum fide beatam appellem.

A Παναγία Παρθένε, τῶν ἁθλητῶν καύχημα, καὶ τῶν ἱερῶν ἀποστόλων τὸ σεμνολόγημα, τοὺς ἐν αἰνέσει σε χαρμονικῶς ἀνυμνοῦντας ῥῦσαι ταῖς πρεσβείαις σου πάσης στενώσεως.

Ὡς κατάκαρπος ἄμπελος βότρυν ἐγεώργησας ἀπυστάζοντα γλεῦκος θεῖον, παναμώμητε, τοῖς πιστῶς ἀεί σε μακαρίζουσιν.

Λυθρωθέντες, Παρθένε, τῆς προγονικῆς διὰ σοῦ καταπτώσεως, σὺν τῷ ἀρχαγγέλῳ Γαβριὴλ σοι βοῶμεν, πανάμωμε· Χαῖρε, μόνη πάντων ἀμαρτωλῶν ἡ σωτηρία, χαῖρε, πάντων μαρτύρων κραταίωμα.

'Ιάτρευσόν μου, ἁγνή, ψυχῆς τὰ ἄμετρα πταίσματα, καὶ φώτισόν μου τὸν νοῦν ἀεὶ σκοτιζόμενον πάσαις παραβάσεσιν, ὅπως ἐν αἰνέσει καταχρέως B μακαρίζω σε.

Ὁ καρπὸς, Θεοτόκε, τῆς σεπτῆς σου νηδύος ἡμᾶς ἐζώωσε καρπῷ θανατωθέντας· διό σε καταχρέως ἀνυμνοῦντες κραυγάζομεν· Ὁ τῶν πατέρων Θεὸς εὐλογητός.

Σωματοφόρον τέτοκας καὶ ἀγκάλαις ἐβάστασας, ἄχραντε Παρθένε Ἰησοῦν Κύριον, τὸν πάντα βαστάζοντα παντοδυνάμῳ νεύματι· ὅθεν ὡς Θεοῦ σε ἀνυμνοῦμεν μητέρα, βοῶντες ἐν αἰνέσει· Ἱερεῖς, εὐλογεῖτε, λαὸς, ὑπερυψοῦτε.

Φωτός σου ταῖς ἀκτῖσι ταῖς μυστικαῖς τοῦ νοός μου τὸ σκότος ἀπέλασον, Μῆτερ Θεοῦ, καὶ τῶν λογισμῶν μου τὸ χαλεπὸν κλυδώνιον κατεύνασον, καὶ πρὸς τοὺς λιμένας τοὺς γαληνοὺς ὁδήγησόν με, C μόνη ἡ πάντων σωτηρία, ὅπως ἐν πίστει μακαρίζω σε.

Ex canone in SS. apostolos Herodionem, Agabum, Rufum, Asyncritum, Phlegontem, et Hermam, die 8.

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους ἀποστόλους Ἡρωδίωνα, Ἄγαβον, Ῥοῦφον, Ἀσύγκριτον, Φλέγοντα, καὶ Ἑρμᾶν, ἡμέρᾳ η'.

O Deipara compassione prædita, apostolorum gloria, martyrum triumphantium decus, fidelium firmamentum, confirma mentem meam, precor, invasionibus seductoris exagitatam, atque transgressionum tenebris obscuratam.

Qui secundum divinam substantiam inaccessibilis est, accessibilis mihi factus est, o inviolata; et per carnis assumptionem totus mihi unitus est, propter summam misericordiam suam.

Per sacrum verbum Patris Verbum concepisti, D o puella Dei genitrix, quod homines liberat ab omni rationalis verbi defectu. Unde te divinis verbis semper magnifice glorificamus.

Sola in terris peregrinam prolem habuisti, quæ sola Patri nos reconciliavit, qui solus est sine principio ante omne principium : ideo te solam tanquam Dei Matrem **91** veneramur.

Legis arca figurabat te, quæ divinæ legis plenitudinem suscepisti, et in carne peperisti, et post partum virgo perennis permansisti, qualis ante partum fueras, o Sponsa Dei.

Novus Paradisus, in quo vitæ lignum situm est, facta es nobis, o inviolata Virgo Dei genitrix; cujus

Συμπαθὴς Θεοτόκε, ἀποστόλων τὸ κλέος, τῶν ἀθλοφόρων ἡ δόξα, καὶ πιστῶν στήριγμα, στήριξον, δέομαι, τὸν περιτρεπόμενον ταῖς ἐπηρείαις τοῦ πλάνου, τὸν νοῦν μου σκοτούμενον ταῖς παραβάσεσι.

Ὁ κατ' οὐσίαν ὑπάρχων τὴν θεϊκὴν ἀπρόσιτος, ἄχραντε, προσιτός μοι νῦν γέγονε, καὶ σαρκὸς προσλήμματι ὅλως ἡνώθη δι' ἄκραν εὐσπλαγχνίαν.

Λόγῳ ἱερῷ τοῦ Πατρὸς τὸν Λόγον συνέλαβες πάσης ἀλογίας τοὺς βροτοὺς, Θεογεννῆτορ κόρη, λυτρούμενον· ὅθεν λόγοις πάντοτε μεγαλοφώνως θείοις σε δοξάζομεν.

Μόνη ἐν γῇ τοκετὸν ἔσχες ξένον, μόνον ἡμᾶς καταλλάσσοντα μόνῳ τῷ προανάρχῳ Πατρί· διὰ τοῦτο μόνην σε ὡς Θεοῦ Μητέρα σέβομεν.

Νόμου σε ἐτύπου ἡ κιβωτὸς τὴν δεξαμένην νόμου θείου τὸ πλήρωμα, καὶ σαρκὶ κυήσασαν, καὶ μετὰ τόκον μείνασαν ἀειπάρθενον ὡς πρὸ τόκου, Θεόνυμφε.

Νέος Παράδεισος ἡμῖν ζωῆς ξύλον, ἄχραντε, κεκτημένος γεγένησαι, οὗ ἡ βρῶσις τοὺς βρώ-

Digitized by Google

σει πεπτωκότας ἀνεζώωσεν, ἁγνὴ Θεογεννῆτορ.

Vellus olim prænotavit castissimum uterum tuum, o veneranda, qui excepit in se divinum rorem irrorantem universos, qui siti peccati laborant, o omni laude digna ac benedicta, quæ Deum in carne peperisti.

B ‖ Ὁ πόκος ποτὲ προεδήλου τὴν ἁγνὴν, σεμνὴ, γαστέρα σου εἰσδεξαμένην τὴν οὐράνιον δρόσον τὴν πάντας δροσίζουσαν τοὺς κεκρατημένους τῇ δίψῃ τῆς ἁμαρτίας, πανύμνητε εὐλογημένη, ἡ Θεὸν σαρκὶ κυήσασα.

Seda nunc gravem passionum mearum tempestatem, o casta benedictaque puella; et oppugna omnes incorporeos hostes, qui immaniter insultant paupertati meæ, ut fideliter te laudem.

Στῆσον παθῶν μου τὸ δεινὸν νῦν κλυδώνιον, ἁγνὴ εὐλογημένη, καὶ πολέμησον πάντας τοὺς ἀφειδῶς τῇ ἐμῇ πτωχείᾳ, κόρη, ἐπεμβαίνοντας δυσμενεῖς ἀσάρκους, ὅπως πιστῶς ὑμνῶ σε.

Lucidissimis lampadibus illius qui ex te supra mentis captum incarnatus est, sanctissima Virgo, illuminemur nos, qui te Deiparam fideliter agnoscimus, et a passionum tenebris, atque a periculis cunctisque vitæ adversitatibus liberemur.

Φαεινοτάταις λαμπάσι τοῦ ἐκ σοῦ σαρκωθέντος, Παρθένε παναγία, ὑπὲρ νοῦν, οἱ Θεοτόκον εἰδότες σε φωτιζόμεθα πίστει, καὶ σκότους ἐκλυτρούμεθα παθῶν, καὶ κινδύνων καὶ πάντων τοῦ βίου περιστάσεων.

132 *Ex Canone in festo receptionis reliquiarum sanctorum Cyri, et Joannis, die 28.*

C *Ἐκ τοῦ Κανόνος εἰς τὴν ἀνακομιδὴν τῶν λειψάνων τῶν ἁγίων ἀναργύρων Κύρου καὶ Ἰωάννου, ἡμέρᾳ κη'.*

Tanquam ea, quæ ob bonitatis excessum tibi nos familiares facis, o castissima, Deoque gratissima, ab omni obscuritate, tempestate ac periculo libera universos.

Ὡς τὰ ἡμῶν ὑπερουλῇ ἀγαθότητος οἰκειουμένη, πάναγνε θεοχαρίτωτε, ἀμαυρώσεως πάσης, καὶ ζάλης, καὶ κινδύνων πάντας διάσωσον.

Virgo illibatissima, quæ peperisti illum qui tollit morbos hominum, medicam adhibe manum contritionibus animæ meæ, carnisque meæ infirmitatibus.

Τὰς νόσους τῶν βροτῶν τὸν ἀφαιρούμενον τεκοῦσα, παναμώμητε Παρθένε, τῆς ψυχῆς μου τὰ συντρίμματα καὶ σαρκὸς τὰ νοσήματα θεράπευσον.

Opulentas misericordias tuas asperge super nos, o Virgo, juxta consuetudinem tuam, varios morbos curans animarum illorum qui cum fide ad te accedunt, quæ es causa bonorum, o plurimum laudanda.

Συνήθως ἐφ' ἡμᾶς τὰ πλούσιά σου ἐλέη, Παρθένε, ῥᾶνον, νοσήματα παύουσα ποικίλα ψυχῶν, τῶν ἐν πίστει προσιόντων σοι τῇ τῶν καλῶν αἰτίᾳ, πολυύμνητε.

D

Ærumnosissimæ animæ meæ fluctus tranquilla, obsecro; et dolores carnis meæ seda, quæ sola absque doloribus Deum corporatum peperisti.

Κύματα πράϋνον τῆς παναθλίας μου ψυχῆς, δέομαι, καὶ τῆς σαρκὸς παῦσον τὰς ὀδύνας, ἡ μόνη τεκοῦσα ἀνευθεν ὀδίνων Θεὸν σωματούμενον.

Intellectualibus superior potestatibus, omni seductoris malitia superiorem me fac intercessionibus tuis, dum te cum gratiarum actione semper glorifico.

Ab hominibus infestis, a dæmonibus malignis, et ab omni alia adversitate, casu, omnique læsione libera me, Virgo sancta, et custodi me concinentem; Benedictus es, Deus Patrum.

Ἀνθρώπων δεινῶν καὶ δαιμόνων πονηρῶν καὶ πάσης ἄλλης κακοπραγίας καὶ συμπτώσεως καὶ πάσης κακώσεως ῥῦσαί με, ἁγία Παρθένε, καὶ συντήρησον ψάλλοντα· Εὐλογητὸς εἶ, ὁ Θεὸς ὁ τῶν Πατέρων.

In similitudine carnis ille, qui est superdivinus, ex te apparuit, o Virgo casta, quem incessanter deprecare, ut misereatur nostri, qui cum malitia

Ἐν ὁμοιώματι σαρκὸς ὁ ὑπέρθεος, ἁγνὴ, ἐκ σοῦ ὡράθη, ὃν ἀπαύστως δυσώπει ἐλεηθῆναι ἡμᾶς κακίᾳ

Digitized by Google

συζῶντας, καὶ τρέμοντας τῆς αἰωνιζούσης, Παρθένε, τιμωρίας.

Φωτοειδὴς ὡς νεφέλη, τὸν τῆς δικαιοσύνης κατέχουσα ἀγκάλαις σου, ἁγνή, Ἥλιον ἄδυτον πέφυκας· διὰ τοῦτο βοῶ σοι· Πολλοῖς ἐσκοτισμένον με κακοῖς φωταγώγησον, κόρη, ἀπαύστως σε γεραίροντα.

A convivimus et æternum tormentum contremiscimus.

Facta es, o casta, velut nubes lucida, quæ justitiæ Solem inoccíduum ulnis continuisti: ideo clamo ad te: Illumina me, o puella, multis malis obtenebratum, dum te incessanter honoro.

133 *Ex Canone in S. Hypatium, die* 28 (64***).

Salvatori ac Deo ex castis sanguinibus tuis corpus dedisti, o Virgo inviolata, qui dedit nobis sapientem Hierarcham suum, salutiferum ac ferventem defensorem, vere admirabilem Hypatium.

Esto mihi propitia in die Christi formidabili ac tremenda, o Dei Mater, Virgo genitrix Maria, quæ omnibus Filii tui creaturis es sublimior, quippe quæ sola ipsum supernaturaliter lactasti.

Virgo Mater, quæ Deum incarnatum peperisti graves et innumerabiles animæ meæ lapsus expians, salva me intercessione tua.

Gratiarum tuarum fluvii, et fontes curationum, et divinarum divitiarum distributiones dividuntur, o Dei Sponsa, ex manu illa, unde vita principium habuit, Omnipotentis qui ex utero tuo natus est.

Sapientiam Dei subsistentem peperisti, inviolata Virgo Deipara, quæ sanctos sapientissimos fecit, per quos malitiæ architecti cecidit fastus, et pessima machinamenta.

O miraculum omnium miraculorum maximum, quod Virgo concipiens sine virili opera in utero suo illum qui universa complectitur, illum non coarctavit.

O Dei sponsa Virgo, quæ absque nuptialis thalami experimento, et absque seminis corruptione Unigenitum Patris concepisti, et in carne peperisti, ex immaculatis sanguinibus tuis, ne cesses preces effundere pro salute mundi.

Me multis periculis circumdatum, et peccatorum tempestate periculosissime jactatum, dirige nunc Spiritus sancti aura ad pacatissimam stationem, o Dei genitrix Domina, portus enim es Christianorum; quamobrem te **134** laudamus in omnia sæcula.

Mater Creatoris lucidissima mœstorum consolatio, periclitantium protectio, et laborantium auxilium, atque ægrotantium velox visitatio, tu me, quandiu vixero, custodi.

ΜΗΝ ΙΟΥΛΙΟΣ.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Κοσμᾶν καὶ Δαμιανὸν, ἡμέρᾳ α'.

Σὲ τοῦ Θεοῦ τὸ χωρίον, τὴν νοητὴν τράπεζαν, τὴν καλλονὴν τοῦ Ἰακὼβ, τὴν ἀδιάβατον γέφυραν, καὶ ἀδιάσειστον κλίμακα, ἄχραντε, αἱ γενεαὶ τῶν γενεῶν μακαρίζομεν.

Ὁ φοβερὸς ταῖς ἄνω στρατηγίαις ἐν σοὶ ἀῤῥάστως ᾤκησε, καθαρωτέραν εὑρηκὼς ὁρατῆς καὶ νοουμένης, ἁγνὴ Παρθένε, φύσεως· διό σε μακαρίζομεν.

Ἡ λαμπὰς τοῦ θείου φωτὸς, ἡ ἀνωτέρα πάντων τῶν ποιημάτων, ἡ τὸν ἄνθρωπον θεώσασα, ὡς Θεὸν κυήσασα, καὶ Θεοτόκος δοξάζεται.

Ἀνάτειλόν μοι, Δέσποινα, ἀκτῖνα θείας γνώσεως τῷ ἐν τῷ σκότῳ τῆς ἀγνωσίας δεινῶς συνεχομένῳ, καὶ πρὸς φῶς ὁδήγησον μετανοίας, ἄχραντε, πύλη οὖσα τοῦ φωτός.

Σῶσόν με, ἡ τεκοῦσα τὸν Σωτῆρα· βυθὸς γὰρ συνταράσσει με ἁμαρτημάτων, καὶ χειμάζει με κλυδώνιον ἡδονῶν, καὶ ζάλη τῶν πνευμάτων τῆς πονηρίας ἐκθλίβει με.

Καταβήσεται Χριστὸς, ὡς ὑετὸς ἐπὶ πόκον, ἐν τῇ γαστρί σου, θεοχαρίτωτε, καὶ τοὺς χειμάῤῥους τῆς ἀνομίας καταπαύσει ὡς Θεὸς, καὶ ἀφθαρσίαν καὶ ζωὴν πηγάσει τοῖς μέλπουσιν, Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων.

MENSIS JULIUS.

Ex Canone in festo SS. Cosmæ, et Damiani martyrum, die 1.

Te Dei sedem ac possessionem, mensam spiritalem, speciem ac pulchritudinem Jacob, pontem trajectu felicissimum ac facillimum, scalam stabilem atque immobilem, omnes hominum generationes cum affectu beatam nuncupamus, o immaculata.

Ille qui formidabilis est supernis exercitibus, in te inenarrabili modo habitavit, o casta Virgo, cum te omni natura visibili, atque intelligibili puriorem invenisset: propterea te beatam appellamus.

Lampas divinæ lucis, superior omnibus creaturis, quæ hominem deificavit, quippe quæ Deum pepererit, Deipara glorificatur.

Oriri fac super me, Domina, radium divinæ cognitionis, cum tenebris ignorantiæ graviter oppressus sim; et deduc me ad lumen pœnitentiæ, o immaculata, cum sis porta lucis.

Salva me, tu quæ Salvatorem peperisti; profundum quippe peccatorum conturbat me; et exagitat me tempestas concupiscentiarum, malignorumque spirituum procella affligit me.

135 Descendet Christus sicut pluvia in vellus, in uterum tuum, o Deo charissima; et torrentes iniquitatis cessare faciet, utpote Deus; atque immortalitatem ac vitam in modum fontis emanabit iis qui canunt: Benedictus Deus Patrum.

(64***) Desideratur in Menæis.

Digitized by Google

Ex sacris sanguinibus tuis incarnatus est Creator omnium, atque exivit ab utero tuo, virginem te conservans. O miraculum miraculorum! o novorum mysteriorum manifestatio, quæ in te facta sunt in omnia sæcula.

O virgo, quæ ipsis Cherubim superior apparuisti, effice mentem meam carnalibus concupiscentiis vitreque tentationibus superiorem; et concede mihi ut expedite facileque incedam pro semitas salutares, quæ ducunt ad supernam civitatem, o immaculata.

A Ἐξ αἱμάτων σου ἱερῶν σεσάρκωται ὁ Πλαστουργὸς ὁ πάντων, καὶ σοῦ προῆλθεν ἐκ γαστρὸς, σὲ παρθένον διαφυλάξας· ὦ θαῦμα θαυμάτων! ὦ καινῶν μυστηρίων φανέρωσις ἐν σοὶ πεπραγμένων εἰς πάντας τοὺς αἰῶνας!

Φανεῖσα, Παρθένε, τῶν Χερουβὶμ ἀνωτέρα, ἀνώτερον ἀπέργασαι τὸν νοῦν μου τῶν σαρκικῶν ἡδονῶν, καὶ τοῦ βίου πειρασμῶν, καὶ δίδου βαδίζειν εὐσταλῶς τὰς σωτηρίους τρίβους, τὰς φερούσας, ἄχραντε, πρὸς τὴν ἄνω πόλιν.

Ex Canone alio in SS. Anargyros Cosmam, et Damianum (64****).

Salvatorem ac Deum ex castis sanguinibus tuis corporasti, o pura et inviolata, qui dedit nobis salutares medicos passionum nostrarum, et ferventes defensores, sapientes Anargyros in spiritu.

Te speciosissimam inter mulieres elegit Deus, et ex te corporaliter, o casta, nasci complacuit sibi, qui requiescit in sanctis suis.

Compassione tua dignum me fac, o Virgo inviolata, quæ peperisti Verbum unice compassivissimum, quod concessit universis finibus terræ Sanctos compatientes medicos, et miraculorum patratores.

Sapientiam Dei substantialem peperisti, o Virgo inviolata Deipara, quæ sanctos sapientissimos nobis concessit, per quos malitiæ architecti cecidit fastus, et gravissima stratagemata.

Templum mundum fecit te, Domina, mundissimum **136** Verbum, quod divinam Anargyrorum B Ecclesiam signis ac prodigiis semper magnificat.

O Maria virga quæ germinasti ex radice Jesse, protulisti, inviolata, florem Christum, qui velut floribus, miraculis exornat famulos suos Anargyros.

Perempta est mors in te; vitam enim substantialem peperisti Christum Dominum, o inviolata, protectorem vitæ nostræ, qui Anargyros medicos dedit iis qui clamant: Benedicite omnia.

Facta es, o Virgo, domicilium lucis illius, quæ universa illuminavit, et luciferos sanctos nunc concessit, qui mortiferarum passionum tenebras in spiritu eliminant, o sola semper inviolata Virgo.

Ex Canone alio in SS. Anargyros Cosmam, et Damianum.

Effunde super nos, nunc, o casta, stillas miserationum tuarum, tu quæ bonum, et pium, et miseratorem ineffabiliter peperisti, atque universorum nunc præsidium exsistis.

Ille qui solus est bonus, solus intime misericors, immaculatam vulvam tuam ingressus est, o tota immaculata, volens nos passionibus pollutos reformare.

In te, o Virgo Dei Mater, spes meas reposui, me ab omni hostis malitia esse liberandum.

O Domina casta, quæ Deum incarnatum incomprehensibili modo peperisti, eumdem semper deprecare, ut me a carnalibus passionibus, et ab æternis tormentis eripiat.

Ille qui inferiora superioribus in supernaturali C partu tuo conjunxit, o castissima, custodiat in tranquillo statu nos, qui te laudibus exaltamus.

Mons Dei, ex quo Veritas manifestatur, tu es, o Virgo **137** casta, in quo eum inhabitasset ille, qui est incomprehensibilis, hominibus voluit similis fieri propter excessum misericordiæ suæ: cui psallimus: Benedictus es, etc.

Ecce, o anima mea, porta lucis, quæ nunc aperit aditus pœnitentiæ: ecce species Jacob; unica hominum tutela ac defensio: festina per intercessiones illius consequi misericordiam.

Agnoscentes te, o Domina, vere lucidam esse nubem Solis justitiæ per tuam intercessionem ab obscurissimis tenebris, et ab æterno supplicio liberemur, o ab omni nævo libera.

D

Ex Canone in festo S. Thomæ Palæensis et S. Cyriacæ martyris, die 7.

Mortis impetum repressisti, o casta, Christum immortalitatis datorem enixa, quem cum infernus voluntario decreto mortuum vidisset, contremuit.

O Virgo, quæ subsistentem Dei Sapientiam peperisti, a sophista malitiæ libera me mediatione tua, o sola carens omni labe.

Libera, o Virgo castissima, ab omni hostis læsione, eos qui noverunt te veram esse Dei matrem.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον Θωμᾶν τὸν ἐν τῷ Παλαιῷ, καὶ τὴν ἁγίαν μάρτυρα Κυριακὴν, ἡμέρᾳ ζ'.

Ῥύμην, ἀγνὴ, τοῦ θανάτου ἀνέστειλας ἀθανασίας πρόξενον Χριστὸν κυήσασα, ὃν ὁ ᾅδης θανέντα βουλήσει ἐκουσίᾳ ἰδὼν ἐτρόμαξεν.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον τεκοῦσα, Παρθένε, τοῦ σοφιστοῦ με τῆς κακίας ἐκλύτρωσον μεσιτείᾳ σου, μόνη παναμώμητε.

Ῥῦσαι πάσης κακώσεως τοῦ δυσμενοῦς, Παρθένε, τοὺς εἰδότας ἀληθῶς Θεοῦ σε μητέρα, πάναγνε.

(64****) Hic canon cum sequenti deest in Menæis impressis.

Digitized by Google

Ἔλυσας, ἄχραντε, τῶν προπατόρων τὴν ἀρὰν, A τέξασα ἄνευ σαρκὸς, σεμνὴ, θελημάτων τὸν πάντα τῷ αὐτοῦ θελήματι θείῳ σαφῶς οὐσιώσαντα.

Dissolvisti, o intemerata, primorum parentum maledictionem, cum peperisti sine voluntate carnis, o veneranda, illum qui voluntate sua divina manifeste universa produxit.

Βασιλέα κυήσασα Χριστὸν οἷάπερ βασίλισσα, θεοχαρίτωτε, τοὺς ἐπὶ σοὶ προστρέχοντας οὐρανῶν βασιλείας ἀξίωσον.

O Deo gratissima, quæ regem Christum peperisti, utpote regina, eos, qui ad te recurrunt, dignos fac regni cœlorum.

Ὁ μόνος Θεὸς μόνην εὗρε καθαρὰν τὴν σὴν γαστέρα, καὶ σωματοῦται καὶ γνωρίζεται ἄνθρωπος σώζων τὸν ἄνθρωπον· ὅθεν ὡς καλῶν σε αἰτίαν ἐπιστάμενοι ψάλλομεν· Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Deus, qui est solus, solum uterum tuum purum invenit, et corporatus est, et agnitus homo salvans hominem : unde te tanquam causam bonorum agnoscentes, psallimus : Benedicta tu, quæ Deum in carne peperisti.

Ὁ ὑπερούσιος Θεὸς οὐσιώθη καθ' ἡμᾶς ἐκ σοῦ, Παρθένε, καὶ ὡράθη ὡς βρέφος ὁ πρὸ αἰώνων Πατέρι καὶ θείῳ συνυπάρχων Πνεύματι· ὅθεν ὡς αὐτοῦ σε δοξάζομεν μητέρα. B

138 Supersubstantialis Deus substantia nostra factus est ex te, o Virgo, et apparuit tanquam infans, ille qui ante sæcula est cum Patre et Spiritu divino : quare tanquam illius matrem te glorificamus.

Φωτεινοτάταις λαμπάσι τοῦ ἐκ σοῦ σαρκωθέντος, Παρθένε παναγία, ὑπὲρ νοῦν οἱ Θεοτόκον εἰδότες σε φωτιζόμεθα πίστει, καὶ σκότους ἐκλυτρούμεθα παθῶν, καὶ πάντων κινδύνων καὶ πάσης περιστάσεως.

Lucidissimis lampadibus illius, qui ex te, o Virgo sanctissima, supra mentis captum incarnatus est, nos, qui te Deiparam fideliter agnoscimus, illuminemur, et a tenebris passionum, omnique periculo atque adversitate liberemur.

Ex Canone in SS. Patermutium, et Coprum, die 9 (64*****).

Mortifica cordis mei affectiones, tu, quæ vitam nostram Christum ineffabiliter peperisti, o Virgo nuptialis thalami nescia, spes eorum qui recurrunt ad te.

O porta salutaris, pœnitentiæ portas, utpote benigna protectrix, aperi mihi, et a peccati portis libera me, custodiens me divina potentia tua. C

Corpus accepit ex visceribus tuis Deus Verbum, o Dei genitrix puella, et ut infans visus est, exhibens universis admirandam ac stupore plenam regenerationem.

Ille qui erat perfectissimus, factus homo ex te, o Virgo innupta, corruptam hominum essentiam deificavit.

Incessabili voce ad te clamamus : Gaude, o intemeratissima : gaudium enim omnium Christum genuisti ; atque universum primæ matris Evæ mœrorem effugasti.

Ecce Arca illa legalis præfigurabat uterum tuum continentem Manna Christum escam nostram, o Dei genitrix sola casta, benedicta.

Cœlis sublimior apparuisti, dum Verbum Deum, qui nos ad sublimia evexit, peperisti, quem superexaltat omnis spiritus, tanquam Deum nostrum, in sæcula.

Lucis tuæ radiis illumina, o Sponsa Dei, animam meam, **139** in socordiæ profundo jacentem ; exsurge, atque hostes proturba ac dejice, qui semper divexant cor meum, et ad libidines meas sectandas impellunt me.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Πρόκλον καὶ Ἱλαρίωνα, ἡμέρᾳ ιβ'.

Ex Canone in festo SS. martyrum Procli, et Hilarionis, die 12.

Γὸν τῶν ἀκοῶν τῆς προμήτορος Εὔας Γαβριὴλ σοὶ προσφωνῶν τὸ Χαῖρε ἀληθῶς ἐξετίναξε, Δέσποινα· μόνη γὰρ τὸν ἀναιρέτην τῆς κακίας τοῦ ὄφεως ὑπὲρ νοῦν τε καὶ λόγον ἐκύησας. D

Venenum, quod prima mater Eva auribus audiendo imbiberat, Gabriel tibi, Ave, acclamans vere ejecit, o Domina : tu enim sola ablatorem malitiæ serpentis supra omnis cogitationis ac sermonis captum peperisti.

Λῦσον, Παρθένε, τὸν δεσμὸν τῶν κακῶν μου, συνδέουσα τῇ στοργῇ με τοῦ ἐκ σοῦ τεχθέντος Λόγου, πανάμωμε, καὶ σῶσόν με, Δέσποινα, ταῖς ἱκεσίαις σου.

Dissolve, o Virgo, catenam malorum meorum, colligans me amore Verbi, quod ex te, o mundissima, natum est : et salvum me fac, o Domina, precibus tuis.

1 Συντριβὲν τῇ παραβάσει τῶν χειρῶν σου τὸ ποίημα κατοικτείρων, Λόγε, μήτραν ἀπειρόγαμον ᾤκησας, καὶ ἐν δυσὶ ταῖς οὐσίαις προελήλυθας, ἀφθαρσίας καινίζων ὁδοὺς τοῖς εἰδόσι σε.

Confractum ob transgressionem, opus manuum tuarum commiserans, o Verbum, uterum virilis copulæ nescium habitasti, et in duabus substantiis processisti, renovans vias immortalitatis scientibus te.

Τίς δύναται τὸ σὸν ἑρμηνεῦσαι μυστήριον, ὦ Δέ-

Quis tuum valeat explicare mysterium, o Domina

(64****) Menæa non habent.

Digitized by Google

Deipara? omnium enim Creatorem ineffabiliter corporasti.

Ecce Virgo concipiet (exclamavit olim Isaias) magni consilii angelum Emmanuel, Deum, et Dominum, et Salvatorem animarum nostrarum.

Tanquam sanctior omnibus creaturis, peperisti, o casta Virgo, o Virgo immaculata, benedicta Mater, semper glorificata, Creatorem et Dominum.

Incarnatus ex impollutis sanguinibus tuis Deus, qui fecit, et plasmavit me, o Dei genitrix Domina, recuperavit mundum, ita clamantem: Benedicite, et laudate Dominum.

Lucis domicilium facta es, o casta, sanctissima Mater Virgo, in materia visibili corporis, a qua omnes qui in **140** tenebris vitam trahunt, illuminantur: quamobrem te cum fide beatam appellamus.

A σποινα Θεοτόκε· τὸν γὰρ κτίστην τῶν ὅλων ἀφράστως ἐσωμάτωσας.

Ἰδοὺ ἡ Παρθένος, ἀνεβόα ὁ Ἡσαΐας πάλαι, βουλῆς ἄγγελον μεγάλης· Ἐμμανουὴλ τὸν Θεὸν, καὶ Κύριον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν συλλήψει.

Ὡς τῶν κτισμάτων πάντων ἁγιωτέρα, ἁγνὴ Παρθένε, ἀπεκύησας τὸν κτίστην καὶ Κύριον, Παρθένε ἀμίαντε, εὐλογημένη Μῆτερ ἀεὶ δεδοξασμένη.

Σαρκωθεὶς ἐξ ἀχράντων αἱμάτων σου ὁ Θεὸς ὁ ποιήσας καὶ πλάσας με, Θεοκυῆτορ Δέσποινα, ἀνεκτήσατο κόσμον οὕτω βοῶντα· Εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Φωτὸς οἰκητήριον, ἁγνὴ, γεγένησαι, παναγία μητροπάρθενε, ἐν ὕλῃ ὁρωμένῃ τοῦ σώματος, καὶ πάντας τοὺς ἐν σκότει φωτίσαντος· ὅθεν σε πίστει μακαρίζομεν.

Ex Canone in Synaxim, seu collectam archangeli Gabrielis, die 15.

Ubi Gabriel, etc.

Ἐκ τοῦ Κανόνος εἰς τὴν σύναξιν τοῦ ἀρχαγγέλου Γαβριὴλ, ἡμέρᾳ ιγ'.

Ἁγνήν σε, κ. τ. λ.

(*Idem est cum Canone diei* 26 *Martii.*)

141 *Ex Canone in festo S. Golinduchæ martyris, die* 13.

A sordibus malitiæ volens Creator naturam nostram mundare, ex utero tuo mundo incarnatus est, o Deipara; propterea te omnes glorificamus.

Ἐκ τοῦ Κανόνος εἰς τὴν ἁγίαν μάρτυρα Γολινδουχὴν, ἡμέρᾳ ιγ'.

Ῥύπου κακίας τὴν φύσιν ὁ Πλαστουργὸς τὴν ἡμῶν βουλόμενος ἐκκαθᾶραι, ἐκ τῆς σῆς καθαρᾶς σεσάρκωται γαστρὸς, Θεοτόκε· διό σε πάντες δοξάζομεν.

Manifeste cognovimus Deum ex castis sanguinibus tuis incarnatum esse, o Virgo, nostramque C nunc formam misericordia adductum suscepisse; quamobrem te cum fide glorificamus.

Γνωστῶς κατίδομεν Θεὸν σαρκωθέντα, Παρθένε, ἐξ ἁγνῶν σου αἱμάτων, δι' οἶκτον νῦν τὴν ἡμῶν ἀναλαβόντα μορφήν. Διὰ τοῦτο πίστει σε δοξάζομεν.

Vinculum transgressionis dissolvisti, bonorum datorem cum excessu benignitatis enixa: propterea nos fideles te, Virgo Mater, glorificamus.

Δεσμὸν διέλυσας τῆς παραβάσεως τῶν καλῶν τὸν δοτῆρα ὑπερβολῇ τέξασα χρηστότητος, Παρθενομῆτορ. Διὰ τοῦτο οἱ πιστοί σε δοξάζομεν.

Cum sit mens mea multis transgressionibus inquinata ac deturpata, precor te, o Dei Mater, unice immaculata (65), miserere mei, et salva me mediatione tua.

Μεμολυσμένος τὸν λογισμὸν καὶ ἠχρειωμένος ταῖς πολλαῖς, Μῆτερ Θεοῦ, παραβάσεσι, σὲ καθικετεύω, μόνη ἀμόλυντε, οἰκτεῖραί με καὶ σῶσαι τῇ μεσιτείᾳ σου.

Cum contexuisset Altissimus sibi ipsi amictum ex puris sanguinibus tuis, o immaculata, eos qui divinis vestibus nudati fuerant, exornavit; propterea cum affectu te beatam appellamus.

Ὑφάνας Ὕψιστος ἑαυτῷ περιβολὴν ἐκ τῶν ἁγνῶν αἱμάτων σου, τοὺς γυμνωθέντας θείαις καταστολαῖς ἐφαίδρυνεν, ἄχραντε. Διὰ τοῦτό σε πόθῳ μακαρίζομεν.

Propitiatorium apud Deum te semper habemus, o summe immaculata: erue nos a futuræ vitæ D terribilibus tormentis, ac libera nos ab omnibus minis et conatibus hostium tam visibilium quam invisibilium.

Ἱλαστήριον κεκτημένους, πανάμωμε, πρὸς τὸν Θεόν σε πάντοτε, ἐξελοῦ ἡμᾶς τῶν ἐκεῖ βασάνων φοβερῶν, καὶ λύτρωσαι πάσης ἀπειλῆς καὶ ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν.

Tu quæ partu tuo universam seductoris malitiam sterilem reddidisti, o casta, cor meum omnium bonorum operum sterile, fructiferum effice, Deum mihi propitium reddendo.

Ἡ τῷ τόκῳ σου πᾶσαν ἀποστειρώσασα τὴν κακίαν τοῦ πλάνου, πάσης στειρεύουσαν πράξεως, ἁγνὴ, ἀγαθῆς τὴν καρδίαν μου δεῖξον καρποφόρον, Θεὸν ἱλεούμενη.

142 Mediante voce angeli, concepisti, o casta,

Φωνῇ ἀγγέλου, ἁγνὴ, συνέλαβες Λόγον Πατρὸς

(65) Hinc Joan. Trithemius abbas *de laud. S. Annæ* cap. 7, ait ad rem nostram: « Digna Dei Mater fuisse creditur sine originali macula concipi, quæ illum erat Virgo paritura, qui totius mundi deleret crimina. Nolo mireris Dei Genitricem præter naturæ consuetudinem ab originali præservatam crimine, quam sibi mansionem paraverat Deus infusor gratiæ. Considera natam Dei Genitricem, et non miraberis sine macula conceptionem. Magna sunt quæ dicuntur, sed vera, sed sancta, sed Genitricem Dei decentia, cujus conceptionem prævenit gratia, et hinc miratur natura. » Sic ille.

Digitized by Google

ἡμῖν ὁμοιωθῆναι θελήσαντα, ὃν δυσώπει εὑρεῖν ἡμᾶς ἔλεος, καὶ τῶν ἁμαρτημάτων λύσιν, πανάμωμε· ὅθεν εὐχαρίστοις σε φωναῖς ἀεὶ δοξάζομεν.

A Verbum Patris, quod nobis voluit assimilari : illud idem nunc deprecare, o mundissima, pro nobis ut misericordiam, et peccatorum absolutionem invenire possimus, quamobrem gratis vocibus, te semper glorificemus.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον ἀπόστολον Ἀκύλαν, ἡμέρᾳ ιδ'.

Ex Canone in festo S. Aquilæ apostoli, die 14.

Λόγῳ, σεμνή, Λόγον ἐν μήτρᾳ συνέλαβες τὸν διὰ λόγου ἅπαντας δημιουργήσαντα· διὰ τοῦτο σὲ λόγοις ἐνθείοις ἀνυμνοῦμεν, Θεοχαρίτωτε.

Verbum mediante verbo in utero concepisti, o veneranda, quod per verbum universos creavit : ideo te verbis divinis collaudamus, o Dei gratia cumulatissima.

Ὁ μόνος καθαρὸς, ὁ μόνος Κύριος, σὲ μόνην ὡς ἔγνω καθαρωτέραν πάσης κτίσεως, πανάμωμε, ἐξ ἁγνῶν σου αἱμάτων σεσωμάτωται.

Solus mundus, solus Dominus, ut te agnovit solam, omni creatura mundiorem, o immaculatissima, ex castis sanguinibus tuis corporatus est.

Νοητόν σε παλάτιον, καὶ ὑψηλὸν τοῦ βασιλέως θρόνον, Θεοτόκε δέσποινα, ὀνομάζομεν.

B Te spirituale palatium, et altissimum Regis thronum, o Deipara Domina, nominamus.

Μήτηρ καὶ δούλη Χριστοῦ τοῦ σαρκωθέντος δι' ἡμᾶς γέγονας, ὃν ἐκτενῶς πάντοτε δυσώπει τοῦ σώζεσθαι ἡμᾶς τοὺς σε Θεοτόκον ἀγνὴν ὀνομάζοντας.

Mater es et ancilla Christi incarnati propter nos : quem semper impense deprecare ut salvos faciat nos, qui te Deiparam castam nuncupamus.

Κυριώνυμε κόρη πανάμωμε, τὸν ἀγαθοδότην Θεὸν ἡ κυήσασα, τοὺς σε ὑμνοῦντας πάντοτε πειρασμῶν πολυτρόπων διάσωσον.

O puella immaculatissima, cujus nomen dominium resonat; quæ Deum bonorum datorem peperisti; eos qui te collaudant assidue a multiformibus tentationibus salva.

Νεκροῦται τὸ πρὶν ὁ Ἀδὰμ φθοροποιῷ βρώσει, πανάμωμε, σὺ δὲ τεκοῦσα τὴν ζωὴν ἡμῶν, τοῦτον, Παρθένε, ἐζώωσας· ὅθεν ὡς καλῶν σε αἰτίαν ἀνυμνοῦντες κραυγάζομεν· Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Mortuus est olim Adam lethifero cibo degustato, o summe pura Virgo : tu autem enixa vitam nostram, eumdem vivificasti : unde te tanquam bonorum causam laudantes, clamamus : Benedicta tu, quæ Deum in carne genuisti

Ὡς τὸν παναίτιον Θεὸν ὑπὲρ πᾶσαν ἀληθῶς, ἁγνὴ, αἰτίαν ἐν γαστρὶ συλλαβοῦσα, καὶ δι' ἡμᾶς καθ' ἡμᾶς ὀφθέντα τεκοῦσα, πανάμωμε, τοῦτον ἐκδυσώπει ὑπὲρ τῶν σε ὑμνούντων.

Cum Deum rerum omnium causam, supra omnem causam vere, o casta, in utero conceperis, ac propter nos similem nobis effectum pepereris, eumdem, o intemeratissima, suppliciter exora pro illis, qui te laudibus exornant.

C

Σὲ φωτιστικὴν λυχνίαν προεώρα προφήτης τὸ φῶς τὸ ἀνατεῖλαν ἐκ φωτὸς, Παρθενομῆτορ, βαστάζουσαν, τὸ φωτίσαν πλουσίως τὰ πρὶν ἐσκοτισμένα ταῖς αὐγαῖς τῆς αὐτοῦ ἀνεκφράστου, πανάμωμε, θεότητος.

Te lucernam illuminativam prævidit propheta, o Virgo **143** mater, gestantem lumen ortum de lumine, quod ea quæ antea tenebris offusa erant, splendoribus ineffabilis divinitatis suæ copiose illuminavit, o immaculatissima.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Κήρυκον καὶ Ἰουλίττην, ἡμέρᾳ ιε'.

Ex Canone in SS. martyres Cericum et Julittam, die 15.

Κατήργηται θάνατος διὰ σοῦ, καὶ ᾅδου τὸ κέντρον ἠφανίσθη, Μῆτερ ἁγνὴ· σὺ γὰρ τὸν ἀθάνατον Δεσπότην θανατωθέντα σαρκὶ ἀπεκύησας

Irriti facti sunt conatus mortis, et inferni stimulus exterminatus est per te, Mater casta : tu enim immortalem Dominum, qui secundum carnem mortuus est, peperisti.

Μὴ κενώσας τοὺς κόλπους τοὺς Πατρικοὺς, ἄχραντε, Λόγος ὁ τὸ πᾶν οὐσιώσας σου τὴν πανάμωμον γαστέρα ᾤκησε, καὶ σὰρξ ἀτρέπτως ὡράθη, καὶ βροτοὺς ἐθέωσεν ὁ ὑπερούσιος.

D Verbum illud supersubstantiale, quod omnem substantiam creavit, non deserens Paternum sinum, in utero tuo mundissimo habitavit, o immaculata, et caro sine ulla mutatione apparuit, hominesque deificavit.

Νόμοι φύσεως, πάναγνε, ἐν τῇ ὑπὲρ φύσιν κυοφορίᾳ σου ἐναλλάττονται· τὸν Πλάστην γὰρ ὑπὲρ νοῦν καὶ λόγον ἀπεκύησας.

Naturæ leges in partu tuo, qui fuit supra naturam, mutatæ sunt, o castissima; etenim Creatorem modo ineffabili atque inexcogitabili peperisti.

Ὁ Θεοῦ Θεὸς Λόγος σάρκα ἀνελάβετο ἔννουν καὶ ἔμψυχον ἐκ σοῦ, παναγία, καὶ δι' οἰκτον ἐγένετο ἄνθρωπος, καὶ ἐθέωσέ με τῇ παραβάσει ἀπωσθέντα, ὃν ἱκέτευε σῶσαι τὰ σύμπαντα.

Deus Verbum Dei carnem mente atque anima præditam assumpsit ex te, o Sanctissima, et misericordia motus, factus est homo, meque deificavit, qui rejectus ac perditus eram, ob transgressionem. Hunc tu deprecare, ut omnibus salutem concedat.

Digitized by Google

Acutissima intercessionis tuæ falce, amputa, o puella, a radicibus pravas cogitationes animæ meæ; neque fructiferum redde, precor; omnium enim Satorem Deum, et Salvatorem peperisti.

Προῤῥίζους τῷ τμητικῷ σου δρεπάνῳ τῆς πρεσβείας ἐναπόκοψον, κόρη, τοὺς πονηροὺς λογισμοὺς τῆς ψυχῆς μου, καὶ καρποφόρον ἀνάδειξον, δέομαι· ἁπάντων γὰρ τὸν φυτουργὸν τὸν Θεὸν καὶ Σωτῆρα ἐκύησας.

Verbis tuis inhærentes, omnes generationes te beatam dicimus, o puella, beati Dei matrem factam, qui credentes in se, facit esse beatos.

Ῥήμασι σοῖς ἀκολουθοῦντες μακαρίζομεν γενεαὶ πᾶσαι, κόρη, μακαρίου Θεοῦ Μητέρα σε δειχθεῖσαν, τοὺς εἰς αὐτὸν πιστεύοντας μακαρίους ἐκτελοῦντα.

Verbum ex immaculatissimis sanguinibus tuis incarnatum, o puella immaculata, eos qui ad irrationabilissimas carnis passiones ante propenderant, divina scientia deificavit; ideo nos illud superexaltamus in omnia sæcula.

Σαρκωθεὶς ὁ Λόγος ἐκ τῶν παναχράντων σου αἱμάτων, κόρη, τοὺς προνενευκότας πρὸς τὰ ἀλογώτατα τῆς σαρκὸς πάθη, ἐπιγνώσει θείᾳ ἐθέωσεν, ἄχραντε, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

144 Illumina, o porta lucis, animam meam ab. affectibus excæcatam, pravisque cogitationibus obtenebratam, ac periclitantem; neque a tentationibus, periculis, ac tribulationibus eripe, ut glorificem te, fidelium spem ac fortitudinem.

Φώτισον, πύλη τοῦ φωτὸς, τὴν τυφλώττουσαν ψυχήν μου τοῖς πάθεσι, καὶ πονηροῖς λογισμοῖς ἀμαυρωθεῖσαν καὶ κινδυνεύουσαν, καὶ ἐξελοῦ με πειρασμῶν, κινδύνων καὶ θλίψεων, ἵνα δοξάζω σε, τὴν ἐλπίδα τῶν πιστῶν καὶ κραταίωμα.

Ex Canone in festo S. Athenogenis martyris, die 16.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον μάρτυρα Ἀθηνογένην, ἡμέρᾳ ις'.

Verbum æternum, ex sanguinibus tuis, o innupta, carnem factum, supra mentis verbique comprehensionem, peperisti.

Σάρκα γεγενημένον ἐκ τῶν σῶν αἱμάτων, ἀπειρόγαμε, τὸν αἰώνιον Λόγον ὑπὲρ νοῦν τε καὶ λόγον ἐκύησας.

Cœlis sublimior facta es, o casta, et Seraphim sanctior, quippe quæ omnium Regem ac Dominum supra naturæ ordinem genueris.

Ὤφθης! οὐρανῶν, ἁγνὴ, ὑψηλοτέρα, καὶ τῶν Σεραφὶμ ἀεὶ ἁγιωτέρα, ὡς τὸν ἁπάντων Δεσπότην καὶ Βασιλέα ὑπερφυῶς κυοφορήσασα.

Æqualis cum Genitore potestatis ac throni, supersubstantialem corporasti, o immaculatissima, qui cum hominibus propter suam misericordiam conversatus est.

Ἰσοδύναμον, σύνθρονον τῷ γεγεννηκότι τὸν ὑπερούσιον ἐσωμάτωσας, πανάμωμε, τοῖς βροτοῖς δι' οἰκτον ὁμιλήσαντα.

Matrem ac Virginem te totam sanctam agnoscentes, concordi voce te veneramur, et devote beatam appellamus.

Μητέρα καὶ Παρθένον εἰδότες σε παναγίαν συμφώνως γεραίρομεν, καὶ εὐσεβῶς μακαρίζομεν.

Tanquam intelligibilis arca, legislatorem portasti: tanquam lucerna splendida lumen peperisti: tanquam radix nunquam irrigata vitæ racemum, o Deipara, protulisti.

Ὡς νοητὴ κιβωτὸς τὸν νομοδότην ἐβάστασας, λυχνίσ ὡς φωταυγὴς τὸ φῶς ἀπεκύησας, ὡς ῥίζα ἀπότιστος τῆς ζωῆς τὸν βότρυν, Θεοτόκε, ἀνεβλάστησας.

Verbum, quod supra verbi comprehensionem peperisti, o Dei genitrix Maria, pro nobis exora, qui te cum fide collaudamus, ac beatificamus, o immaculata.

Ὃν ἀπεκύησας Λόγον ὑπὲρ λόγον, Θεογεννῆτορ Μαρία, ὑπὲρ ἡμῶν ἐκδυσώπει, τῶν πιστῶς σε ὑμνούντων, καὶ μακαριζόντων σε, ἄχραντε.

Liberati per te, o intemeratissima, ab antiquo primorum parentum lapsu, tibi clamamus, Ave, et cum fide glorificamus eum, qui per te nos a corruptione liberavit.

Λυτρωθέντες, πανάμωμε, διὰ σοῦ, τῆς ἀρχαίας τῶν προγόνων ἐκπτώσεως, τὸ, Χαῖρε, σοὶ βοῶμεν, καὶ πίστει δοξάζομεν τὸν διὰ σοῦ ἐκ φθορᾶς ἡμᾶς ῥυσάμενον.

Fers in ulnis Deum ferentem omnia; nutris nutritorem, **145** o casta, nobis similem effectum; quem deprecare, ut a cunctis asperis atque adversis liberet populum tuum.

Φέρεις ἐν ἀγκάλαις Θεὸν τὸν φέροντα πάντα, τρέφεις τὸν τροφέα ἡμῖν, ἁγνὴ, ὁμοιωθέντα· ὃν ἱκέτευε τῷ λαῷ σου δοῦναι πάντων δυσχερῶν τὴν ἀπολύτρωσιν.

Ex Canone in festo S. Marinæ martyris, die 17.

Ἐκ τοῦ Κανόνος εἰς τὴν ἁγίαν μάρτυρα Μαρίνην, ἡμέρᾳ ις'.

Receptaculum capax divinæ gratiæ facta es, o Dei genitrix immaculata: propterea Marina affectu virgineo te prosequens ac desiderans, Filio tuo adducta est post te.

Δοχεῖον χωρητικὸν γέγονας τῆς θείας χάριτος, Θεογεννῆτορ ἄχραντε· διό σε Μαρίνα ποθήσασα παρθενικῶς ὀπίσω σου τῷ σῷ Υἱῷ προσαπενήνεκται.

Vere ac proprie te Deiparam nos fideles venera-

Κυρίως καὶ ἀληθῶς σε Θεοτόκον οἱ πιστοὶ σέβο-

Digitized by Google

μεν, πανάμωμε· σὺ γὰρ Θεὸν τέτοκας σάρκα γεγο- A mur, o munda ab omni labe : tu enim Deum carνῶτα.

nem factum peperisti.

Fluxus corruptionis compescuit Virgo, incorrupte enim genuit illum qui corruptam hominum naturam a corruptione vindicavit.

Ἡ πανάμωμος καὶ μόνη ἁγιωτέρα τῶν Χερουβὶμ φανεῖσα, τὰς ψυχὰς ἡμῶν σῶσον πάσης περιστάσεως, τῶν πίστει ὑμνούντων σε, ἄχραντε, Παρθένε θεόνυμφε.

O immaculatissima, quæ sola sanctior Cherubim apparuisti, salva animas nostras ab omni circumstanti adversitate, dum te cum fide laudamus, o immaculata Virgo, sponsa Dei.

Θάλασσαν σπαργανώσας ὁμίχλῃ βουλήματι κυοφορεῖται ὁ Κτίστης ἐκ παρθένου, κόρη, ἀπειρογάμου, ὥσπερ βρέφος, καὶ σπαργάνοις ἀῤῥήτως εἱλίσσεται.

Creator, qui nebula tanquam fascia mare circumdat, sua voluntate ex puella Virgine innupta gignitur tanquam infans, et fasciis modo ineffabili circumvolvitur.

Παρθένε μόνη ὡς καθαράν σε ἀδιάφθορον Λόγος καθαρὸς ἠγάπησε, καὶ ἐκ σοῦ ἀνεπλάσατο σαρκούμενος, κόρη, τὸν ἄνθρωπον, ὁ Μαρίνην δοξάσας B τοῖς θαύμασι.

O Virgo unica, te utpote puram et incorruptam Verbum illud purum dilexit, et ex te incarnatum, hominem reformavit; quod Marinam miraculis glorificavit.

Ὤφθης ὑπερτέρα οὐρανῶν Θεὸν οὐράνιον ἀποκυήσασα τὸν οὐρανώσαντα, πάναγνε, γηγενῶν ὅλον τὸ φύραμα, καὶ τῆς Μαρίνης τὴν σεπτὴν μνήμην φαιδρύναντα, ᾧ βοῶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Altior cœlis apparuisti Deum cœlestem enixa, o castissima, qui cœlificavit universam massam terrigenarum, ac venerandam Marinæ memoriam illustravit; ad quem clamamus : Omnia opera, laudate Dominum.

Φῶς ἡμῖν ἀνέτειλας μήτρας ἐξ ἀπειράνδρου σου, Παρθένε, ἡ ταῖς φυκτωρίαις ἐνθέοις καταυγασθεῖσα φῶς ἐχρημάτισεν, ἡ τῆς χαρᾶς ἐπώνυμος, Θεοκυῆτορ Μητροπάρθενε.

Lucem nobis oriri fecisti ex inviolato utero tuo, o Virgo, qui splendoribus divinis illustratus, lux evasit, o Dei genitrix, Mater virgo, cujus nomen resonat lætitiam.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον μάρτυρα Αἰμιλιανὸν, ἡμέρᾳ ιη'.

146 *Ex Canone in festo S. Æmiliani martyris, die* 18.

Ἰσχύς μου, καὶ ὕμνησις, καὶ φωτισμὸς τῆς καρδίας μου ὑπάρχει, πανάμωμε, Χριστὸς ὁ Κύριος, C ὃν ἐκύησας ἐν δύο ταῖς οὐσίαις, μιᾷ ὑποστάσει δὲ κατανοούμενον.

Fortitudo mea, et laus mea, illuminatio cordis mei est Christus Dominus, quem peperisti, o summe illibata, qui intelligitur in duabus substantiis, una autem hypostasi.

Νόμους τοὺς τῆς φύσεως λαθοῦσα ἐν τῷ ὑπὲρ φύσιν τοκετῷ, παρθένος μετὰ γέννησιν, Παρθενομῆτορ, ἔμεινας· τὸν Πλαστουργὸν γὰρ, ἄχραντε, ἁπάσης κτίσεως τέτοκας.

Naturæ leges ignorans in partu tuo, qui fuit supra naturam, o Virgo Mater, post partum Virgo permansisti : omnium enim creaturarum Conditorem, o inviolata, peperisti.

Ἁγιάσματός σε τόπον τοῦ ἡμᾶς ἁγιάσαντος, παναγία κόρη, μόνην εὑρεθεῖσαν δοξάζομεν, δι' οὗ οἱ γῆν κατοικοῦντες οὐρανώθησαν, καὶ ζωῆς ἀληθινῆς ἠξιώθησαν.

Te, quæ sola sanctificationis sanctificantis nos locus esse inventa fuisti, o puella tota sancta, glorificamus; per quem, terram inhabitantes, cœlestes facti sunt, veraque vita digni redditi sunt.

Ῥομφαίᾳ τρωθέντα με τῆς ἁμαρτίας ἴασαι τῷ δραστικωτάτῳ σου φαρμάκῳ, ἡ τὸν Σωτῆρα Χριστὸν κυήσασα, λόγχῃ τὸν τρωθέντα δι' ἐμὲ, ὄχραντε, καὶ τρώσαντα τὴν καρδίαν τοῦ ὄφεως.

Me peccati gladio vulneratum sanasti efficacissima medicina tua, o immaculata, quæ Salvatorem Christum peperisti, qui propter me lancea vulneratus, cor serpentis ipse vulneravit.

Εὔα μὲν ἐτρύγησε τοῦ ξύλου καρπὸν θανατηφόρον· σὺ δὲ, πάναγνε, ζωῆς τὸ ξύλον καρποφορεῖς, οὗ ἡ γεῦσις ἅπαντας τοὺς θανόντας ἀνεζώωσεν. D

Eva quidem decerpsit fructum arboris mortiferum : tu autem, o castissima, vitæ arborem fructificasti, cujus gustus omnes, qui mortui erant, vivificavit.

Κυριώνυμε θεόνυμφε, τὸ, Χαῖρε, σοὶ πίστει κραυγάζομεν· καὶ γὰρ ἐκύησας χαρὰν ἀνεκλάλητον Χριστὸν τὸν Κύριον, ᾧ κραυγάζομεν· Ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

O Dei sponsa, dominanti nomine ornata, tibi, cum fide clamamus, Gaude : etenim gaudium ineffabile Christum Dominum peperisti, ad quem vociferamur : Patrum Deus, et Dominus benedictus es.

Σταγόνα μοι ὄμβρησον ἐλέους, πηγὴν τοῦ ἐλέους ἡ κυήσασα, καὶ τῆς ἁμαρτίας μου ξήρανον ὀμβρήματα, καὶ τῆς ψυχῆς μου πράϋνον ἄγρια κύματα, Παρθένε Θεοτόκε Μαρία, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Deplue super me stillam misericordiæ, tu, quæ misericordiæ fontem peperisti; peccatique mei imbres exsicca, ac feroces animæ meæ fluctus tranquilla, o Virgo Deipara Maria, ut te in omnia sæcula glorificem.

Φωτί με καταύγασον τῷ σῷ, πανύμνητε, τὸν ἐν σκότει πορευόμενον· δίδου μοι χεῖρα βοηθείας· τὰ

Illustra me luce tua in tenebris ambulantem, o omni laude dignissima : porrige mihi manum

Digitized by Google

auxiliatricem : nubes animæ dispelle; passionum A νέφη τῆς ψυχῆς μου ἀπέλασον· παθῶν μου τὸ κλυmearum tempestatem seda, o refugium desperatorum. δώνιον κόπασον, ἀπεγνωσμένων καταφύγιον.

147 *Ex Canone in festo S. P. N. Dii confessoris, die* 19.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Δίον, ἡμέρᾳ ιθ'.

Solis spiritualis tabernaculum facta es, o ab omni labe pura, qui nos divinis splendoribus pietatis illuminavit, atque ignorantiæ nebulas dissipavit, o Virgo perpetua.

Ἡλίου τοῦ νοητοῦ, πανάμωμε, σκήνωμα γέγονας ταῖς θείαις λαμπρότησιν ἡμᾶς εὐσεβείας καταυγάσαντος, καὶ τὴν ἀχλὺν διώξαντος τῆς ἀγνωσίας, Ἀειπάρθενε.

Habitavit in te, o immaculata, ille, qui habitat in cœlis; quem enixe roga, ut salvet animas laudantium te.

Ἐνῴκησεν ἐπὶ σοὶ ὁ κατοικῶν τοὺς οὐρανούς, ἄχραντε, ὃν ἐκτενῶς αἴτησαι σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Candelabrum luciferum, te divinum splendorem in utero gestantem agnovimus, o Virgo : unde te supplices deprecamur, ut luce tua irradies animas omnium qui te collaudant. B

Φωτοφόρον σε λυχνίαν τὸ θεῖον φέγγος ἐν τῇ γαστρὶ βαστάσασαν ἔγνωμεν, Παρθένε· ὅθεν δυσωποῦμέν σε, φωτί σου καταύγασον πάντων τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Interfice animæ meæ affectus, o inculpabilissima, quæ vitam omnium ineffabili Verbo peperisti : et mentem meam conturbatam pacifica, o puella.

Νέκρωσον τῆς ψυχῆς μου τὰ πάθη, πανάμωμε, ἡ τὴν ζωὴν τῶν ἁπάντων ἀπορρήτῳ λόγῳ κυήσασα, καὶ τὸν νοῦν μου ταρασσόμενον, κόρη, εἰρήνευσον.

Cherubim sanctiorem effecit te, o puella, Deus sanctus manifeste, qui sanctificat clamantes, Benedicta tu in mulieribus, o Domina immaculatissima.

Ἁγιωτέραν τῶν Χερουβὶμ σε ἀπειργάσατο, κόρη, ὁ Θεὸς ὁ ἅγιος ἐμφανῶς, ἁγιάζων τοὺς κραυγάζοντας· Εὐλογημένη σὺ ἐν γυναιξί, πανάμωμε Δέσποινα.

Cœlis latior apparuisti, Deum in te capiens, o Maria castissima; quem deprecare ut liberet me a passionibus detinentibus me, atque a futura tremenda sententia eripiat me clamantem : Laudate, omnia opera, Dominum.

Ὤφθης πλατυτέρα οὐρανῶν Θεὸν χωρήσασα, Μαρία πάναγνε· ὃν καθικέτευε ῥῦσαί με τῶν παθῶν τῶν συνεχόντων με, καὶ τῆς μελλούσης φοβερᾶς δίκης με ῥύσασθαι τὸν βοῶντα· Πάντα τὰ ἔργα, εὐλογεῖτε τὸν Κύριον.

Parce mihi, Christe, quando venturis cum gloria ad judicandum mundum, cum habeas deprecantem C te, o Verbum, Deiparam semper Virginem, et angelorum ordines, sanctorumque concilium.

Φεῖσαί μου, Χριστὲ, ὅταν ἔλθῃς κρῖναι τὸν κόσμον μετὰ δόξης, ἔχων δυσωποῦσάν σε, Λόγε, τὴν Θεοτόκον τὴν ἀειπάρθενον, τὰ τῶν ἀγγέλων τάγματα, καὶ τῶν ὁσίων τὴν ὁμήγυριν.

Ex Canone in festo S. Eliæ Prophetæ, die 20.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον προφήτην Ἠλιοῦ, ἡμέρᾳ κ'.

Supersubstantialis Deus, ex te, o mundissima, incarnatus est, et propter nos homo factus est similis nobis : quem impense roga, o castissima, ut me, qui supra omnes **148** homines peccavi, salvet et liberet a supplicio.

Ὁ ὑπερούσιος Θεὸς, πανάμωμε, ἐκ σοῦ σεσάρκωται, καὶ δι' ἡμᾶς ὤφθη καθ' ἡμᾶς ὁ ἄνθρωπος, ὃν ἐκτενῶς ἱκέτευε ὑπὲρ πάντας ἀνθρώπους, ἡμαρτηκότα με, πάναγνε, σῶσαι καὶ κολάσεως ῥύσασθαι.

O porta impervia, per quam transitur ad Deum, pœnitentiæ portas aperi mihi precor, abluens sordes peccatorum meorum imbribus misericordiæ tuæ, o puella Deo charissima. D

Ἀδιόδευτε πύλη, ἡ πρὸς Θεὸν φέρουσα, πύλας μετανοίας μοι, κόρη, ἄνοιξον, δέομαι, ἀποκαθαίρουσα ἁμαρτιῶν μου τὸν ῥῦπον ὄμβροις τοῦ ἐλέους σου, θεοχαρίτωτε.

Cum omnibus cœlestibus virtutibus, cum omnibus prophetis et martyribus, cum apostolis et confessoribus, preces effunde, o Domina mundissima, ut ego, qui multa peccavi, salutem consequar, et a futuris pœnis eripiar.

Μετὰ πασῶν τῶν οὐρανίων δυνάμεων, μετὰ πάντων, Δέσποινα πανάμωμε, τῶν προφητῶν, καὶ τῶν ἀθλητῶν, καὶ τῶν ἀποστόλων, καὶ τῶν ὁσίων, ἱκέτευε τυχεῖν με σωτηρίας τὸν πολλὰ ἁμαρτάνοντα καὶ ῥυσθῆναι μελλούσης κολάσεως.

Super te tanquam imber descendit Verbum supersubstantiale, quod deprecare, o puella innocentissima, ut super me nunc mundas compunctionis stillas depluat, quibus omnes immensorum malorum meorum sordes abluantur.

Ἐπὶ σὲ ὥσπερ ὄμβρος Λόγος καταβέβηκεν ὁ ὑπερούσιος, ὃν δυσώπει, κόρη, ἐπομβρῆσαί μοι νῦν κατανύξεως καθαρὰς σταγόνας ἀποπλυνούσας πάντα ῥῦπον τῶν ἀμέτρων κακῶν μου, πανάμωμε.

O porta Dei, divinos ingressus ostende miseræ animæ meæ, quos ingrediar cum confessione, malorumque absolutionem recipiam, o Deipara.

Ἡ πύλη ἡ τοῦ Θεοῦ, εἰσόδους θείας ὑπόδειξον τῇ ταπεινῇ μου ψυχῇ, ἐν αἷς εἰσελεύσομαι ἐξομολογούμενος, καὶ κακῶν τὴν λύσιν, Θεοτόκε, ἀπολήψομαι.

Laudo te, o tota laudabilis, et magnifico, o Deo

Ὑμνῶ σε, πανύμνητε, καὶ μεγαλύνω, θεοχαρίτωτε,

Digitized by Google

τὴν ἀγνήν σου λοχείαν· βοήθησόν μοι βίου τοῖς κύμασι χειμαζομένῳ, καὶ δίδου κατάνυξιν τῇ ταπεινῇ μου ψυχῇ, καθαρτικὴν τῶν μολυσμῶν.

Νομοθετῶν εὐσέβειαν καὶ διδάσκων μετάνοιαν ὁ Ἐμμανουὴλ ἐκ σοῦ τεχθεὶς ἐπέφανεν, ὃν νῦν ἐκδυσώπησον, ὑπεραγία Δέσποινα, τῆς δικαιοσύνης ὑπανοῖξαί μοι πύλας, καὶ σῶσαί με βοῶντα· Ἱερεῖς, εὐλογεῖτε Κύριον.

Φωνὰς τῶν οἰκετῶν σου, ὡς ἀγαθή, μὴ παρίδῃς, πανάμωμε Δέσποινα, ἀλλ' ἐκτενῶς αἰτῆσαι τὸν πάντων Δημιουργὸν τῷ βασιλεῖ τὰ τρόπαια, καὶ τὴν εὐρωστίαν τὴν ψυχικὴν δωρήσασθαι, Παρθένε, καὶ θείας βασιλείας τὴν μετουσίαν καὶ λαμπρότητα.

A gratissima, castum partum tuum : adjuva me vitæ fluctibus exagitatum, et concede compunctionem miserabili animæ meæ, qua illius fœditates emundentur.

Legislator pietatis, et magister pœnitentiæ Emmanuel ex te natus apparuit; quem nunc supplici-ter exora, o supersancta Domina, ut justitiæ portas mihi desuper aperiat, et salvet me clamantem : Sacerdotes, benedicite Dominum.

Voces famulorum tuorum, utpote benigna, ne despicias, inculpatissima Domina : sed omnium Conditorem enixe roga, o Virgo, ut regi tropæa, animique fortitudinem, ac regni divini consortium, splendoremque largiatur.

149 *Ex Canone in S. Focam martyrem, die* 23 (65).

Soluta est primorum parentum pœna : Deum enim, qui est ante sæcula, peperisti, o illibata; qui factus novus infans, omnem humanam substantiam penitus renovavit.

B in incorrupto utero tuo, o puella sanctissima, et malitiæ torrentes divina potentia sua exsiccavit.

Deus ex te incarnatus, propter viscera misericordiæ suæ, hominibus unitus est, ac sustulit maledictionem, o sola omni benedictione cumulata Domina.

Conquassatam ac dirutam animæ meæ domum, tu, utpote benignissima, pœnitentiæ actibus renova, o castissima puella, quæ universam hominum naturam partu tuo reformasti.

Virgo a nuptiis immunis, Virgo benedicta, pontificum gloria, martyrum omnium corona, libera a periculis ac tribulationibus eos qui concinunt laudes tuas.

Arca legis, et urna quæ manna continebat, figurabat te, o castissima; mensa divina, et lucerna auro collucens, quæ lumen illud in revelationem gentium peperisti, quod divina scientia universum terrarum orbem illuminavit.

Sapientia Dei ædificavit sibi domum, prout sibi placitum fuit, ex puris sanctisque sanguinibus tuis, o Domina.

Illumina, o pura, animam meam, peccatorum tenebris involutam, et a flammis ac tenebris æternis libera me mediatione tua, ut cum animi exsultatione magnitudinem tuam concelebrem

Tanquam imber salutaris, Verbum effusum est C

Ἐκ τοῦ Κανόνος εἰς τὴν ἁγίαν μάρτυρα Χριστίνην, ἡμέρᾳ κδ'.

150 *Ex Canone in festo S. Christinæ martyris, die* 24.

Συνέλαβες Λόγον τὸν τοῦ Πατρὸς σαρκὶ ἑνωθέντα καθ' ὑπόστασιν τὴν ἐκ σοῦ, ὃν ἐπιποθήσασα Χριστίνα τοῦ μαρτυρίου τὸ κλέος ἐκτήσατο.

Concepisti Verbum Patris carni unitum secundum hypostasin quæ erat ex te; quod ardenter amans Christina martyrii gloriam adepta est.

Στῆσόν μου τὸν τάραχον τῶν λογισμῶν, ἁγνὴ Δέσποινα, παῦσον ψυχῆς πᾶσαν ἀθυμίαν, τὸν Χριστὸν ἡ κυήσασα.

Seda, o casta Domina, cogitationum mearum tumultum, aufer omnem animi consternationem, tu quæ Christum peperisti.

Προφητῶν σε ὁ ἔνδοξος πάλαι Ἡσαΐας ῥάβδον ὠνόμασεν, ἄνθος φέρουσαν τὸν Κύριον, Θεοτόκε μῆτερ ἀειπάρθενε.

Prophetarum gloriosissimus Isaias olim te virgam nominavit, quæ florem Dominum protulisti, o Deipara mater semper virgo.

Νεκρόν με τῇ ἁμαρτίᾳ γενόμενον ζώωσον, ζωὴν ἀναμάρτητον, ἁγνὴ Παρθένε, κυήσασα.

Me propter peccata mortuum vivifica, o Virgo casta, quæ vitam immortalem peperisti

Νοήσαντες θεηγόροι προφῆται μυστηρίου σου, Παρθένε, τὸ βάθος, προφητικῶς προκατήγγειλαν θεῖῳ D καταλαμπόμενοι πόῤῥωθεν Πνεύματι μητέρα σε παναληθῆ τοῦ Δεσπότου τῶν ὅλων γενήσεσθαι.

Mentis oculo inspicientes diviniloqui prophetæ mysterii tui profunditatem, o Virgo; prophetice a longe prænuntiaverunt, divino Spiritu illustrati, futuram te matrem verissimam Domini universorum.

Νόμους, Παρθένε, ὑπερβᾶσα τοὺς τῆς φύσεως τῇ θείᾳ σου συλλήψει ὑπὲρ φύσιν Θεὸν ἐκύησας βοῶσα· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Cum naturæ leges transcendisses, o Virgo, divina conceptione tua, Deum supra naturæ ordinem peperisti, clamans : Benedictus es, Domine Deus in sæcula.

Ἡ κραταιὰ βοήθεια τῶν πιστῶν, ἀειπάρθενε, ῥῦσαί με τῆς πλάνης τοῦ δολίου δράκοντος δεινῶς πολεμοῦντός με, καὶ ταπεινῶσαι σπεύδοντος· σὺ γὰρ

O Virgo perpetua, validissimum fidelium auxilium, libera me a seductione fraudulenti draconis, qui graviter oppugnat me, atque humiliare mise-

(65*) Deest in Menæis impressis.

Digitized by Google

rumque me reddere satagit: tu enim dux es infallibilis atque omni errore carens, eorum qui confidunt in te, atque incessanter clamant : Populi, superexaltate Dominum.

A ἀπλανὴς τῶν ἐπὶ σοὶ πεποιθότων ὑπάρχεις ὁδηγία τῶν βοώντων ἀπαύστως· Λαὸς, ὑπερυψοῦτε Κύριον.

O Virgo amica bonorum, animam meam peccatis malignatam, bonam effice, et ab æterna flamma libera me intercessionibus tuis.

Φιλάγαθε Παρθένε, τὴν κεκακωμένην ταῖς ἁμαρτίαις ψυχήν μου ἀγάθυνον, καὶ αἰωνίου φλογός με ῥῦσαι πρεσβείαις σου.

151 *Ex Canone in S. Fantinum mart. die* 24 (65**).

O Castissima, quæ lucem divinam atque immaculatam in lucem edidisti, tenebras, quæ in me sunt, dispelle, cordis mei nubes dissipa, illumina me, porta luminis, qui te cum fide magnifico, Deumque glorifico : gloriose enim glorificatus est.

Ille, qui duplici præditus natura intelligitur, Deus et homo, Paternum sinum nulla ex parte B derelinquens, in sinu tuo, o Virgo inviolata, resedit circumscriptibilis, cum sit incircumscriptus suapte natura.

Deus cœlestis intra viscera tua habitavit, o Puella, atque hominem deificavit, teque universorum patrocinium præsidiumque constituit.

Legales typi præfigurabant mysterium conceptionis tuæ, quorum nos intuentes exitum glorificamus te, o Virgo, quæ facta es omnium bonorum causa, et genus nostrum gratia replevisti.

Respice in me, o Deo gratissima Regina, et a pessimorum dæmonum, qui me conturbant, vexatione, et ab igne gehennæ libera me, qui te cum fide collaudo.

Quemadmodum non combussit olim ignis fornacis prudentissimos adolescentes; ita nec vulvam tuam, Deigenitrix Virgo, combussit nunc ignis Divinitatis, quæ in te naturæ terminos innovavit.

Morbo affectos, atque ad terram inclinatos, et peccato palam servientes, Dominus omnipotens, cum inhabitasset uterum tuum, salvavit; unde nunc firma fide clamant ad eum : Pueri, etc.

Corruptam terrigenarum substantiam partu tuo incorruptibili redintegrasti. Quamobrem vociferor : Redintegra me qui totus concupiscentiis pravis corruptus sum, **152** utpote benignissima, et semitas dirigentes ad vitam demonstra mihi; tu enim es dux omnium, qui recurrunt ad te, o purissima.

Ex Canone in festo SS. Hermolai, et sociorum martyrum, die 27.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον μάρτυρα Ἑρμόλαον καὶ τοὺς σὺν αὐτῷ, ἡμέρᾳ κζ'.

Redde mihi Christum propitium, o Virgo tota C sine macula (66), liberans me in die Judicii a tremenda damnationis sententia.

Ἴλεών μοι, Παρθένε, τὸν Χριστὸν ἀπέργασαι, πανάμωμε, ἐν ἡμέρᾳ τῆς δίκης φοβερᾶς καταδίκης ἐξαίρουσα.

Libera me, o immaculatissima, a gravissima tempestate peccatorum, et cogitationum, quæ crudeliter invadunt cor meum.

Ῥῦσαί με, πανάμωμε, ἁμαρτιῶν δεινοῦ κλύδωνος, καὶ λογισμῶν τῶν ἐπεμβαινόντων ἀφειδῶς τῇ καρδίᾳ μου.

Tanquam thronus igniformis, Dominum fers, o divina gratia cumulatissima; quem deprecare ut salvos faciat nos in peccati salo periclitantes.

Ὥσπερ θρόνος πυρίμορφος φέρεις τὸν Δεσπότην, θεοχαρίτωτε, ὃν ἱκέτευε σωθῆναι ἡμᾶς ἁμαρτίας σάλῳ κινδυνεύοντας.

Habentes te, o Virgo, patrocinium, refugium, firmamque defensionem, per te liberemur ab omni tribulatione.

Σὲ προστασίαν, καταφυγὴν, καὶ βεβαίαν ἀντίληψιν κεκτημένοι, Παρθένε, ῥυσθείημεν, διὰ σοῦ, πάσης θλίψεως.

Tempestas immensorum peccatorum meorum conturbat me, et in profundum desperationis semper dejicit me, o Puella : at tu prævenies, porD rige mihi manum tuam, et da mihi, ut in tranquillo pœnitentiæ portu securus ingrediar.

Κλύδων με τῶν ἀμέτρων πταισμάτων συνταράττει καὶ βυθῷ παραπέμπει διηνεκῶς ἀπογνώσεως, κόρη· ἀλλὰ προφθάσασα χεῖρά μοι δρεξον, καὶ δίδου μοι πρὸς γαληνοὺς μετανοίας λιμένας ὁρμίζεσθαι.

Virgo omni sanctitate prædita, quæ Deum incarnatum peperisti, ab omni peccato, et tribulatione salvum fac populum tuum clamantem : Benedictus es, Deus Patrum.

Παναγία Παρθένε, ἡ Θεὸν σαρκοφόρον ἀποκυήσασα, ἐκ πάσης ἁμαρτίας καὶ θλίψεως βοῶντα τὸν λαόν σου περίσωζε· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

(65**) Menææ non habent.

(66) Consonat S. Amadeus Lausannensis antistes homil. 7 de B. V. dum inducens Christum Matri suæ in cœlum subeunti gratulantem, in hunc modum scribit : « Dominus assistens egressæ de corpore, ita prædicat laudes ejus : Tota pulchra es, Mater mea, et macula non est in Te. Tota, ait, pulchra es : pulchra in cogitatu, pulchra in verbo : pulchra in actu, pulchra ab ortu usque ad finem. » Sic ille. Ubi ortus non nativitatem, sed conceptum passivum sonat, a quo ortu, sive principio vitæ usque ad finem in morte, beata Virgo tota, juxta Amadeum, perpetuo nituit absque omni prorsus macula. Alioquin, si Amadeus significare voluisset ortum ex utero, nimirum nativitatem, diminutissimus fuisset, imo falsum dixisset, cum Deipara fuerit pulchra per gratiam ante nativitatem suam, ut omnes concedunt. Vide Nieremberg, in *Sacrosyllabo* 5, pag. 215.

Digitized by Google

Σὲ τὸ τερπνὸν παλάτιον καὶ φαιδρὸν ἐνδιαίτημα τοῦ παμβασιλέως, παναγία Δέσποινα, ὑμνοῦμεν, δεόμενοι, ναοὺς ἡμᾶς ἀνάδειξον τοῦ ἐκ σοῦ τεχθέντος, καθαρεύσαντας πάσης κακίας ἐναντίας, καὶ βοῶντας ἀπαύστως· Λαός, ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Φεῖσαί μου, Σῶτερ, ὁ τεχθεὶς καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον μετὰ τὴν κύησιν ὅταν καθίσῃς κρῖναι τὰ σύμπαντα, τὰς ἀνομίας παρορῶν καὶ τὰς ἁμαρτίας μου, ὡς ἀναμάρτητος ἐλεήμων, ὡς Θεὸς καὶ φιλάνθρωπος.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους ἀποστόλους Πρόχωρον, Νικάνορα, Τίμωνα, καὶ Παρμεναν, ἡμέρᾳ κη'.

Πορεῖαι αἱ τοῦ Θεοῦ, πανάμωμε, ἐν σοὶ ἐγνώσθησαν γεγενημέναι ξένῳ τοκετῷ ἀσυγκρίτῳ τε ἑνώσει· ὅθεν ὡς πάντων δέσποιναν τῶν ποιημάτων σε δοξάζομεν.

Σταλάζοντα γλυκασμὸν καὶ ἀπολύτρωσιν κακῶν τέτοκας τὸν ἀγαθὸν Κύριον, ἄχραντε παρθένε πανάμωμε.

Ἀπειρογάμως ἐκύησας Θεὸν Λόγον σωματωθέντα, πάναγνε, ὑπὲρ νοῦν καὶ λόγον· ὅθεν καταχρέως σε Παρθένον δοξάζομεν καὶ χρεωστικῶς μακαρίζομεν.

Ὑμνοῦμέν σε δι' ἧς τῆς φθορᾶς ἐλυτρώθημεν, πανάμωμε, τοῦ ἀδύτου, καὶ τῆς πρὶν τυραννούσης κακίας τοῦ ἀλάστορος.

Τάξεις σε ἀσωμάτων ἀγγέλων γεραίρουσι, καὶ ἀποστόλων χορεῖαι, καὶ μαρτύρων δῆμοι, Θεοκυῆτορ· τὸν γὰρ πάντων Βασιλέα ἀφράστως ἐκύησας.

Λόγῳ τὸν Λόγον τὸν τοῦ Πατρὸς, κόρη, τέτοκας, λόγῳ οὐρανὸν ποιήσαντα καὶ τὴν γῆν, καὶ δοξάζεις τοῦτον, πανάμωμε, λόγον παρέχοντα τοῖς καθαρῶς αὐτῷ νῦν πιστεύουσιν.

A sum humanitatis suæ, passionibus communicavit, et impassibilitatem hominibus emanare fecit gloriosus Dominus : gloriose enim glorificatus est.

Ex immaculatis sanguinibus tuis, o Domina, incarnatus est Dominus ex voluntate sua, ut salvum faceret genus humanum; et martyrum cœtus ad se attraxit.

Deus virginem te post partum conservavit, o impolluta, atque incorrupta (92) : cui complacuit in utero tuo totum me hominem recipere, ac recuperare propter summam bonitatem suam.

Ille qui ex te, o Domina, voluntarie natus est, cum crucem ac sepulturam propter nos sustinuisset, tanquam fortis fecit Artemium constantissimum testem passionum suarum.

B Salvum fac servum tuum, o Virgo Deipara, agitatum salo tribulationum, et procellarum insurgentibus fluctibus jactatum.

Illum, qui mortuis immortalitatis fontem emanare fecit, peperisti, o Virgo carens omni macula, eo modo, quo Deum decebat. Ipsum itaque deprecare, o casta, ut corporis nostri passiones mortificet, et vitæ æternæ dignos efficiat.

199 Nos, qui ob arboris ligni escam defluxeramus, et in ruinam prolapsi eramus, reformasti, o castissima atque integerrima, Creatorem enixa, et Verbum subsistens, cui clamamus : Omnia opera Domini, laudate Dominum.

Luce vultus tui illumina me, Domine, negligentiæ tenebris obvolutum, cum habeas, o Verbum,
C Matrem tuam veram, castissimam, quæ te deprecatur una cum splendoribus angelorum, et Artemio glorioso.

Ex Canone duplici in festo S. Abercii episcopi Hierapolitæ, et septem sanctorum puerorum Ephesi, die 22.

Linguæ facundæ, ac disertæ non valent eloqui conceptionem tuam, quæ omnem superat loquelam; Deum enim in carne peperisti, o sanctissima, factum similem nobis propter bonitatem suam.

Ille qui purus est, cum te omni re creata purio-
D rem invenisset, o castissima, inhabitavit in te, vo-

(92) Quia pollutionem et corruptionem peccati originalis ex divina gratia evasit. Unde Bernardinus de Busto in Mariali serm. 7 de concept. parte 1, ait : « Optabilius est animam non pollui, quam corpus incinerari, quia anima pretiosior est corpore. Sed B. Virgo obtinuit de corpore ne incineraretur : ergo et credendum est, quod multo magis obtinuit animæ impollutionem et incontaminationem. » Idem loco citato serm. 8, parte 1, inquit : « Cum Deus elegerit integritatem et puritatem uteri virginalis, quem nunquam voluit pollui, sed semper intactum ab omni pollutione servari, ut in Spiritu vidit Ezechiel propheta sui libri c. XLIV, ergo a fortiori credendum est ipsum elegisse in Virgine puritatem internalem animæ ejus innocentis. Ideo Ambrosius super Lucam ait de B. Virgine : « Virgo erat, non solum corpore, sed et mente. Quod secus esset, si anima ejus per peccatum originale esset fornicata. » Sic ille, et quidem optime. Nam pleræque formæ ac denominationes (inquit in cap. 3 suarum Exceptionum P. J. Eusebius Nierembergius) consistunt in indivisibili, quæ semel amissæ reparari non possunt, ex quibus est virginitas corporalis, quæ semel deperdita resarciri non potest, sive adhibito proprio consensu fuerit violata, sive violenter oppressa. Pari etiam ratione puritas, et virginalis candor spiritualis castimoniæ semel amissus recuperari non valet ultra. Sed hæc puritas, aut virginitas spiritualis consistit in carentia peccati, potissimum mortalis, quod, secundum Scripturam sacram, est animæ spiritualis fornicatio, et Chrysostomus animæ devirginationem appellat. Igitur anima semel per peccatum, quo separatur a Deo, corrupta, sive illud a propria voluntate descendat, sive ex vi generationis communis ac descensus ab Adamo animæ impressum (nam quomodo id contingat nihil refert, ut paulo ante notavi de virginitate corporali), deinceps impollutæ titulo lætari nequibit. Itaque si B. Virgo in instanti suæ conceptionis fuit violata, et polluta spiritualiter per peccatum originale, nullo jure sibi vindicabit titulum impollutæ et incorruptæ.

Digitized by Google

lens, tanquam hominum amator, eliminare iniquitatem, quæ habitaverat in Adam.

Ille qui prius erat Deus invisibilis, factus est visibilis, corpore ex utero tuo accepto, o Virgo, propter misericordiam suam; propterea te cum fide beatam appellamus.

200 Christus, qui me ex divinis sanguinibus tuis acceptum tanquam vestem tulit, o inviolata, me eumdem, qui olim nudatus fueram, gratiæ stola vestivit.

Contritionem et miseriam antiquam terrigenarum medela adhibita curasti, o tota immaculata, Dei sponsa, illum enixa, qui propter ineffabilem misericordiam suam infirmitates nostras portavit.

Novum infantem peperisti, o Virgo, qui mundum ante senio confectum, divinis cognitionibus renovavit; ideo te glorificamus.

Leges in te mirabiliter innovantur, o Virgo : etenim sine semine paris Deum Salvatorem, et virgo, qualis antea eras, perseveras. O peregrinum miraculum! Hac de causa te Matrem Emmanuelis religiose ac pie pronuntiamus.

Dissolve, o casta, durissimum callum animæ meæ; et concede mihi, ut facili promptoque sensu divinis Filii tui mandatis attendam.

Per te, o sanctissima Dei Sponsa, nos qui mortui eramus, vita digni facti sumus; et cum essemus corruptionis servi, incorruptionis divitias manifeste adepti sumus.

Mortifica carnis meæ prudentiam, o Virgo, quæ vitam peperisti, quæ morti mortem abstulit, et pueros admiranda excitatione glorificavit.

Natus est ex te, o Puella, ille quem Pater genuit ante sæcula, qui in duabus substantiis ac voluntatibus agnoscitur (Deus scilicet et homo) ab omnibus, qui cum fide clamant : Benedictus es, Deus patrum nostrorum.

Apparuisti, o Dei genitrix, angelis superior; apparuisti vere athletarum robur; apparuisti, o castissima, salus eorum qui te verissimam Verbi genitricem recognoscunt.

Ecce lectulus Salomonis, quem nunc potentes circumdant, Scripturæ scilicet, divinitus inspiratæ, prædictiones; in quo Christus Deus per divinam incarnationem requievit, nimirum benedicta et gratia plena.

Ægrotantem animam meam medica manu cura, o Virgo, **201** et inhærentes mihi affectionum sordes absterge, atque ad tribunal omnipotentis Dei siste me totum salvum factum, ut cantem : Omnia opera, laudate Dominum.

Lucernam illuminativam prævidit te olim propheta, o Virgo castissima, divinam lampadem in se ipsa vere ferentem : solum scilicet Deum supersubstantialem, qui propter viscera misericordiæ suæ ex te homo factus est.

Gestas in ulnis eum, qui palma sua divina continet universa; quem suppliciter exora, o Virgo,

A τὴν ἐν Ἀδὰμ οἰκήσασαν, παρανομίαν ὡς φιλάνθρωπος.

Ὑπάρχων ὁ Θεὸς τὸ πρὶν ἀόρατος ὡράθη, Παρθένε, δι' εὐσπλαγχνίαν ἐκ γαστρός σου σωματούμενος. Διὰ τοῦτό σε πίστει μακαρίζομεν

Φορέσας με ἐκ τῶν σῶν θείων αἱμάτων ὁ Χριστὸς, ἄχραντε, καταστολὴν χάριτος πάλαι γυμνωθέντα ἐνέδυσεν.

Ἴασω, πανάμωμε, συντριβὴν καὶ τὴν πάλαι ταλαιπωρίαν τῶν γηγενῶν, τέξασα τὸν βαστάσαντα τὰς νόσους ἡμῶν, δι' εὐσπλαγχνίαν ἄφατον, Θεόνυμφε.

B Νέον βρέφος ἀπεκύησας τὸν προόντα γεγηρακότα κόσμον νεουργοῦντα, Παρθένε, θείαις ἐπιγνώσεσι. Διό σε δοξάζομεν.

Νόμοι ἐν σοὶ παραδόξως, Παρθένε, καινοτομοῦνται· τίκτεις γὰρ ἀσπόρως Θεὸν ὄντα, καὶ διαμένεις παρθενεύουσα πάλιν, ξένον θαῦμα· ὅθεν Μητέρα σε τοῦ Ἐμμανουὴλ εὐσεβῶς καταγγέλλομεν.

Τὴν πώρωσιν, ἁγνὴ, τῆς ψυχῆς μου διάλυσον, καὶ δίδου μοι εὐαισθήτως τοῦ Υἱοῦ σου προσέχειν τοῖς θείοις ἐπιτάγμασιν.

Διὰ σοῦ, παναγία Θεόνυμφε, οἱ νενεκρωμένοι ζωῆς ἠξιώθημεν, καὶ τῇ φθορᾷ δουλεύοντες ἀφθαρσίαν σαφῶς ἐπλουτήσαμεν.

C Νέκρωσον τῆς σαρκός μου, Παρθένε, τὸ φρόνημα, ἡ τὴν ζωὴν τετοκυῖα, τὴν θανάτῳ θάνατον καθελοῦσαν, καὶ τοὺς παῖδας παραδόξῳ ἐγέρσει δοξάσασαν.

Ἐτέχθη ἐκ σοῦ ὃν ἐγέννησε Πατὴρ πρὸ τῶν αἰώνων διτταῖς οὐσίαις καὶ θελήσεσιν, οἷα Θεός τε καὶ ἄνθρωπος, Κόρη, γνωριζόμενος πᾶσι, τοῖς ἐν πίστει κραυγάζουσιν, Εὐλογητὸς εἶ, ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ὤφθης ἀγγέλων, Θεοκυῆτορ, ὑπερέχουσα, ὤφθης ἀθλητῶν κραταίωμα ἀληθῶς, ὤφθης, πάναγνε, διάσωσμα τῶν γινωσκόντων σε παναληθῆ τοῦ Λόγου τοκετόν.

D Ἰδοὺ ἡ κλίνη Σολομῶντος, ἣν κυκλοῦσι δυνατοὶ, τῆς θεοπνεύστου νῦν Γραφῆς αἱ προρρήσεις, ἐν ᾗ Χριστὸς ὁ Θεὸς σαρκώσει θείᾳ ἀνεπαύσατο, ἡ εὐλογημένη καὶ κεχαριτωμένη.

Νοσοῦσαν, Παρθένε, τὴν ἐμὴν ψυχὴν θεράπευσον, καὶ τὸν ἐνόντα μοι παθῶν ἀπόπλυνον βόρβορον, καὶ τῷ βήματι παράστησον τοῦ παντοκράτορος Θεοῦ ὅλον σωζόμενον, ἵνα μέλπω· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Φωτιστικὴν σε λυχνίαν ὁ προφήτης προβλέπει, λαμπάδιον τὸ θεῖον ἀληθῶς ἐν ἑαυτῇ ἐπιφέρουσαν, παναγία Παρθένε, τὸν μόνον ὑπερούσιον Θεὸν διὰ σπλάγχνα ἐλέους ἐκ σοῦ ἐνανθρωπήσαντα.

Φέρεις ἐν ἀγκάλαις τὸν πάντα θείᾳ κατέχοντα παλάμῃ, ὅνπερ ἐκδυσώπει, Παρθένε, ἐμὲ τὸν μόνον

Digitized by Google

ὄντα κατάκριτον δι' εὐσπλαγχνίαν ἄφατον ἐναγκαλίσασθαι, καὶ σῶσαί με.

A ut me, qui unice damnatus sum, propter ineffabilem pietatem suam ulnis excipiat, et salvum faciat.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Μαρκιανὸν καὶ Μαρτύριον, ἡμέρᾳ κε'.

Τὸν ἄναρχον Υἱὸν τοῦ Θεοῦ συλλαβοῦσα ἐσωμάτωσας, ἁγνή, γενόμενον βροτὸν διὰ ἔλεος ἄφατον, ὅθεν τοῦτον προσκυνοῦντες εὐσεβῶς σε δοξάζομεν, τὴν αἰτίαν τῆς πάντων θεώσεως.

Πεποικιλμένη χρυσοστολίσι καὶ ὡς βασίλισσα, τοῦ Δεσπότου καὶ Θεοῦ ἐκ δεξιῶν νῦν περίστασαι, Δέσποινα, πρεσβεύουσα ὑπὲρ τῶν δούλων σου.

Ex Canone in festo S. Marciani et Martyrii martyrum, die 25.

Filium Dei æternum concipiens, o casta, corporasti hominem factum propter ineffabilem misericordiam suam. Unde illum adorantes, te devote glorificamus, quæ causa fuisti deificationis omnium.

Circumdata varietatibus in fimbriis aureis, tanquam Regina ac Domina, a dextris Dei ac Domini nunc astas, intercedens pro servis tuis.

Ἱερὸς πάλαι προφήτης ὄρος σε θεῖον ἐκάλεσεν B ἀρετῆς, Παρθένε πάναγνε, δι' ὅλου κατάσκιον, ἐξ οὗ σωτήριος Λόγος πεφανέρωται εἰς ἀνάπλασιν καὶ φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

Olim sacer propheta te divinum montem appellavit, o Virgo castissima, virtutibus undequaque umbrosum; ex quo salutare Verbum manifestatum est in restaurationem, et illuminationem animarum nostrarum.

Ἀληθῶς Θεοῦ Υἱὸν ἐκύησας, ἁγνή, ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ θείῳ Πνεύματι, Θεογεννήτρια, ὃν ὑπαύστως αἴτησαι, οἰκτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

Vere, o casta Dei genitrix, Filium Dei genuisti, Patri ac Spiritui divino consubstantialem; quem incessanter precare, ut misereatur animarum nostrarum.

Στόματι καὶ γλώσσῃ σε Μητέρα παναληθῶς, Παρθένε, τοῦ Θεοῦ ἡμῶν ὁμολογοῦμεν· αὐτὸν, ἁγνή, ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ore et lingua te verissimam Dei nostri Matrem confitemur, o Virgo: eumdem impense deprecare, o casta, pro salute animarum nostrarum.

Λελυτρωμένοι τῷ σῷ, Θεογεννῆτορ, τόκῳ τῆς αἰωνίου κατακρίσεως, τὸ, Χαῖρέ σοι, κράζομεν ἀεί, εὐλογημένη καὶ κεχαριτωμένη.

Ab æterna damnatione per partum tuum liberati, o 202 Dei genitrix, ad te semper clamamus: Ave, benedicta, et gratia plena.

Νεκρωθέντας ἡμᾶς ἀνεζώωσας τὴν ζωὴν τῶν C ἁπάντων κυήσασα, Θεοκυῆτορ Δέσποινα, τῶν μαρτύρων δόξα, καὶ τῶν ἀνθρώπων τὸ διάσωσμα καὶ περιτείχισμα.

Nos mortuos ad vitam revocasti, vitam omnium enixa, o Dei genitrix Domina, martyrum gloria, et hominum salus ac munimentum.

Φωτὸς οἰκητήριον, ἁγνή, ὑπάρχουσα τῆς ψυχῆς μου κόρας φώτισον ἀμαυρωθείσας ἀμελείᾳ, καὶ σκότος ῥαθυμίας βαθύτατον ἀεὶ περικειμένας, παναμώμε, ὅπως ἐν πίστει μακαρίζω σε.

Lucis habitaculum cum sis, o casta, animæ meæ pupillas illumina, incuria obscuratas, et tenebras profundissimas negligentiæ, quibus semper involutus sum, ut te cum fide beatificem, o purissima.

Ἐκ τοῦ Κανόνος εἰς τὴν μνήμην τοῦ σεισμοῦ, ἡμέρᾳ κς'.

Ex Canone in memoria cujusdam terræ motus, die 26.

Ἱκετικῶς σοι βοῶμεν, Μῆτερ Θεοῦ, τὰ συνήθη σπλάγχνα σου ἐπὶ πόλιν καὶ λαὸν συμπαθῶς δεικνύουσα, σεισμοῦ βαρυτάτου καὶ φθορᾶς ἡμᾶς ἀπάλλαξον.

Suppliciter ad te clamamus, Dei Mater, ut consuetæ misericordiæ tuæ viscera super hanc civitatem populumque demonstrans, a gravissimo terræ D motu et interitu nos liberes.

Ἡ μόνη οὖσα ἀγαθὴ τὸν πανάγαθον Λόγον ἐκτενῶς ἐκδυσώπει τῆς ἀνάγκης τοῦ σεισμοῦ ῥυσθῆναι πάσης ὀργῆς, Θεοτόκε ἄχραντε, δεόμεθα.

Tu quæ sola bona es, optimum Verbum enixe deprecare, ut a necessitatibus, terræmotibus, atque ab universa ira liberemur, te oramus, o Deipara inviolata.

Ναόν σε, Δέσποινα, Θεοῦ γινώσκοντες ἐν ἁγίῳ ναῷ σου χεῖρας οἰκτρὰς αἴρομεν εἰς δέησιν· ἴδε τὴν κάκωσιν ἡμῶν, καὶ παράσχου τὴν βοήθειαν.

Te Dei templum agnoscentes, Domina, in templo sancto tuo manus miserandas extollimus supplicantes: vide afflictionem nostram, et præbe nobis auxilium.

Νῦν βοηθείας ἦλθε καιρὸς, νῦν καταλλαγῆς χρεία, ἁγνή, πρὸς τὸν Υἱόν σου καὶ Κύριον, ὅπως οἰκτειρήσῃ προσκεκρουκότας ἡμᾶς, καὶ τῆς ἐπικειμένης ὀργῆς λυτρώσηται.

Nunc venit tempus opportunum auxilii, o casta; nunc opus est reconciliatione cum Filio tuo ac Domino, ut nostri, qui terrore perculsi sumus, misereatur, et ab ira imminente liberet nos.

Ἁγία Θεόνυμφε, ἀπορούμενον νυνὶ τὸν σὸν λαὸν οἰκτείρησον, καὶ μητρικαῖς πρεσβείαις τὴν καθ'

Sancta sponsa Dei, miserere nunc populi tui in angustia positi; et maternis intercessionibus in-

Digitized by Google

dignationem Dei contra nos cito, te rogamus, averte.

Annue, o inviolata, saluti famulorum tuorum, qui exitio propinqui sunt ob iram Dei, gravemque atque horribilem furorem minarum nunc ingruentium, propter multitudinem multorum peccatorum nostrorum.

203 O Domina compassione prædita, quæ Salvatorem summe compassivum peperisti; vide afflictionem et gemitum populi tui, et accelera ad intercedendum, ut misereatur nostri.

Tu quæ corruptionem in partu non sustinuisti, erue nos omnes, o Virgo, ab omni corruptione, gravissimoque terræ motu, ac tribulatione, placans indignationem Domini maternis reconciliationibus tuis, o Deo charissima.

ἡμῶν Θεοῦ ἀγανάκτησιν μεταποίησον τάχος, δυσωποῦμέν σε.

Νεῦσον, ἄχραντε, σωθῆναι τοὺς οἰκέτας σου ἀπολεσθῆναι μέλλοντας ἐν ὀργῇ Θεοῦ, καὶ θυμῷ μεγάλῳ καὶ φρικτῷ τῆς νῦν ἐπελθούσης ἀπειλῆς διὰ τὸ πλῆθος τῶν πολλῶν ἁμαρτιῶν ἡμῶν.

Συμπαθὴς Θεοτόκε, τὸν ἀσυμπάθητον ἡ τεκοῦσα Σωτῆρα, ἴδε τὴν κάκωσιν καὶ τὸν στεναγμὸν λαοῦ σου, καὶ τάχυνον τοῦ παρακαλέσαι ἡμᾶς οἰκτειρηθῆναι.

Φθορὰν τῷ τίκτειν μὴ ὑπομείνασα, πάσης φθορᾶς, Παρθένε, ἐξελοῦ ἡμᾶς ἅπαντας, καὶ σεισμοῦ βαρυτάτου καὶ θλίψεως, παύουσα τοῦ Δεσπότου τὴν ἀγανάκτησιν ταῖς σαῖς μητρικαῖς καταλλαγαῖς, Θεοχαρίτωτε.

Ex Canone in S. Demetrium, die 26 (92).*

Assiduas ad Deum preces effunde, o Puella, ut misereatur mei, qui plurimis hujus vitæ fraudibus detineor, et peccati cæca nocte involutus sum.

Domina Deo gratissima, tu, quæ Solem peperisti, tenebrosa animæ meæ nubila undequaque dissipa ac dispelle.

Mater Virgo, quæ Deum corporasti, a corporeis passionibus libera me, et medere omnibus contritionibus animæ meæ.

Speciosa facta es, o Virgo, quippe quæ speciosissimum Verbum genuisti; quod assiduis precibus exora, ut peccantis populi misereatur, et mundum, qui sperat in te, o Deipara, ab omni dæmoniaca fraude salvum faciat.

Supplicationem miserabilis animæ meæ ne despicias, Virgo Deipara: sed benigna interventione tua me omnium Deo domesticum redde, et a futuri sæculi cruciatibus mihi paratis libera me, o illibatissima.

Habentes te, o Virgo inviolata, præsidium ac murum, et portum, a noxiis tentationibus variisque tribulationibus, precibus tuis eripiamur, dum te pro merito laudamus.

Pro iis qui te Virginem Matrem agnoscunt, legatione **204** fungere, o benedicta, ut a tentationibus ingruentibus, a serpentis jaculis, atque a sempiternis suppliciis, o Virgo, liberentur.

Bonorum amica Virgo, quæ Deum Verbum undequaque bonum peperisti, animam meam peccatorum gravissimo pondere male affectam, precibus tuis bonam effice, ut ea exsequi possit quæ conducunt ad vitam, et ea fugere quæ ad malitiæ mortem deferunt; et ego te cum fide beatam dicam.

Ex Canone duplici in festo S. Anastasiæ Romanæ Martyris, et S. P. N. Abrahamii, die 29.

Te scalam illam, quæ ad cœlum pertingebat, et in qua Deus innitebatur, homines reddens cœlestes, o Puella, veneramur.

Dei Patris Verbum ex sacris sanguinibus carnis tuæ supra naturæ rationem incarnatum est, o Virgo Maria: quod deprecare, ut carnis meæ sensus interimat.

Peccatorum meorum sylvam intercessionum tuarum igne combure, o Dei Mater, divinum mihi remissionis rorem afferendo.

In te, o sanctissima, universi auctor ob excessum misericordiæ suæ voluntarie habitavit, hominumque substantiam sanctificavit, quæ prius ob transgressionem ruinam subierat.

Post partum, Virgo, inviolata permansisti, quemadmodum fueras ante partum; novum quippe infantem genuisti, qui ante sæcula fuisse cognoscitur.

Me socordia oppressum, et in peccato demersum,

Ἐκ τοῦ Κανόνος εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Ἀναστασίαν τὴν Ῥωμαίαν, καὶ τὸν ὅσιον Πατέρα ἡμῶν Ἀβράμιον, ἡμέρᾳ κθ'.

Σὲ τὴν οὐρανομήκη κλίμακα, ἐν ᾗ Θεὸς ἐπεστήριχτο τοὺς βροτοὺς οὐρανίους ἐργαζόμενος, Κόρη, γεραίρομεν.

Σαρκὸς ἐξ αἱμάτων σου ἱερῶν Θεοῦ Πατρὸς Λόγος ἐσαρκώθη ὑπερφυῶς, Παρθένε Μαρία, ὃν δυσώπει τὰ τῆς σαρκός μου νεκρῶσαι φρονήματα.

Ὕλην ἁμαρτίας μου σῶν πρεσβειῶν πυρὶ σύμφλεξον, Μῆτερ Θεοῦ, δρόσον μοι τὴν θείαν τῆς ἀφέσεως φέρουσα.

Ἐπὶ σοὶ, παναγία, ὁ τοῦ παντὸς αἴτιος δι' ὑπερβολὴν εὐσπλαγχνίας θέλων ἐσκήνωσε, καὶ καθηγίασε τὴν τῶν ἀνθρώπων οὐσίαν, παραβάσει πρότερον ἐξολισθήσασαν.

Μετὰ τόκον διέμεινας ἄφθορος, Παρθένε, ὡς πρὸ γεννήσεως· νέον βρέφος γὰρ ἐκύησας τὸν πρὸ αἰώνων γνωριζόμενον.

Ῥαθυμίᾳ κρατούμενον καὶ τῇ ἁμαρτίᾳ με βυθι-

(92*) Desideratur in Menæis impressis.

Digitized by Google

ζόμενον τῇ πρεσβείᾳ σου με λύτρωσαι, Θεοτόκε, A Μήτερ ἀειπάρθενε.

Ὑμνοῦμέν σε, πανύμνητε Δέσποινα Θεοτόκε, Θεὸν ὑπερύμνητον σαρκὶ ἀσπόρως κυήσασαν.

Μητροπάρθενε κόρη, θείῳ φωτιζόμενοι Πνεύματι, πάναγνε, ἱεροὶ προφῆται ἱεραῖς ἐν φωναῖς σε προήγγειλαν, ἐξ ἧς Θεὸς Λόγος ὑπὲρ αἰτίαν τε καὶ λόγον ἐσαρκώθη δι' οἰκτον ἀμέτρητον.

Φιλάνθρωπον κυήσασα Θεὸν, φιλάγαθε Δέσποινα, αὐτὸν καθικέτευε τῆς γεέννης τοῦ πυρὸς λυτρωθῆναί με.

Βαρούμενον νυσταγμῷ ῥαθυμίας διανάστησον τῇ σῇ μεσιτείᾳ, Μῆτερ Θεοῦ, καὶ μὴ δῴης ὑπνῶσαι τῆς ἁμαρτίας, Παρθένε, εἰς θάνατον· προστάτην B γὰρ καὶ ὁδηγὸν τῆς ἐμῆς σε ζωῆς ἐπιγράφομαι.

Ὅλον τὸν ἄνθρωπον φορέσας ὁ ὑπέρθεος δίχα τῆς ἁμαρτίας ἐκ γαστρός σου, ἁγνὴ, προῆλθε σαρκοφόρος, ὃν ἐκδυσώπει πίστει σε τοὺς τιμῶντας διασῶσαι.

Μόνη τὸν ἕνα τῆς Τριάδος ἀπεγέννησας ἐν διττα῀ς οὐσίαις ὑποστάσει μιᾷ ὁρώμενον, Παρθένε, ᾧ μελῳδοῦμεν, πάναγνε, ἀσιγήτως εἰς αἰῶνας.

Σὲ τὴν ἁγνὴν καὶ ἄμωμον ἡ παρθένος (Ἀναστασία) ποθήσασα, ἄμωμον καὶ σῶμα καὶ ψυχὴν ἐτήρησεν, παθῶν ὑπεκκαύματα ὑπομονῇ τεφρώσασα, πεῖράν τε πολλῶν ὑπενεγκοῦσα βασάνων, καὶ νῦν ἐπουρανίοις ἐν θαλάμοις χορεύει, σὺν σοὶ εὐφραινομένη εἰς C πάντας τοὺς αἰῶνας.

Ῥείθρου ζῶντος ὤφθης πανάγιον σκήνωμα, ἐξ οὗ πιόντες οἱ θανατωθέντες τὴν ζωὴν κληρούμεθα, ἀναβοῶντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα, τὸν Κύριον.

Φορέσαντά σε σάρκα ἐκ γυναικὸς ὡς ἐπέγνω ἡ μάρτυς σου, Κύριε, παρθενικαῖς κατηγλαϊσμένη μαρμαρυγαῖς, καὶ μαρτυρίου αἵματι περιηνθισμένη, σοὶ τῷ Χριστῷ ὀπίσω τῆς Μητέρος σου ἐνδόξως προσηνέχθη, ὡς βασιλεύοντι τῆς κτίσεως.

Φιλάγαθε Παρθένε, τὴν κεκακωμένην τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον καὶ ἀγαθῶν αἰωνίων μέτοχον ποίησον.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Ζηνόβιον καὶ Ζηνοβίαν τὴν ἀδελφὴν αὐτοῦ, ἡμέρᾳ λ'. D

Χαίροις, ὁ πανάγιος ναὸς, ὁ ποκος ὁ θεόδροσος, ἐσφραγισμένη πηγὴ τοῦ ἀθανάτου ῥείθρου, τὴν ποίμνην σου, Δέσποινα, φύλαττε ἐκ παντοίων πολεμίων ἀπολιορκήτως.

Τριάδος τὸν ἕνα ἀπεκύησας τὸ ἀνθρώπινον φορέσαντα, παναγία Μητροπάρθενε, ὃν αἴτησαι σωθῆναι τοὺς σε ἀνυμνοῦντας.

Τῷ ξένῳ σου τόκῳ τοὺς ἐκ Θεοῦ ξενιτεύσαντας ἐν αὐτῷ οἰκειώσω, πανύμνητε, ὅθεν σε μεγαλοφρόνως πίστει δοξάζομεν, καὶ κραυγάζομεν· Χαῖρε, πάντων γηγενῶν τὸ διάσωσμα.

intercessione tua redime, o Deipara, Mater Virgo perpetua.

Laudamus te, o omni laude dignissima Domina Deipara **205**, quæ Deum superiorem omni laude in carne sine semine genuisti.

Mater Virgo puella castissima, prophetæ sacri, divini Spiritus lumine illustrati, sacris vocibus te prænuntiaverunt, ex qua Deus Verbum, supra causam ac verbum incarnatus est propter immensam misericordiam suam.

O Domina bonorum amatrix, quæ amatorem hominum Deum peperisti, eumdem deprecare, ut liberet me a gehenna ignis.

Me dormitatione negligentiæ gravatum, exsuscita mediatione tua, Mater Dei, neque sinas me in mortem peccati obdormire : te enim patronam ac ducem vitæ meæ mihi vendico, o Virgo.

Superdivinus ille qui totum hominem tanquam vestem portavit, citra peccatum, ex utero tuo incarnatus prodivit, o casta; quem deprecare pro salute eorum, qui te fideliter honorant..

Sola unum Trinitatis peperisti in duabus substantiis, unaque hypostasi conspicuum, o Virgo castissima : cui suaviter concinimus sine intermissione, in sæcula.

Te castam et immaculatam, virgo (Anastasia) amore prosequens, corpus et animam sine macula conservavit; passionum incendia patientia despiciens, multorumque tormentorum experimentum perferens : et nunc in cœlestibus thalamis tripudiat tecum gaudens in omnia sæcula.

Fluenti viventis sanctissimum tabernaculum facta es; ex quo bibentes nos qui mortui eramus, vitam hæreditamus, clamantes : Benedicite, omnia opera, Dominum.

Statim atque martyr tua (Anastasia) cognovit te, Domine, carnem ex muliere acceptam gestasse, virginalibus radiis illustrata, et martyris sanguine tanquam floribus exornata, tibi Christo tanquam creaturarum regi, post Matrem tuam gloriose adducta est.

O Virgo bonorum amatrix, animam meam peccatorum **206** malis vitiatam, bonam redde, ac bonorum æternorum participem effice.

Ex Canone in festo SS. Zenobii et Zenobiæ sororis ejus mart., die 30.

Salve, o templum sanctissimum; o vellus divino rore perfusum, o fons signatus immortalis fluenti : custodi, Domina, gregem tuum, ita ut a nullis hostibus expugnetur.

Unum Trinitatis peperisti, o sanctissima Mater Virgo, humana natura indutum; quem deprecare pro salute laudantium te.

Partu tuo peregrino eos, qui a Deo peregrini facti erant, eidem domesticos reddidisti, o omni laude dignissima. Unde te magna voce cum fide glorificamus, clamantes : Salve, o omnium terrigenarum salus.

Digitized by Google

Gravi peccatorum sarcina semper opprimor, o immaculata, et ad te vociferor, ut mediatione tua me ab illis allevare digneris : tu enim es gloriosa peccatorum patrona, quæ Redemptorem ac Salvatorem peperisti.

Ἁμαρτίας βαρείᾳ πάντοτε περίκειμαι φορτίᾳ, ἄχραντε, καὶ βοῶ σοι, τούτων μεσιτείᾳ με ἐλάφρυνον· σὺ γὰρ εἶ προστάτις ἁμαρτωλῶν δεδοξασμένη, λυτρωτὴν καὶ Σωτῆρα κυήσασα.

Speciosam redde animam meam, o Virgo, passionum fœditate deformatam, et muni cor meum miserum veræ pœnitentiæ cogitationibus, et salvum me fac, o casta, qui ad te constanter atque immobiliter confugio.

Ὡραίωσον τὴν ψυχήν μου, Παρθένε, ἀμορφίᾳ τῶν παθῶν κρατουμένην, καὶ λογισμοῖς ἀληθοῦς μετανοίας τὴν ταπεινήν μου καρδίαν ὀχύρωσον, καὶ σῶσόν με τὸν ἐπὶ σοὶ ἀδιστάκτως, ἁγνή, καταφεύγοντα.

Locus sanctificationis facta es, o Virgo, ex quo Deus apparuit sanctificans nos, qui cum fide concinimus : Benedictus, o castissima, fructus ventris tui.

Τόπος, Παρθένε, ἀνεδείχθης ἁγιάσματος, ἐξ οὗ Θεὸς ἐφάνη, ἁγιάζων ἡμᾶς τοὺς πίστει μελῳδοῦντας· Εὐλογημένος, πάναγνε ὁ καρπὸς τῆς σῆς κοιλίας.

Racemum, quem nulla agricolæ manus excoluit, et ex quo indulgentiæ vinum effluxit, cum conceperis, o Virgo Mater, a passionibus ebrietatis, te precor, libera me. B

Τὸν ἀγεώργητον βότρυν συλλαβοῦσα, ἀναπηγάζοντα οἶνον, Παρθενομῆτορ, ἀφέσεως, τῶν παθῶν με τῆς μέθης ἀπάλλαξον, δέομαι.

Illumina, quæso, o porta lucis, oculos cordis mei, procul repellens profundissimas peccati tenebras ex infelici anima mea; ut te magnificem, teque cum affectu collaudem omni laude dignissimam. 207

Φώτισον, πύλη τοῦ φωτὸς, τῆς καρδίας μου τὰ ὄμματα, δέομαι, μακρὰν ἐλαύνουσα τῆς ἁμαρτίας σκότος βαθύτατον ἐκ τῆς ἀθλίας μου ψυχῆς, ἵνα μεγαλύνω σε, ἵνα πόθῳ σε ὑμνῶ τὴν πανύμνητον.

Ex Canone duplici in festo SS. Apostolorum Stachyis, Ampliæ, Urbani, Aristoboli, et Narcissi, et S. Epimachi martyrum, die 31.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους ἀποστόλους Στάχυα, Ἀμπλίαν, Οὐρβανὸν, Ἀριστόβολον, Νάρκισσον, καὶ τὸν ἅγιον μάρτυρα Ἐπίμαχον, ἡμέρᾳ λα'.

Montem Dei lucidissimum, arcam sanctam, ac mensam, urnam totam auream, mundum Dei palatium, benedictam inter mulieres beatificemus. C

Τὸ περιφανὲς ὄρος Θεοῦ, τὴν κιβωτὸν τὴν ἁγίαν, καὶ τράπεζαν, στάμνον τε πάγχρυσον, τὸ καθαρὸν τοῦ Κυρίου παλάτιον, τὴν εὐλογημένην ἐν γυναιξὶ μακαρίσωμεν.

Cantabo tibi, Domine Deus meus; quoniam sine semine ex utero Virginis natus es, per quam etiam salvas universos tanquam multa præditus misericordia.

Ἄσομαί σοι, Κύριε ὁ Θεός μου, ὅτι ἀσπόρως ἐκ γαστρὸς Παρθένου ἐτέχθης, δι' ἧς καὶ σώζεις ἅπαντας, ὡς μόνος πολυέλεος.

Thalamus Christi luciferus, ac thronus altissimus facta es, o Dei genitrix ab omni labe immunis; in te enim cum solus ille requievisset, nostros abstulit labores, et futuram requiem dignis præparavit.

Ἱκετὰς Χριστοῦ φωτοφόρος, καὶ θρόνος ὑψηλότατος, Θεογεννῆτορ, ὤφθης, πανάμωμε· ἐν σοὶ γὰρ μόνος ἀναπαυσάμενος τοὺς ἡμῶν ἀφείλατο κόπους, καὶ τὴν μέλλουσαν τοῖς ἀξίοις ηὐτρέπισεν ἄνεσιν

Salve, Mater viri nescia, quæ Deum Verbum in utero tuo continuisti, atque incarnatum peperisti, tanquam Deum simul et hominem.

Χαίροις, Μῆτερ ἀπειρόγαμε, ἡ Θεὸν Λόγον ἐν γαστρί σου χωρήσασα, καὶ τεκοῦσα σεσαρκωμένον, ὡς Θεὸν ὁμοῦ καὶ ἄνθρωπον. D

Angelis eminentior apparuisti, o Domina; eum namque qui illis est formidabilis, ineffabiliter in utero continere digna facta es, et tanquam infantem in manibus gestare illum, qui dies omnes ac tempora præcedit.

Ὑπερέχουσα ἀγγέλων ὑπερέχουσα, Δέσποινα· τὸν γὰρ ἐκείνοις φοβερὸν ἀνερμηνεύτως ἐν γαστρὶ χωρῆσαι ἠξίωσαι, καὶ ἐν χερσὶ βαστάσαι καθάπερ νήπιον τὸν ἡμερῶν τε καὶ χρόνων ἐπέκεινα.

Ave, o Deipara innupta, quæ Cherubicis ordinibus sublimior fuisti, et Deum incarnatum in ulnis vectum gestasti.

Χαῖρε, Θεοτόκε ἀνύμφευτε, χερουβικῶν ταγμάτων ὑπερέχουσα, καὶ Θεὸν ἐν ἀγκάλαις ἐποχούμενον μετὰ σαρκὸς βαστάσασα.

Supra verbi conceptum, Verbum concepisti ac peperisti, o omnibus laudibus celebranda, quod Pater ex utero ante sæcula generavit. Unde te, o inviolata, tanquam illius Matrem pro debito beatam appellamus.

Συνέλαβες ὑπὲρ λόγον τὸν Λόγον, καὶ ἔτεκες, πανύμνητε, ὃν Πατὴρ ἐκ γαστρὸς ἀπεγέννησε πρὸ αἰώνων, ἄχραντε· ὅθεν ὡς τούτου σε Μητέρα χρεωστικῶς μακαρίζομεν.

Quis valeat explicare, o casta, admirabilem par-

Τίς ἐξειπεῖν δυνήσεται τοῦ τόκου σου, ἁγνὴ, τὸν

Digitized by Google

ὑπὲρ λόγον παράδοξον τρόπον; φύσει γὰρ Θεὸν σε- A tus tui **208** rationem, quæ omni ratione est superior? Eum namque qui suapte natura Deus erat, supra verbi conceptum, incarnatum peperisti.

σαρκωμένον ὑπὲρ λόγον ἐκύησας.

Ὑμνοῦμέν σε δι' ἧς ἐδικαιώθημεν οἱ πρότερον κατάκριτοι, καὶ συνήφθημεν ἀΰλοις λειτουργοῖς καὶ τοῦ παραδείσου ἠξιώθημεν, ἐν γυναιξὶν εὐλογημένη θεοχαρίτωτε.

Δυσώπησον ὑπὲρ τῶν οἰκετῶν σου, Θεόνυμφε Θεοτόκε, τὸν ἐκ σοῦ σαρκωθέντα, Θεὸν ἡμῶν, ὅτι σὲ καὶ μόνην προστασίαν πιστοὶ ἐπιστάμεθα.

Ῥῦσαι ἡμᾶς πειρασμῶν, καὶ θλίψεων, καὶ συμφορῶν παντοδαπῶν, καὶ Βαρβάρων ἐπιδρομῆς, Δέσποινα πανύμνητε, ὅπως σε δοξάζωμεν, καὶ τὸν ἐκ σοῦ τεχθέντα, Θεόνυμφε, τὸν αἰνετὸν τῶν πατέρων Θεὸν καὶ ὑπερένδοξον. B

Ἐν τῇ ἀφλέκτῳ βάτῳ, καὶ δροσοβόλῳ καμίνῳ σὺ προεγράφης, Μητροπάρθενε, ἀφράστως κυήσασα σεσαρκωμένον Θεὸν, ἁγνὴ εὐλογημένη.

Σὲ καὶ τεῖχος, καὶ καταφυγὴν, καὶ κλίμακα πρὸς ὕψος μετάγουσαν τὸ ἀνθρώπινον, πανάμωμε ἁγνὴ, εἰδότες κραυγάζομεν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, ὑμνεῖτε...

Σῶσόν με, ἁγνὴ, ἡ τὸν Σωτῆρα ἀποκυήσασα Χριστὸν, ἡμῖν ὁμοιωθέντα, ὅπως ἐν αἰνέσει σε ἀεὶ μακαρίζωμεν, εὐλογημένη.

Φέρεις τὸν τὰ πάντα φέροντα, καὶ γαλουχεῖς τὸν πᾶσι τροφὴν παρέχοντα, μέγα καὶ φρικτὸν τὸ ὑπὲρ νοῦν σου μυστήριον, Κιβωτὲ τοῦ σεπτοῦ ἁγιάσματος, C Παρθένε Θεοτόκε, ὅθεν πιστῶς σε μακαρίζομεν.

Φωτὸς οἰκητήριον, ἁγνὴ, γεγένησαι· διὰ τοῦτο ἱκετεύω σε, φώτισον, δέομαι, τὰς κόρας τῆς τεταπεινωμένης καρδίας μου παθῶν ταῖς χαλεπαῖς ἀμαυρότησιν, ὅπως ἐν πίστει μακαρίζω σε.

tus tui **208** rationem, quæ omni ratione est superior? Eum namque qui suapte natura Deus erat, supra verbi conceptum, incarnatum peperisti.

Laudamus te, o benedicta inter mulieres, Deo gratissima, per quam nos antea damnati justificati sumus, et immaterialibus ministris cooptati, ac paradiso digni facti sumus.

Exora, o Dei Sponsa Deipara, pro famulis tuis, Deum nostrum, qui ex te incarnatus est: te enim unicum patrocinium nostrum nos fideles agnoscimus.

Libera nos, o Domina, summe laudanda, a tentationibus, tribulationibus, omnigenis calamitatibus, atque a Barbarorum incursu: ut te, o Dei Sponsa, glorificemus, atque illum, qui ex te natus B est, laudabilem ac supergloriosum Deum patrum nostrorum.

In rubo incombusto, et in fornace rore perfusa, tu præfigurata es, o Mater Virgo casta, ac benedicta, quæ Deum incarnatum ineffabiliter genuisti.

Te murum, refugium, et scalam, quæ ducit ad sublimitatem humanum genus, agnoscentes, o casta ab omni labe immunis, clamamus: Benedicite, omnia opera Domini, Dominum, laudate, etc.

Salvum me fac, o casta, quæ Christum Salvatorem, factum nobis similem peperisti, ut cum laudibus te semper beatificemus, o benedicta.

Portas eum qui portat universa, et lacte nutris eum, qui dat omnibus escam. Magnum ac formidabile mysterium tuum, quod omnem mentem transcendit, o Arca venerandæ sanctificationis, Virgo C Deipara: unde te fideliter beatificamus.

Lucis habitaculum facta es, o casta, quamobrem te precor, illumina, quæso, pupillas miserabilis cordis mei, graviter a passionibus obscuratas, ut te cum fide beatificem.

ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους Ἀναργύρους Κοσμᾶν καὶ Δαμιανὸν, ἡμέρᾳ α'.

Σωτῆρα καὶ Θεὸν ἐξ ἁγνῶν σου αἱμάτων ἐσωμάτωσας, ἁγνὴ, τὸν δείξαντα ἡμῖν ἰατροὺς τῶν παθῶν ἡμῶν, ἄχραντε, σωτηριώδεις, καὶ θερμοὺς ἀντιλήπτορας τοὺς σεπτοὺς Ἀναργύρους ἐν πνεύματι. D

Ὡραιοτάτην ἐν γυναιξὶ σε Θεὸς ἐξελέξατο, καὶ ἐκ σοῦ σωματικῶς, ἁγνὴ, τεχθῆναι ἠὐδόκησεν, ὁ ἀναπαυόμενος ἐν τοῖς ἁγίοις αὐτοῦ.

Συμπαθείας με, Παρθένε, τῆς ἐν σοὶ καταξίωσον, ἡ τεκοῦσα Λόγον μόνον ἀληθῶς συμπαθέστατον, τὸν συμπαθεῖς τοὺς ἁγίους ἀναδείξαντα ἰατῆρας καὶ θαυματουργοὺς ἐν τοῖς τέρασιν.

Σοφίαν ἐκύησας Θεοῦ τὴν ἐνυπόστατον, ἄχραντε Παρθένε Θεοτόκε, τὴν τοὺς ἁγίους πανσόφους δείξασαν, δι' ὧν τῆς κακίας σοφιστοῦ πέπτωκε τὸ φρύαγμα καὶ δεινὰ πανουργεύματα.

Ναόν σε καθαρὸν ἀπειργάσατο, Δέσποινα, ὁ καθα-

209 MENSIS NOVEMBER.

Ex Canone in festo SS. Cosmæ et Damiani martyrum Anargyrorum, die 1.

Salvatorem ac Deum ex puris sanguinibus tuis corporasti, o casta atque immaculata; qui venerandos in spiritu Anargyros, salutares passionum nostrarum medicos, ac ferventes defensores D effecit.

Te speciosissimam inter mulieres Deus elegit, o casta, et ex te corporaliter nasci sibi complacuit ille qui requiescit in sanctis suis.

Compassione illa, quæ est in te, dignum me fac, o Virgo, quæ Verbum peperisti, solum vere summa compassione plenum, qui medicos ac thaumaturgos in prodigiis, compassionis in nos compotes effecit.

Sapientiam Dei subsistentem genuisti, o inviolata Virgo Deipara, quæ sanctos sapientissimos effecit; per quos maligni sophistæ jactantia et hostiles astus ceciderunt.

Templum purum effecit te, Domina, purissimum

Digitized by Google

Verbum, quod divinam Anargyrorum domum semper signis prodigiisque magnificat.

Virga de radice Jesse tu germinasti, o Maria; ex qua flos Christus effloruit, qui Anargyros famulos suos, miraculis tanquam floribus decoravit.

Mortua est mors in te, vitam enim subsistentem Christum ac Dominum peperisti, o inviolata, qui protectores vitæ nostræ constituit Anargyros medicos, clamantes : Benedicite, omnia opera Domini, Dominum.

210 Lucis habitaculum facta es, o casta, quæ universa illustravit, et sanctos luciferos effecit, qui nunc dispellunt spirituales tenebras mortiferarum passionum, o inviolata, sola omni laude dignissima.

Ex Canone in festo SS. martyrum Acepsimæ, Æthalæ, et Josephi, die 4.

Tu quæ Deum incomprehensibilem, corpore circumscriptum peperisti, carnem factum ob excessum bonitatis suæ, eumdem deprecare, o Virgo, ut servos tuos a periculis eripiat

Ex te ortus est nobis sol inocciduus, o immaculatissima, qui lumine radiorum suorum illustrat mundum, tenebris occupatum, et inimici fraude pereuntem, o sanctissima Virgo, Dei sponsa.

Sanctorum martyrum sacrum ornamentum vere facta es, o Virgo, et fidelium refugium, murus, fulcimentum, ac perfecta redemptio; propterea te magna voce glorificamus.

Qui te virginem incorruptam, qualis ante partum fueras, conservavit, o purissima, cum habitasset sine semine in utero tuo, duplex inde processit, Deus scilicet et homo, deificans id quod assumpserat propter bonitatem suam.

Peremptus est hostis vivifico partu tuo, o Virgo inviolata, et ad vitam revocatus est Adam olim ob inobedientiam peremptus degustato fructu : unde te laudat ac beatificat, o immaculatissima.

Divinum hierarcharum ornamentum, et martyrum gloriosorum corona vere facta es, o summe immaculata, ac robur eorum omnium qui semper concinunt : Laudabilis ac supergloriosus Deus patrum nostrorum.

211 Te olim Jacob scalam vidit, o Virgo; per quam quidem supersubstantialis descendit in terram, nos vero in excelsum transduxit. Illum incessanter laudamus, o Dei para, et superexaltamus in omnia secula.

Formidabile partus tui mysterium exprimere lingua nullatenus potest; etenim cœli atque omnium creaturarum Dominum corporasti, o casta Virgo mater, a qua ille carnem emendicavit; unde concordi voce te glorificamus.

Ex Canone duplici in festo S. Joannicii Magni, et SS. Nicandri episcopi, et Hermæi presbyteri, die 4.

Eorum qui ceciderunt revocatio, et eorum qui

ρώτατος Λόγος, ὁ τὸν Θεῖον οἶκον τῶν Ἀναργύρων μεγαλύνων ἐν σημείοις καὶ τέρασι πάντοτε.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ σὺ ἀνεβλάστησας, ἄνθος τὸν Χριστὸν βλαστήσασα, Μαρία, τὸν ὡς ἄνθεσι τοῖς θαύμασι καθωραΐσαντα τοὺς αὐτοῦ ἀναργύρους Θεράποντας.

Νεκροῦται ὁ θάνατος ἐν σοί· ζωὴν γὰρ ἔτεκες ἐνυπόστατον Χριστὸν τὸν Κύριον, ἄχραντε, τὸν προστάτας τῆς ζωῆς ἡμῶν τοὺς ἀναργύρους ἰατροὺς βροῶντας δείξαντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Φωτὸς οἰκητήριον, ἁγνὴ, γεγένησαι, τοῦ τὰ πάντα καταυγάσαντος, καὶ φωτοφόρους τοὺς ἁγίους δεικνύντος, νῦν τὸ σκότος ἐξαίροντας παθῶν τῶν ψυχοφθόρων ἐν πνεύματι, ἄχραντε, μόνη πολυύμνητε.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Ἀκεψιμᾶν, Αἰθαλᾶν καὶ Ἰωσὴφ, ἡμέρᾳ γ'.

Ἡ τὸν ἀπερίληπτον Θεὸν περιγραφόμενον σώματι τέξασα, σάρκα χρηματίσαντα ὑπερβολῇ, Παρθένε ἀγαθότητος, τοῦτον ἐκδυσώπει κινδύνων σῶσαι τοὺς δούλους σου.

Ἐκ σοῦ ἀνατέταλκεν ἡμῖν ὁ ἥλιος ὁ ἄδυτος φωτιστικαῖς, πανάμωμε, λάμψεσι φωτίζων κόσμον σκότει κρατούμενον, καὶ προσαπολλύμενον πλάνῃ τοῦ ἀλάστορος, παναγία, Παρθένε Θεόνυμφε.

Ἁγίων μαρτύρων ἱερὸν ἐγκαλλώπισμα ὤφθης, Παρθένε, ἀληθῶς, καὶ τῶν πιστῶν καταφυγὴ, τεῖχός τε καὶ στήριγμα, καὶ παντελὴς ἀπολύτρωσις· μεγαλοφώνως διό σε δοξάζομεν.

Τηρήσας σε ὡς πρὸ τόκου παρθένον ἀκήρατον, πανάμωμε, οἰκήσας ἀσπόρως ἐν μήτρᾳ σου, διπλοῦς προελήλυθε Θεὸς καὶ ἄνθρωπος, θεώσας τὸ προσληφθὲν ἀγαθότητι.

Νενέκρωται ἐχθρὸς τῷ ζωηφόρῳ σου, Παρθένε, τόκῳ, ἄχραντε, καὶ ἐζώωται Ἀδὰμ παρακοῇ πάλαι νεκρωθεὶς, καρποῦ γευσάμενος· ὅθεν σε ὑμνεῖ καὶ μακαρίζει, παναμώμητε.

Ἱεραρχῶν θεῖον ἐγκαλλώπισμα, καὶ ἀθλοφόρων εὐκλεῶν, παναμώμητε, ἀληθῶς στέφανος γεγένησαι, πάντων τὸ κραταίωμα τῶν μελῳδούντων ἑκάστοτε· Ὁ αἰνετὸς πατέρων Θεὸς καὶ ὑπερένδοξος

Ἰακὼβ σε κλίμακά ποτε ἑώρακε, Παρθένε, δι' ἧς μὲν ὁ ὑπερούσιος κατῆλθεν ἐπὶ γῆς, ἡμᾶς δὲ ἀνήγαγε πρὸς τὸ ὕψος· τοῦτον ἀπαύστως ὑμνοῦμεν, Θεοτόκε, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Φράσαι τὸ φρικτὸν μυστήριον τοῦ τοκετοῦ σου γλῶσσα ὅλως οὐ δύναται· τὸν γὰρ οὐρανοῦ καὶ πάσης κτίσεως Κύριον ἐσωμάτωσας σάρκα πτωχεύσαντα, ἁγνὴ Παρθενομῆτορ· ὅθεν συμφώνως σε δοξάζομεν.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ὅσιον Ἰωαννίκιον τὸν Μέγαν, καὶ τοὺς ἁγίους ἱερομάρτυρας Νίκανδρον ἐπίσκοπον, καὶ Ἑρμαῖον πρεσβύτερον, ἡμέρᾳ δ'.

Πεσόντων· ἀνάκλησις, καὶ ἱσταμένων βεβαίωσις

Digitized by Google

ὑπάρχεις, πανάμωμε, ὅθεν σοῦ δέομαι, συμπτωθέντα μου τὸν νοῦν τῇ ἁμαρτίᾳ ἀνόρθωσον, Δέσποινα, ὅπως δοξάζω σε.

Ὁ ἀπερίγραπτος κόλποις Πατρὸς, κόλποις τῆς Μητρὸς σαρκικῶς περιγράφεται Χριστὸς, μετὰ γέννησιν ταύτην ἀληθῆ παρθένον ὑπὲρ νοῦν διαφυλάξας, ᾧ μεγαλοφώνως βοῶμεν· Ἄτομεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ῥανίσιν ἐλέους σου, Παρθένε, τοὺς ἀνθρακας σβέσον τῶν ἐμῶν ἁμαρτημάτων, πάναγνε, καὶ ἐσβεσμένον ἅναψον τὸν λύχνον τῆς καρδίας μου χρυσῇ λυχνίᾳ, πανάμωμε.

Νοῦς οὐδὲ οὐράνιος τὴν ὑπὲρ νοῦν σου λοχείαν διερμηνεύει, Κόρη· νοῦ γὰρ τοῦ πρώτου ἐν γαστρὶ Λόγον, ἁγνὴ, συνέλαβες τὸν τὰ πάντα λόγῳ συστησάμενον.

Σὲ τὸ ἱλαστήριον πάντων βροτῶν πίστει ἱκετεύω καὶ δέομαι, εὐλογημένη, ἱλεών μοι τὸν κριτὴν τὸν σὸν Υἱὸν ἀπέργασαι, ὅπως καταχρέως δοξάζω σε.

Ἐπὶ θρόνου ἐπηρμένου φοβερῶς ὁ καθήμενος μητρικαῖς ἀγκάλαις βρέφος χρηματίσας καθέζεται, τὴν συμπτωθεῖσαν εἰκόνα ἀνορθούμενος, καὶ τὴν θέωσιν τοῖς ἐξ Ἀδὰμ χαριζόμενος.

Νοός μου θεράπευσον τὰς ἐκτροπὰς, πανάμωμε, ἴασαι τὰ πάθη τῆς ψυχῆς μου, τῆς ῥᾳθυμίας σκότος ἀπέλασον, ὅπως ἐν αἰνέσει σε ὑμνῶ τὴν ἀειμακάριστον, Θεοτόκε πανύμνητε.

Ἡ τὸν Ἀμνὸν καὶ Κύριον κυήσασα σαρκὶ, Παρθένε, μόνη ἀμόλυντε, σεμνὴ, θεία κιβωτὲ, σεπτὴ λυχνία, τὴν ψυχήν μου καταύγασον.

Ἡ μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι, καὶ χεῖρα δρεξον, καὶ πρὸς λιμένας ἐμβίβασον τῆς σωτηρίας, Κόρη θεοχαρίτωτε.

Ἠφάνισας τῆς προμήτορος, Κόρη, τὸ ὄνειδος, εὐλογίαις τὸν ἡμᾶς στεφανοῦντα κυήσασα, καὶ τὴν λύπην ταύτης εἰς χαρὰν, ἀγαθὴ, μετενήνοχας.

Ἀναλλοίωτον τεκοῦσα μόνη Κύριον, θεοχαρίτωτε, τῇ δεξιᾷ αὐτοῦ, ἁγνὴ, ἀλλοιῶσαί μου τὸν νοῦν ἱκέτευε πρὸς τὰ κρείττονα, δεινῶς περιτρεπόμενον ταῖς τοῦ βίου ἀσχολίαις.

Σωματωθέντα Λόγον ἀνερμηνεύτως τέκτεις, ἁγνὴ Παρθένε, τοὺς κραυγάζοντας θανάτου λυτρούμενον· Ὁ τῶν πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Ὡράθης ἀγγέλων ὑπερτέρα, Θεὸν ἀπορρήτως σωματώσασα· τοῦτον οὖν ἱκέτευε, Δέσποινα πανάμωμε, τῶν σαρκικῶν ἀνώτερον παθῶν γενέσθαι με νοὸς ἐν ὑψηλῇ ταπεινώσει ἀνυμνολογοῦντα τὴν σὴν μεγίστην χάριν.

Τῶν κακῶν μου τὸ πέλαγος ξήρανον, εὐσπλαγχνίας κυήσασα πέλαγος τὸν Λυτρωτὴν καὶ Κύριον, ᾧ βοῶμεν, Παρθένε· Πάντα τὰ ἔργα, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Φώτισον, ἁγνὴ, ψυχῆς μου τὰ ὄμματα, φῶς ἡ κυήσασα, μὴ καταλαβέτω με τῆς ἁμαρτίας σκότος βαθύτατον, μὴ δὲ βυθὸς καλύψῃ με τῆς ἀπογνώσεως,

A stant confirmatio es, o immunis ab omni macula; unde te precor, o Domina, erige mentem meam peccato collapsam, ut glorificem te.

Incircumscriptus in sinu Patris, in Matris sinu secundum carnem Christus circumscribitur, conservans illam supra mentis captum, virginem veram post partum: ad quem magna voce clamamus: Cantemus Deo nostro, quoniam glorificatus est.

Stillis misericordiæ tuæ, o Virgo castissima, exstingue carbones peccatorum meorum; et lychnum cordis mei exstinctum accende, o lucerna aurea, immaculatissima.

Ne cœlestis quidem mens partum tuum, qui omnem superat mentem, explicare valet, o puella casta. Primæ enim mentis Verbum, quod omnia B verbo statuit, in utero tuo concepisti.

Te omnium hominum propitiatorem cum fide rogo ac deprecor, o benedicta: propitium mihi redde Judicem Filium tuum, ut te pro debito glorificem.

Qui super thronum elevatum terribiliter sedet, in 212 ulnis maternis, factus infans, residet, erigens imaginem collapsam, et deificationem filiis Adæ gratiose impertiens.

Mentis meæ evagationes cura, o purissima; passionibus animæ meæ medere; negligentiæ tenebras expelle; ut te semper beatissimam laudibus celebrare possim, o Deipara omni laude dignissima.

O Virgo puella, immaculata, ac veneranda, quæ C Agnum ac Dominum in carne peperisti; o arca divina, o candelabrum venerabile, illumina animam meam.

O puella, divina gratia cumulatissima, quæ sola es omnium auxilium, auxiliare nobis periclitantibus, et manum nobis porrigens ad portum salutis deduc nos.

Dedecus primæ Matris abolevisti, o puella, illum enixa, qui nos benedictionibus coronat; et mœrorem ejus in gaudium, o benignissima, commutasti.

O casta, Deo charissima, quæ sola immutabilem Dominum peperisti, precare ut dextera sua mutet mentem meam ad meliora, quæ graviter vitæ occupationibus circumvolvitur.

Verbum corporatum inexplicabili modo peperisti, D o Virgo casta, quod redimit a morte eos, qui clamant: Benedictus es, Deus patrum nostrorum.

Apparuisti angelis sublimior cum Deum ineffabiliter corporasti. Eumdem ergo deprecare, o Domina ab omni labe pura, ut me carnalibus passionibus superiorem efficiat, in sublimi mentis humilitate hymnis celebrantem maximam gratiam.

Malorum meorum pelagum exsicca, o Virgo, tu quæ misericordiæ pelagum Redemptorem ac Dominum peperisti, cui vociferamur: Benedicite, omnia opera, et laudate Dominum.

Illumina, o casta, oculos mentis meæ, tu quæ lucem peperisti; ne me profundissimæ peccati tenebræ deprehendant, neque desperationis abyssus

Digitized by Google

absorbeat me : sed tu **213** salvum me fac, atque ad portum divinæ voluntatis gubernatrix esto mihi.

A ἀλλ' αὐτή με σῶσον καὶ κυβέρνησον πρὸς λιμένα τοῦ θείου θελήματος.

Luce tua irradia me, o munda ab omni nævo, quæ lucem inaccessibilem peperisti; dissipa nubila animæ meæ, et a tenebris eripe me, obsecro, divinæque salutis dignum fac me, ut laudem te omni laude dignissimam.

Φωτί με καταύγασον τῷ σῷ, πανάμωμε, ἡ τεκοῦσα φῶς ἀπρόσιτον, λῦσον τὰ νέφη τῆς ψυχῆς μου, καὶ σκότους με ἐξάρπασον, δέομαι, καὶ θείας σωτηρίας ἀξίωσον, ἵνα ὑμνῶ σε τὴν πανύμνητον.

Ex Canone in SS. Galationem et Epistemen (92**), *die* 5.

Præsidium tribulatorum, salus et spes desperatorum, Deipara omni laude celebranda, impensis precibus ora pro nobis, ut a periculis liberemur.

Peperisti in tempore temporis expertem, o sanctissima, hominem factum propter salutem hominum.

Dissolve cordi meo circumfusam nubem, o castissima; evibra in me radium veræ pœnitentiæ, o porta lucis benedicta, atque omnimoda puritate exornata, et concede, ut sicut in die honeste ambulem in præceptis Dei.

B

Cum universis supernis ac cœlestibus ordinibus, nos omnes Deiparam puellam, per eamdem consecuti salutem, magna voce beatificemus.

Me noxiis affectionibus peremptum ac mortuum vivifica, o puella, quæ vitam illam peperisti, a qua universa mortis vis et potentia dissoluta est.

Tanquam pretiosissimum ac sublimissimum thronum Dei altissimi laudemus, o populi, illam quæ sola post partum mater fuit et virgo.

Lingua terrigenarum nequaquam sufficit ad laudandam te, quæ Dei genitrix facta es, o Dominipara, et Virgo immaculatissima, atque Christianorum confugium.

Tu es, o Deipara, arma nostra et murus : tu præsidium et defensio recurrentium ad te : et nunc te oratricem nostram constituimus, ut ab hostibus nostris liberemur.

214 *Ex Canone in SS. Mart. Auctum, Taurionem, et Thessalonicam, die* 7.

Altitudinem tremendi mysterii tui, et profunditatem illius incomprehensibilem, quis valeat, o Virgo, verbis explicare? Deum enim peperisti hominem factum citra omnem causam et rationem.

C

processit ex utero tuo, et cum humanam naturam speciosam reddidisset, divina cognitione illustravit, ac malitiæ deformitatem abstulit, o Virgo sponsa Dei.

Ad te semper confugio, o Domina, multitudine tentationum per singulos dies circumdatus. Miserere mei et salva me, o sola omni laude dignissima, quæ Salvatorem ac Dominum universorum peperisti.

Animam meam pessimis peccati jaculis vulneratam miserare : mentem meam graviter transgressionibus obscuratam illumina, Domina Deipara, quæ lucis datorem Christum peperisti.

Peccatorum tempestate deprehensum, et in discrimine constitutum, rege me, o Deipara, tanquam gubernatrix, et ad tranquillum compunctionis portum dirige.

Animam meam passionibus, plurimisque peccatis peremptam, vitæ restitue, o Virgo inviolata, quæ Vitam genuisti, quæ per mortem et passionem suam, omnes mortis vires dissolvit; et concede mihi, ut grato corde concinam : O populus, superexaltate, etc.

Gravissima peccatorum sarcina undequaque premor; et clamo ad te, o castissima, ut ab hac me sublevare digneris, et imponere mihi jugum leve filii quod sine impedimento feram, divina intercessione tua, o sola ab omni labe mundissima.

215 Illumina, porta lucis, animam meam, quam inimicus peccatorum tenebris obscuravit : et ab omnibus hujus vitæ perturbationibus, ac tenebris perpetuis, atque ab igne, et verme libera me, ut glorificem te, o Deipara, hominum revocatio.

D

Verbum, sponsus speciosus tanquam ex thalamo

Ex Canone in S. Michaelem archangelum, die 8

Virgo omni laude cumulata, angelorum decus, hominum auxilium, tu mihi affer opem fluctibus jactato, atque peccati tempestate semper agitato ac pene demerso, atque in summo discrimine versanti.

Qui voluntate sua immateriales condidit mentes, in utero tuo materiali voluntarie habitavit, o immaculatissima, atque in carne apparuit homo visibilis, qui erat invisibilis.

Partus tui mysterium admirandum intellectualiter docebatur olim sacer Vates, in spiritu videns te apertissime montem umbrosum, ex quo Deus sanctus venit corporatus.

Intellectualibus angelis sublimiorem te Deus ostendit, ingressus in uterum tuum; quem deprecare, o tota pura et inviolata, semper pro salute animarum nostrarum.

Beatus populus, qui semper beatificat te, o beata, quæ Deum beatum peperisti, qui ineffabili unione misericorditer homines deificavit.

Mentis magnæ Verbum æternum cum in te, o puella, vere ineffabili ac stupenda ratione inhabi-

(92**) Deest, ut sequentes duo, in Menæis impressis.

Digitized by Google

tasse vidisset archangelus Gabriel, exclamavit : Ave, o benedicta, thronus Altissimi.

Pronubus divinus archangelus astans clamavit ad te : Ave, sponsa Dei innupta, angelorum gloria, atque hominum **216** salus et munimentum.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Ὀνησιφόρον καὶ Πορφύριον, καὶ τὰς ὁσίας Ματρώνην καὶ Θεοκτίστην, ἡμέρᾳ θ'.

Ἔστησας θανάτου τὴν τυραννίδα, ἀθανασίαν καὶ ζωὴν τῷ κόσμῳ κυήσασα, Χριστὸν τὸν Λυτρωτὴν ἡμῶν, Παρθένε ἀπειρόγαμε.

Ἡ κυήσασα κόσμῳ θείαν σωτηρίαν καὶ ἀνάκλησιν, ταῖς πρεσβείαις σου σῶζε τοὺς πιστῶς σοι προστρέχοντας, ἄχραντε.

Νεῦσον, πάναγνε, σωθῆναί με· τὸν γὰρ θείῳ νεύματι τὸ πᾶν περιάγοντα ἐσωμάτωσας Θεὸν Λόγον ὑπὲρ λόγον καὶ διάνοιαν.

Ἥνωται ἐν μήτρᾳ σου ὁ Πλαστουργὸς σαρκί, πάναγνε, μείνας ὅ ἦν, ὅπως τὸ εὖ εἶναι τοῖς ἀνθρώποις δωρήσηται.

Σωματούμενον ἐκύησας Θεὸν Λόγον, ὁμοιωθῆναι, Κόρη, διὰ σπλάγχνα ἐλέους πᾶσιν εὐδοκήσαντα, πανάμωμε Δέσποινα.

Οὐ λιπὼν τὰ οὐράνια, ἄχραντε, κενοῦται Θεὸς ἐν μήτρᾳ σου, καὶ μετρεῖται ὁ ἀμέτρητος τὰ ἀμέτρητά μου λύων πταίσματα.

Ἐνῴκησεν ἐν σοὶ χωρηθεὶς ὁ ἀχώρητος, καὶ ἔδειξεν οὐρανῶν σε πλατυτέραν, Παρθένε· διό σε μακαρίζομεν.

Νεκρῶν τε καὶ τῶν ζώντων Δεσπότην ἀποτεκοῦσα, τὰ πάθη, πανάμωμε, τὰ τῆς σαρκός μου θανάτωσον.

Νομίμων δίχα φύσεως, Παρθένε, τὸν νομοδότην τέτοκας, ἀναπλάττοντα τὴν συντριβεῖσαν φύσιν ἡμῶν, ὃν δυσώπει σῶσαί με ἁμαρτίαις συντριβόμενον.

Δεδούλωτο ἁμαρτίᾳ ἡ φύσις τῶν ἀνθρώπων, ἀλλὰ ταύτην ἐρρύσω τῆς πονηρᾶς, Θεοτόκε, δουλείας τὸν τῶν ἁπάντων Δεσπότην κυήσασα τὸν δείξαντα πᾶσιν ἡμῖν τῆς ζωῆς τὰς εἰσόδους, πανάμωμε.

Σεσαρκωμένον Λόγον σῶν ἐξ αἱμάτων τέκτεις βροτοὺς θεῶσαι εὐδοκήσαντα, Παρθένε, τοὺς μέλποντας· Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Λύουσα Εὔας τὴν κατάραν, παναμώμητε, ἐγέννησας, Παρθένε, τὸν τῶν ὅλων Θεόν, ἀφράστως συλλαβοῦσα, καὶ ὑπὲρ νοῦν κυήσασα σωτηρίαν τοῖς ἀνθρώποις.

Ῥόδον ἐκλεκτὸν ἐν ταῖς κοιλάσι, Κόρη, τοῦ βίου εὑρηκώς, ἠράσθη σου τοῦ κάλλους Λόγος τοῦ Θεοῦ, καὶ σαρκωθεὶς εὐωδίασε τὴν οἰκουμένην.

Ἰδοὺ ἡ Παρθένος, ὥς φησιν ἐν πνεύματι ὁ Ἡσαΐας, ἔσχεν ἐν κοιλίᾳ τὸν ἡμᾶς ῥυσάμενον ᾅδου κοιλίας εὐσεβῶς βοῶντας· Ὑμνεῖτε τὸν Κύριον καὶ ὑπερυψοῦτε.

Φορέσας με ὅλον ἐκ τῶν σῶν θείων αἱμάτων

Ad vocem angeli Gabrielis concepisti Deum Verbum, o intemeratissima, qui verbo super nos exercitus creavit, et verbum præstat, quo laudare possimus sanctam illius condescensionem, quæ est super omne verbum et cogitationem.

Ex Canone duplici in festo SS. Onesiphori et Porphyrii martyrum et sanctarum Matronæ ac Theoctistæ, die 9.

Finem imposuisti mortis tyrannidi, o Virgo viri nescia, mundo immortalitatem ac vitam genuisti, Christum scilicet Redemptorem nostrum.

O inviolata, quæ divinam salutem ac reparationem mundo peperisti, salva intercessionibus tuis eos qui fideliter recurrunt ad te.

Annue, o castissima, saluti meæ : etenim nutu divino universa circumagentem Deum Verbum supra verbi mentisque conceptum corporasti.

Unitus est in utero tuo carni Creator, o castissima, manens id quod erat, ut hominibus felicitatem vitæ largiretur.

Deum Verbum corporatum peperisti, o puella ac Domina immaculatissima, cui placitum fuit omnibus assimilari propter viscera misericordiæ suæ.

Non relinquens cœlestia exinanitus est Deus in utero tuo, o inviolata, et immensus mensuratus est immensa peccata diminuens.

Habitavit in te comprehensus incomprehensibilis, et effecit te cœlis latiorem, o Virgo. Propterea beatam te dicimus.

Mortuorum ac viventium Dominum enixa, passiones carnis meæ mortifica, o immunis ab omni macula.

217 Præter consuetas naturæ leges peperisti, o Virgo, legislatorem, qui naturam nostram contritam reformavit. Eumdem depreceare, ut mihi a peccatis contrito salutem concedat.

In servitutem peccati redacta est natura hominum ; at tu, o Deipara, illam a pessima servitute redemisti, Dominum universorum enixa, o immaculatissima, qui omnibus nobis vitæ aditus demonstravit.

Incarnatum Verbum ex tuis sanguinibus peperisti, o Virgo ; cui placitum fuit deificare homines qui concinunt : Benedictus es, Deus patrum nostrorum.

Solvens Evæ maledictionem, genuisti, o inviolatissima, omnium Deum ; quem ineffabiliter concepisti, atque inexcogitabiliter peperisti in hominum salutem.

Cum te, o puella, rosam electam in convallibus vitæ Verbum Dei invenisset, pulchritudinis tuæ amore captum est, et incarnatum, odore replevit orbem terrarum.

Ecce Virgo, quemadmodum in spiritu dixit Isaias, in utero habuit illum qui nos ab inferorum utero redemit, religiose canentes : Laudate Dominum, et superexaltate, etc.

Ferens me totum tanquam vestem ex tuis divinis

Digitized by Google

sanguinibus, o intemeratissima, tanquam sponsus Dominus processit; et lacte tuo nutritus est, qui consilio suo nutrit omnes creaturas, o benedicta semper Virgo.

O puella, quæ manibus tuis illum tulisti, qui nutu fert universa, libera me a manu alieni mediatione tua, et luce tua illumina mentem meam, et alienum fac me a passionibus quæ impudenter oppugnant me.

A προέρχεται ὡς νυμφίος, παναμώμητε, ὁ Δεσπότης, καὶ γάλακτι ἐκτρέφεται ἅπασαν τὴν κτίσιν διατρέφων βουλήματι, εὐλογημένη Ἀειπάρθενε.

Φέρουσα, Κόρη, ταῖς χερσὶ τὸν τὰ σύμπαντα τῷ νεύματι φέροντα, χειρός με λύτρωσαι τοῦ ἀλλοτρίου τῇ μεσιτείᾳ σου, καὶ τῷ φωτί σου τὴν ἐμὴν διάνοιαν φώτισον, καὶ ἀλλοτρίωσον τῶν παθῶν τῶν ἀναιδῶς πολεμούντων με.

218 *Ex Canone in festo SS. apostolorum Olympæ, Rhodionis, Sosipatri, etc., die* 10.

Genus humanum partu tuo reformasti, o Virgo: Verbum namque Patris genuisti, quod carnem mortalem gestavit, et vias immortalitatis nobis ostendit.

B Unigenitum Patris Filium, qui prius fuerat sine matre, nunc ex te sine patre natum agnoscentes, Dei matrem te confitemur, quæ sine dolore peperisti, et virgo permansisti ratione ineffabili, o Dei sponsa Maria.

Miracula superavit universa miraculum illud novum, quod in te, o purissima, manifeste factum est: Deum enim corporaliter peperisti, o Dei sponsa, hominibus miserieorditer unitum unione impermista.

Concepisti per verbum Verbum, o illibatissima Deipara, ac supra verbum, factum hominem, peperisti, propterea te verbis divinitus inspiratis assidue beatificamus.

C Tanquam aliud cœlum priori cœlo sublimius factum, te, Domina, glorificamus; quod nobis Solem justitiæ protulit, et profundas ignorantiæ tenebras eliminavit.

Verbum Patris coæternum, hominibus manifestatum, corporasti, o puella, et in carne peperisti hominem factum propter hominis salutem. Laudabilis et supergloriosus Deus patrum.

Urna quæ olim manna ferebat, te, o casta, figurabat: Christum enim, dulcedinem nostram, portasti, o veneranda, et in carne peperisti, qui eripit ab omni amaritudine fœdissimorum peccatorum eos qui superexaltant ipsum in sæcula.

Parce, Domine, populo tuo, a Barbarorum incursu, peccatis, tentationibus, et æterno supplicio D liberans nos per **219** preces sanctissimæ Virginis Genitricis tuæ et gloriosorum apostolorum tuorum.

Ex Canone in SS. Orestem, Menam, Victorem, Vincentium, Stephanidem, et Theodorum Studitam, die 10 (92***).

O laudabilissima, quæ sola supra naturæ ordinem Conditorem et Factorem universi, qui in te naturas innovavit, peperisti, redime me a peccatis, et a tormentis eripe me.

Medica mentem meam pravis affectionibus vitiatam, o inviolata; ac divinæ gratiæ læta luce animam meam perfunde.

Malitiæ turbine exagitatum, et procelloso passionum pelago jactatum salva servum tuum ad te confugientem, o inviolata.

A violentis peccati fluctibus, a passionum ignominia, atque ab omni, quod circumstat, malo, salvos fac servos tuos, o casta.

Mortifica carnis meæ prudentiam, Virgo inviolata, quæ Christum concepisti, qui divina potentia mortuam hominum naturam vivificavit.

Γένος τὸ ἀνθρώπινον τῇ σῇ κυοφορίᾳ, Παρθένε, ἀνέπλασας· Λόγον γὰρ ἐκύησας τὸν τοῦ Πατρὸς, σάρκα θνητὴν φορέσαντα, καὶ ἀθανασίας ὁδοὺς ἡμῖν ὑποδείξαντα.

Υἱὸν τοῦ Πατρὸς μονογενῆ, ἀμήτορα τὸ πρότερον, ἐκ σοῦ τεχθέντα γνόντες ἀπάτορα, Θεοῦ Μητέρα ὁμολογοῦμέν σε, ἀπαθῶς κυήσασαν καὶ παρθένον μείνασαν ὑπὲρ λόγον, Μαρία Θεόνυμφε.

Θαυμάτων ἐπέκεινα ἁπάντων, πανάμωμε, τὸ ἐπὶ σοὶ κενουργηθὲν θαῦμα ἐδείχθη ἐμφανῶς· Θεὸν γὰρ ἐκύησας σωματικῶς, βροτοῖς δ' οἶκτον ἐνούμενον ἐν ἀσυγχύτῳ ἑνώσει, Θεόνυμφε.

Συνέλαβες διὰ λόγου τὸν Λόγον, πανάμωμε, καὶ ἔτεκες ὑπὲρ λόγον γενόμενον, Θεοτόκε, ἄνθρωπον· διό σε λόγοις θεοπνεύστοις διαπαντὸς μακαρίζομεν

Ὡς ἄλλον οὐρανὸν τοῦ πρώην, Δέσποινα, δειχθεῖσαν ὑψηλότερόν σε δοξάζομεν, τὸν Ἥλιον ἡμῖν τῆς δικαιοσύνης ἀνατείλαντα, καὶ τὸ βαθὺ τῆς ἀγνωσίας σκότος διώξαντα.

Τὸν τοῦ Πατρὸς Λόγον συναΐδιον ἐμφανισθέντα τοῖς βροτοῖς ἐσωμάτωσας, καὶ σαρκὶ, Κόρη, ἀπεκύησας ἄνθρωπον γενόμενον, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον. Ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Στάμνος πάλαι φέρουσα, ἁγνὴ, ἐτύπου σε τὸ μάννα· Χριστὸν γὰρ, τὸν γλυκασμὸν ἡμῶν, ἐβάστασας, σεμνὴ, καὶ σαρκὶ ἐκύησας ἐξαίροντα πάσης πικρίας ἀτόπων ἐγκλημάτων τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Φεῖσαι τοῦ λαοῦ σου, Κύριε, ἐπιδρομῆς Βαρβάρων ἡμᾶς λυτρούμενος, καὶ ἁμαρτιῶν, καὶ πειρασμῶν, καὶ κολάσεως αἰωνίου, εὐχαῖς τῆς τεκούσης σε, Παρθένε παναγία, καὶ τῶν ἐνδόξων ἀποστόλων σου.

(92***) Desideratur in Menæis impressis.

Digitized by Google

Verbum Dei, innovatis naturæ legibus, cum esset sine principio, ex puris sanguinibus tuis incarnatum est, o Virgo, supra rationis captum, et factum infans, hominem corruptum redintegravit.

Dominus altissimus, cum esset verus Deus, humanam formam ex te suscepit, o Virgo castissima, atque hominem deificavit, eumque a corruptione ereptum, incorruptione donavit. Quamobrem te universi benedicimus, o Dei sponsa Maria.

Horrescunt angelorum ordines, o immaculata, considerantes mysterium partus tui, quod est supra naturam : **220** Deum enim peperisti, et tanquam filium lactasti eum qui nutrit universa.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον Ἰωάννην τὸν Ἐλεήμονα, ἡμέρᾳ ιβ'.

Ἵνα τοὺς κάτω τοῖς ἄνω συνάψειεν, ὁ μόνος πάντων Θεὸς μήτραν ἀπειρόγαμον ὑπέδυ, καὶ σαρκὸς φανείς· ἐν ὁμοιώματι, τῆς ἔχθρας τὸ μεσότειχον ἐλὼν εἰρήνην ἐμεσίτευσε, καὶ ζωὴν ἐβράβευσε, καὶ θείαν ἀπολύτρωσιν.

Ἐπὶ σοὶ, παναγία, ὁ τοῦ παντὸς αἴτιος δι' ὑπερβολὴν εὐσπλαγχνίας θέλων ἐσκήνωσε, καὶ καθηγίασε τὴν τῶν ἀνθρώπων οὐσίαν παραβάσει πρότερον ἐξωλισθήσασαν.

Ἴασαί μου τὰ τραύματα, Κόρη, τῆς καρδίας, καὶ κατευόδωσον τῆς ψυχῆς μου τὰ κινήματα εἰς Θεοῦ, Παρθένε, τὰ θελήματα.

Τὴν σκοτισθεῖσαν ψυχήν μου ταῖς φιληδονίαις τοῦ βίου, ἁγνὴ πανάμωμε, τῷ φωτὶ τῷ σῷ ταύτην καταύγασον, ἡ τὸ φῶς Χριστὸν τεκοῦσα τῆς ἀγνωσίας σκότος λύοντα.

Νοήσαντες θεηγόροι προφῆται μυστηρίου σου, Παρθένε, τὸ βάθος, προφητικῶς προκατήγγειλαν τοῦτο, φωταγωγούμενοι θείῳ Πνεύματι, καὶ νῦν ἡμεῖς περιφανῶς τὰς ἐκβάσεις ὁρῶντες πιστεύομεν.

Μόνη τὸν ἕνα τῆς Τριάδος ἀπεγέννησας ἐν δύο ταῖς οὐσίαις ὑποστάσει μιᾷ ὁρώμενον, Παρθένε, ᾧ μελῳδοῦμεν· Κύριε ὁ Θεὸς, εὐλογητὸς εἶ.

Ῥείθρου ζῶντος ὤφθης, παναγία, σκήνωμα, ἐξ οὗ πιόντες οἱ θανατωθέντες τὴν ζωὴν κληρούμεθα ἀναβοῶντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φανεῖσα πλατυτέρα οὐρανῶν, Παρθένε, τὸν λογισμόν μου στενούμενον πλάτυνον, χωρητικὸν χαρισμάτων θείων δεικνύουσα.

Ex Canone in festo S. Joannis Eleemosynarii, die 12.

Ut superiores ac cœlestes cum inferioribus copularet, solus omnium Deus uterum illibatum ingressus est, et in similitudine carnis apparens, intermedio inimicitiæ pariete sublato, pacem interposuit, et vitam, divinamque redemptionem donavit.

In te, o sanctissima, universi auctor, propter excessum misericordiæ suæ voluntarie inhabitans, sanctificavit hominum substantiam, quæ propter primam transgressionem corruerat.

Medere vulneribus cordis mei, o puella Virgo, et animæ meæ motus ad Dei voluntatem perficiendam felici tramite dirige.

Animam meam voluptatum vitæ amore obtenebratam luce tua illumina, o casta, ac libera ab omni labe, quæ lucem Christum peperisti, a quo ignorantiæ tenebræ dissolvuntur.

Diviniloqui prophetæ intellectu assecuti profunditatem mysterii tui, o Virgo, prophetice illud enuntiaverunt, divini Spiritus luce illustrati. Et nunc nos illorum vaticinii exitum manifeste videntes, credimus.

Tu sola, o Virgo, unum Trinitatis in duabus substantiis atque unica hypostasi agnitum peperisti, cui concinimus : Benedictus es, Domine Deus, etc.

Fluvii viventis tabernaculum facta es, o sanctissima, ex quo bibentes nos qui mortui eramus, hæredes vitæ evadimus, clamantes : Benedicite, omnia opera, Dominum, et superexaltate eum in omnia sæcula.

Tu, o Virgo, quæ cœlis latior apparuisti, dilatamentem **221** meam angustatam, et divinorum charismatum capacem redde.

Ex Canone in S. Philippum Apostolum, die 14 (92****).

O sanctissima, Deoque gratissima, esto mihi adjutrix et patrona apud Christum, ut liberet me ab æterno judicio, et ab omnimoda serpentis læsione.

Mentis meæ vagationes, corporis passiones, atque animæ morbos cura, o Virgo, et ad vias bonas dirige me, ut faciens Dei voluntatem, inveniam vitam æternam.

Tanquam animatum Domini palatium, et fidelium asylum, eorumque, qui in tribulationibus versantur, auxilium, et ducem infallibilem gratia plenam laudemus.

Te, quæ optimum Dominum peperisti, deprecamur, o benignissima Dei Genitrix, ab omni malo eripe populum tuum.

Intellectuale candelabrum te propheta vidit, o inviolata, vere habens lucernam, illuminationem, et propitiationem animarum nostrarum.

Lingua et corde te prædico Deiparam, o inviolatissima; Deum enim immortalem peperisti, cui omnes modulantes canimus, Benedictus es, Deus, etc.

Illum qui est ante sæcula, novum infantem in terra peperisti, o Virgo, innovantem nos, qui anti-

(92****) Desideratur in Menæis impressis.

Digitized by Google

qua malitia graviter inveterati eramus : unde te laudamus, o casta, in sæcula.

Custodi servos tuos, o sanctissima Virgo inviolata, illæsos a vulnere omnium telorum inimici ; et

222 *Ex Canone in festo SS. mart. Samonæ, Guriæ, et Abibi, die* 15.

Sapientiæ illius, quæ omnem excedit sapientiam, tabernaculum es, o immaculatissima ; suam enim ipsius domum ex castissimo sanguine tuo, o Virgo, ædificare sibi complacuit, ad salutem eorum qui te collaudant.

Te medicaminum fontem effecit, qui in uterum tuum ingressus est, o Dei Mater castissima : meæ igitur animæ medere.

Supra mentis captum peperisti, o Virgo, et post partum virgo item permansisti : quamobrem incessabilibus vocibus te inconcussa fide salutamus clamantes : Salve, Regina.

Ille qui solus bonus est, et pelagus benignitatis, atque universa continet ac sustinet, in ulnis tuis, o Dei Mater, contineri ac sustineri dignatus est.

Cum te solam tanquam lilium purissimum in medio spinarum (93), et florem convallium sponsus reperisset, o Dei Mater, spiritale in te tabernaculum sibi constituit.

Tanquam speculum tersissimum ac lucidissimum (94) divini radii nitorem in te evibratum continuisti ; benedicta tu inter mulieres.

A infringe audaciam ac fastum omnium hostium Agarenorum, ut te cum fide, o Deipara, beatam dicamus.

Ἐκ τοῦ Κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Σαμονᾶν, Γουρίαν, καὶ Ἀβίβον, ἡμέρᾳ ιε'.

Σοφίας τῆς ὑπερσόφου γέγονας σκηνή, πανάμωμε· τὸν ἑαυτοῦ γὰρ οἶκον ἐκ τῶν σῶν παναχράντων αἱμάτων, σεμνή, οἰκονομεῖν εὐδόκησε πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἰάσεών σε πηγὴν ὁ τὴν σὴν μήτραν ὑποδὺς ἔδειξε, μῆτερ Θεοῦ πάναγνε· τὴν ἐμὴν ψυχὴν οὖν θεράπευσον.

B Ὑπὲρ ἔννοιαν ἐκύησας, ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν· μέγα τὸ μυστήριον τῆς κυοφορίας σου, Ἀειπάρθενε ἄχραντε, ὑμνοῦμεν.

Ὁ μόνος ἀγαθὸς καὶ πελάγει χρηστότητος τὰ σύμπαντα, Θεομῆτορ, συγκρατῶν σαῖς ἀγκάλαις κρατεῖσθαι κατηξίωσεν.

Σὲ μόνην τῶν ἀκανθῶν ἐν μέσῳ εὑράμενος ὡς καθαρώτατον κρίνον, καὶ κοιλάδων ἄνθος, ὦ Θεομῆτορ, ὁ Νυμφίος ὁ νοητὸς ἐν σοὶ κατεσκήνωσεν.

Ὡς νεόσμηκτον καὶ φωταυγίας πέμπον ἔσοπτρον, αἴγλην θεΐκῆς, Παρθένε, μαρμαρυγῆς προσβαλοῦσάν σοι ἐχώρησας· εὐλογημένη σὺ ἐν γυναιξί, Πανάμωμε Δέσποινα.

(93) Fuit B. Virgo tanquam lilium purissimum, quia sine ulla originis macula concepta, cum cæteri Adæ filii fuerint ob peccatum originale, non lilia, sed spinæ. Favet Federicus Nausea episcopus Viennensis, homil. 81, dum exponens illa verba ex II Cantic. cap. *Sicut lilium inter spinas, sic amica mea inter filias*, ait : « Etsi ex lege naturæ omnes filiæ humanæ spinosæ, id est, peccato conceptæ sint, Maria tamen sanctissima Virgo per legem gratiæ immaculata mansit, non secus ac lilium inter spinas, quæ etsi sint quantumlibet horridæ, asperæ rigidæque atque tumidæ, crescit tamen subter ipsas sine macula lilium ipsum speciosissimum, nihil suæ virtutis amittens. » Et D. Anselmus *De conceptu virginali* cap. 4, « Lilium, inquit, potest nasci inter spinas, et illis non pungi ; sic Mater Christi potuit concipi inter peccatores, et peccato non tangi. » Hinc Adamus de S. Victore in suis Rhythmis sanctam Virginem salutat his verbis :

Salve, Verbi sacra Parens,
Flos de spina, spina carens,
Flos spineti gloria :
Nos spinetum, nos peccati
Spina sumus cruentati,
Sed tu spinæ nescia.

Dixit Virginem florem de spina, quia fuit ex majoribus in peccato conceptis oriunda, sed non dicit illam florem factum ex spina, quia Virgo semper flos seu lilium fuit, unde etiam dicit nesciam spinæ, tanquam Virgo de se nihil aliud sciat, aut scire possit, quam quod fuerit semper lilium, nunquam spina. Vide Bustum in Mariali serm. 5 de concept. parte III, ubi probans B. Virginem in lilio figuratam Cantic. II, *Sicut lilium inter spinas, sic amica mea inter filias*, ait inter alia : « Licet lilium inter spinas nascatur, tamen sine spinis est, et totum candidum atque odoriferum exstat ; sic B. Virgo Maria, quamvis a primis parentibus per peccatum spinosis sit propagata, tamen sine macula fuit, et per munditiam et puritatem tota candida atque odorifera permansit. » Sic ille.

Porro S. Sabbas in Menæis Græcorum, die 29 Januarii, ode 6, quod etiam hic asserit S. Josephus, B. Virginem solam a Christo sponso, tanquam purissimum lilium in medio spinarum inventam testatur his verbis :

Ex te sola, quam purissimo lilio in medio spinarum [invento,
Uterum incolens tuum, Sponsus ille tuus processit.

Sic ille. Nimirum (ut in *Mariana Pietate Græcorum* inquit P. Simon Wagnerek) ex mente S. Sabbæ Christus Mariam inter homines in peccatis conceptos invenit, non tanquam similem illis, id est, tanquam spinam inter spinas, sic enim ex spina debuisset primum facere lilium, cum revera non lilium invenisset Mariam, sed spinam. Quod autem artifices faciunt, hoc excogitare seu invenire dicuntur. Asserunt proinde S. Sabbas, et S. Josephus Christum inter spinas, id est, omnes homines, qui concipiuntur in peccato, non spinam, sed lilium invenisse Mariam, quia illam inter spinas, non spinam, nec ex spina lilium, sed ab initio lilium fecit, id est, sine ulla originis macula exsistere jussit.

(94) Si decens fuit, ut peccati venialis levissima macula a Mariano speculo, ut tersissimum et lucidissimum vere appellari posset, procul fieret ; dignius certe et decentius longe fuit, ut originalis culpæ labes ab eodem quam longissime arceretur. Peccatum enim veniale macula quædam est, sed levissima, utpote, quæ animæ pulchritudinem,

Digitized by Google

Φύσεσιν ὁρώμενον διτταῖς Χριστὸν ἐγέννησας μίαν φέροντα σαφῶς ὑπόστασιν σύνθετον, ἀνθρωπότητι θεότητος συνεισδραμούσης φυσικὴν ὄντως καθ' ἕνωσιν· ὅθεν πάντες σε εὐλογοῦμεν, Μαρία Θεόνυμφε.

Σαρκὶ ἐπιδημῆσαι θελήσας ὁ διακοσμήσας πάντα Λόγος ἐν σοὶ κατεσκήνωσε, μόνην ἁγιωτέραν πάντων εὑράμενος, καὶ Θεοτόκον ἔδειξεν ἐπ' ἀληθείας, Μητροπάρθενε.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ὅσιον Γρηγόριον τὸν Δεκαπολίτην, ἡμέρᾳ κ'.

Ἡ ἀπὸ γῆς πρὸς οὐρανὸν διήκουσα κλίμαξ οὐράνιος, δι' ἧς Θεοῦ Λόγος τοῖς βροτοῖς ὡμίλησε, εὐλογημένη πάναγνε, ἀνερμήνευτον θαῦμα, ἀκατανόητον ὅραμα, σῶζε τοὺς εἰς σὲ καταφεύγοντας.

Χαῖρε, μόνη τεκοῦσα τὸν τοῦ παντὸς Κύριον· χαῖρε, τὴν ζωὴν τοῖς ἀνθρώποις ἡ προξενήσασα· χαῖρε, κατάσκιον καὶ ἀλατόμητον ὄρος, τῶν πιστῶν τὸ στήριγμα· χαῖρε, πανάμωμε.

Μῆτερ Θεοῦ, εὐλογημένη, πανάμωμε, τῆς ψυχῆς μου τραύματα θεράπευσον, τὰς ἡδονὰς σβέσον τῆς σαρκὸς, τὴν ἐσκοτισμένην καρδίαν μου φωταγώγησον, εἰρήνευσον τὸν νοῦν μου καὶ παντοίας ἐκ βλάβης, καὶ ἐχθρῶν ἐπηρείας με λύτρωσαι.

Προστασία τοῦ κόσμου, Μῆτερ Ἀειπάρθενε, σὺ με κυβέρνησον, καὶ ὁδήγησόν με εἰς εὐθεῖαν ὁδὸν, καὶ κατεύθυνον πρὸς δικαιοσύνης τρίβους ὀρθὰς τὸν λογισμόν μου, καὶ ψυχῆς τὰς πορείας εὐθύνουσα.

Μαρία τὸ καθαρὸν βασιλέως παλάτιον, γενόμενόν με λῃστῶν ἀκάθαρτον σπήλαιον εὐχαῖς σου καθάρασα, τοῦ ἐκ σοῦ τεχθέντος ναὸν ἅγιον ἀνάδειξον.

Νεκρὸν χρηματίσαντα τῇ ἁμαρτίᾳ καὶ ἀπολλύμενον, τὴν ζωὴν ἡ τεκοῦσα, ἀγνὴ Παρθένε, ζώωσον καὶ σῶσόν με, καὶ τῆς γεέννης ἐξάρπασον ψάλλοντα· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ἡ τὸν κριτὴν καὶ Κύριον ὑπὲρ λόγον κυήσασα, τοῦτον, ὡς Υἱόν σου, παναγία, αἴτησαι ἐν ὥρᾳ τῆς κρίσεως, τῆς καταδίκης, καὶ τοῦ πυρὸς, σκότους ἀφεγγοῦς, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων λυτρώσασθαι τοὺς πίστει σὺν εὐσεβῶς μελῳδοῦντας λαούς· Ὑπερυψοῦτε εἰς τοὺς αἰῶνας...

Φωνήν σοι τοῦ Γαβριὴλ οἱ πιστοὶ περιχαρῶς προσφωνεγγόμεθα· Χαῖρε, παράδεισε, ζωῆς τὸ ξύλον ἀναβλαστήσασα· χαῖρε, ἡ λύσις τῆς ἀρᾶς, μαρτύρων

A Duplici prædítum natura, unicam vero gerentem personam sine dubio Christum genuisti; compositum, per concurrentiam divinitatis cum humanitate, physica prorsus ac vera unione. Unde universi te benedicimus, o Maria sponsa Dei.

Cum Verbum, quod universa condidit et exornavit, ad carnem accedere voluisset, in te habitavit, quam solam omnibus sanctiorem invenit, et Deiparam te effecit revera, Mater et Virgo.

223 *Ex Canone in festo S. Gregorii Decapolitæ, die* 20.

O scala cœlestis, quæ a terra ad cœlum pertingis, per quam Deus Verbum cum hominibus conversatus est, benedicta Virgo castissima, miraculum inexplicabile, spectaculum inintelligibile, salva

B confugientes ad te.

Ave, o tu quæ sola universi Dominum peperisti: salve, quæ vitam hominibus conciliasti: salve, mons umbrose, et a lapicidæ manu intacte: salve, fidelium fulcimentum, o ab omni labe immunis.

O Mater Dei, benedicta, tota immaculata, medere vulneribus animæ meæ; carnis libidines exstingue: obtenebratum cor meum illumina: mentem meam pacifica, et ab omni malorum atque hostium infestatione eripe me.

O mundi præsidium, Mater semper virgo, tu me guberna, et deduc me in viam rectam, et ad rectas justitiæ semitas dirige mentem meam atque animæ meæ itinera, o immaculatissima.

O Maria purissimum regis palatium, me, impurorum latronum speluncam effectum, precibus tuis emunda, et Filii tui templum sanctum me constitue.

Me, ob peccatum mortuum ac perditum, tu, o casta Virgo, quæ Vitam peperisti, vivifica, et salvum me fac, et a gehenna eripe me psallentem: Benedictus Deus, etc.

Tu quæ judicem ac Dominum genuisti ineffabiliter, eumdem tanquam Filium tuum, o sanctissima, precare, ut in hora judicii, a damnatione, ab igne, a tenebris obscurissimis, et a dentium stridore liberentur ii qui cum fide ac pietate concinunt: O populi, superexaltate, etc.

Voce Gabrielis nos fideles, ad te cum gaudio D clamantes, salutamus: Salve, paradise, quæ lignum vitæ protulisti (95): salve, maledictionis

gratiam videlicet, extenuat, non tamen corrumpit: per quam charitatis fervor intepescit quidem, sed non exstinguitur: quæ valetudinem imminuit animis, sed mortem non consciscit: quæ Dei erga nos amorem præfervidum fortasse etiam defervere facit, odium vero minime lacessit aut provocat. Contra vero originalis culpæ labes animi pulchritudinem corrumpit, charitatem excludit, mortem affert, et Dei Opt. Max. odium homini accersit. Immunditiam legalem, illam scilicet, quam feminæ propter sordes, quibus ex partu imbuebantur, contrahere solebant, a nitidissimo Matris suæ speculo Deus abesse voluit, ut docet Cyprianus in serm. de Nativit., Augustinus de v Hæresibus, Epiphanius in Compendio Doct., Nazianzenus orat. 40 et alii. Si ergo Deus hujus speculi munditiem et candorem per umbratilem legalis immunditiæ maculam non parum lædi aut violari putavit, ac propterea immunditiam istam ab illo prohibuit, quonam modo peccati originalis teterrimas sordes et squalorem illi aspergi et adhærere permisit? Vide quæ de hoc speculo dixi in Vindicatione sacri ordinis Prædicator. libro 1, parte 1, argumento 8, super illa verba S. Thomæ, Fecit summus Artifex speculum unum etc.

(95) De hoc paradiso loquens inter alios vir pietate et doctrina inclytus Pater Ildephonsius Giron, ord. Prædicatorum, in suo *Promptuario concionum*, concione 2, de conceptione B. Virginis ait: « Custodivit quoque Filius Dei paradisum suum,

Digitized by Google

dissolutio, martyrum corona, **224** confessorum gloria, atque hominum piorum firmamentum.

A στεφάνωμα, ὁσίων καύχημα καὶ ἀνθρώπων εὐσεβῶν τὸ κραταίωμα.

Ex Canone in festo S. Philemonis apostoli et sociorum, die 22.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον ἀπόστολον Φιλήμονα καὶ τοὺς σὺν αὐτῷ, ἡμέρᾳ κβ'.

Divinus olim prophetarum catalogus multiformibus symbolis te vere a longe prædescripserunt solam parituram esse Dominum.

Σὲ προφητῶν πάλαι ὁ θεῖος κατάλογος πολυειδέσιν, ἄχραντε, συμβόλοις πόρρωθεν προεκήρυξεν ὄντως, τὴν μόνην τὸν Δεσπότην ἀποκυήσασαν.

Cum apparuisses pura, ac tota immaculata, o Virgo, suscepisti in visceribus tuis Deum Verbum, qui naturam nostram peccatorum excessibus inquinatam purificavit.

Φανεῖσα καθαρὰ καὶ πανακήρατος ἐδέξω ἐν μήτρᾳ τὸν Λόγον Θεὸν, τὸν καθάραντα τὴν φύσιν ἡμῶν ῥυπωθεῖσαν, Παρθένε, ἀτοπήμασιν.

Laudo te, vere omni laude dignissima, quæ Deum Verbum omni laude superiorem supra naturæ modum peperisti : et precor te, ut infelicis animæ meæ morbos cures, quippe quæ benigna es, o sponsa Dei.

Ὑμνῶ σε ἀληθῶς, πανύμνητε, ὑπερύμνητον Θεὸν Λόγον ὑπερφυῶς τέξασαν, καὶ δέομαι τῆς ταπεινῆς μου ψυχῆς θεραπεῦσαι τὰ νοσήματα, ὡς ἀγαθὴ ὑπάρχουσα, Θεόνυμφε. B

O Domina, salva nos gravissima tentationum tempestate jactatos, et Barbarorum immitissimorum incursibus, et crudelibus dæmonum invasionibus afflictos.

Δέσποινα, σῶσον ἡμᾶς χειμαζομένους χαλεπῷ κλύδωνι τῶν πειρασμῶν, καὶ τῶν ἀνημέρων Βαρβάρων ἐκδρομαῖς, καὶ ταῖς τῶν δαιμόνων δειναῖς ἐπιθέσεσιν.

Corporatum est Verbum in ventre tuo : et propter suam misericordiam agnosci voluit homo, ut hominem efficeret Deum, o puella ab omni nævo immunis (96).

Σωματοῦται ὁ Λόγος ἐν μήτρᾳ σου, καὶ δι' εὐσπλαγχνίαν γνωρίζεται ἄνθρωπος, ἵνα Θεὸν τὸν ἄνθρωπον ἀπεργάσηται, Κόρη πανάμωμε.

Fortitudo humilium, et lucerna lucida, et mensa divina : mons, et porta impervia : thronus Dei, et palatium : virga Aaron, et urna auro fulgida facta es, o Virgo, quæ Christum, vitæ manna, portavit.

Ἰσχὺς ταπεινῶν, καὶ λυχνία φωτεινὴ, καὶ θεία τράπεζα, ὄρος καὶ πύλη ἀδιόδευτος, θρόνος Θεοῦ καὶ παλάτιον, ῥάβδος Ἀαρών τε καὶ στάμνος χρυσαυγίζουσα πέφυκας, Χριστὸν τὸν μάννα τῆς ζωῆς, Παρθένε, φέρουσα.

Novus paradisus vere nobis venter tuus apparuit, C o casta Deipara, in quo germinavit vitæ lignum, per quod illi qui fructu ligni gustato mortui erant, iterum vivificati ad paradisum reducuntur.

Νέος παράδεισος ἡμῖν ἡ γαστήρ σου ἀληθῶς, ἁγνὴ, ὡράθη, ζωῆς ξύλον βλαστάνων, καὶ τοὺς θανέντας καρπῷ τοῦ ξύλου πάλιν πρὸς παράδεισον ζωοποιηθέντας εἰσάγον, Θεοτόκε.

Fers ferentem omnia, et nutrientem nutris, o immaculatissima : nec partus tui rationem mente assequi potes. Superat omnem mentem miraculum tuum, quod angelos **225** atque homines stupore percellit, dum vident te solam Virginem Matrem Dei.

Φέρεις τὸν φέροντα πάντα, καὶ τὸν τρέφοντα τρέφεις, τὸν τρόπον τῆς λοχείας οὐδαμῶς ἐπισταμένη, πανάμωμε· ὑπὲρ νοῦν τὸ σοῦ θαῦμα ἀγγέλους καταπλῆττον καὶ βροτοὺς τοὺς εἰδότας σε μόνην Παρθένον Θεομήτορα.

Ex canone in festo S. Patris nostri Gregorii Acragantini [*Agrigentini*], *die 23.*

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον Πατέρα ἡμῶν Γρηγόριον τὸν Ἀκραγαντῖνον, ἡμέρᾳ κγ'.

Te vere ac proprie Deiparam confiteor ; Dominum enim inexplicabili modo peperisti, o Deipara inviolata, qui in duabus substantiis ac voluntatibus intelligitur.

Θεοτόκον σε ἀληθῶς ὁμολογῶ· τέτοκας γὰρ Κύριον ἀνερμηνεύτως ἐν δυσὶν οὐσίαις, ἄχραντε Παρθένε, καὶ θελήσεσι κατανοούμενον. D

Verba diviniloquorum præconum completa sunt :

Ῥῆσις κηρύκων θεηγόρων ἀνεπληρώθη· ἰδοὺ γὰρ

dum domum virginalem deliciarum suarum servavit ab omni culpa. Neque in hunc paradisum invenire potuit ingressum callidus serpens ; fuit enim conclusus hortus, imo ipsa Virgo contrivit caput serpentis. » Sic ille. Et P. J. Eusebius Nieremberg. in suis Exceptionib. cap. 15, cum retulisset a S. Athanasio in homilia in Occursum Domini B. Virginem paradisum divina plantatum manu fuisse appellatam, subdit : « B. Virgo dicitur paradisus plantatus manu Domini, quoniam in plantatione suæ creationis, sola manus Dei, et gratia ejus locum habuit, non autem vestigium diaboli et ejusdem servitus. »

Quid enim fuerit affirmare Deiparam ab omni nævo fuisse immunem, quam omnem prorsus ab ipsa peccati, sive actualis, sive originalis nævum propulsare ? Consonat S. Sabbas in Menæis Græcorum, die 3 Januarii, ode 3, dum Deiparam alloquens ait :

Nemo, ut tu, Domina, inculpatus est æque,
Nec præter te incontaminatus quisquam, o nævo nulli [subjecta.

Et ibidem, die 1 Januarii, Ode 9,

Tu, quæ ab omni es nævo intacta.

(96) Quid hac exclamatione opportunius pro immaculata B. Virginis conceptione astruenda ? Vide Velasquez *De Maria immaculate concepta* libr. IV, dissert. 5, annot. 1.

Digitized by Google

ἔτεκεν ἡ Παρθένος νέον βρέφος τοῦ Ἀδὰμ παλαιότερον, καὶ σύνθρονον τοῦ Γεννήτορος.

Γένος βροτῶν σέσωσται τῇ ὑπὲρ νοῦν σου κυοφορίᾳ, καὶ οἱ ἐν σκότει φθορᾶς, παναγία Δέσποινα, εἶδον τὸ φῶς τὸ ἐκλάμψαν ἐκ γαστρός σου, τῆς αἰτίας τῆς ἡμῶν, Κόρη, ἀναπλάσεως.

Ὁ κόλπους τοῦ Πατρὸς μὴ κενώσας ἐν τῷ σαρκοῦσθαι, πανάμωμε, σοῦ ἐν τοῖς κόλποις ὁρᾶται, κρατούμενος ὡς βρέφος, ὃν ἐξιλέωσαι τοῖς εὐσεβῶς σε τιμῶσιν, Παρθένε Θεόνυμφε.

Νοῦς ἐννοῆσαι τὸ μέγα ἀπορεῖ τοῦ σοῦ τόκου μυστήριον· Θεὸν γὰρ ἐκύησας ἄνθρωπον γενόμενον, Ἀειπάρθενε, τὸν ἀπερινόητον.

Μητροπρεπῶς τὸν πάντων ἀπεκύησας Κτίστην, καὶ ἐν χερσὶν ἐβάστασας, χερουβικὸς ὡς θρόνος, τὸν συνοχέα τοῦ παντὸς, ἀπειρόγαμε.

Ὁ παράδοξος τόκος σου τὰς διανοίας ἡμῶν κατεπλήττει, μόνη εὐλογημένη. Θεὸς γὰρ ἐκ σοῦ σάρκα προ[σ]έλαβεν, ὅπερ ἦν διαμείνας, Θεοτόκε, ἄτρεπτος τῇ φύσει ὢν ὑπερυψοῦμέν εἰς πάντας τοὺς αἰῶνας.

Φῶς ἡ τεκοῦσα ἄχρονον, τὸ ἐκλάμψαν ἐκ Πατρὸς, φώτισόν μου, Κόρη, τὴν ψυχὴν, καὶ τὸν νοῦν, μακρὰν ἀπ' ἐμοῦ ἐκδιώκουσα τὸ σκότος τῶν παθῶν, ἵνα σε μακαρίζω, τὴν ἀειμακάριστον τῶν πιστῶν ἐλπίδα.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ὅσιον Κλήμεντα Ῥώμης, ἡμέρᾳ κδ'.

Ἁγίασον, Δέσποινα, τὴν ταπεινήν μου διάνοιαν, ἡ τὸν ὑπερούσιον Λόγον κυήσασα, καὶ ὑπάρχουσα πασῶν ἁγιωτέρα τῶν ἄνω δυνάμεων, θεοχαρίτωτε.

Κυριοτόκε, ἡ Θεὸν ἀπορρήτως κυήσασα τὸν Σωτῆρα τοῦ παντὸς, αὐτὸν δυσώπει σωθῆναί με πάθεσιν ἑκάστοτε περιαντλούμενον.

Ἀναπλάττεις συντριβεῖσαν καὶ φθορᾷ ὑποκύψασαν τὴν βροτείαν φύσιν, ἄχραντε, Θεὸν σωματώσασα, καὶ ὑπὲρ φύσιν τεκοῦσα, ἀπειρόγαμε· ᾧ κραυγάζομεν· Δόξα, Χριστὲ, τῇ δυνάμει σου.

Τὴν ἁγνὴν ἁγνεύοντι τιμήσωμεν νοΐ, καλλονὴν τοῦ Ἰακὼβ ταῖς ἐνθέοις πράξεσι καλλυνόμενοι, εὐσεβῶς ὑμνήσωμεν ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Μεμύηται Ἡσαΐας τὸ βάθος τοῦ τόκου σου, καὶ παρθένον ἐν γαστρί σου ἐκήρυξεν ἔχουσαν τὸν δι' εὐσπλαγχνίαν σαρκωθέντα ἐκ σοῦ, ἀπειρόγαμε.

Ὁ τοῖς πᾶσι παρεχόμενος βουλήματι τὸ εἶναι, πάναγνε, ἐκ σοῦ ἀρχὴν χρονικὴν λαμβάνει καὶ τίκτεται, λύων τὰ χρόνια παραπτώματα τῆς συμπτωθείσης, ἄχραντε, τῶν βροτῶν ῥευστῆς οὐσίας.

Ὦ φρικτοῦ καὶ ἀῤῥήτου θεάματος! ἐν γαστρὶ κατοικεῖ ὁ ἀχώρητος, καὶ σὰρξ ἀτρέπτως γίνεται, καὶ θεοῖ με δι' οἰκτον, καὶ τὴν τεκοῦσαν μετὰ τόκον φυλάττει ἀγνεύουσαν.

A ecce enim Virgo peperit infantem novum, qui Adamo est antiquior, et æqualis considet Patri.

Genus hominum salvatum est per partum tuum, qui superat omnem cogitationem, et ii qui in tenebris corruptionis versabantur, viderunt lumen quod coruscavit ex utero tuo, o Domina sanctissima puella, causa reparationis nostræ.

Is qui Paternum sinum non reliquerat vacuum in sua incarnatione, in sinu tuo visus est, o purissima, arctatus tanquam infans, quem propitium redde iis, qui te religiose honorant, o Virgo Dei sponsa.

Hæsitat mens recogitans magnum partus tui mysterium, o Virgo : Deum enim peperisti hominem factum, quem nulla mens cogitatione assequi
B potest.

Omnium Creatorem peperisti, ut Matrem talem decebat; et velut thronus cherubicus, portasti eum qui continet ac portat universum, o innupta.

Admirandus partus tuus, o sola benedicta, mentes nostras stupore percellit : Deus enim ex te carnem suscepit, o Deipara, permanens id quod erat, immutabilis natura : quem superexaltamus in omnia sæcula.

O puella quæ lucem æternam ex Patre coruscantem peperisti, illumina animam ac mentem meam, o Virgo, **226** longe repellens a me tenebras passionum, ut beatificem te, semper beatissimam spem fidelium.

Ex canone in festo S. Clementis Romani, die 24.
C

Sanctifica, Domina, miseram mentem meam, quæ supersubstantiale Verbum genuisti, et universis supernis potestatibus sanctior es, o Deo charissima.

O Dominipara, quæ Deum ineffabiliter genuisti, universi Salvatorem, eumdem deprecare ut salvet me assidue passionibus circumdatum.

Restaurasti humanam naturam contritam et corruptioni subjectam, o inviolata atque innupta, dum Deum corporasti, ac supra naturæ modum peperisti : ad quem clamamus : Gloria, Christe, potentiæ tuæ.

Castam casta mente honoremus : pulchritudinem
D Jacob divinis actionibus decorantes religiose laudemus, tanquam Dei nostri Matrem.

Initiatus est Isaias profundis mysteriis partus tui, et prædicavit te virginem, quæ in utero habitura eras eum qui propter suam misericordiam ex te incarnatus est, o nescia viri.

Ille qui omnibus decreto suo præbet esse, ex te, o tota casta atque inviolata, principium temporale suscepit ac natus est, expians delicta naturæ hominum fluxæ, quæ corruerat.

O spectaculum formidandum atque ineffabile! In ventre habitat is, quem nihil capere potest, et sine ulla mutatione fit caro; meque sua deificat misericordia; et Genitricem suam post partum castam conservat.

Digitized by Google

Fers in ulnis Deum, o sanctissima, tanquam A thronus igneus inviolatus, qui humanam suscepit naturam, et 227 unione ineffabili ob immensam misericordiam suam eidem copulatus est; quamobrem omnes te magnificamus.

Φέρεις ἐν ἀγκάλαις τὸν Θεὸν, ὡς πύρινος παναγία, θρόνος ἄχραντος, φύσιν βροτείαν εἰληφότα, καὶ ταύτῃ συμπλακέντα καθ' ἕνωσιν ἀπόῤῥητον, δι' οἶκτον ἀμέτρητον· ὅθεν σε πάντες μεγαλύνομεν.

Ex canone in festo S. Mercurii martyris, die 25.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον μεγαλομάρτυρα Μερκούριον, ἡμέρᾳ κε'.

E virgine puella incarnatus visus est, qui propter nos homo similis nobis factus est, et Mercurium suarum passionum testem, athletam suum effecit, enixe sibi concinentem: Cantemus Domino, gloriose enim honorificatus est.

Κόρης παρθένου ὡράθη σαρκούμενος ὁ δι ἡμᾶς καθ' ἡμᾶς ἄνθρωπος γενόμενος, καὶ μάρτυρα πιστὸν παθῶν οἰκείων δείκνυσι Μερκούριον γενόμενον, αὐτοῦ τὸν ἀθλητὴν, αὐτῷ συντόμως ψάλλοντα· Τῷ Κυρίῳ ᾄτωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Ut conceptionem tuam, quæ omnem mentem excedit, rubus præfiguraret, o casta, apparuit ardens in igne, nec tamen comburebatur.

Ἵνα προτυπώσῃ σου τὴν ὑπὲρ νοῦν, ἁγνὴ, κύησιν, βάτος πυρὶ ὤφθη καιομένη, οὐδαμῶς φλεγομένη.

In te salutiferum Verbum descendit, o Virgo perennis, tanquam imber, qui infidelitatis pluvias exsiccavit. B

Ἐπὶ σὲ ὁ σωτήριος Λόγος καταβέβηκεν, Ἀειπάρθενε, ὥσπερ ὄμβρος, καὶ ἐξήρανε τῆς πολυθεΐας τὰ ὀμβρήματα.

Interime, o Virgo, vivum peccatum meum, tu quæ vitam peperisti, quæ morti tradidit mortem.

Θανάτωσον, Παρθένε, τὴν ζῶσάν μου ἁμαρτίαν, ζωὴν ἡ κυήσασα τὴν θανατώσασαν θάνατον.

Concepisti, o puella, per vocem angeli, magni consilii Angelum, et ex tuis sanctissimis sanguinibus incarnatum peperisti, o purissima, illum qui vitæ aditus universis ostendit propter ineffabilem misericordiam suam.

Συνέλαβες τῇ φωνῇ τοῦ ἀγγέλου τὸν βουλῆς μεγάλης Ἄγγελον, Κόρη, καὶ ἐκ τῶν σῶν παναγίων αἱμάτων σεσαρκωμένον, πανάμωμε, τέτοκας τὸν δείξαντα πᾶσι ζωῆς τὰς εἰσόδους δι' ἄφατον ἔλεος.

Angelorum ordines stupore percellit mysterii tui profunditas, o Deipara: Deus enim ex te incarnatus apparuit, cui concinimus: Benedictus es, Domine Deus.

Τάξεις ἀγγέλων καταπλήττει μυστηρίου σου τὸ βάθος, Θεοτόκε· ὁ Θεὸς γὰρ ἐκ σοῦ σαρκούμενος ὡράθη, ᾧ μελῳδοῦμεν· Κύριε ὁ Θεὸς, εὐλογητὸς εἶ.

Nos omnes fideles te tanquam reparationis nostræ causam laudamus, o inviolata: Deum enim omnium rerum causam supra causam peperisti, qui imaginem suam malitia contritam, propria misericordia redintegravit, o sola superbenedicta et gratia plena. C

Ὡς τῆς ἡμῶν ὑπάρχουσα ἀναπλάσεως, ἄχραντε, ἅπαντες αἰτίαν οἱ πιστοὶ ὑμνοῦμέν σε. Θεὸν γὰρ παναίτιον ὑπὲρ αἰτίαν τέτοκας, τὸν τὴν συντριβεῖσαν ἐν κακίᾳ εἰκόνα οἰκείᾳ εὐσπλαγχνίᾳ ἀναπλάσαντα, μόνη ὑπερευλογημένη καὶ κεχαριτωμένη.

Illumina, o porta lucis, animam meam passionum caligine excæcatam, pravisque cogitationibus obscuratam, atque in discrimine positam, et a tentationibus, periculis 228 ac tribulationibus erue me, ut glorificem te spem roburque fidelium.

Φώτισον, πύλη τοῦ φωτὸς, τὴν τυφλώττουσαν ψυχήν μου τοῖς πάθεσι, καὶ πονηροῖς λογισμοῖς ἀμαυρωθεῖσαν καὶ κινδυνεύουσαν, καὶ ἐξελοῦ με πειρασμῶν, κινδύνων καὶ θλίψεων, ἵνα δοξάζω σε, τὴν ἐλπίδα τῶν πιστῶν καὶ κραταίωμα.

Ex canone in festo S. P. N. Alypii Cionitæ, die 26.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Ἀλύπιον τὸν Κιονίτην, ἡμέρᾳ κς'.

Verba venerandi prophetæ finem habuere. Ecce enim Virgo Deum in carne peperit, qui homines D delictis ac peccatis ante contritos redintegravit.

Ῥῆσις σεπτοῦ προφήτου πέρας ἐδέξατο· ἰδοὺ γὰρ ἡ Παρθένος σαρκὶ Θεὸν ἐκύησε βροτοὺς ἀναπλάττοντα, συντριβέντας πρότερον ἁμαρτίαις καὶ πλημμελήμασιν.

O Virgo, mundum Verbi palatium, fac animam meam domum Spiritus sancti: fonte aquæ, quæ est principium vitæ, pota me, peccati calore inflammatum, ut pro debito te glorificem.

Παρθένε, τὸ καθαρὸν τοῦ Λόγου παλάτιον, τὴν ψυχήν μου δεῖξον οἶκον τοῦ ἁγίου Πνεύματος· ὕδατος πηγῆς ζωαρχικῆς πότισόν με τῇ καύσει τῆς ἁμαρτίας φλογιζόμενον, ὅπως καταχρέως δοξάζω σε.

Medere, Domina, passionibus animæ meæ, mentemque et cor meum illumina, tu quæ lucis datorem peperisti, Christum Dominum omni bonitate superiorem.

Τὰ πάθη τῆς ψυχῆς μου θεράπευσον, καὶ φωταγώγησον τὸν νοῦν καὶ τὴν καρδίαν μου, Δέσποινα, ἡ φωτοδότην τεκοῦσα Χριστὸν τὸν ὑπεράγαθον Κύριον.

O puella sancta, Deum sanctum peperisti, ex sua misericordia hominem factum, qui sanctificat omnes ipsum cum fide ac timore sanctificantes.

Ἅγιον ἐκύησας Θεὸν γενόμενον βροτὸν δι' οἶκτον, ἁγία Κόρη, τὸν καθαγιάζοντα τοὺς αὐτὸν ἐν πίστει καὶ φόβῳ ἁγιάζοντας.

Nos, qui in tribulatione versamur, fortem con-

Ἰσχυρὰν παράκλησιν οἱ ἐν θλίψει ἔχομεν, ἁγνὴ,

Digitized by Google

καὶ βεβαίαν πάντες σε ἀντίληψιν, Μῆτερ Θεοῦ, κινδύνων σῶζε τοὺς δούλους σου.

Ὁ ἀπεριόριστος σάρκα ἀνελάβετο ἔννουν τε καὶ ἔμψυχον ἐκ σοῦ, Ἀειπάρθενε, τοῦ σῶσαι τοὺς βοῶντας· Ὁ Θεὸς, εὐλογητὸς εἶ.

Σοῦ ὁ τοκετὸς τὴν τικτομένην βλάβην κακίᾳ τοῦ ὄφεως νῦν ἀπεστείρωσε, μόνη κατάρας ἀναίρεσις, Παρθένε· ὅθεν σε τιμῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Φωτισμόν μοι δώρησαι τῷ ἐν σκότει ὄντι τῶν παθῶν, καὶ ῥῦσαί με πονηρῶν ἔργων, καὶ φλογὸς ἐναποκειμένης μοι τῷ ἀθλίῳ καὶ ἁμαρτωλῷ, ἄχραντε Δέσποινα, προστασία τῶν ὑμνούντων σε.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Στέφανον τὸν νέον, ἡμέρᾳ κη'.

Τὴν ἀδιόδευτον πύλην, τὸ καθαρὸν τῆς ἁγνείας τέμενος, τὴν καλὴν ἐν γυναιξὶ, τὴν ἁγίαν Δέσποιναν φωναῖς ἱεραῖς ὁ ἱερὸς λαὸς δοξάσωμεν.

Ἐκ σοῦ τῆς μόνης καθαρᾶς ὁ ὑπέρθεος Λόγος ἐσαρκώθη, ὡς οἶδε, καὶ διέσωσεν ἡμᾶς, τοὺς προσκυνοῦντας αὐτοῦ τὴν δι' οἶκτον θείαν συγκατάβασιν.

Ἐν σοὶ, πανάμωμε, τῆς σωτηρίας μου τὰς ἐλπίδας ἐθέμην, ἐπὶ τὴν σὴν σκέπην κατέφευγα· γενοῦ μοι, Κόρη, βοηθὸς, τῶν δεινῶν ἐξαιρουμένη με.

Ὑπεραγία, ἡ τὸν Θεὸν μόνη ἐπὶ γῆς ὡς ἀληθῶς τὸν ὑπεράγιον τέξασα, τοὺς σε Θεοτόκον ἀεὶ κηρύττοντας ἁγίασον καὶ σῶσον τῇ μεσιτείᾳ σου.

Τὴν μόνην πανύμνητον, τὴν καλὴν ἐν γυναιξὶ, τὴν τοῦ Θεοῦ λοχεύτριαν, Χριστιανῶν τὸ τεῖχος τὸ ἀῤῥαγὲς, τὴν ἄχραντον Δέσποιναν ἀδιχάστῳ καρδίᾳ μακαρίσωμεν.

Ἱερώτατοι προφῆται προεδήλωσαν, ἁγνὴ, ἐκφαντικώτατα τὸ μυστήριον τῆς σεπτῆς λοχείας σου, καὶ νῦν ἡμεῖς τὰς ἐκβάσεις τηλαυγῶς κατανοοῦντες εὐσεβῶς σε μακαρίζομεν.

Ῥαντισμῷ θείου λύτρου, θεοχαρίτωτε, ἐκ πλευρᾶς κενωθέντος τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ, τὸν ἐκ πονηρᾶς ἁμαρτίας προσόντα μοι ῥύπον, δυσωπῶ σε, ἀπόπλυνον, Παρθένε.

Φωτὸς δοχεῖον, θεοχαρίτωτε, τῶν ἱερῶν μαρτύρων ἀληθῶς τὸ κραταίωμα, τῶν ὁσίων ἁπάντων τὸ καύχημα, σῶσον ἡμᾶς κινδύνων, καὶ περιστάσεων, καὶ τῆς τῶν ἐχθρῶν ἐπιδρομῆς τοὺς ἀνυμνοῦντά σε.

Ἐκ τοῦ Κανόνος εἰς τὸν ἅγιον μάρτυρα Παράμονον καὶ τὸν ἅγιον Φιλούμενον, ἡμέρᾳ κθ'.

Ἐν χρόνῳ τὸν ἔξω χρόνου τέτοκας βροτὸν γενόμενον, ὃν ἐκτενῶς ἱκέτευε, ἁγνὴ, ὡς Υἱόν σου καὶ Κύριον, τὰ τῆς ψυχῆς μου χρόνια πάθη ἰάσασθαι, πανάμωμε.

Στερέωσόν μου τὸν νοῦν περιτρεπόμενον πολλοῖς

A solationem habemus, et stabilem defensionem, te, inquam, o casta. Libera, o Mater Dei, a periculis servos tuos.

Ille qui est incircumscriptus atque indefinitus, carnem suscepit mente atque anima præditam, ex te, o Virgo perpetua, ut eos salvaret, qui clamant: Benedictus es, Deus, etc.

Partus tuus nunc sterilem reddidit noxam, quæ ex malitia serpentis nata erat, o Virgo, unica maledictionis exterminatio; quamobrem te in omnia sæcula honoramus.

Illuminationem largire mihi, in passionum tenebris commoranti, et libera me a pravis operibus, et a flamma quæ reservatur mihi miserabili ac peccatori, o Domina inviolata, eorum, qui te laudant, patrocinium.

B

229 *Ex canone in festo S. Stephani Junioris, die 28.*

Portam imperviam, mundum castitatis templum, pulcherrimam inter mulieres, Dominam sanctam, sacris vocibus sacer populus glorificemus.

Ex te sola pura Verbum superdivinum incarnatum est, eo modo quo idem novit, et salvavit nos, qui illius descensum divinum ob suam misericordiam factum adoramus.

In te, o immaculatissima, salutis meæ spes reposui, sub tuam protectionem confugi: esto mihi adjutrix, o puella, et a rebus molestis eripe me.

O supersancta, quæ supersanctum Deum sola in C terra verissime peperisti, eos, qui te Deiparam semper prædicant sanctifica ac salva mediatione tua.

Solam illam omni laude dignissimam, pulcherrimam illam inter mulieres, Dei Genitricem, Christianorum murum inexpugnabilem, Dominam inviolatam, immoto minimeque dubitanti corde beatificemus.

Sacratissimi prophetæ manifestissime antea declaraverunt mysterium venerandi partus tui, o casta; et nunc nos vaticinii successus aperte agnoscentes, te devote beatificamus.

Aspersorio divini lavacri, quod ex latere Filii Deique tui effusum est, ablue, te precor, o Virgo Deo charissima, sordes, ex peccati malitia inhærentes mihi. D

O Deo charissima, lucis receptaculum, vere sacrorum martyrum robur, et confessorum omnium gloriatio, salvos fac nos a periculis, et circumstantibus calamitatibus, atque ab hostium incursionibus, dum te laudibus celebramus.

230 *Ex canone in festo SS. Paramoni et Philumeni martyrum, die 29.*

In tempore peperisti eum, qui est extra tempus, hominem factum: quem enixe deprecare, o casta ac tota immaculata, tanquam Filium tuum ac Dominum, temporariis animæ meæ passionibus medeatur.

Confirma ac stabilem effice mentem meam, o

Digitized by Google

Mater Dei castissima, multis passionibus circumagitatam, ut te pro debito glorificem.

Homines ob trangressionem mortuos vivifico partu tuo omnes resuscitasti, o Virgo Maria : propterea te glorificamus, et divinis laudibus beatam appellamus.

Qui Patri ac Spiritui sancto æqualem habet honorem Dominus, ex castis sanguinibus tuis, o Virgo, incarnatus est et factus homo.

A scandalis vitæ libera me, o intemeratissima, qui in nocte cæcitatis, deformium cogitationum tenebris, ob inimici malitiam, semper occupatus sum.

Gaude tu, quæ sola hominibus gaudium peperisti : gaude, cœlum, et throne Cherubice, et gloriosissimum palatium Regnatoris sæculorum, o Domina ab omni macula immunis.

Legis umbræ, et prophetarum veneranda præconia, præfigurarunt te futuram ineffabiliter Dei nostri Genitricem, o casta, divina gratia cumulatissima, cui omnes concinimus : Benedicite, omnia opera Domini, Dominum, etc.

Illumina pupillas oculi mei cæcitate mortiferi peccati obtenebratas, o Dei Genitrix, castissima Domina. Tu enim es fidelium auxilium et illuminatio, o inviolata.

Πάθεσι, Μῆτερ Θεοῦ πάναγνε, ὅπως καταχρέως δοξάζω σε.

Νεκρωθέντας τοὺς ἀνθρώπους τῇ παραβάσει, τῷ ζωηφόρῳ τόκῳ σου, Παρθένε Μαρία, πάντας ἀνέστησας. Διό σε δοξάζομεν, καὶ θεοπρεπῶς μακαρίζομεν.

Ὁμότιμος Πατρὶ ἐνυπάρχων καὶ Πνεύματι, ὁ Κύριος ἐξ ἁγνῶν σου ἐσαρκώθη αἱμάτων, ἀγνὴ, βροτὸς γινόμενος.

Ῥῦσαί με τῶν σκανδάλων τοῦ βίου, πανάχραντε, τῆς ἐν νυκτὶ ἀβλεψίας λογισμῶν ἀτόπων κεκρατημένον, τῇ κακίᾳ τοῦ δυσμενοῦς ἀεὶ σκοτιζόμενον.

Χαῖρε, ἡ μόνη χαρὰν ἀνθρώποις κυήσασα, χαῖρε, οὐρανὲ, καὶ θρόνε Χερουβικὲ, καὶ περίδοξον παλάτιον τοῦ βασιλεύοντος τῶν αἰώνων, πανάμωμε Δέσποινα.

Νόμου σε σκιαὶ, καὶ προφητῶν προδιεχάραξαν σεπτὰ κηρύγματα, ἀῤῥήτως μέλλουσαν ἔσεσθαι τοῦ Θεοῦ ἡμῶν λοχεύτριαν, θεοχαρίτωτε ἁγνὴ, ᾧ πάντες μέλπομεν · Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Φώτισον ψυχῆς μου τὰς κόρας ἀμαυρωθείσας ἀβλεψίᾳ τῆς φθοροποιοῦ ἁμαρτίας, Θεογεννῆτορ, πάναγνε Δέσποινα · σὺ γὰρ πιστῶν βοήθεια καὶ φωτισμὸς ὑπάρχεις, ἄχραντε.

231 MENSIS DECEMBER.

ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.

Ex canone in S. Sophoniam prophetam (96*), *die* 3.

Humanum genus per te in sortem accepit redemptionem ; etenim Redemptorem omnium sola peperisti ; propterea beatam te dicimus, o Virgo Deipara, peccatorum auxilium, et cadentium erectio.

Conspectæ sunt in te semitæ desiderati ab omnibus. Ille enim qui sedet in sinibus Paternis, in sinu tuo, o casta, in morem infantis, residet, et voluntarie lac sugit, qui nutrit universa.

Novum nobis velut puerulum peperisti, sæculis omnibus antiquiorem, adolescentula unica speciosissima, gignens ineffabiliter Creatorem, o Virgo sanctissima, angelorum miraculum, atque hominum fidelium salus.

Diturnas animæ meæ passiones cura, o inviolata, te precor : atque omnium peccatorum meorum chirographum discinde lancea Filii tui, neque sinas perire me sperantem in te, o purissima.

Carnis meæ appetitus mortifica, o Deipara, quæ

Vitam peperisti, atque in viam pacis dirige semitas animæ meæ infelicissimæ, deducens me ad divinam Dei voluntatem faciendam.

Ecce nunc impleta est prophetia præconis divini : nam Virgo peperit illum, qui sæcula produxit ; cui modulantes assidue canimus, dicentes : Benedictus es, Deus patrum nostrorum.

Te, Dei omnium Domini Matrem, universæ generationes **232** generationum semper beatificant, o purissima, et sacris modis glorificant : omnium quippe fidelium asylum facta es, qui cum fide concinunt : Sacerdotes, benedicite ; populi, superexaltate in omnia sæcula.

Bonorum amica Virgo, quæ Verbum bonum ac Dominum peperisti, animam meam, quæ assidue ob serpentis assultus atque ictus ad mala propendet, festinans bonam fac, o bona, tanquam unicum præsidium lassorum, et salus laudantium te.

Ex canone in festo S. Ambrosii episcopi Mediolan., die 7.

Sine semine Filium Dei, ex decreto Patris, de Spiritu divino concepisti, atque incarnatum peperisti, qui ex Patre sine matre, et ex te sine patre propter nos natus est.

Genus hominum renovasti, sola naturæ nostræ Conditorem ac Dominum enixa ; quare te glorificamus, o Deo charissima.

Ille qui universa voluntate sua formavit, sponte

Ἐκ τοῦ Κανόνος εἰς τὸν ὅσιον Ἀμβρόσιον ἐπίσκοπον Μεδιολάνων, ἡμέρᾳ ζ'.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι ἐκ θείου Πνεύματος τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Γένος ἀνθρώπων ἐκαινούργησας, μόνη κυήσασα τὸν τῆς φύσεως ἡμῶν Δημιουργόν τε καὶ Κύριον · ὅθεν σε δοξάζομεν, Θεοχαρίτωτε.

Ὁ θελήματι τὰ πάντα δημιουργήσας δημιουργεῖ

(96*) Deest in Menæis impressis.

Digitized by Google

ται θέλων ἐξ ἁγνῶν σου αἱμάτων, σώζων τοὺς εἰδότας σε ἀγνὴν Θεομήτορα.

Βουλήματι τὸ πᾶν ὁ σοφῶς ἐργαζόμενος, βουλόμενος ἀναπλάσαι τοὺς ἀνθρώπους, Παρθένε, τὴν σὴν γαστέρα ᾤκησεν.

Ἴασαι τῆς ψυχῆς μου, Παρθένε, τὰ τραύματα ἐπισκιάσει σου θείᾳ, καὶ τὸν νοῦν μου λάμπρυνον σκοτισθέντα ἀμελείᾳ καὶ κακίᾳ ἐχθροῦ πολεμήτορος.

Ἰδοὺ, Παρθένε, ἐν τῇ γαστρί σου σὺ συνέλαβες Λόγον, τοῦ Πατρὸς συνάναρχον, καὶ σαρκὶ ἀπεκύησας δωρούμενον πᾶσιν ἀνάκλησιν, τοῖς ἐν Ἀδὰμ πεσοῦσι, πανάμωμε.

Ὕφθης ὑπερτέρα οὐρανῶν, Θεὸν οὐρανίον ἀποκυήσασα τὸν τὰ ἐπίγεια, πάναγνε, οὐρανίοις ἐπισυνάψαντα, καὶ τὴν ἐπίγνωσιν αὐτοῦ πᾶσι παρέχοντα τοῖς βοῶσι· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Φωνὴν σοι βοῶμεν, Παρθένε, περιχαρῶς τοῦ ἀρχαγγέλου· Χαῖρε, τῆς κατάρας ἡ λύσις· δεινῶν παντοίων, χαῖρε, ἡ λύτρωσις, ἡ τοὺς βροτοὺς θεώσασα τῇ ὑπὲρ νοῦν κυοφορίᾳ σου.

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους μάρτυρας Μηνᾶν, Ἑρμογένην, καὶ Εὔγραφον, ἡμέρᾳ ι'.

Ῥυσθῆναι, Κόρη πανάμωμε, παθῶν ἐπικρατείας τοὺς δούλους σου, τὸν σὸν ἐκτενῶς ἱκέτευε Κύριον καὶ Δεσπότην, ὃν ἐκ τῶν σῶν, πάναγνε, αἱμάτων ἐσωμάτωσας ἡμῖν προσομιλήσαντα.

Μόνην γυναιξὶ σε τὴν ὡραίαν τῷ κάλλει εὑράμενος, σωματοφόρος ἐκ γαστρός σου προελήλυθε, Κόρη, Χριστὸς, θείαις ὡραιότησι καταφαιδρύνασα γένος ἡμῶν· ὅθεν σε γεραίρομεν.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος, ἀνεβλάστησας τὸν φυτουργὸν πάσης τῆς κτίσεως, μαράναντα τὰ φυτὰ τῆς ἀκάρπου γνώσεως, πίστιν σε ἡμῖν ἀληθεστάτην φυτεύσαντα εὐσεβῶς, ἄχραντε Παρθένε πανύμνητε.

Ἁγίων ἀγγέλων, Παρθένε ἁγνὴ, ὑπερέχουσα ὤφθης, κυήσασα βουλῆς μεγάλης ἄγγελον, Θεὸν Ἐμμανουὴλ, βροτοὺς ἐπουρανίους αὐτοῦ τῇ καταβάσει ἐργασάμενον, Κόρη, δι' εὐσπλαγχνίαν ἀδιήγητον.

Ἔστη μέχρι σοῦ, Παρθένε, ὁ θάνατος· ζωὴν γὰρ Χριστὸν ἐκυοφόρησας τὸν δωρούμενον καθαρῶς εἰς αὐτὸν τοὺς πιστεύοντας τὴν ἀθάνατον καὶ θείαν ἀπολύτρωσιν· τοῦτον, παναγία, αἴτησαι λυτρωθῆναι πταισμάτων τοὺς δούλους σου.

Οὐ φλέξας σου τὴν μήτραν, οὐ σαλεύσας παρθενίας σήμαντρα ὁ σαρκωθεὶς Λόγος ἐκ σοῦ προελήλυθε, παρέχων ἡμῖν ἀφθαρσίαν καὶ ζωὴν, Κόρη, τοῖς μέλπουσιν· Ὁ τῶν πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Στάμνον σε τὸ μάννα κεκτημένην τῆς θεότητος ἐγνωμεν, Κόρη, κιβωτὸν, καὶ τράπεζαν, καὶ λυχνίαν, καὶ θρόνον Θεοῦ, καὶ παλάτιον, καὶ γέφυραν μετάγουσαν πρὸς θείαν ζωὴν τοὺς ἀναμέλποντας· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

formatur ex castis sanguinibus tuis, salvans eos qui te veram Dei Matrem agnoscunt.

Qui consilio suo universum condidit sapienter, volens homines reformare, uterum tuum, o Virgo, inhabitavit.

Medere, Virgo, vulneribus animæ meæ divina visitatione tua, mentemque meam negligentia ac malitia bellatoris hostis obtenebratam, luce serena perfunde.

Ecce, o Virgo immaculatissima, in utero tuo concepisti Verbum Patri coæternum, et incarnatum peperisti, a quo universis ex Adam natis jam collapsis donatur reparatio.

Sublimior cœlis visa es, Deum cœlorum enixa, o castissima, qui cœlestibus terrena conjunxit, suique cognitionem **233** præbuit omnibus clamantibus : Omnia opera, laudate Dominum.

Cum voce archangeli ad te lætanter clamamus, o Virgo : Ave, maledictionis solutio : ave, omnium malorum redemptio, quæ partu tuo inexcogitabili homines deificasti.

Ex canone in festo SS. Menæ, Hermogenis et Eugraphi martyrum, die 10.

Ut servi tui a passionum tyrannide liberentur, exora, o intemeratissima Puella, impense Dominum ac Despotam tuum, quem ex castis sanguinibus tuis corporasti, o castissima, quique nobiscum conversatus est.

Solam te inter mulieres pulchritudine speciosam inveniens Christus, o Puella, incarnatus processit ex utero tuo, divina pulchritudine decorans genus nostrum ; quamobrem te veneramur.

Virga ex radice Jesse, florem protulisti universæ creaturæ satorem, qui infrugiferæ scientiæ plantas arefecit, fidem autem verissimam nobis cum devotione plantavit, o Virgo inviolata, omni laude dignissima.

Sanctis angelis eminentior apparuisti, o Virgo casta, magni consilii Angelum, Deum Emmanuel enixa, qui descensione atque humiliatione sua homines fecit cœlestes, o Puella, propter inenarrabilem misericordiam suam.

Usque ad te mors perduravit, o Virgo ; vitam enim Christum genuisti, qui pure in se credentibus immortalem ac divinam redemptionem donavit. Hunc, o sanctissima, deprecare, ut servi tui a lapsibus liberentur.

Verbum ex te incarnatum, o Puella, uterum tuum non comburens, virginitatis signa non commovens, processit, præbens incorruptionem et vitam nobis concinentibus : **234** Benedictus es, Deus patrum nostrorum.

Te urnam, divinitatis manna continentem agnovimus, o Puella : te arcam et mensam, te lucernam ac thronum Dei, te palatium et pontem ad divinam vitam transducentem eos qui concinunt : Benedicat omnis creatura Domino, et superexaltet eum in omnia sæcula.

Digitized by Google

Splendorem fulgureum partus tui natura nostra abjecta vidit, o purissima, et a nocte ignorantiæ et a tenebrosa passionum confusione liberata est : propterea te tanquam salutis nostræ causam veneramur.

Ex canone in festo S. Danielis Stylitæ conf., die 11.

Totus homo ac perfectus apparuit, permanens id quod erat etiam post incarnationem, immutabilis Dominus, qui ex te natus est, o Deipara.

Libera me, Domina, a passionum violentia, et expugna nunc hostes impugnantes me : stabilem me firma in petra divinæ voluntatis ; animam meam illumina, o porta lucis divinæ.

Naturæ leges in te innovatæ sunt ; Verbum enim legislatorem, o castissima, vere supra causam ac rationem, genuisti, quod ab irrationalitate liberavit genus hominum, qui fideliter concinunt : Gloria potentiæ tuæ, o amator hominum.

Dominum enixa, supernis potestatibus sublimior facta es, hominumque naturam deificasti, o sola omni laude dignissima. Unde te verissimam Deiparam, o Virgo, nos fideles corde et ore glorificamus.

Te patrocinium ac propugnaculum omnes fideles habemus, qui in profundo malorum, et in salo tribulationum semper periclitamur, o Deipara, sola hominum præsidium.

Propitia esto mihi, Virgo ; et me peccati rhomphæa vulneratum **235** fomento intercessionis tuæ cura ac sana, dum clamo : Benedictus fructus ventris tui.

Illi qui te Deiparam esse sentiunt, o Domina sanctissima atque omni laude celebranda, verbis tuis inhærentes nunc beatam te dicunt, quoniam beatum Deum nobis peperisti, quem in duabus naturis atque unica persona laudantes clamamus : O pueri, benedicite ; sacerdotes, laudate ; populi, superexaltate eum in omnia sæcula.

Parce mihi, Salvator, qui natus, illæsam atque incorruptam Genitricem tuam conservasti post partum, cum sedebis, ut judices opera mea ; dissimulans iniquitates meas et peccata mea, tanquam impeccabilis, tanquam Deus miserator atque hominum amator.

Ex canone in Dominica in qua celebratur memoria primorum patrum Adæ et Evæ.

Divinis oraculis aurem præbeamus, Christi apparitionem reboantibus. Ecce enim in spelunca nascitur, ex virgine puella ille, cujus partum horrore plenum astrologis apparens stella præmonstrat.

Nunc exspectatio gentium ex Virgine procedit : et Bethleem opportune aperit paradisum Edem qui clausus erat, suscipiens Verbum corporatum, et in præsepio, secundum carnem, reclinatum.

Nunc redemptio nostra in præsepio reclinatur, et tanquam infans fasciis involvitur : et Magi reges veniunt ab Oriente ad videndum illum tanquam Deum ac regem natum super terram, et ad adorandum illum cum donis fideliter.

Φέγγος ἀστραπῆς τοῦ τόκου σου ἡ ἀπωθεῖσα φύσις ἡμῶν, πανάμωμε, εἶδε, καὶ νυκτὸς ἐξ ἀγνωσίας λελύτρωται, καὶ παθῶν τῆς σκοτώδους συγχύσεως· διό σε ὡς αἰτίαν τῆς σωτηρίας ἡμῶν σέβομεν.

Ἐκ τοῦ κανόνος εἰς τὸν ὅσιον Δανιὴλ τὸν Στυλίτην, ἡμέρᾳ ια'.

Ὅλος ἄνθρωπος ὤφθη, μείνας ὅπερ ἦν, καὶ μετὰ σάρκωσιν, ὁ ἐκ σοῦ Θεὸς γεννηθείς ἀναλλοίωτος Κύριος.

Ῥῦσαι τῆς τῶν παθῶν με ἐπαγωγῆς, Δέσποινα, καὶ τοὺς πολεμοῦντας ἐχθρούς με νῦν ἐκπολέμησον· στήριξον πέτρᾳ με τῇ τοῦ Θεοῦ θελημάτων· τὴν ψυχήν μου φώτισον, πύλη τοῦ θείου φωτός.

Νόμοι ἐν σοὶ φύσεως κεκαινοτόμηνται· νομοδότην Λόγον γὰρ ἐγέννησας ὑπὲρ αἰτίαν ὡς ἀληθῶς, πάναγνε, καὶ λόγον, τῆς ἀλογίας ῥυσάμενον τὸ γένος τῶν ἀνθρώπων, τῶν πιστῶς μελῳδούντων· Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε

Τὸν Δεσπότην τεκοῦσα ὤφθης ὑπερτέρα τῶν ἄνω δυνάμεων, καὶ βροτῶν τὴν φύσιν ἐθεούργησας, μόνη πανύμνητε· Θεοτόκον σὲ παναληθεῖ ψυχῇ καὶ γλώσσῃ οἱ πιστοί σε, Παρθένε, δοξάζομεν.

Σὲ προστασίαν πιστοὶ καὶ τεῖχος πάντες κεκτήμεθα, οἱ ἐν βυθῷ τῶν κακῶν καὶ σάλῳ τῶν θλίψεων ἀεὶ κινδυνεύοντες, Θεοτόκε μόνη, τῶν βροτῶν τὸ καταφύγιον.

Ἵλεος ἔσο μοι, Παρθένε, καὶ πληγέντα με ῥομφαίᾳ ἁμαρτίας ἐν μωτώσει τῆς σῆς θεράπευσον πρεσβείας κράζοντα· Εὐλογημένος ὁ καρπὸς τῆς σῆς κοιλίας.

Οἱ Θεοτόκον, Δέσποινα παναγία, φρονοῦντές σε, ῥήμασιν ἐπόμενοι τοῖς σοῖς, πανύμνητε σεμνή, μακαρίζομεν, ὅτι Θεὸν μακάριον ἔτεκες ἡμῖν, ὃν ἐν δυσὶ ταῖς οὐσίαις, μιᾷ δὲ ὑποστάσει ἀνυμνοῦντες βοῶμεν· Οἱ παῖδες, εὐλογεῖτε, ἱερεῖς, ἀνυμνεῖτε, λαός, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φεῖσαί μου, Σῶτερ ὁ τεχθεὶς καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου, τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου ὡς ἀναμάρτητος, ἐλεήμων ὡς Θεός, καὶ φιλάνθρωπος.

Ἐκ τοῦ κανόνος εἰς τὴν Κυριακὴν τῆς μνήμης τῶν ἁγίων προπατόρων Ἀδὰμ καὶ Εὔας

Ῥητῶν ἐνθέων ἀκούσωμεν, βοώντων τοῦ Χριστοῦ τὴν ἀνάδειξιν· ἰδοὺ γὰρ σπηλαίῳ τίκτεται, Κόρης ἐξ ἀπειρογάμου, οὗ τὸν φρικτὸν τόκον προμηνύει ἀστρολόγοις ὁ ἀστὴρ ἐπιφαινόμενος.

Νῦν ἡ προσδοκία τῶν ἐθνῶν ἐκ Παρθένου προέρχεται, καὶ Βηθλεὲμ τὴν κεκλεισμένην ὑπανοίγει προσφόρως Ἐδέμ, Λόγον σωματούμενον εἰσδεδεγμένη, καὶ φάτνῃ σαρκὶ ἐπανακλινόμενον.

Νῦν ἡ ἀπολύτρωσις ἡμῶν ἐν φάτνῃ ἀνακλίνεται, καὶ σπαργανοῦται ὥσπερ νήπιον, καὶ Μάγοι ἀνατολῶν βασιλεῖς ἀφίκοντο, τοῦτον ὡς Θεὸν καὶ βασιλέα τεχθέντα ἐπὶ τῆς γῆς βλέψαι, προσκυνῆσαι σὺν δώροις πιστῶς.

Digitized by Google

Ὁ πλήρης κενοῦται σαρκὶ δι' ἡμᾶς, καὶ ἀρχὴν ὁ προάναρχος δέχεται, πτωχεύει δὲ ὁ πλούσιος καὶ Λόγος ὢν Θεοῦ ἐν φάτνῃ τῶν ἀλόγων, προσκλίνεται ὡς βρέφος, τῶν πάντων ἀνάπλασιν ἀπ' αἰῶνος ἐργαζόμενος.

Qui plenus erat, propter nos exinanitur secundum carnem; et qui erat ante principium, incipit esse: qui dives erat, fit mendicus; et qui est Verbum Dei, in præsepio **236** brutorum irrationalium reclinatur, ut infans, omnium qui a sæculo sunt reparationem faciens.

Νέον ἐπὶ γῆς παιδίον γνωρίζεται ὁ ὢν σὺν Πατρὶ ἀεὶ καὶ Πνεύματι, σπαργανοῦται δὲ ὁ τὴν γῆν σπαργανώσας ὁμίχλῃ σαφῶς, καὶ ἐν φάτνῃ τῶν ἀλόγων ἀνακέκλιται· τούτου νῦν προεορτάσωμεν γεγηθότες τὴν ἄσπορον γέννησιν.

Novus in terra puer agnoscitur, qui semper est cum Patre et Spiritu: fasciis autem involvitur ille qui tanquam fasciis, nebula terram manifeste circumdat; et in stabulo irrationalium reclinatur. Hujus nunc lætabundi incorruptam nativitatem festis vocibus præveniamus.

Ἰδοὺ, καθὼς προεῖπεν ὁ προφήτης, ἐν γαστρὶ συνέλαβεν ἡ ἀπειρόγαμος Θεὸν, καὶ τεκεῖν σαφῶς ἐπείγεται ἐν σπηλαίῳ Βηθλεὲμ, ᾧ πάντες ψάλλομεν· Ὁ τῶν πατέρων Θεὸς, εὐλογητὸς εἶ. B

Ecce, quemadmodum prædixit propheta, Virgo Deum concepit in utero, et proxima est ad illum manifeste pariendum in spelunca Bethleem: cui omnes psallimus: Benedictus es, Deus patrum nostrorum.

Ὤφθης ἐκ παρθενικῶν, Χριστὲ, αἱμάτων σωματούμενος ἀῤῥήτῳ λόγῳ, καὶ ὡς βρέφος τέλειον ἐν σπηλαίῳ, ὑπερβολῇ εὐσπλαγχνίας, Ἰησοῦ, ἀποτικτόμενος· ἀστὴρ δέ σε πόῤῥωθεν ἐμήνυσεν ἀστρολόγοις· Ὑμνεῖτε, πίστει κραυγάζουσι, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Apparuisti, Christe Jesu, incarnatus ex virgineis sanguinibus, ineffabili verbo: et tanquam perfectus infans, propter excessum misericordiæ in spelunca natus es. Stella autem te a longe astrologis manifestavit, cum fide clamantibus: Laudate et superexaltate Christum in sæcula

Φορέσας με ἐκ τῆς Παρθένου προέρχεται, καὶ σπηλαίῳ τίκτεται Λόγος ὁ τοῦ Πατρὸς ἀσυγχύτως, χόρευε, ἡ κτίσις, φωναῖς εὐχαρίστως μεγαλύνουσα αὐτοῦ τὴν δι' οἶκτον παναγίαν συγκατάβασιν.

Portans me tanquam vestimentum, ex Virgine procedit, et in spelunca nascitur Verbum Patris sine commistione. Tripudiate, creaturæ, et gratis vocibus sanctissimam illius demissionem, quæ ex misericordia processit, magnificate.

Ἐκ τοῦ κανόνος εἰς τὸν ἅγιον μάρτυρα Ἐλευθέριον, ἡμέρᾳ ιε'. C

Ex canone in festo S. Eleutherii martyris, die 15.

Ὡς θρόνος πυρίμορφος, τὸν Κτίστην φέρεις, ὡς ἔμψυχος θάλαμος καὶ τερπνὸν παλάτιον, τὸν βασιλέα χωρεῖς γενόμενον ὅπερ ἡμεῖς, Θεοχαρίτωτε.

Tanquam thronus igniformis portas Creatorem; tanquam thalamus animatus, jucundumque palatium Regem continens factum similem nobis, o Deo charissima.

Ῥάβδος δυνάμεως ἐβλάστησας τὸν Χριστὸν, ἐν ᾧ στηριζόμεθα· σὲ γὰρ ἐτύπου Ἀαρὼν ῥάβδος ποτὲ βλαστήσασα, ἀγεώργητε ἀγνὴ, περιστερὰ ἀειπάρθενε.

Virga virtutis germinasti Christum, in quo stabiles efficimur; te enim olim virga Aaronis pullulans figuravit, o casta, culturæ nescia, columba semper virgo (97).

(97) De hac columba verba faciens Bernardinus de Busto in Mariali serm. 6, de Concept. parte II, ait inter alia: « Gloriosa Virgo ab omni labe immaculata, fuit figurata per columbam albam et mundissimam, quæ de arca Noe egrediens, atque nihil fœditatis tangens, cum ramo virentis olivæ est reversa, ut habetur Genes. VIII cap., quod fuit D in signum victoriæ. Ideo non debet corvus contra eam erocitare, licet eo mortuorum corporum putredine fœdato, ipsa purissima columba in nullo penitus fuerit maculata. » Sic ille. Favet S. Andreas Cretensis in canone De conceptione B. Virginis ode 6, dum inquit:

Anna Columbam immaculatam concipiens in utero
Impleta fuit verissimo spirituali gaudio.

Quibus verbis cum Virginem primo statim initio suo dixerit columbam immaculatam, negavit fuisse primo ex peccato originali corvum. Apparuit Spiritus sanctus in columbæ specie, cum Christus Dominus in fluminis Jordani undis effigiem peccatoris abluebat. Post lustralis undæ fluxum evanuit columba, solum efformata ad signum, et tamen tam cito transitura, sedulo delectu seligitur inter alites candidior, sincerior absque felle. Dominus ergo Matrem eligeret semper mansuram novem mensium claustrum, quæ aliquando sub felle, sub labe, et dedititii fuisset generis consors? Quid? Venis ad hominem in serpente callidus hostis (inquit Hugo Victorinus apud Tilmanum in Allegoriis), qui fortasse, si permissus fuisset, in forma columbæ venire maluisset, sed hoc vas sibi Spiritus sanctus reservavit, quia profecto dignum non erat, ut spiritus malignus formam homini odiosam faceret, in qua postmodum idem Spiritus sanctus apparere debuisset. » Sic ille. Et Magister Sententiarum libr. II, dist. 21: « Voluisset quidem dæmon in specie columbæ venire; hæc nempe, ut animal innoxium et simplex, ad mulierem decipiendum congruentissimum diabolo fuisset instrumentum; sed non erat consentaneum et conveniens, ut per immundum et malignum spiritum redderetur homini columba invisa et exosa, in cujus postea specie Spiritus sanctus hominibus erat appariturus. » Hæc Magister. Dignum igitur non fuit ex Hugone, columbam, in qua tot ante sæcula erat appariturus Spiritus, a callido hoste prius invadi, ne sic odiosa hominibus fieret, et inhabilis Spiritui sancto portando redderetur. Et dignum erit columbam nostram, Virginem Deiparam, Dei Filio portando ab æterno destinatam, a prima sui origine

Digitized by Google

Angelorum exercitus obstupuerunt, videntes quo pacto invisibilis, in forma nostra ex te, o Virgo Dei Genitrix, **237** accepta, visibilis factus esset : quem tu supplex precare, ut omnes qui te cum fide glorificant, salutis dignos efficiat.

Ἐξέστησαν ὁρῶσαι ἀγγέλων στρατιαὶ, πῶς ὁ ἀθεώρητος μορφῇ τῇ καθ' ἡμᾶς ἐκ σοῦ ὡράθη, Παρθένε Θεοκυῆτορ, ὃν ἐκδυσώπει σωτηρίας ἀξιῶσαι πάντας τοὺς πιστῶς σε δοξαζομένους

In admirationem rapit omnem mentem miraculum tuum, o Virgo; paris enim Deum cum corpore, et nutrientem lacte nutris, sine virilis tori experientia, eo modo quem solus ipse novit.

Ξενίζει πᾶσαν ἔννοιαν τὸ θαῦμά σου, ἀγνή· τίκτεις γὰρ Θεὸν μετὰ σώματος, καὶ τὸν τροφέα τρέφεις γάλακτι, πεῖραν ἀνδρὸς μὴ γνοῦσα, αὐτὸς ὡς εἶδε μόνος.

O Maria, quæ tabernaculum sanctificationis effecta es, sanctifica miseram animam meam voluptatum sordibus inquinatam, et divinæ gloriæ participem effice illam.

Ἁγιάσματος σκηνὴ δεδειγμένη, Μαρία, μιανθεῖσαν ἡδοναῖς τὴν ἀθλίαν μου ψυχὴν ἁγίασον, καὶ θείας δόξης μέτοχον ποίησον.

Te solam mundissimam inveniens mundissimum Verbum Dei, o Dei sponsa immunis ab omni labe, ex utero tuo natum, emundat nos fideles a sordibus nobis adhærentibus ex passionum intemperantia.

Καθαρωτάτην μόνην σε εὑρὼν, πανάμωμε, Λόγος καθαρώτατος Θεοῦ σου ἐκ γαστρὸς ἀποτεχθεὶς πιστοὺς καθαίρει μολυσμοῦ, Θεόνυμφε, προσγενομένου ἡμῖν ἐξ ἀκρασίας παθῶν.

Tanquam imber descendit Christus in ventrem tuum, o Virgo, et universas vere irrigavit creaturas, exsiccans lutulenta idololatriæ flumina, solus benefícus.

Ὡς ὄμβρος ἐν μήτρᾳ σου κατῆλθεν ὁ Χριστὸς, καὶ πᾶσαν κατήρδευσε τὴν κτίσιν ἀληθῶς, ξηράνας, Παρθένε, θολεροὺς ποταμοὺς εἰδωλομανίας, ὁ μόνος εὐεργέτης.

Parce nobis, Domine, qui ineffabilem nativitatem tuam ex Virgine collaudamus, liberans nos famulos tuos a tentationibus, passionibus et angustiis, per intercessiones ejusdem Virginis : tu quippe benefícus es, et solus amator hominum

Φεῖσαι ἡμῶν τῶν ὑμνούντων σου, Κύριε, τὴν ἐκ Παρθένου ἀνέκφραστον γέννησιν, πειρασμῶν ῥυόμενος, καὶ παθῶν, καὶ θλίψεων ταῖς ἱκεσίαις αὐτῆς τοὺς σοὺς οἰκέτας, ὡς εὐεργέτης καὶ μόνος φιλάνθρωπος.

Ex canone in S. Marinum (97*), *die* 16.

Multinoma puella, salve : sancta Maria Mater Christi, et Virgo : fidelium gloriatio, maledictionis redemptio, Evæ revocatio, miraculum inintelligibile, rubus incombustus, terra inculta.

Divíniloquorum prophetarum voces, prænuntiaverunt te, o Virgo, futuram Dei Genitricem, qui propter **238** ineffabilem misericordiam suam, humanam formam assumpsit.

Rumpitur sepes antiquæ maledictionis partu tuo : paris enim Deum Emmanuel, o castissima, qui benedictionibus universos terræ fines illustravit atque exhilaravit : quem laudantes, te cum fide glorificamus.

Novum nobis genuisti infantem, o casta, qui ex Patre sine tempore natus est ante sæcula : propterea, o Puella, te merito beatificamus.

Portam te vidit Ezechiel, o Deipara, per quam transivit Sol gloriæ, qui hominem a corruptione eripuit : quem deprecare pro redemptione servorum tuorum.

Dei genitrix Maria, impensis precibus supplica Domino ac Filio tuo, ut ab igne liberentur ii, qui cum affectu modulantes canunt : Benedictus es, Deus patrum.

Vidit te Jacob scalam, o purissima, in qua innixus erat Deus, e terra ad cœlum exaltans eos qui cum orthodoxa fide clamant assidue : Benedicite, opera Domini, Dominum.

Facta Dei Mater procul ab omni corruptela ac sorde, omnibus supernis ordinibus nunc eminentior sedes; teque laudant, et cum affectu beatam dicunt omnes generationes, quemadmodum prædixisti, o casta : propterea ab omni necessitate libera mundum precibus tuis.

Ex canone in festo S. Sebastiani, et sociorum, die 18.

Ἐκ τοῦ κανόνος εἰς τὸν ἅγιον μάρτυρα Σεβαστιανὸν, καὶ τοὺς σὺν αὐτῷ, ἡμέρᾳ ιη'.

Novum filium peperisti, eum qui cum Patre ante

Νέον ἀπεκύησας υἱὸν, τὸν πρὸ αἰώνων Πατρὶ

fuisse maledicti serpentis veneno cumulatam, ut hoc pacto humano generi amabilis esset et divinæ maternitati idonea præpararetur? Si ex mente insignis theologi (ut in suo opere *De Conceptione* n. 1432 optime ratiocinatur Pintus Ramyrez) phantastica illa specie columbæ, etiam Spiritu sancto gravida horrori hominibus veniret, quia vera aliquando columba ipsius dæmonis bajulam se gessisset, quid si illa columba, quam diabolus reipsa induceret, postea indumentum Spiritus sancti scriberetur? Si nulla latentis Dei mundities umbram priscæ columbæ nobis redderet plausibilem, quid si veritas ipsa obtruderetur? Cogita ergo

columbam nostram reipsa ab origine dæmonis bajulam, et putabis non futuram Christo horrori ut ab eadem bajulari pateretur? Foret tibi exosa species columbæ a primo sæculo, et Christo veniret grata veritas paulo ante præcorrupta? Et tamen columba nihil reipsa a dæmone contraheret, nihil Deo traderet, quid autem inde contraheret Maria, quid Deo dedit omnes norunt. Quidni ergo purissimam in intimis hospitium et singularem thronum columbam Verbo divino pararet Spiritus sanctus, qui sibi vitiatam etiam columbæ umbram penitus evitavit?

(97*) Deest in Menæis impressis.

Digitized by Google

συννοούμενον, φύσεως καινίσασα νόμους, ἀγνὴ, Παρθενομῆτορ ἄχραντε, ἐν τῇ ὑπὲρ φύσιν σεπτῇ καὶ θείᾳ γεννήσει σου.

Ἁγίασμα ὥφθης νοητὸν τοῦ πάντας ἁγιάζοντος, καὶ καθαρὸν, πανάμωμε, σκήνωμα· ἐκ σοῦ γὰρ ὥφθη Θεὸς σαρκούμενος, καὶ διπλοῦς φύσεσι κόσμῳ γνωριζόμενος ἐν μιᾷ ὑποστάσει, Θεόνυμφε.

Μόνην σε πασῶν ἐκ γενεῶν ἐξελέξατο ὁ ὑπερούσιος Θεὸς, καὶ οὐσιώθη δι' ἡμᾶς γενόμενος ἄνθρωπος ὁ πλαστουργὸς τῆς ἀνθρωπίνης ὑπάρξεως, Θεογεννῆτορ, πανάμωμε Δέσποινα.

Ὑπέρφωτε τοῦ ἡλίου νεφέλη, πανάμωμε, ἀπέλασον τῆς ψυχῆς μου τὰ νέφη πρεσβείᾳ σου, καὶ τὸν νοῦν μου φώτισον τῇ ἀμελείᾳ σκοτισθέντα, ὅπως ὑμνῶ σε, πανύμνητε.

Φθαρεῖσαν τὴν ἡμῶν ἐκ παραβάσεως οὐσίαν ἀνεκαίνισας, τὸν καινίζοντα τὰ πάντα θεϊκῷ μόνῳ τῷ βουλήματι κυήσασα, ἐν γυναιξὶν εὐλογημένη Θεοχαρίτωτε.

Στάμνον χρυσῆν, παναγίαν τράπεζαν τοῦ Θεοῦ ἄρτου τῆς ζωῆς, ὀνομάζομέν σε, ἁγνὴ, τόπον ἁγιάσματος, θρόνον ὑψηλότατον, ἐν ᾧ Θεὸς ἀνεπαύσατο, ὁ αἰνετὸς τῶν πατέρων Θεός.

Ὡραιώθης τέξασα Θεὸν ὡραῖον καὶ Δεσπότην τὸν θείαις καταφαιδρύναντα ἀκτῖσι τοὺς βροτοὺς, ὀγνὴ, ᾧ κραυγάζομεν· Εὐλογεῖτε, πάντα τὰ ἔργα, τὸν Κύριον.

Φρίττει νοερὰ στρατεύματα τὸ τοῦ Πατρὸς ὁρῶντα θεῖον ἀπαύγασμα, σοῦ ἐν ταῖς χερσὶν ἀνερμηνεύτως κρατούμενον, καὶ τὸ σὸν κεκτημένον ὁμοίωμα, ἵνα βροτοὺς θεώσῃ, Παρθενομῆτορ ἀπειρόγαμε.

Ἐκ τοῦ κανόνος εἰς τὸν ἅγιον μάρτυρα Βονιφάτιον, ἡμέρᾳ ιθ'.

Τὸ ὄρος τοῦ Θεοῦ, Δανιὴλ ὁ προεῖδε, τὴν σκηνὴν τὴν νοητὴν, τὴν πλάκα τὴν σεπτὴν, τὸ τῆς δόξης ἁγίασμα, τράπεζαν τὸν θεῖον ἄρτον τὴν χωρήσασαν, ᾄσμασι τὴν ἁγίαν Παρθένον ὑμνήσωμεν.

Ἑαυτὸν ἐκένωσεν ἐν τῇ γαστρί σου, μὴ κενώσας τοὺς Πατρικοὺς κόλπους ὁ ὑπερούσιος Θεὸς, καὶ σὸς υἱὸς ἐγένετο, πανάμωμε, σώζων τὸ ἀνθρώπινον.

Παρθενίαν μετὰ τόκον ἐσφραγισμένην κατανοοῦσα, Κόρη, τὸν ἀφράστως τεχθέντα Λόγον ἐκ λαγόνων σου πιστῶς ἐμεγάλυνες.

A sæcula simul esse intelligitur; ac naturæ leges innovasti, o casta Virgo, mater inviolata in partu tuo divino ac venerando, qui fuit supra totam naturam.

Facta es spiritalis sanctificatio illius qui sanctificat universa, ac mundum ejusdem tabernaculum, o immaculatissima **239** Dei sponsa; ex te enim apparuit Deus incarnatus qui in duplici natura atque unica hypostasi mundo notificatur.

Te solam ex universis generationibus elegit supersubstantialis Deus, et substantialis factus est propter nos natus homo, substantiæ humanæ plasmator, o Dei Genitrix, purissima Domina.

O tota immaculata, lucidissima solis nubes, depelle animæ meæ nubes intercessionibus tuis, B et mentem meam illumina, negligentiæ tenebris obductam, ut laudare possim te, o omnibus laudibus digna.

Substantiam nostram, ob transgressionem corruptam, renovasti, illum enixa, qui sola divina voluntate sua innovat universa, o benedicta inter mulieres, divina gratia cumulatissima.

Te urnam auream, te mensam sanctissimam divini panis vitæ, te locum sanctificationis, o casta, nominamus, ac thronum altissimum in quo requievit laudabilis Deus patrum nostrorum.

Speciosa facta es, o casta, speciosum Deum ac Dominum enixa, qui divinis splendoribus suis mortales illustrat; cui clamamus: Benedicite, omnia opera, Dominum.

C Horrescunt spiritales exercitus videntes divinum Patris splendorem, in tuis manibus inexplicabili modo detentum, et similitudinem tuam possidentem, ut homines deificet, o Virgo mater innupta.

Ex canone in festo S. Bonifacii martyris, die 19.

Montem Dei, quem Daniel prævidit, tabernaculum spiritale, tabulam veneranJam (98), gloriæ sanctificationem, mensam in qua panis divinus continetur, sanctam Virginem canticis collaudemus.

240 Seipsum exinanivit in utero tuo, nec tamen Paternum exinanivit sinum supersubstantialis Deus, et tuus filius factus, o purissima, ut salvum D faceret genus humanum.

Cum intelligeres, o Puella, virginitatem tuam post partum sigillatam permansisse, Verbum ex visceribus tuis ineffabiliter natum fideliter magnificabas.

(98) P. Joan. Eusch. Nierembergius in suis Exceptionibus cap. 13, cum ex anonymo prisco auctore Græco Deiparam Virginem appellasset tabulam a Deo scriptam, subdit: « Nimirum per Spiritum sanctum, qui suis Eam characteribus ab ipsa conceptione, qua formata fuit, exornavit, nec enim in illa prius aliquid scripserat dæmon. » Alludit ad tabulas legis digito Dei scriptas, quarum perfectio, propter quam dicitur lex Dei immaculata, typum referebat sanctissimæ Mariæ. Hoc magis declaratur ex Menæis Græcis die 10 Junii, ode 9, de S. Methodio, ubi dicitur:

Te novæ legis arcam vocamus,
Unaque novæ legis tabulam,
Ab ipso Numine sculptam,
Cui suum Deus Verbum inscripsit,

Pulchre, *novæ legis tabula*, a veteri peccati lege et communi antiqui delicti consortio aliena; pulchrius: ab ipso Numine sculpta, ut conceptionis Mariæ non nisi Deus artifex fuerit.

Digitized by Google

Clamo ad te, o Virgo, emunda ab omni sorde animam meam, et salvum fac me, o casta, quæ Salvatorem Deum verum in terra corporasti.

Rubus te ante præfigurabat, o omni laude dignissima, et castissima, dum ardebat et non comburebatur : etenim tu similiter non es combusta, quamvis Deus ex te incarnatus fuerit.

Ut lætis vocibus laudare possim te, o puella, libera me intercessionibus tuis a periculis, tribulationibus, et pravis cogitationibus, quæ me vexare conantur.

In te, Virgo casta, descendens ille superdivinus, incarnatus est eo modo quem ipse novit, atque homines deificavit, qui concinunt: Benedicite, omnia opera, et laudate Dominum.

Luce tua illumina me, o purissima Deipara, peccati tenebris occupatum, et concede mihi, o sponsa Dei, ut ambulem in die divinorum mandatorum, ut laudare possim te omni laude dignissimam.

A Ῥύπου πάντος ἀπόπλυνον, Παρθένε, τὴν ἐμὴν ψυχὴν, βοῶ σοι, καὶ σῶσόν με, ἁγνὴ, ἡ τὸν ἀληθῆ Θεὸν Σωτῆρα ἐπὶ γῆς σωματώσασα.

Ἡ βάτος σε προετύπου, πανύμνητε, πρότερον καιομένη, μηδαμῶς δὲ φλεγομένη, πάναγνε· καὶ γὰρ ὡς ἐκείνη οὐκ ἐφλέχθης Θεὸν σωματώσασα.

Ἵνα φωναῖς αἰσίαις ὑμνολογῶ σε, Κόρη, παθῶν με ῥῦσαι ταῖς πρεσβείαις σου, κινδύνων, καὶ θλίψεων, καὶ πονηρῶν λογισμῶν, κακῶσαί με ζητούντων.

Ἐπὶ σὲ τὴν ἁγνὴν ὁ ὑπέρθεος κατελθὼν, ὥσπερ οἶδε, σεσάρκωται, καὶ τοὺς βροτοὺς ἐθέωσε μελῳδοῦντας, Παρθένε· Πάντα τὰ ἔργα, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

B Φωτί με καταύγασον τῷ σῷ, πανάμωμε, τὸν ἐν σκότει συνεχόμενον τῆς ἁμαρτίας, Θεότοκε, καὶ δίδου ἐν ἡμέρᾳ πορεύεσθαι ἐνθέων προσταγμάτων, Θεόνυμφε, ὅπως ὑμνῶ σε τὴν πανύμνητον.

Ex canone in pervigiliis seu præparationibus ad festum Nativitatis Domini, die 20.

Ἐκ τοῦ κανόνος εἰς τὰ προεόρτια τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου, ἡμέρᾳ κ'.

Paradisus Edem reseratur, nascente te, Domine, ex puella Dei filia, secundum carnem in civitate Bethleem. Providentiam tuam admirabilem hymnis collaudamus.

Ἐδὲμ διανοίγεται, σοῦ γενομένου ἐκ κόρης θεόπαιδος ἐν τῇ πόλει, Δέσποτα, τῇ Βηθλεὲμ ἐν σαρκί· ὑμνολογοῦμεν τὴν φρικτὴν οἰκονομίαν σου.

Jam stella exorta est ex tribu Juda, quam cum agnovissent reges, ex Oriente advenerunt accelerantes iter, **241** ut viderent Christum natum in Bethleem secundum carnem.

C Quomodo, o Verbum, suscipiet te spelunca angustissima ac vilissima, natum in carne? Quomodo fasciis involveris, tu qui nubibus circumdas polum? Quomodo tanquam infans in brutorum stabulo reclinaberis?

Ἄστρον ἤδη ἀνατέταλκεν ἐκ φυλῆς Ἰούδα, ὅπερ ἐπιγνόντες βασιλεῖς κινήσεις ἀνατολῶν ποιοῦνται, καὶ φθάσαι ἐπείγονται, ὅπως θεάσωνται Χριστὸν ἐν Βηθλεὲμ σαρκὶ τικτόμενον.

Πῶς δέξεταί σε, Λόγε, τικτόμενον σαρκὶ τὸ σπήλαιον μικρότατον καὶ λίαν εὐτελές; πῶς εἱλιθήσῃ σπαργάνοις, ὁ περιβάλλων πόλον νεφέλαις; πῶς ἐν φάτνῃ τῶν ἀλόγων ἐπανακλιθήσῃ ὡς νήπιον;

O Edem olim mihi clausa, aperire in posterum, videns Christum infantem incarnatum, et in civitate Bethleem, quemadmodum illi placitum fuit, ex puella Virgine natum.

Ἐδὲμ πάλαι κλεισθεῖσά μοι ἀνοίχθητι λοιπὸν, βλέπουσα Χριστὸν σαρκὶ νηπιάσαντα, καὶ ἐν τῇ πόλει, ὡς ηὐδόκησε, τῆς Βηθλεὲμ ἐκ κόρης τικτόμενον Παρθένου.

In spelunca Bethleem puella manifeste parit Deum factorem universi, et tanquam hominem fasciis involutum, reclinat nunc in præsepio.

Ἐν σπηλαίῳ Βηθλεὲμ Κόρη τίκτει ἐμφανῶς τὸν Θεὸν τὸν τοῦ παντὸς ποιητὴν, καὶ ὡς βροτὸν εἱλίξασα σπαργάνοις φάτνῃ ἐπανακλίνει νῦν.

Aurem præbeamus sermonibus sacris; Dominus nascitur puer propter nos, cujus principatus factus D est super humerum ejus, et vocatur Angelus magni consilii Patris, princeps pacis Christus.

Ἀκουτισθῶμεν λόγων ἱερῶν· ὁ Κύριος τίκτεται παιδίον δι' ἡμᾶς, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου ἐγεννήθη, καὶ καλεῖται Ἄγγελος βουλῆς μεγάλης Πατρὸς, ἄρχων εἰρήνης Χριστός.

Sicut juravit Dominus, ecce complevit jusjurandum, dans nobis ex semine David Virginem matrem suam, ex qua natus est infans secundum carnem in civitate Bethleem, supra omnem conceptum verborum.

Ὡς ὤμοσε Κύριος, πεπλήρωκεν· ἰδοὺ, ἐκ σπέρματος δοὺς ἡμῖν Δαβὶδ τὴν ἑαυτοῦ Μητέρα Παρθένον, ἐξ ἧς βρέφος σαρκὶ ἐτέχθη ἐν πόλει Βηθλεὲμ ὑπὲρ λόγον.

Virgo, alabastrum spiritale, fert Christum unguentum inexhaustum, quod in spelunca Bethleem egreditur ut in spiritu manifeste evacuetur, ut suavitate odoris sui repleat animas nostras.

Φέρει Χριστὸν ὥσπερ μῦρον ἀκένωτον τὸ νοητὸν ἡ Παρθένος ἀλάβαστρον, καὶ τοῦτο προέρχεται ἐν σπηλαίῳ, πνεύματι ἀποκενῶσαι σαφῶς, ὅπως πληρώσῃ τῆς εὐωδίας αὐτοῦ τὰς ψυχὰς ἡμῶν.

Ex canone in festo S. Julianæ martyris Nicomediæ, die 21.

Ἐκ τοῦ κανόνος εἰς τὴν ἁγίαν μάρτυρα Ἰουλιανὴν, τὴν ἐν Νικομηδίᾳ, ἡμέρᾳ κα'.

Virgo naturæ Conditorem parere festinat in

Ἡ Παρθένος τὸν Πλαστουργὸν τῆς φύσεως τεκεῖν

Digitized by Google

ἐπείγεται ἐν τῷ σπηλαίῳ, σάρκα ἐξ αὐτῆς καθ' ὑπόστασιν ἄῤῥητον ὑπερφυῶς φορέσαντα, ὅπως θεώσῃ τὸ ἀνθρώπινον.

Ῥυόμενος τοὺς βροτοὺς ὁ συμπαθὴς ἐκ τῆς ἁγνῆς τίκτεται ἐν Βηθλεὲμ, σπάργανα καθάπερ νήπιον δεχόμενος.

Παρθενίαν μετὰ τόκον ἐσφραγισμένην ἡ Θεοτόκος βλέπουσα, θάμβει συσχεθεῖσα, « Τέκνον, ἀνεκραύγασε, πῶς νῦν σπαργανώσω σε, ψάμμῳ σπαργανοῦντα τὴν θάλασσαν; »

Θαῦμα καινοπρεπές! Ἡ Παρθένος ἐπείγεται ἡ ἄχραντος ἐν σπηλαίῳ Βηθλεὲμ τοῦ κυῆσαι Θεὸν ἐνανθρωπήσαντα.

Θάλασσαν σπαργανώσας ὁμίχλῃ βουλήματι κυοφορεῖται ὁ Κτίστης ἐκ Παρθένου κόρης, καὶ σπάργανα ὥσπερ βρέφος καταδέχεται κόσμον λυτρούμενος.

Χαῖρε, χωρίον τοῦ ἀχωρήτου, Μητροπάρθενε· τοῦτον γὰρ σαρκοφόρον μέλλεις δι' ἡμᾶς ἐν σπηλαίῳ τίκτειν, ἄχραντε, ἐπανορθούμενον τῶν οἰκείων χειρῶν τὸ πλαστούργημα.

Νέφει τὴν ἐπίβασιν αὐτοῦ τιθεὶς ὁ Κύριος διὰ νεφέλης ἡμῖν Παρθένου τίκτεσθαι ἔρχεται, ὅπως λύσῃ τῶν ψυχῶν ἡμῶν τῆς ἁμαρτίας ζοφερὰ νέφη, βοῶντας αὐτῷ· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Φέρουσα τὸν φέροντα πάντα, πρὸς Βηθλεὲμ ἔρχῃ, Παρθένε, τοῦτον καὶ κυῆσαι, καὶ φάτνῃ προσανακλῖναι καθάπερ νήπιον, τὴν τῶν βροτῶν ἀνάκλισιν διαφερόντως ἐργαζόμενον.

Ἐκ τοῦ κανόνος εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Ἀναστασίαν, ἡμέρᾳ κβ'.

Πτωχεύει ὁ πλούσιος δι' εὐσπλαγχνίαν ἐκ Παρθένου τικτόμενος· Μάγοι εὐτρεπίζονται Ἀνατολῶν βασιλεῖς τοῦτον θεάσασθαι πιστῶς, καὶ προσκυνῆσαι σαρκί.

Ὤφθη ὁ ἀόρατος Θεὸς ὑπερφυῶς τικτόμενος, δι' εὐσπλαγχνίαν πολλὴν ἐκ σοῦ, Παρθενομῆτορ, πτωχεύσας ὁ πλούσιος, ὅπως ἀθανασίαν τῶν ἀνθρώπων τὸ γένος πλουτήσῃ.

Οὗτος μόνος ὁ Θεὸς ἡμῶν, ὁ ἐκ σοῦ, Παρθένε, σάρκα ὑπὲρ λόγον ἀληθῶς φορέσας, τεχθῆναι ἐν σπηλαίῳ ἐπείγεται, ὅπως με, οἶκον γενόμενον λῃστῶν, δείξῃ ναὸν τοῦ θείου Πνεύματος.

Ἀπειρόγαμε Κόρη, τὸν τῇ χειρὶ φέροντα ἅπασαν τὴν κτίσιν, ἐν μήτρᾳ φέρεις σαρκούμενον, ὃν καὶ τικτόμενον ἀνακλινεῖς ἐν τῇ φάτνῃ βρέφος καθορώμενον τὸν προαιώνιον.

Ῥήσεις ἤδη πεπλήρωνται τῶν προφητευόντων ἐν θείῳ Πνεύματι· ἡ Παρθένος γὰρ ἐπείγεται ἐν σπηλαίῳ τίκτειν τὸν παντέλειον.

Σαρκοφόρος προέρχεται ἐκ σῆς φωτοφόρου νηδύος, ἄχραντε, Βασιλεὺς ὁ ἐπουράνιος, ὡς ἐν θρόνῳ φάτνῃ προσκλινόμενος.

Νῦν ἦλθεν εἰς τὰ ἴδια, ἐν ξένῳ τοκετῷ Λόγος τοῦ Πατρὸς σωματούμενος ἐκ τῆς Παρθένου, καὶ ὡς νήπιον ὁρᾶται ἐν σπηλαίῳ δι' ἄκραν εὐσπλαγχνίαν.

A spelunca; qui ex ipsa secundum ineffabilem hypostasin, carnem, tanquam vestem supra naturæ modum, accepit, ut deificaret genus humanum.

Ut homines liberaret, Deus ille piissimus ex Virgine casta **242** nascitur in Bethleem, et tanquam infans recipit fascias.

Cum Deipara virginitatem suam post partum sigillatam videret, stupore correpta, clamabat: O Fili, quomodo nunc fasciis te involvam, qui tanquam fasciis, arenis mare circumdas?

O novum miraculum! Virgo inviolata festinat parere in spelunca Bethlæemitica Deum hominem factum.

Qui nutu voluntatis suæ mare, tanquam fascia, nebula circumdat, cum sit Creator, nascitur ex
B Virgine puella, et fascias tanquam infans recipit, ut redimat mundum.

Salve, o Virgo Mater, receptaculum illius, quem nihil capere potest. Hunc tu, o inviolata, in spelunca paritura es incarnatum propter nos, ut restauret opus manuum suarum.

Dominus, qui ponit nubem ascensum suum, per nubem Virginis venit ad nos nasciturus ex illa, ut obscurissimas peccati nubes animarum nostrarum dissipet, dum eidem clamamus: Benedicite, omnia opera Domini, Dominum, etc.

Ferens ferentem omnia, ad Bethleem venis, o Virgo, ibi eumdem paritura, et tanquam infantem reclinatura, ut hominum revocationem mirabiliter
C operetur.

Ex canone duplici in festo S. Anastasiæ martyris, die 22.

Mendicat ille qui dives est, propter suam misericordiam e Virgine natus: reges Magi discessum præparant ab Oriente, ut illum intueantur incarnatum, et fideliter adorent.

Apparuit Deus qui erat invisibilis, supra humanum morem natus ex te, o Virgo Mater, propter multam misericordiam **243** suam, pauper factus qui erat dives, ut immortalitate humanum genus ditaret.

Hic solus Deus noster, qui ex te, o Virgo, vera carne ineffabiliter indutus, in spelunca nasci festinat, ut me, speluncam latronum effectum, templum
D divini Spiritus efficiat.

O puella viri nescia, fers incarnatum in utero tuo illum qui universam fert creaturam; quem etiam ex te natum in præsepio reclinas; et cernitur ut infans, ille qui est ante sæcula.

Jam completa sunt verba eorum, qui in Spiritu sancto prophetaverunt: Virgo enim accelerat parere in spelunca perfectissimum Deum.

Ex utero tuo lucifero procedit incarnatus Rex cœlestis, o inviolata, et in præsepio tanquam in throno reclinatur.

Nunc in propria venit novo partu editum Verbum Patris incarnatum ex Virgine; et tanquam infans cernitur in spelunca propter summam misericordiam suam.

Digitized by Google

In spelunca subterranea e Virgine nasci properat Christus. Exsultet universa creatura.

Civitas Dei animata, in civitate Bethleem paris Christum, o Deipara, ineffabiliter, propter suam misericordiam, perfectum hominem factum.

Sanaturus humanam naturam ob antiquam prævaricationem corruptam, sine corruptione novus nascitur infans, et in sinu tuo, o innupta, tanquam in throno residet, non discedens a consessu Paternæ deitatis.

Verbum incarnatum ex visceribus tuis ineffabili modo procedit, o inviolata, et incipit esse ille qui est ante sæcula, atque in præsepio jacet fasciis involutus, dissolvens vincula peccatorum nostrorum.

O miraculum, quod mentem stupore percellit! Perfectum Deum ex te, o Virgo Mater, paritura es; et in præsepio **244** reclinatura eum qui ipsis Cherubim est inaccessibilis, et immortalis natura.

Nunc venit Dominus, qui ubique præsens est, ex Virgine natus in civitate Bethleem. Exsultate, creaturæ occurrentes illi, et gloriæ cantica concinentes in omnia sæcula.

O puella Deo gratissima, paries infantem Creatorem sæculorum, qui prorsus est immutabilis, in civitate Bethleem, propter ineffabilem misericordiam suam,

Paris, o Virgo Mater sancta, in civitate Bethleem, divinissimum Verbum, ferens humanam naturam; et ut matris est munus, lacte nutris illum qui nutrit universa: atque ut thronus igneus fers illum, o sanctissima, ipsis Cherubim sublimior.

Nunc jucunde exsultet omnis creatura: etenim nunc Deipara properat parere Verbum Deum de Deo, factum hominem.

Ex canone in pervigiliis seu præparationibus Nativitatis Domini, die 23.

Reges Persarum cum cognovissent te, o Verbum Dei, Regem in terra natum ex Virgine, cum donis venerunt festinantes ut adorarent te.

Erepturus nos Christus e tenebris malitiæ, procedit secundum carnem oriturus ut homo.

Redempturus Dominus ab antiqua maledictione genus humanum, nascitur ex te secundum carnem, o summe inviolata ac benedicta; propterea cum laudibus glorificamus te, gloriam et gloriationem nostram.

Nunc venit Christus in propria cum corpore alieno: peregrinemur omnes a passionibus inhonestis, et illum natum in carne suscipiamus.

245 Quomodo angustissima spelunca suscipiet te, o Rex, spiritu pauperem, et universa ditantem? Quomodo aspiciet te humana natura corpore vestitum? Adoramus humiliationem tuam.

Laudamus te, o unice casta, omnium bonorum causam: etenim incarnatum Verbum, ob excessum benignitatis ejusdem, peperisti; cujus nativitatem in civitate Bethleem stella præmonstravit.

A Σπηλαίῳ ὑπογαίῳ τεχθῆναι ἐκ τῆς Παρθένου, Χριστὸς κατεπείγεται. Ἀγαλλιάσθω ἡ σύμπασα κτίσις.

Πόλις ἐμψυχε Θεοῦ, ἐν τῇ πόλει Βηθλεὲμ ἀποτίκτεις τὸν Χριστὸν, Θεοτόκε, ὑπὲρ νοῦν γενόμενον δι' εὐσπλαγχνίαν τέλειόν ἄνθρωπον.

Ἰώμενος τῶν ἀνθρώπων τὴν φύσιν τῇ ἀρχαίᾳ παραβάσει φθαρεῖσαν, δίχα φθορᾶς νέον τίκτεται βρέφος, καὶ σοῦ ἐν κόλποις ὡς θρόνῳ καθέζεται, ἀνύμφευτε, τῆς Πατρικῆς μὴ ἐκστὰς συνεδρίᾳ θεότητος.

Σεσαρκωμένος Λόγος ἐκ σῆς πρόέρχεται, ἄχραντε, νηδύος ὑπὲρ νοῦν, καὶ ἄρχεται ὁ προαιώνιος, καὶ φάτνῃ κεῖται σπαργανούμενος, καὶ διαλύει σειρὰς τῶν ἐγκλημάτων ἡμῶν.

B Θαῦμα διάνοιαν ἐκπλῆττον, τὸ τελούμενον ἐκ σοῦ, Παρθενομῆτορ· κύειν μέλλεις Θεὸν, καὶ φάτνῃ ἀνακλίναι τὸν Χερουβὶμ ἀπρόσιτον, καὶ ἀχώρητον τῇ φύσει.

Νῦν ἦλθεν ὁ Κύριος, ὁ πανταχοῦ παρὼν, [ἐκ] Παρθένου τικτόμενος ἐν πόλει Βηθλεέμ· ἀγάλλου, ἡ κτίσις, ὑπαντῶσα αὐτῷ, καὶ δοξολογοῦσα εἰς πάντας τοὺς αἰῶνας.

Ὦ θεοχαρίτωτε Κόρη, τέξεις βρέφος τὸν Ποιητὴν τῶν αἰώνων, καὶ ἀναλλοίωτον, ἐν Βηθλεὲμ τῇ πόλει, δι' ἄφατον ἔλεος

Φέροντα φύσιν βροτείαν, Παρθενομῆτορ ἁγία, τίκτεις ἐν πόλει Βηθλεὲμ τὸν ὑπέρθεον Λόγον, καὶ C γαλουχεῖς μητροπρεπῶς τὸν τρέφοντα ἅπασαν κτίσιν· ὡς δὲ πύρινος θρόνος τοῦτον φέρεις, παναγία, ἀνωτέρα Χερουβίμ.

Φαιδρῶς πᾶσα ἡ κτίσις νῦν ἀγαλλιάσθω· ἡ Θεοτόκος τεκεῖν νῦν ἐπείγεται τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, βροτὸν γενόμενον.

Ἐκ τοῦ κανόνος ἐν προεορτίᾳ τῆς γεννήσεως τοῦ Κυρίου, ἡμέρᾳ κγ'.

Γνόντες σε βασιλέα ἐν γῇ ἀποτικτόμενον ἐκ Παρθένου, οἱ βασιλεῖς Περσῶν, Λόγε Θεοῦ, μετὰ δώρων σπεύδουσι τοῦ προσκυνῆσαί σοι.

Ζόφου ἐξαιρούμενος ἡμᾶς κακίας ὁ Χριστὸς, προέρχεται σαρκὶ τεχθῆναι ὡς ἄνθρωπος.

Κατάρας παλαιᾶς λυτρούμενος τὸ ἀνθρώπινον ὁ D Δεσπότης ἐκ σοῦ σαρκὶ τίκτεται, πανάχραντε, εὐλογημένη· διὸ ἐν αἰνέσει σε δοξάζομεν, δόξαν ἡμῶν καὶ καύχημα τυγχάνουσαν.

Νῦν ἥκει ἐν ἀλλοτρίῳ ὁ Χριστὸς σώματι ἐν τοῖς ἰδίοις· ξενωθῶμεν ἅπαντες τῶν ἀτίμων παθῶν, καὶ τοῦτον δεξώμεθα σαρκὶ τικτόμενον.

Πῶς δέξεται, Βασιλεῦ, σὲ σμικρότατον σπήλαιον, γνώμῃ πτωχεύσαντα τὸν πλουτίζοντα τὰ σύμπαντα; πῶς βλέψει σε βροτῶν φύσις σωματούμενον; Προσκυνοῦμεν τὴν σὴν συγκατάβασιν.

Ὑμνοῦμέν σε τὴν πάντων αἰτίαν τῶν ἀγαθῶν, μόνη ἁγνή· σωματοφόρον γὰρ Λόγον ὑπερβολῇ χρηστότητος τέτοκας, οὗ τὴν γέννησιν προεμήνυσεν ἀστὴρ ἐν Βηθλεὲμ τῇ πόλει.

Digitized by Google

Ωραῖος ἐκ γαστρός σου προέρχεται τεχθῆναι ἀ- A
ρήτῳ λόγῳ, καθωραΐσαι τὸ ἀνθρώπινον ἀφθαρσίᾳ, Παρθένε, θέλων ὁ ἀγαθοδότης Κύριος, ᾧ νῦν μελῳδοῦμεν· Ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Φέρεις, Υἱέ μου, ὅλην τοῦ πνεύματος τὴν ἰδέαν, καὶ πῶς σε φέρω ὅμοιον ἐμοὶ κατὰ πάντα γεγονότα; ἔλεγεν ἡ ἀπειρόγαμος ἐμπλητομένη· ἦν ὡς Θεοῦ Μητέρα τιμήσωμεν, πιστοί, πάντες, καὶ ἐν αἰνέσει συμφώνως δοξολογήσωμεν.

Speciosus Dominus, bonorum dator procedit nasciturus ex utero tuo, o Virgo, ratione ineffabili, volens humanum genus incorruptione decorare. Illi nunc concinimus : Laudet Dominum omnis creatura, et superexaltet eum in sæcula.

Fers, o Fili mi, totam spiritus ideam, et quomodo ego fero te, in omnibus mihi similem effectum? Ita loquebatur Virgo stupore perculsa, quam tanquam Dei Matrem fideles omnes honoremus, et consonis vocibus laudum glorificemus.

Ἐκ τοῦ κανόνος ἐν τῇ Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν, ἐν ᾗ ἐπιτελοῦμεν μνήμην τοῦ ἁγίου Ἰωσὴφ τοῦ μνήστορος τῆς ὑπεραγίας Θεοτόκου.

Ex canone in Dominica post Christi Nativitatem, in qua celebratur memoria S. Josephi sponsi B. Mariæ Virginis.

Σαρκὶ Χριστὸν ἀπεκύησας, ἀγνή, ἐν Βηθλεὲμ, B
ἀπειρόγαμε, σπαργάνοις αὐτὸν εἱλίξασα, οὗ τὴν ἐπιδημίαν καταπλαγεὶς Ἰωσὴφ σὺν φόβῳ μεγαλύνει, προσκυνεῖ τὴν τούτου δύναμιν.

Σάρκα εἰληφότα ἐξ ἁγνῶν σου αἱμάτων, Παρθένε ἁγνή, καὶ ἐν σπηλαίῳ γεννηθέντα, καὶ ἐν φάτνῃ τεθέντα ἰδὼν Ἰωσὴφ ὁ δίκαιος τὸν καθ' ἡμᾶς ὁραθέντα Θεὸν ὕμνοις ἐμεγάλυνεν.

Christum incarnatum in Bethleem peperisti, o Virgo innupta, eumdemque fasciis involvisti; cujus adventum Joseph stupore perculsus cum timore magnificat, et adorat illius potentiam.

Cum vidisset Joseph justus Deum accepisse carnem ex castis visceribus tuis, o Virgo pura, et in spelunca natum atque in præsepio collocatum fuisse, magnificabat eum hymnis, qui similis nobis apparebat.

Λύων τοῦ νοὸς σου προφανῶς ἐπέστη ὁ ἀόρατος ἀμφιβολίαν πᾶσαν, λέγων σοι· Μὴ φοβηθῇς, Ἰωσὴφ, Μαριὰμ τὴν ἄχραντον νῦν παραλαβεῖν. Γαστρὶ γὰρ φέρει τὸν φέροντα θείᾳ τούτου [αὐτοῦ] δυναστείᾳ τὰ σύμπαντα.

Ut omnem mentis tuæ ambiguitatem aperte removeret, apparuit tibi angelus, dicens : « Ne timeas, Joseph, accipere nunc Mariam immaculatam; etenim fert in utero **246** illum qui divina potentia sua fert universa.

Εὑρέθη, ὡς ἔφη προφήτης Δαβὶδ, ἐν γαστρὶ ἡ Παρθένος χωρήσασα τὸν φύσει ἀπερίγραπτον Θεὸν C
Ἐμμανουὴλ, ὅπερ μὴ ἐννοήσας ὁ θεῖος ἐδιδάχθη Ἰωσὴφ ὑπ' ἀγγέλου, νυκτὶ καθεύδων ἀοίδιμος.

Inventa est, sicut dixit propheta David, Virgo in utero comprehendens illum, qui natura est incircumscriptus, Deum Emmanuel. Quod cum divinus Joseph non intelligeret, ab angelo noctu edoctus est dum dormiret.

Νέον ἐπὶ γῆς παιδίον ἑώρακας Παρθένου ἁγνῆς ἀποτικτόμενον τὸν προτέλειον καὶ πρὸ πάντων αἰώνων ἐκφύντα Πατρὸς, καὶ ἀγγέλων ἀνυμνούντων τοῦτον ἤκουσας ἔνδον τοῦ σπηλαίου κείμενον, Ἰωσὴφ, ἐπὶ φάτνης, πανεύφημε.

Novum in terra puerum vidisti, o nobilissime Joseph, ex Virgine casta natum, qui ante omnia sæcula natus est ex Patre; et audivisti angelos collaudantes illum intra speluncam in præsepio jacentem.

Συμβόλοις ἱεροῖς σε τυπουμένην Ἰωσὴφ ὁ δίκαιος, θεοχαρίτωτε ἀγνὴ, ἐγνωκὼς ῥάβδῳ κληροῦταί σου τὴν μνηστείαν τὴν σεπτὴν, ἐπιμνησθεὶς Ἀαρὼν τῆς βλαστησάσης ποτὲ ἁγίας ῥάβδου.

Cum te sacris symbolis figuratam agnovisset Joseph justus, o Virgo Deo charissima, per virgæ sortem venerandum conjugium tuum accepit, in memoriam reducens sanctam virgam Aaronis, quæ olim germinaverat.

Νόμου τὰς σκιὰς εἶδες ποθεῖσας τῇ τῆς χάριτος φωτοχυσίᾳ· φωτεινὴν νεφέλην, τὴν Παρθένον, τὸν D
νοητὸν ἀνατέλλουσαν σαρκὶ Ἥλιον ἔβλεψας, καὶ ὥσπερ ἀστὴρ πάντας ἐφώτισας τοὺς βοῶντας, σοφὲ Ἰωσὴφ, ἑκάστοτε· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον.

Legis umbras vidisti abundantia luminis gratiæ perfusas; et e Virgine, nube lucida, orientem in carne intellectualem solem aspexisti : et tanquam astrum illuminasti, o sapiens Joseph, omnes qui clamant assidue : Benedicat omnis creatura Dominum.

Φυλάττουσαν τὴν παρθενίαν ἀκήρατον, τὴν ἁγνὴν ἐφύλαξας, ἐξ ἧς Θεὸς Λόγος ἐσαρκώθη, φυλάξας παρθένον αὐτὴν μετὰ γέννησιν ἀπόῤῥητον, μεθ' ἧς, Θεοφόρε Ἰωσὴφ, ἡμῶν μνημόνευε.

Custodisti, o Deifere Joseph, Virginem, quæ virginitatem incorruptam conservavit; ex qua Deus Verbum incarnatus est, conservans illam virginem post partum ineffabilem. Tu, o Joseph, una cum illa memor esto nostri.

Ἐκ τοῦ κανόνος εἰς τοὺς ἁγίους δισμυρίους μάρτυρας, τοὺς ἐν Νικομηδείᾳ καέντας, ἡμέρᾳ κη'.

Ex canone in festo SS. martyrum duorum millium, qui in civitate Nicomediæ igne absumpti sunt, die 28.

Ὑμνῶ σε, πανύμνητε εὐλογημένη, Θεὸν ὑπερ-

Laudes tibi concino, o omni laude dignissima,

Digitized by Google

ac benedicta, quæ in carne peperisti Deum omnibus laudibus superiorem, qui triumphatores ac victores hostis magnificavit.

Ut humanam deificaret naturam, Deus homo factus est ex te, o Virgo casta, modo ineffabili atque inexcogitabili : **247** propterea nos fideles concordibus vocibus te beatam appellamus.

Cum redempti fuerimus per partum tuum, o benedicta, ab antiqua maledictione, benedictionem, vitam ac redemptionem accepimus, nos qui te Deiparam glorificamus.

Ut Deus cum supernis spiritibus conjungeret eos qui in magnum prævaricationis barathrum prolapsi erant, uterum tuum inhabitavit, o inviolatissima, et caro factus est.

Per virtutem Jesu, qui ex te incarnatus est, o Maria, permansisti vere virgo post partum, quemadmodum fueras ante partum. O miraculum, quod humanam fidem transcendit!

Excelsior cœlis apparuisti, o tota sancta atque inviolata, dum Dominum ac Deum omnium peperisti, quem impense atque enixe deprecari ne cesses pro salute eorum qui te cum fide ferventi glorificant.

Vidit te Ezechiel, o Virgo, portam clausam, per quam transivit Jesus, qui habitavit in utero tuo, et carnem accepit ex sanguinibus tuis sine ulla permistione aut confusione.

O tota immaculata et casta, quæ lucem illam divinam peperisti quæ ex Patre refulsit, animam meam erroribus vitæ obtenebratam, et hostium ludibrium factam, miserare, et salutaris pœnitentiæ luce dignam fac illam.

Ὑμνητον ἐν σαρκὶ κυήσασα, τὸν μεγαλύναντα τοὺς ἀθλοφόρους, καὶ τὸν ἐχθρὸν καταπαλαίσαντα.

Ἵνα θεώσῃ τὸ ἀνθρώπινον, ὁ Θεὸς ἐγένετο ἄνθρωπος ἐκ σοῦ, Παρθένε, τῆς ἀγνῆς, ὑπὲρ λόγον καὶ ἔννοιαν· διὰ τοῦτό σε συμφώνως οἱ πιστοὶ μακαρίζομεν.

Λυτρωθέντες τῷ τόκῳ σου, εὐλογημένη, τῆς πρὶν κατάρας εὐλογίαν ἀπειλήφαμεν, καὶ ζωὴν καὶ λύτρωσιν, οἱ σὲ Θεοτόκον δοξάζοντες.

Ἵνα Θεὸς τοῖς ἄνω συνάψειε τοὺς ὀλισθήσαντας παραβάσεως εἰς μέγα βάραθρον, τὴν σὴν γαστέρα ᾤκησε, πανάχραντε, καὶ σὰρξ ἐχρημάτισεν.

Μετὰ τόκον ἀληθῶς ὡς πρὸ τόκου, Μαρία, τῇ δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος Ἰησοῦ, διέμεινας παρθένος ὄντως, θαῦμα παράδοξον.

Ὑψηλοτέρα ὤφθης οὐρανῶν, κυήσασα πάντων τὸν Δεσπότην καὶ Θεὸν, ὃν ἐκτενῶς καθικετεύουσα μὴ παύσῃ, παναγία ἄχραντε, σῶσαι τοὺς πίστει θερμῇ δοξολογοῦντάς σε.

Ἐζεκιὴλ πύλην βλέπει κεκλεισμένην, Παρθένε, δι' ἧς διώδευσεν Ἰησοῦς ὁ σκηνώσας ἐν μήτρᾳ σου, καὶ σάρκα ἐκ τῶν σῶν αἱμάτων φορέσας ἀσυγχύτως.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον, τὸ ἐκ Πατρὸς ἀναλάμψαν τὴν σκοτισθεῖσάν μου ψυχὴν ταῖς ἁπάταις τοῦ βίου, καὶ γεγονυῖαν τῶν ἐχθρῶν, πανάμωμε, παίγνιον, οἰκτείρησον, καὶ φωτὶ μετανοίας σωτηρίου καταξίωσον, ἁγνή.

ΘΕΟΤΟΚΙΑ ΕΚ ΤΗΣ ΠΑΡΑΚΛΗΤΙΚΗΣ.

THEOTOCIA.

Ex Paracletica Græcorum (99).

Ex canone feriæ II, ad Matutinum. Toni I.

248 Ordines incorporeorum nobiscum tibi concinunt hymnos, o Virgo omnibus laudibus cele-

Ἐκ τοῦ κανόνος τῆς δευτέρας εἰς τὸν Ὄρθρον. Ἦχος α'.

Τάξεις ἀσωμάτων σὺν ἡμῖν σε ἀνυμνοῦσι, Παρθένε πανύμνητε· τὸν γὰρ ἀπερίληπτον ἐν σῇ γαστρὶ σω-

(99) Liber Paracleticus (ut inquit Leo Allatius in suo opere *De libris ecclesiasticis Græcorum*.) differt ab aliis Græcorum libris ecclesiasticis, quod in aliis certa sunt certis diebus decreta officia, canones, seu troparia quæ recitari solent, quibus finitis reponuntur donec eadem tempora remeant, cum rursum ad recitandum suscipiuntur; ut Triodion, quod Quadragesimæ præcipue officio; Pentecostarium, quod a die Resurrectionis ad Pentecosten; Menæa, quæ singulis mensibus: Paracleticus tantum semper præ manu est, et omnibus diebus aliquid in eo invenitur, quod sive in Missa, sive in Vesperis sive in Matutino, sive in aliis officiis recitatur. Quando enim in aliis officiis propria desiderantur, quæ ad complementum officii pertineant, ad hunc lector remittitur. Dicitur, utpote, Paracleticus, quasi *consolatorius;* videntur enim omnia, quæ in eo sunt, eo maxime spectare ut peccatorem consolentur, hortentur, et quasi vi quadam compellant ut de commissis pœnitentiam agat, et Deum, quem peccando offenderat, pœnitentia et precibus sibi propitium reddat. Hinc modo ange-

Digitized by Google

ματωθέντα τέτοκας, μείνασα παρθένος, ὡς πρὸ τοῦ τόκου, Θεόνυμφε.

branda (1); etenim illum qui est incomprehensibilis, in utero tuo corporatum peperisti, permanens virgo qualis ante partum fueras, o sponsa Dei.

Ἁγία Θεόνυμφε ἁγνή, ἁγίως ἀπεκύησας τὸν ἐν ἁγίοις ἀναπαυόμενον, Υἱὸν καὶ Λόγον Πατρὶ συνάναρχον, τὸν καθαγιάζοντα ἐν ἁγίῳ Πνεύματι τοὺς αὐτὸν εὐσεβῶς ἁγιάζοντας.

O Dei sponsa sancta et pura (2), sancte genuisti eum qui in sanctis requiescit, Filium ac Verbum Patri coæternum, qui sanctificat in Spiritu sancto eos qui ipsum religiose pieque sanctificant.

Ὁ πάλαι Πατρὸς ἐξ ἀγεννήτου Υἱὸς γεννηθεὶς γέννησιν ἔσχε χρονικὴν, ἐκ σοῦ, Παρθένε, γεννηθεὶς, τὸν χρόνιον πόλεμον τῶν γηγενῶν ἐξᾶραι θέλων ὡς εὔσπλαγχνος, ὁ ἡμερῶν τε καὶ χρόνων ἐπέκεινα.

Filius qui olim ex Patre ingenito genitus fuit, generationem temporalem habuit, ex te, o Virgo, generatus, bellum terrigenarum diuturnum allevare volens, utpote intime misericors, cum ipse sit omnibus diebus ac temporibus antiquior.

Ῥητορεῦον οὐ δυνήσεται στόμα τοῦ τόκου σου τὸ ἄῤῥητον διηγήσασθαι θαῦμα, Θεόνυμφε· τὸν γὰρ ἀνερμήνευτον τίκτεις καὶ φέρεις ἐν ἀγκάλαις χειρὶ κρατοῦντα τὰ σύμπαντα.

Os nullum, quantumvis eloquens ac disertum, potest ineffabile partus tui enarrare miraculum, o Dei sponsa; illum enim peperisti qui nullis verbis potest demonstrari, atque illum tuis brachiis gestasti, qui manu continet ac regit universa.

Πυρίνων λειτουργῶν τὸ πῦρ κυήσασα ἐφάνης παναμώμητος, καὶ τῆς κτίσεως ἁπάσης πρωτουργὸς, πάναγνε Παρθένε, ὑπερέχουσα, ἐν γυναιξὶν εὐλογημένη θεοχαρίτωτε.

Ab omni labe ac nævo immunis (3) ignem peperisti; unde inter igneos ministros primum locum tenens ac veluti antistes apparuisti, imo et illos et universas creaturas dignitate **249** superasti, o Virgo castissima, benedicta inter mulieres, divina gratia cumulatissima.

lorum opem, modo apostolorum, modo martyrum, modo confessorum aliorumque sanctorum, prout diei, cujus officium recitatur, ratio exposcit. Unde etiam Paracleticus dici potuit, quasi *invocatorius*, sive *imploratorius*. Dividitur in octo partes, quas Græci Tonos appellant. Uno namque tono officia unius hebdomadis implentur, altero subsequentis, et sic de singulis; quibus finitis, denuo ab initio exordiuntur, et sic perpetuo isto circulo materiam Deum laudandi perpetuam sibi et nunquam deficientem suppeditant. Licet autem Paracletica etiam nova Octoechus appelletur, differt tamen ab Octoecho, quod ille tantummodo a primis Vesperis ad Missam canones et troparia continet, Paracletica et illa et multo plura, cum et subsequentes Vesperas, et aliorum dierum inter hebdomadem officia integra exhibet. Ingens, sed apprime necessarium, et defectus aliorum supplens volumen. Quod forte a Josepho nostro compilatum ex acrostichide Sabbati octavi toni colligit vir eruditissimus Leo Allatius dissert 2, cum ibi habeatur:

Octoechi novæ divinus finis, labores vero Josephi.

Porro cum in hoc Paracleticæ volumine plures reperiantur canones sub Josephi nostri nomine, quæ in his exstant theotocia de Græco in Latinum translata, ut fructum ferant, et Mariannæ gloriæ serviant, tibi, mi lector, exhibere curavi.

(1) Celebranda igitur (cum jure et merito celebrari possit) etiam laude ista, quod fuerit immaculate concepta. Hinc Petrus Montius libro 1 *De unius legis veritate*, cap. 77, ubi late defendit conceptionem B. Virginis immaculatam, ait inter alia: « Quam plures auctoritates comperimus, quæ ab Ecclesia commemorantur in Virginis laudem, nec ullam in contrarium legimus. Quæ qui lem auctoritates non infectam et maculatam assignant, imo et to am perfectam et ab omni labe semotam, quemadmodum habetur in Cantico canticorum, ubi dicitur: *Tota pulchra es, amica mea, dilecta mea, formosa, columba mea, speciosa mea, et macula non est in te.* » Sic ille. An dubitas B. Virginem istius laudis, scilicet præservationis ab originali, fuisse capacem? Audi Bustum in Mariali serm. 1, de Conceptione part. 11, his te verbis instruentem: « B. Virgo capacissima fuit gratiæ præservationis ab originali peccato. Cum enim fuerit capax ut esset Mater Dei, et virgo perfecta ante partum, in partu, et post partum, eumque meruerit elevari super omnes angelicas hierarchias et effici Regina cœlorum, quanto magis fuit capax hujus gratiæ ut sine peccato originali conciperetur? Certe multo plus: qui enim est capax majoris dignitatis, et excellentiæ, multo est capacior minoris: et cui conceditur quod est majus, videtur etiam concessum quod est minus. » Sic ille.

(2) « Congruebat, inquit S. Bernardinus Senensis tom. II, Serm. 51, cap. 3, ut illa, quæ placuit Altissimo ita ut fieret illius Sponsa, sic esset immaculata mente, sicut fuit intemerata carne. » Non autem fuisset hæc Dei Sponsa, nec sancta, nec pura, nec immaculata, si peccati originalis fœditati, impuritati et maculæ subjecta fuisset. Et quamvis nomine Sponsæ Ecclesiam ipsam intelligeremus, attamen, ut inquit Marsilius antiquus auctor in librum II Senten. q. 20, a. 3, Sponsa in aliqua sui parte debet esse tota pulchra, et non esset hoc in aliqua parte, nisi Virgo ab originali fuisset præservata. Ergo minor patet: quia si fuisset aliquo tempore sub peccato originali, tunc illo tempore fuisset maculata. Ergo non esset Sponsa tota pulchra in Virgine, nec in Christo: quia ille est Sponsus, et, licet sit candidus, et rubicundus, et totus desiderabilis (*Cant.* v), tamen hæc non est pulchritudo Sponsæ, sed Sponsi, nec in aliquo alio, qua omnes alii rei sunt peccati actualis vel originalis, et sic nusquam esset Sponsa tota pulchra. » Sic ille. Vide Nierembergium in *Sacrosyllabo* § V.

(3) Favet Petrus Apollinaris in carmine de Nativitate ita canens:

Salve, Virgo Parens, labes quam nulla vetusti
Per tot ducta gradus criminis implicuit.

Anonymus etiam poeta apud Bernardinum de Bustis in Mariali Serm. 9 de Conceptione, part. prima, in hunc modum loquens:

Si decuit luctus sine labe effingere Matrem,
Matrem lætitiæ plus decorare decet.
Immunem Sponsam voluit si crimine levi,
Sic illi voluit majus abesse nefas.

Digitized by Google

Naturæ leges in te innovantur : nam legislatorem Christum, legibus carnalibus minime obnoxia peperisti, o innocentissima (4) : illum, inquam, qui redemptionis leges sancit omnibus iis, qui canunt : Laudabilis et supergloriosus, Deus patrum nostrorum, etc.

A Νόμοι ἐν σοὶ φύσεως καινίζονται. Τὸν νομοδότην γὰρ Χριστὸν δίχα νόμων τῶν σαρκικῶν τίκτεις, παναμώμητε, πᾶσιν ἀπολύτρωσιν νομοθετοῦντα τοῖς μέλπουσιν· Ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Sacræ prophetarum voces multo ante tempore prænuntiaverunt te futuram esse Matrem Dei, qui universa creavit, cui canimus, o immaculata (5) : Benedicite, etc.

Ἱεραί σε πόρρωθεν φωναὶ γενήσεσθαι μητέρα τοῦ πάντα ἐκτειναμένου προκατήγγειλαν Θεοῦ, ᾧ μέλπομεν, ἄχραντε· Εὐλογεῖτε...

Illum fers, qui fert universa : illum lacte nutris, qui cunctis cibum suppeditat : magnum tremendumque mysterium, quod intellectum tuum excedit, o arca venerandæ sanctificationis, Virgo Deipara : quamobrem te cum fide beatam appellamus

Φέρεις τὸν τὰ πάντα φέροντα καὶ γαλουχεῖς τὸν πᾶσι τροφὴν παρέχοντα, μέγα καὶ φρικτὸν τὸ ὑπὲρ νοῦν σου μυστήριον, κιβωτὲ τοῦ σεπτοῦ ἁγιάσματος, Παρθένε Θεοτόκε, ὅθεν σε πίστει μακαρίζομεν.

Ex canone feriæ III, *ad Matutinum.*

B *Ἐκ τοῦ διπλοῦ κανόνος τῆς τρίτης εἰς τὸν Ὄρθρον.*

Tanquam thronus igneus fers Creatorem : tanquam animatus thalamus, ac jucundum palatium Regem continens factum similem nobis, sed sine mutatione aut perturbatione sui ipsius.

Ὡς θρόνος πυρίμορφος φέρεις τὸν Κτίστην, ὡς ἔμψυχος θάλαμος καὶ τερπνὸν παλάτιον τὸν βασιλέα χωρεῖς, γενόμενον ὅπερ ἐσμέν, δίχα τροπῆς καὶ φυρμοῦ.

O sanctissima Domina, quæ sola Filium carentem tempore in tempore incarnatum peperisti, medere omnibus passionibus miserrimæ animæ meæ ex diuturno tempore contractis.

Ἡ μόνη τὸν ἄχρονον Υἱὸν ἐν χρόνῳ τεκοῦσα σαρκούμενον, παναγία Δέσποινα, πάντα τὰ χρόνια τῆς παναθλίας μου ψυχῆς πάθη θεράπευσον.

Illum paris, quem Pater genuit ante omnia sæcula : nutris nutritorem, nulla virilis copulæ facta experientia. Miraculum paradoxum! mysterium novum! propterea omnes fidelium animæ te glorificant, o Deo charissima.

Τίκτεις ὃν Πατὴρ ἐγέννησε πάντων πρὸ αἰώνων, τρέφεις τὸν τροφέα, πεῖραν ἀνδρὸς μὴ γνοῦσα, παράδοξον τὸ θαῦμα, καινὸν τὸ μυστήριον, θεοχαρίτωτε· διὸ πᾶσα πιστῶν ψυχὴ δοξάζει σε.

C

Totum Adam, tanquam vestem, assumpsit Verbum, ex te, o Deipara, totum carne amictum procedens. Ipsum ergo, o Deipara, suppliciter exora, ut ab omni tentationum genere et ab igne æterno nos eripiat.

Ὅλον τὸν Ἀδὰμ ἐφόρεσεν ἐκ σοῦ, Θεοτόκε, ὅλος σαρκοφόρος προελθὼν ὁ Λόγος· αὐτὸν οὖν, Θεοτόκε, δυσώπει τοῦ ῥύσασθαι ἐκ πειρασμῶν παντοδαπῶν, καὶ τοῦ πυρὸς τοῦ αἰωνίζοντος.

250 Stupore perculsæ mente excesserunt angelorum legiones, intuentes quomodo ille qui est invisibilis, in humana forma ex te assumpta visibilis appareret : quem tu, o Virgo Dei Genitrix, supplex precare, ut omnes qui te fideliter glorificant salute dignos efficiat.

Ἐξέστησαν ὁρῶσαι ἀγγέλων στρατιαὶ, πῶς ὁ ἀθεώρητος μορφῇ τῇ καθ' ἡμᾶς ἐκ σοῦ ὡράθη, Παρθένε Θεσκυῆτορ· ὃν ἐκδυσώπει σωτηρίας ἀξιῶσαι πάντας τοὺς πιστῶς σε δοξάζοντας.

Templum sanctificatum Dei, qui in te habitavit, modo ineffabili, facta es, o Virgo. Eumdem deprecare, ut nos a peccatorum sordibus emundet, ut domus et habitaculum Spiritus sancti esse agnoscamur.

Ναὸς ἡγιασμένος ἐδείχθης τοῦ Θεοῦ τοῦ ἐν σοὶ οἰκήσαντος, Παρθένε, ὑπὲρ νοῦν· αὐτὸν δυσώπει ἁμαρτιῶν ἡμᾶς ῥύπου ἀποκαθᾶραι, ὅπως οἶκος D γνωρισθῶμεν καὶ κατοικητήριον Πνεύματος.

Unum Trinitatis venerandæ in duabus voluntatibus unam hypostasin habentem peperisti, o ab omni macula immunis (6) : quem enixe precare pro omnium nostrum salute.

Ἐν δύο ταῖς θελήσεσι ἕνα τῆς σεπτῆς τέτοκας Τριάδος, πανάχραντε, φέροντα μίαν τὴν ὑπόστασιν, ὃν ἐκτενῶς δυσώπει πάντας ἡμᾶς σωθῆναι.

Ἐκ τοῦ κανόνος τῆς πέμπτης εἰς τὸν Ὄρθρον.

Τὴν κιβωτὸν τὴν θείαν τὴν χωρήσασαν τὸν τοῦ νόμου πάροχον, ἡμῶν τὰς ἀνομίας πάσας ἀφαιρούμενον δι' εὐσπλαγχνίας θείας, ἀδιήγητον πέλαγος, Μαριὰμ τὴν πανάχραντον συμφώνως μακαρίσωμεν.

Νοῦς ἐννοεῖν οὐ δύναται τὸν ὑπὲρ νοῦν τοκετὸν B τῆς θαυμαστῆς Λοχείας σου, Θεογεννῆτορ Μητροπάρθενε, διὸ, ἱκετεύω σε, τὸν νοῦν μου, χαρίτωσον, τοῦ ἀεὶ δοξάζειν σε.

Σαρκωθέντα τὸν Λόγον ὑπερβολῇ εὐσπλαγχνίας ἀῤῥήτως ἀπεκύησας, αὐτὸν δυσώπει, ἄχραντε, τῶν σαρκικῶν πάντας μολυσμῶν ἐκλυτρώσασθαι, καὶ πάντων δυσχερῶν τῶν τοῦ βίου.

Ὡς μόνη τῶν ἀγγέλων χαρμονὴ χαρᾶς μου πλήρωσον, Θεοχαρίτωτε, τὴν διάνοιαν σκυθρωπάζουσαν, καὶ ἀμελείᾳ βεβυθισμένην.

Οἰκήσας ὁ Λόγος ἐν γαστρί σου, τὴν πάλαι ἐν ἀνθρώποις οἰκοῦσαν τῇ παραβάσει φθορὰν, Μῆτερ ἁγνὴ, C ὡς μόνος Θεὸς ἐξώκησε, διὰ σπλάγχνα ἐλέους.

Ἐμὲ τὸν ἀμελείᾳ τὴν ψυχὴν σκοτιζόμενον φωταγώγησον, ἁγνὴ, τὸν τῆς καρδίας μου προσεπανάπτουσα λύχνον, ἐν προθυμίᾳ ἀγαθῇ ὅπως δοξάζω σε.

Ἰσχὺς καὶ ὕμνησις ὑπάρχει ὁ ἐκ σοῦ τεχθείς, πανάμωμε, ὃν ἐκδυσώπει ἐκτενῶς παρεσμένον με τοῖς πάθεσι, Παρθένε, ἐνισχύσαι τοῦ ἐκτελεῖν τὰς σωτηρίους αὐτοῦ διατάξεις.

Φωτισμός μου σωτήριος φάνηθι, ἡ κυήσασα τὸ φῶς, τῆς ψυχῆς μου τὰ νέφη διώκουσα τὰ πολλὰ καὶ χαλεπὰ, ὅπως υἱὸς ἡμέρας εὐχαῖς σου γεννήσομαι, πράττων τὰ ὅσια, καὶ ὑμνολογίαις ἀεὶ μακαρίζω σε. D

Ἐκ τοῦ κανόνος τῆς Παρασκευῆς εἰς τὸν Ὄρθρον.

Ἡ περικαλλὴς καὶ Παρθένος Δέσποινα, ὃν ἐκύη-

plasti vincula, quibus diuturno tempore vinctus fuerat, dissolvit vinculis suis, atque eumdem dulcissimæ charitatis suæ vinculis colligavit.

Peperisti, o Virgo, splendorem Patris humana forma præditum; quem in cruce exaltatum sol videre non sustinens, obscuratus est, et tenebris idolomaniæ minoratus: propterea una cum illo te magnificamus.

Ex canone feriæ v *ad Matutinum.*

Arcam divinam, continentem legis datorem, qui omnes iniquitates nostras propter viscera divinæ misericordiæ suæ aufert: pelagum inenarrabile, Mariam ab omni macula immunem, una omnes voce magnificemus (16).

Nequit cogitatio excogitare inexcogitabilem partum admirandæ Conceptionis tuæ, o Dei Genitrix Virgo Mater. Unde te deprecor ut cogitationes mentis meæ gratia repleas, ut te semper glorificem.

265 Verbum propter excessum pietatis incarnatus ineffabiliter peperisti: ipsum suppliciter exora, o immaculata, ut omnes a carnalibus inquinamentis et ab universis vitæ molestiis atque adversitatibus liberentur.

Tu, quæ sola es angelorum lætitia, imple, o Deo charissima, gaudio mentem meam præ tristitia mœroreque dejectam, atque in socordiæ profunda voragine demersam.

Cum Verbum in utero tuo habitasset, o Mater casta, corruptionem, quæ a diuturno tempore in hominibus propter transgressionem habitaverat, ejecit, tanquam solus Deus, propter viscera misericordiæ suæ.

Illumina me, o casta, cujus anima negligentiæ tenebris offusa est, accendens lucernam cordis mei, ut te magna animi alacritate glorificem.

Virtus et laus ille est, qui ex te natus est, o ab omni nævo mundissima Virgo (17); quem tu cum affectu deprecar ut me passionibus fractum virtute corroboret, ut salutaria ipsius præcepta perficere possim.

Esto salutaris illuminatio mea, tu quæ lucem peperisti; dispellens multas et graves nubes animæ meæ, ut precibus tuis efficiar filius diei, exercens opera sancta, teque assiduis laudibus beatificans.

Ex canone feriæ VI *ad Matutinum.*

Domina pulcherrima et Virgo, cum videret in

(16) Jam hoc S. Josephi votum adimpletum videmus, dum Christiani orbis antistites, illustres academias, selectissimos reges, inclytos principes, florentissimas respublicas, integra regna, ac totum fere undique mundum, B. Virginem, ut ab omni macula immunem, una voce magnificare conspicimus. Paucos jam pnto esse in Ecclesia, qui piæ de immunitate B. Virginis ab originali macula sententiæ refragentur; et etiamsi aliquis in scrinio sui pectoris arbitraretur Mariam originali macula fuisse infectam, hic comparatus his, qui animo, sensu, ac voce clamant purissimum Deiparæ conceptum, jam nullus videtur, cum ex veteri proverbio, unus sit nullus, nec paucorum habenda sit ratio, ut ait Joan. Damasc. orat. I de imaginibus. Quis autem negare possit inter Catholicos paucis maculatæ conceptionis opinatoribus plusquam centum mille purissimi conceptus assertores obvios nunc esse, et imposterum futuros?

(17) Perspicuum apud me est B. Virginem, si hæc in primo instanti sui esse sorduisset originali peccato (quod non solum nævus, sed turpissima macula est), falso dici a S. Josepho absolute, ab omni nævo mundissimam: cum igitur falso non dicatur, sed vere, sequitur ipsam ex ejusdem S. Josephi mente originalis peccati nævo in sua conceptione vere mundissimam exstitisse.

Digitized by Google

ligno voluntarie exaltatum Filium quem pepererat, cum dolore ingemiscens exclamabat : O piissime Domine Deus omnium, quomodo, cum sis Dominus gloriæ, ista pateris?

Post partum virgo conservata es, o casta, quæ Deum incarnatum peperisti, qui cruci voluntarie affixus est.

Velut forceps divinum carbonem suscepisti, o Virgo **266** Mater; qui non solum non combussit vel minima ex parte, sed potius rore respersit incorruptum divinumque uterum tuum, quem cum videres in ligno voluntarie secundum carnem exaltatum, hymnis glorificabas.

Cum videres, o casta Virgo, in ligno crucis affixum, et lancea in latere confossum illum qui olim ex lateris costa Evam formavit : materno dolore tacta exclamabas : Quomodo moreris, o Fili mi, qui es vita immortalis!

Non potest mens hominum, o Puella omni laude dignissima, miraculum partus tui : tu enim super omnem mentis capacitatem peperisti.

Tu sola, o casta, conceptionem ineffabilem, et partum inenarrabilem habuisti, quæ corpore vestisti Dominum, qui secundum carnem crucifixus est, Eumdem nos laudantes clamamus : Benedictus es, Deus patrum nostrorum, etc.

Te urnam auream, et candelabrum ; mensam, et virgam; montem divinum et nubem, palatium Regis et thronum igniformem, fideles omnes nominamus, o Deipara, quæ post partum virgo conservata fuisti.

Solares radii videntes crucifixionem tuam, Fili mi, defecerunt : et quomodo obstinatus Hebræorum populus non defecit, qui morti tradidit te vitæ auctorem? His vocibus Deipara utebatur; quam sine cessatione magnificamus.

Ex canone Sabbati ad Matutinum.

Te, o castissima, quæ Deum in carne peperisti, religiosa mente incessanter honoramus cum venerandis mulieribus, quæ exercitatione illustratæ in certamine, hostem dejecerunt.

Nos, o castissima, per partum tuum venerabilem salvati; cum Gabrielis voce ad te fideliter clamamus, Ave (18) : **267** teque precamur, ut intercessionibus tuis, omnibus nobis obtineas indulgentiam peccatorum.

A σεν Υἱὸν θεωρήσασα ἐν ξύλῳ ὑψωθέντα βουλήσει, ἠλάλαζε βοῶσα ἐν ὀδύνῃ · Θεὲ τῶν ὅλων εὔσπλαγχνε, Κύριος ὢν τῆς δόξης, πῶς ταῦτα πάσχεις, Δέσποτα;

Συντετήρησαι καὶ μετὰ τόκον παρθένος, ἡ Θεὸν, ἁγνὴ, τέξασα σεσαρκωμένον, τὸν σταυρῷ προσηλωθέντα βουλήματι.

Τὸν ἄνθρακα ὡς λαβὶς τὸν θεῖον δέδεξαι, οὐ καταφλέγοντα ὅλως, δροσίζοντα δὲ μᾶλλον, Μητροπάρθενε, τὴν ἄφθορον καὶ θείαν νηδύν σου, ὃν βλέπουσα σαρκὶ ὑψούμενον ἐθελουσίως ἐν ξύλῳ ὑμνοῖς ἐδόξαζες.

Σταυρούμενον ἐν ξύλῳ καὶ τὴν πλευρὰν τῇ λόγχῃ ὀρυττόμενον τὸν ἐκ πλευρᾶς πάλαι δημιουργήσαντα B τὴν Εὔαν, ἁγνὴ Παρθένε, θεωροῦσα, ἀνεβόας μητρικῶς· Πῶς θνήσκεις, Υἱέ μου, ἡ ζωὴ ἡ ἀθάνατος;

Νοεῖν οὐ σθένει τὸ ὑπὲρ φύσιν τοῦ τοκετοῦ σου, πανύμνητε, νοῦς ἀνθρώπων, Κόρη· ὑπὲρ νοῦν γὰρ σὺ τέτεχες.

Κύησιν, ἁγνὴ, ἀσύγκριτον καὶ τόκον ἀνερμήνευτον μόνη ἔσχες, τὸν Δεσπότην σωματίσασα τὸν σαρκὶ σταυρωθέντα, ὃν ὑμνοῦντες βοῶμεν · Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Στάμνον σε χρυσῆν καὶ λυχνίαν, τράπεζαν καὶ ῥάβδον, θεῖον ὄρος καὶ νεφέλην, παλάτιον τοῦ Βασιλέως καὶ θρόνον πυρίμορφον, Θεοτόκε, πάντες πιστοὶ ὀνομάζομεν, τὴν μετὰ τὸν τόκον παρθένον φυλαχθεῖσαν. C

Φωστῆρες τὴν σὴν ὁρῶντες, Υἱέ μου, σταύρωσιν ἔδυσαν, καὶ πῶς Ἑβραίων δῆμος οὐ κατέδυσεν ὁ ἀπαθεὶς, παραδιδούς σε θανάτῳ τὸν ἀρχηγὸν τῆς ζωῆς; ἡ Θεοτόκος ἐβόα, ἣν ἀπαύστως μεγαλύνομεν.

Ἐκ τοῦ κανόνος τοῦ Σαββάτου εἰς τὸν Ὄρθρον.

Ὡς Θεὸν τεκοῦσα σαρκὶ, πάναγνε, γνώμῃ εὐσεβεῖ τιμῶντές σε ἀπαύστως μετὰ σεμνῶν γυναίων ἀσκήσει λαμπρυνθέντων, καὶ ἀθλήσει καταβαλόντων τὸν ἐχθρόν.

Οἱ σεσωσμένοι, πάναγνε, σοῦ τῷ σεπτῷ τοκετῷ, τοῦ Γαβριὴλ βοῶμέν σοι πιστῶς τὸ, Χαῖρε, καὶ δεόμεθα· D ταῖς σαῖς παρακλήσεσι πταισμάτων συγχώρησιν πᾶσιν αἰτῆσαι.

(18) Per verbum Ave, quod componitur ex littera A, et VE, interjectione exsecrantis et maledicentis, et significat absque VE, seu maledictione, denotari B. Virginem sine Væ culpæ originalis conceptam, ex Joanne Viguerio, Alberto Magno, Bernardino Senensi, Ernesto Pragensi, et aliis late probat in suo *Sacrosyllabo* 4, P. Joannes Eusebius Nierembergius. Hinc Joannes Vitalis in Defensorio B. Virginis libr. 4, cap. 5, Ave, inquit, sonat Sine væ, id est, sine labe, et per consequens ipsa (B. Virgo) fuit sine væ originalis culpæ. Petrus quoque de Alliaco S. R. E. Cardinalis in meditatione super salutationem angelicam, Audi, ait, O clemens Maria, tuam gratissimam salutationem Ave. Nulla tibi esse potest gratior acceptabiliorque salutatio ea, quam Deus per angelum suum Gabrielem transmisit de cœlo. Ave, inquit, o Virgo salutifera, quæ Evæ maledictionem in benedictionem transferens, sola esse meruisti Sine væ. Meruisti quidem non tua justitia, sed divina gratia, ut sola esses sine væ culpæ venialis, et mortalis, et (ut pie creditur) etiam originalis. Sic ille. Vide Bustum in *Mariali* serm. 5 de concept. parte 1, ubi in rem nostram scribit : Ave idem est quod Sine væ, et ista indefinita æquipollet universali. Ideo exponitur Ave, id est, sine omni væ, id est, afflictione, quod verum non esset, si originali aculeo afflicta fuisset.

Digitized by Google

Τῶν μαρτύρων τὴν δόξαν, ἱεραρχῶν καὶ ὁσίων τὸ θεῖον ἐγκαλλώπισμα, τῶν προφητῶν τὸ κήρυγμα, καὶ τῶν γυναίων σεμνολόγημα, ἀνυμνήσωμεν ἀξίως τοῦ Θεοῦ τὴν Μητέρα. A

Ἐκ σοῦ Θεὸς σεσάρκωται, ἁγνή, καὶ ἀνωτέραν σε νῦν ἀγγέλων ἀνέδειξεν, ποιημάτων τε ὑπερέχουσαν πάντων· διό σε ὑμνολογοῦμεν.

Μαρτύρων, προφητῶν τε ἁγίων τῶν πάντων ἀπ' αἰῶνος δικαίων καύχημα σὺ εἶ, ἁγνή· ὅθεν φωναῖς σαφῶς ἱεραῖς τιμῶμέν σε σὺν αὐτοῖς εἰς αἰῶνας.

Μαρτύρων, καὶ ὁσίων, προφητῶν τε, πανάμωμε, γυναικῶν καὶ πάντων τῶν ἱεραρχῶν, τῶν ἱερῶς βιωσάντων σὺ εἶ τὸ κλέος ἀληθῶς, μεθ' ὧν τιμῶμέν σε. B

Ἡ πολύμνητος Παρθένος, προφητῶν τὸ περιήχημα, ἱεραρχῶν καὶ ἀθλητῶν, καὶ ὁσίων ἐγκαλλώπισμα, γυναίων τε ἁγίων ἡ χαρμονή, ὑμνείσθω χρεωστικῶς εἰς αἰῶνας.

Φοβερὸς οὗτος τόπος, ἐδόκησεν ὁπηνίκα Ἰακὼβ σου τὸν τύπον ἐν κλίμακι ἔβλεψε, Θεοτόκε, ἀψευδῶς, τῶν μαρτύρων ἡ δόξα, ὁσίων τὸ καύχημα, ἀγγέλων ἀγλάϊσμα, πάντων προφητῶν καὶ πιστῶν τὸ διάσωσμα.

Merito Dei Matrem laudamus tanquam martyrum gloriam; divinum hierarcharum et confessorum ornamentum; prophetarum præconium· mulierum titulum honorificum.

Ex te Deus carnem assumpsit, o Virgo; teque nunc angelis sublimiorem effecit atque omnibus rebus creatis excellentiorem: idcirco te hymnis celebramus.

Martyrum prophetarumque sanctorum, atque omnium a sæculo justorum tu gloria es, o Virgo casta: unde te manifeste, sacris vocibus una cum illis honoramus in sæcula.

Martyrum et confessorum, prophetarum, mulierum, atque omnium hierarcharum qui sancte vitam traduxerunt, tu vere gloria es, o purissima, cum quibus te honore prosequimur.

Virgo plurimis dignissima laudibus, prophetarum præconium undique resonans: hierarcharum, martyrum, et confessorum ornamentum: sanctarum feminarum lætitia, debitis laudibus celebretur in æternum

Cum Jacob elata voce dixit: Terribilis est locus iste; vidit sine dubio te in illa scala figurari, o Deipara, martyrum gloria, confessorum lætitia, angelorum splendor, omnium prophetarum atque fidelium salus.

ΗΧΟΣ Δ'.

Ἐκ τοῦ κανόνος τῆς δευτέρας εἰς τὸν Ὄρθρον.

TONUS IV.

Ex canone feriæ II ad Matutinum.

C

Ὑπέρφωτε λαμπὰς τοῦ Ἡλίου τῆς δόξης, τῆς ψυχῆς μου τὸν πυρσὸν σβεννύμενον ἀεὶ ῥᾳθυμίᾳ προσάναψον θείων ἔργων τῷ ἐλαίῳ, παναγία ἐπάρδουσα, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Splendidissima lampas Solis gloriæ, flammam animæ meæ, quæ socordia ac torpore semper exstinguitur, accende ac fove divinorum operum oleo, o sanctissima, ut cum fide et affectu glorificem te.

Μαρία Κυρία, ὡς οὖσα τοῦ παντὸς τὸν Κύριον γεννήσασα, κυριευθέντα πάθεσι τὸν νοῦν μου καὶ κακίᾳ μελανωθέντα ἐλεύθερον ποίησον, καὶ καταλάμπρυνον.

O Maria Domina, omnium Dominum enixa; mentem **268** meam sub pravarum affectionum dominatu oppressam, et malitia denigratam, libera et illustra.

Ἐπὶ σὲ καθάπερ ὄμβρος τῆς σοφίας ἡ ἄβυσσος Ἰησοῦς κατῆλθε, μόνην καθαρὰν σε εὑράμενος, Θεογεννῆτορ Παρθένε, καὶ κατέκαυσεν ἁμαρτίας χειμάῤῥους δεινῆς θείᾳ χάριτι.

(19) Super te tanquam imber descendit sapientiæ abyssus Jesus, cum te solam puram invenisset, o Dei Genitrix Virgo, et vorticosos peccati torrentes divinæ gratiæ flammis exsiccavit.

Σοῦ τὰ θαυμάσια προφητικαὶ ἔφησαν φωναί, ὄρος καλοῦντές σε καὶ πύλην, ἄχραντε, καὶ λυχνίαν, φαεινὴν, ἐξ ἧς τὸ φέγγος ἀληθῶς τὸν θαυμαστὸν φρυκτωρεῖ, ἁγνή, κόσμον ἅπαντα. D

Mirabilia tua propheticæ voces prolocutæ sunt, o inviolata; appellantes te portam et lucernam splendentem, o casta: ex qua jubar vere admirabile universum mundum illuminat.

Τὴν ἀμαυρωθεῖσάν μου καρδίαν ταῖς σκοτειναῖς ἐφόδοις, θεονύμφευτε, τῆς ἁμαρτίας, τῷ φωτισμῷ τῷ ἐν σοὶ καταύγασον, ἡ τὸν Ἥλιον κυήσασα.

Cor meum tenebris peccati invasionibus obscuratum, illumina, o Sponsa Dei, luce tua; nam tu solem ipsum peperisti.

Μόνη μένεις ματὰ τόκον, Δέσποινα, παρθενικῷ κάλλει διαλάμπουτα μόνη τὰς μητέρων διέδρας· Θεὸν γὰρ μόνη ἔτεκες Λυτρωτὴν τῶν ψυχῶν ἡμῶν.

Tu sola, o Domina, post partum Virginalis decoris lucem conservasti: sola, quæ propria matrum sunt in partu ignorasti; sola enim Deum peperisti Redemptorem animarum nostrarum.

(19) Favet Joan. Bromiardus ord. Prædic. in sua Summa prædic. parte, II, c. 3, dum ibi inter alia ait: « Filius Dei volens in aliquo loco, et de aliqua muliere naturam nostram assumere et nobiscum morari, a principio mundi nullam invenit pro hoc pio dignam, quia omnes peccato originali, vel actuali, vel utroque infectæ erant. Et tandem vero in fine mundi hanc mundissimam inveniens Virginem, in qua nullum erat peccatum, vel originale vel actuale, tanquam gaudens de fortuna optata inventa, dicere potuit: Hæc requies mea, » etc.

Digitized by Google

Benedicunt omnes creaturæ Filium tuum, qui nos benedictionibus coronavit, et sustulit maledictionem ; o sola omnibus benedictionibus cumulatissima (20), Virgo gloriosa, quæ genus nostrum gratia replevisti.

Lucis tuæ radiis illumina, o Sponsa Dei, animam meam in perditionis voragine jacentem : exsurge ; hostes proturba ac dejice, qui affligunt assidue cor meum, et ad sectandas passiones meas impellunt me.

Ex canone duplici feriæ III ad Matutinum.

Tabernaculum immaculatum (21), Arcam, mensam, et montem, ex quo sine hominis manibus abscissus est lapis Christus omnium Dominus, Mariam Virginem hymnis honoremus.

O nubes lucida (22), animæ meæ nubes multas et graves, illuminativis intercessionibus tuis dissolve, ut radios **269** illius, qui ex te tanquam sol exortus est, videre possim, et ex tua luce lucem inoccidiuam acquiram.

Primorum parentum tristitiam abstulisti, dum gaudium nobis peperisti, o sanctissima Deipara, vitæ scilicet datorem, ac Redemptorem, quem impenso affectu precare pro salute animarum nostrarum.

Mundus per te veniam consecutus est, Virgo Mater, qui propter transgressionem inutilis factus fuerat : propterea canticorum odis te merito beatam appellat.

Te salutem in omni loco et tempore invoco : ne despicias me, o purissima, quæ Deum Redemptorem ac Salvatorem meum peperisti.

Propitiatio ac redemptio nostra apparuit Filius tuus, o Virgo; quem suppliciter exora pro salute eorum qui te cum animi compunctione beatificant.

Εὐλογεῖ πᾶσα κτίσις τὸν τόκον σου εὐλογίαις ἡμᾶς στεφανώσαντα, καὶ τὴν ἀρὰν ἐξάραντα, παντευλόγητε μόνη δεδοξασμένη, ἡ τὸ γένος ἡμῶν χαριτώσασα.

Φωτὸς τοῦ ἐν σοὶ μαρμαρυγαῖς, Θεόνυμφε, τὴν ψυχήν μου φωταγώγησον, κείμενον βόθρῳ ἀπωλείας ἀνάστησον ἐχθρούς καταράσσουσα τοὺς θλίβοντας ἀεὶ τὴν καρδίαν μου, καὶ πρὸς τὰ πάθη συνωθοῦντάς με.

Ἐκ τοῦ κανόνος τῆς τρίτης εἰς τὸν Ὄρθρον.

Τὴν σκηνὴν τὴν ἄχραντον, καὶ κιβωτὸν, καὶ τράπεζαν, τὸ ὄρος οὗ ἐτμήθη ἄνευ χειρὸς ἀνθρώπου λίθος, ὁ τοῦ παντὸς Κύριος, Μαριὰμ τὴν Παρθένον ὑμνοις τιμήσωμεν.

Νεφέλη φωτεινὴ, τῆς ψυχῆς μου τὰ νέφη τὰ πολλὰ καὶ χαλεπὰ ταῖς σαῖς φωτιστικαῖς μεσιτείαις διάλυσον, ὅπως ἴδω τὰς ἀκτῖνας τοῦ ἐκ σοῦ ἀνατείλαντος, καὶ φωτὶ φῶς προσλάβωμαι ἄδυτον.

ἐων προπατόρων ἔλυσας τὴν λύπην, χάριν ἡμῖν κυήσασα, τὸν ζωοδότην καὶ Λυτρωτὴν, παναγία Θεοτόκε, ὃν ἐκτενῶς ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κόσμος διὰ σοῦ ἠλέηται ὁ τῇ παραβάσει ἀχρειωθεὶς, Μητροπάρθενε · διὰ τοῦτο ᾠδαῖς ἁσμάτων καταχρέως μακαρίζει σε.

Σωτηρίαν ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἐπικαλοῦμαι, μὴ παρίδῃς με, πανάμωμε, ἡ Θεὸν κυήσασα τὸν Λυτρωτὴν ὁμοῦ καὶ Σωτῆρά μου.

Ἵλασμὸς ἡμῖν καὶ λύτρωσις ἐγνωρίσθη ὁ σὸς Υἱὸς, Παρθένε, ὃν ἱκέτευε σῶσαι τοὺς ἐν κατανύξει σε ψυχῆς μακαρίζοντας.

(20) Hac igitur etiam benedictione cumulata, quod ipsa fuerit aurora divini Solis nulla originali caligine obscurata, arca semper coronata, et in nullo temporis momento, dæmoni per peccatum subjecta ; albedo splendidissima in nulla unquam vel minima peccati obscuritate deprehensa : et amica Dei tota pulchra, a qua omnis macula non solum actualis, sed etiam originalis criminis semper exsulavit. Porro « Christus (ut in suo opere *De laud. B. Virginis* libr. 1, fruct. 7, inquit Bartholomæus Pisanus) dedit majora dona, et minus necessaria Virgini. Patet, quia eam suam Matrem fecit, ergo et minora dona dedit, scilicet præservationem a peccato originali. Item, præservavit Virginem a pœna Evæ, ergo et a culpa, » etc.

(21) Non aliam ob causam, nisi quia ab originalis peccati macula semper alienum. Hac enim macula, etsi ad momentum fuisset inquinatum, nec vere, nec absolute immaculatum dici posset. Hinc Bernardinus de Busto in Marial. serm. 2 de Concept. parte 3, ait : « Deus, cujus perfecta sunt opera Deut. 22, sacratissimum tabernaculum B. Virginis omni puritate et innocentia repletissimum formavit, in cujus sacratissimo utero factus homo novem mensibus, » Magister quoque Paulus de Luca in quodam excellentissimo sermone, in quo decem mediis probat Immaculatam B. Virginis conceptionem, inter alia inquit : « B. Virgo non fuit resoluta in pulverem. Ergo nec concepta per originalem culpam. Nam constat quod Tabernaculo Christi plus derogat peccati corruptio, quam in pulverem resolutio. » Sic ille apud Bustum, serm. 6 de Concept. parte 2.

(22) Quia nullo unquam tempore alicujus peccati obscuritati subjecta. Hinc D. Hieronymus tractans versiculum illum Psalmi 77. Eduxit eos in nube diei, dixit : Ecce Deus venit in Ægyptum in nube levi ; Nubem levem aut proprie corpus Salvatoris, quia leve fuit, et nullo peccato gravatum, aut certe debemus accipere Mariam nullo semine humano prægravatam. « Ecce Dominus venit in Ægyptum sæculi hujus per nubem levem Virginem, et eduxit eos in nube diei. Pulchre « dixit in nube dici. » Nubes enim illa non fuit in tenebris, sed semper in luce. » Hæc Hieronymus. Quæ profecto (inquit Catharinus in suo Tract. de Concept. ad Synod. Trident. parte 1) nisi sophistice pervertantur, perpetuam Dominæ gratiam, et innocentiam comprobant. Appellant enim Virginem nubem nullo humano semine prægravatam. Quid, obsecro, est hoc nisi apertius dicere illam nullo peccati pondere, quod ex humano semine descendit, fuisse prægravatam ? Et quid hoc est non fuisse illam nubem unquam in tenebris, sed semper in luce, nisi nunquam fuisse involutam peccato, per quod tenebræ significantur ? Quid hic dicturi sunt quantumvis ingeniosi, et ad commenta copiosi ? Sic Catharinus.

Digitized by Google

Ἀνάτειλόν μοι, Δέσποινα, ἀκτῖνα τοῦ ἐλέους σου, A τῷ ἐν τῷ σκότει τῶν πταισμάτων ὑπάρχοντι, Παρθένε, καὶ πρὸς φῶς ὁδήγησον μετανοίας, ἄχραντε ἵνα πίστει σε ὑμνῶ.

Oriri fac, o Domina Virgo, radium misericordiæ tuæ, mihi, qui in peccatorum meorum tenebris jaceo; et ad lumen pœnitentiæ deduc me, o inviolata, ut cum fide collaudem te.

Τὴν καλλονὴν ἠγάπησεν Θεός σε τοῦ Ἰακώβ, Παρθένε Κόρη, ἐπικαλλωπίζων πάντας διά σοῦ ἀμαυρωθέντας παραβάσει τὸ πρότερον.

Te speciem Jacob Deus dilexit, o Virgo puella, qui exornat pulchritudine ac fulgore per te omnes qui prius peccati nigredine fuerant deformati.

Παναγία Παρθένε, ἡ προστασία ἁ πάντων τῶν πιστῶν, πρόστηθι, ῥῦσαί με ἀπειλῆς καὶ σκότους τοῦ φρικτοῦ κριτηρίου ἐν ὥρᾳ τῆς κρίσεως, ἵνα πίστει ἀεὶ ὑμνῶ σε.

Virgo sanctissima, præsidium omnium fidelium : esto mihi præsidium ut liberes me a minis, et tenebris tremendi consessus in hora judicii, ut semper te cum fide collaudem.

Νόμου διετράνωσαν εἰκόνες τὴν σὴν φρικτὴν λοχείαν, Θεονύμφευτε, ὧν τὰς ἐκβάσεις ἡμεῖς νῦν καθορῶντες, Δέσποινα, ἐπαξίως σε δοξάζομεν.

Legis imagines venerandum partum tuum manifeste expresserunt, o Sponsa Dei; quarum eventus nos nunc intuentes, pro merito te, Domina, glorificamus.

Τὸν Σωτῆρα καὶ Θεὸν, καὶ Λυτρωτὴν, καὶ Δεσπότην σαρκὶ τεκοῦσα, πάναγνε Δέσποινα, τοῦτον ἀεὶ, ἄχραντε, δυσώπει, ὅπως λύσιν τῶν δεινῶν καὶ πολλῶν ἁμαρτιῶν τὴν ἄφεσιν λαβόντες ὑμνολογοῦμεν αὐτοῦ τοὺς ὑπὲρ νοῦν οἰκτιρμούς. B

Salvatorem ac Deum, Redemptorem ac Dominum cum in carne pepereris, o Domina purissima et castissima; eumdem assidue precare pro nobis, ut malorum cessatione, multorumque peccatorum indulgentia impetrata, ejusdem miserationes, quas nulla mens comprehendere **270** potest. laudibus efferamus.

Ἀπαγωγῆς πονηρᾶς, καὶ προνομῆς, Παρθένε, καὶ τῆς δουλείας τοῦ ἀλάστορος τοὺς δούλους σου φύλαττε, τούς σε ψυχῇ καὶ γλώσσῃ ἀεὶ δοξολογοῦντας.

A captivitate mala, a deprædatione ac servitute crudelissimi hostis custodi servos tuos, o Virgo, qui te corde et ore semper glorificant.

Ἡ κοιλία σου, πανάμωμε, θημωνία σεπτῆς ἄλωνος ἐδείχθη κόσμῳ σῖτον φέρουσα ζωῆς τὸν τρέφοντα τὰ πάντα· διό σε ὡς αἰτίαν ἁπάντων τῶν καλῶν οἱ πιστοὶ συμφώνως ἀνυμνοῦμεν. C

Venter tuus, o mundissima, venerandæ areæ acervus factus est mundo, afferens vitæ panem, quo nutriuntur universa : propterea te tanquam causam omnium bonorum nos fideles concordi voce laudamus.

Ὡς πηγὴ τῆς ἡμῶν ἀναπλάσεως, συντριβέντα με ὅλον ἀνάπλασον ταῖς προσβολαῖς τοῦ ὄφεως, ὅπως πίστει καὶ πόθῳ σε μακαρίζω, Θεοτόκε Παρθένε πανύμνητε.

Tanquam fons reformationis nostræ, me totum serpentis ictibus contritum reforma ac redintegra, ut cum fide et affectu te beatificem, o Deipara Virgo omni laude dignissima (23).

Φιλάγαθε Κόρη, τὸν φιλάγαθον Θεὸν κυήσασα, ἀγάθυνον, βοῶ σοι, κεκακωμένην δεινῶς καὶ ἀθλίαν μου ψυχὴν τοῖς πάθεσι καὶ ταῖς πονηραῖς ἐπιβουλαῖς τοῦ πλάνου, ἵνα πίστει σε ὑμνῶ τὴν ἐλπίδα πάντων.

O Puella bonorum amatrix, quæ amatorem bonorum Deum peperisti; ad te clamo : bonam fac miserabilem animam meam, passionibus, pravisque ac insidiosis seductoris suggestionibus gravissimis malis infectam : ut te cum fide laudare possim, spem universorum.

Φιλάγαθον τέξασα Θεὸν, φιλάγαθε Θεοτόκε, τοῦτον αἴτησαι πάσης με ῥύσασθαι κακίας, καὶ τοῦτον καρ-

O Deipara, bonorum amica, et bonorum amicum Deum enixa, eumdem roga, ut me ab omni liberet

(23) Optime in hanc rem vir piissimus et doctissimus Leonardus de Nogarolis in Epistola dedicatoria sui Officii de Immaculata Conceptione ad Sixtum IV Pontific. Max. dum ibidem inter alia : « Nullus in Mariæ laudes prorumpens, matrem eam dicet Dei simulque quondam filiam fuisse diaboli. Deformem profecto reddidit laudatam. Num Matrem dices gratiæ eam, quæ antea inimica largitoris gratiæ? Ingrati, non laudantis est officium. Numquid viam ad vitam affirmabis quæ et ipsa quandoque ignoravit viam? Te sane confundis. Spemne peccantium, et medium ad omnia tollenda peccata, quæ peccatum gustaverit? Te ipsum a veritate alienum ostendis. Extollis et deprimis, magnificas et vilipendis, sanas et percutis, teipsum censura circumvenis, benedictam dicis cui maledicere non desinis. Vis igitur laudare B. Virginem orbem terrarum introeuntem? vis festum diem constituere? Eas laudes tribue quæ ignominiam non servent. » Certe nulli dubium D est, concipi sine peccato originali esse magnam laudem; ergo Virgini non est deneganda, cui nec Ecclesia abstulisse videtur cum illam vocat sanctam in conceptione. Aliud est esse dignum, aliud est esse dignissimum laude. Laude dignus sufficienter extollitur nonnullis laudibus illi tributis : qui vero dignissimus est laude, meretur in omnibus laudari, quæ illi non repugnant. Maria ergo cum sit laude dignissima, in omnibus et super omnes extollenda est, ac proinde etiam de conceptione. Hoc porro, inquiebat Emmanuel Palæologus imperator, evenire omnibus necesse est, qui aliquem de Maria sermonem habere voluerint, alterum enim de duobus erit, omnino aut nihil dicere de Virgine, aut si dicas, laudare. Nulla enim ratione fieri potest ut loquaris de illa, et laus non sit, quod loqueris; quandoquidem et ipsa, et quidquid ad ipsam spectat celebratissimam habet gloriam. Sic ille.

Digitized by Google

malitia, et ut cor meum illius amore vulneretur, cum odio voluptuosarum carnis passionum, ut te laudabilissimam hymnis celebrare possim.

διῶξαι τῷ ἔρωτι σαρκὸς ἡδυπαθείας μισήσαντα, ὅπως ὑμνῶ σε τὴν πανύμνητον.

Ex canone feriæ IV *ad Matutinum.*

Ἐκ τοῦ κανόνος τῆς τετάρτης εἰς τὸν Ὄρθρον.

Post partum Virgo inviolata permansisti, illum ineffabiliter enixa, qui in cruce fuit exaltatus : quamobrem nos fideles omnes te, o immaculata, magnis vocibus beatam nuncupamus.

Παρθένος μετὰ τὸν τόκον ἄφθορος διαμεμένηκας, τὸν ὑψωθέντα, ἄχραντε, σταυρῷ ὑπὲρ λόγον κυήσασα· ὅθεν πιστοί σε ἅπαντες μεγαλοφώνως μακαρίζομεν.

Agna immaculata, videns te, Domine, in cruce elevatum, cum dolore flebat, ac potentiam tuam laudabat.

Ἡ ἀμωμός σε ἀμνὰς ἀναρτηθέντα ἐν σταυρῷ βλέπουσα, ὀδονηρῶς, Δέσποτα, ἔκλαιεν, ὑμνοῦσα τὸ κράτος σου.

Tu quæ in tempore Dominum temporis expertem peperisti, atque unica virginitatem immaculatam possedisti ; videns eumdem in ligno suspensum, animam tuam **271** doloribus dissecari ac dividi sentiebas.

Ἡ τὸν ἄχρονον ἐν χρόνῳ ἀποτεκοῦσα καὶ παρθενίαν ἄμωμον ἡ μόνη κεκτημένη, ξύλῳ ἀναρτηθέντα ὡς ἔγνως τὸν Κύριον, πόνοις τὴν ψυχὴν κατεμέριζες.

Ille qui solus bonus est, cum in uterum immaculatum ut carnem susciperet, ingressus fuisset, etiam crucifixus ostendi voluit, ut nos a perditione liberaret.

Ὁ μόνος ἀγαθὸς ὑποδὺς μήτραν ἄφθορον σαρκούμενος καθωράθη, καὶ σταυρούμενος, ὅπως φθορᾶς ἡμᾶς λυτρώσηται.

Clavis te populus iniquus confixit ; et nunc doloris gladius dilacerat cor meum, o Creator meus. Ita cum lacrymis Virgo clamabat.

Ἥλοις σε ὁ παράνομος δῆμος προσήλωσε, καὶ λύπης νῦν τῇ ῥομφαίᾳ τὴν ἐμὴν καρδίαν σπαράττομαι, ὦ Ποιητά μου, ἡ Παρθένος ἐβόα δακρύουσα.

Cum Christum Deum, qui in camino ros apparuit, et nullo modo combussit uterum tuum ; videres, o Puella, affixum ligno, inexcogitabilem illius demissionem, humilitatemque glorificabas.

Τὸν ἐν καμίνῳ δρόσον ὀφθέντα Χριστὸν τὸν Θεὸν, Κόρη, μηδαμῶς δὲ φλέξαντα τὴν νηδὺν τὴν σὴν· βλέπουσα γὰρ κρεμάμενον ξύλῳ ἐδόξαζες τὴν ὑπὲρ νοῦν αὐτοῦ συγκατάβασιν.

Cum Domina plurimis celebranda laudibus, videret Christum morientem, et simul perimentem hostem illum qui homines occidebat ; tanquam Dominum cum lacrymis illum laudabat : ac longanimitatem illius et patientiam admirata, clamabat : Omnia opera, laudate Dominum.

Νεκρούμενον βλέπουσα Χριστὸν, καὶ τὸν νεκρώσαντα βροτοὺς νεκροῦντα ἐχθρὸν, ἡ πολύμνητος Δέσποινα ὡς Δεσπότην ὑμνεῖ κλαίουσα, καὶ τὸ μακρόθυμον αὐτοῦ ἀποθαυμάζουσα ἀνεβόα· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Illumina, Virgo casta, animam meam peccati tenebris involutam : dissolve nubila malorum meorum, o nubes lucis, quæ olim solem obtenebratum vidisti dum crucifigeretur ille qui est immortalis.

Φώτισον, ἁγνὴ, τὴν ψυχήν μου τῇ ἁμαρτίᾳ σκοτισθεῖσαν, λῦσον τῶν κακῶν μου τὰ νέφη, φωτὸς νεφέλη ἡ σκοτιζόμενον ἥλιον πάλαι βλέψασα, ἐν τῷ σταυροῦσθαι τὸν ἀθάνατον.

Ex canone feriæ V *ad Matutinum.*

Ἐκ τοῦ κανόνος τῆς πέμπτης εἰς τὸν Ὄρθρον.

O Virgo, quæ semper vigilas intercedendo pro nobis : animæ nostræ passiones sopore opprime sacris precibus tuis, divinam et salutarem vigilantiam elargiens nobis, qua divina placita explere possimus.

Ἀκοίμητον, ἁγνὴ, κεκτημένη πρεσβείαν, κατακοίμησον ἡμῶν τὰ πάθη τῆς ψυχῆς, ἱεραῖς μεσιτείαις σου, θείαν καὶ σωτηριώδη διορουμένη ἐγρήγορσιν πρὸς Θεοῦ θελημάτων ἐκπλήρωσιν.

Te præsidium, Virgo sanctissima, possidemus : commuta in gaudium tristitiam nostram, et libera nos a tribulatione quæ generat mortem.

Σὲ προστασίαν, παναγία Παρθένε, κεκτήμεθα, μεταποίησον ἡμῶν εἰς χαρμονὴν τὴν κατήφειαν, καὶ θλίψεως λύτρωσαι γεννώσης θάνατον.

Exercitus angelorum stupore percelluntur, o castissima, hymnis extollentes magnitudinem divini partus tui : cum quibus preces funde, o Virgo, pro salute omnium **272** illorum qui te cum fide sincera beatam appellant.

Στρατηγίαι τῶν ἀγγέλων καταπλήττονται, πάναγνε, ἀνυμνολογοῦσαι μέγεθος τῆς θείας λοχείας σου, μεθ' ὧν δυσώπει, Παρθένε, πάντας σώζεσθαι τοὺς ἐν πίστει σε εἰλικρινεῖ μακαρίζοντας.

Intellectualibus oculis intuens te Isaias, o Virgo, in has voces erupit : Ecce nasciturus est Jesus Dominus, ut homines renascantur.

Populus et civitas tua supplex precatur te Dei Matrem. Libera nos ab omni necessitate, o Domina sanctissima, et ab æterna futuri sæculi damnatione.

Νοεροῖς τοῖς ὄμμασι, Παρθένε, σὲ ὁρῶν Ἡσαΐας ἀνεβόᾳ· Ἰδοὺ μέλλει τίκτεσθαι κόρης θεόπαιδος Ἰησοῦς ὁ Κύριος εἰς ἀνθρώπων ἀναγέννησιν.

Λαός σου καὶ ἡ πόλις δυσωπεῖ σε τὴν τοῦ Θεοῦ Μητέρα, ἐξελοῦ ἡμᾶς πάσης ἀνάγκης, καὶ τῆς ἐκεῖ, παναγία Δέσποινα, αἰωνίου κατακρίσεως.

Somno opprime insurgentes motus passionum

Κοίμησον ἐπαναστάσεις παθῶν τῆς ἐμῆς ψυχῆς

Digitized by Google

ἀγρύπνῳ δεήσει σου, δίδου μοι ἐγρήγορσιν, Κόρη, τῆς ῥαθυμίας πόῤῥω τὸν νυσταγμὸν ἀπελαύνουσα.

Συμπαθείας τῆς σῆς με ἀξίωσον, συμπαθέστατον Λόγον κυήσασα, εὐλογημένη Παρθένε, καὶ ἐν ὥρᾳ τῆς δίκης πρόστηθι ῥῦσαι τῆς ἐκεῖ με, ἁγνή, κατακρίσεως.

Φωνὴν σοι τοῦ θείου Γαβριὴλ προσάγομεν χαρμοσύνως, καὶ κραυγάζομεν· Χαῖρε, Παράδεισε, τὸ ξύλον ἐν μέσῳ τῆς ζωῆς ἔχων πάντοτε περίδοξον τοῦ Λόγου παλάτιον· χαῖρε, Παρθένε παναμώμητε.

Ἐκ τοῦ κανόνος τῆς Παρασκευῆς εἰς τὸν Ὄρθρον.

Ῥομφαία, ὡς ἔφησεν ὁ Συμεὼν, τὴν καρδίαν σου διῆλθεν, ὡς ἔβλεψας Χριστὸν σταυρούμενον μόνον, Δέσποινα, νυττόμενον τῇ λόγχῃ· ὅθεν ἀλαλάζουσα πόνους ὑπέφερες.

Ἐκ σοῦ ἡ ἀνάπλασις τῆς Εὔας ὡράθη, Παρθένε, ἀληθῶς Θεὸς σαρκὶ τικτόμενος, καὶ ἐν σταυρῷ ὑψούμενος, καὶ καταράσσων δαίμονας, θεοχαρίτωτε Δέσποινα.

Ῥήγνυται χειρόγραφον τὸ τοῦ Ἀδὰμ, λόγχῃ νυττομένου σου, Δέσποτα, ἡ Θεοτόκος ἀνεβόα τῷ σταυρῷ παρισταμένη, Κύριε, καὶ ὀδυνηρῶς ἀλαλάζουσα.

Σαρκὶ ὃν ἐκύησας Χριστὸν, Θεοχαρίτωτε, ξύλῳ ἀναρτούμενον ὡς εἶδες, θρήνων ἐπλήσθης, καὶ τὸ μακρόθυμον τούτου κατεπλήττου ἀληθῶς· ὅθεν ἐμεγάλυνες τὴν αὐτοῦ συγκατάβασιν.

Λιμὴν γενοῦ μοι, πανάμωμε, πελάγει τῶν δεινῶν θαλαττεύοντι, ἡ ναυαγήσασαν πᾶσαν τὴν φύσιν τῷ τόκῳ σου, Θεογεννῆτορ Κόρη, νῦν διασώσασα.

Νύμφη ἄμωμος, παλάτιον τοῦ Κτίσαντος, γῆ ἀγεώργητος, θρόνος πυρίμορφος ἐδείχθης, πανάμωμε· ὅθεν βοῶμέν σοι· Χαῖρε, Δέσποινα, ἡ τοὺς βροτοὺς θεώσασα θείᾳ κυοφορίᾳ.

Ἰδοῦσα ὑπνώσαντα ἐν ξύλῳ τὸν πᾶσιν ἐγρήγορσιν παρέχοντα θείαν καὶ σωτήριον, Μήτηρ ἡ πανάμωμος ἀλαλαγμῷ ὠδύρετο, καὶ ἀνεκραύγαζε· Τί τοῦτο καινότατον θαῦμα; ὁ ζωοποιήσας τὰ πάντα, θνήσκει θέλων.

Φώτισον, ἁγνὴ, τοὺς πόθῳ ὑμνοῦντάς σε, καὶ μεγαλύνοντας· λῦσον τῶν παθῶν ἡμῶν τὸ σκότος, Κόρη· παῦσον τὸν κλύδωνα· τοῦ πονηροῦ τὰ σκάνδαλα ἐκ μέσου ποίησον· τοὺς τῆς Ἄγαρ γόνους καθυπότασσον βασιλεῖ εὐσεβεῖ ταῖς πρεσβείαις σου.

Ἐκ τοῦ κανόνος τοῦ Σαββάτου εἰς τὸν Ὄρθρον.

Ῥυόμενος ἡμᾶς καταδίκης ἀρχαίας ὁ Υἱὸς ὁ τοῦ Θεοῦ ηὐδόκησεν, ἁγνὴ, καὶ Υἱὸς χρηματίσαι σου·

A animæ meæ precibus tuis nunquam dormientibus. Da mihi vigilantiam, o Puella, procul abigens socordiæ ac torporis dormitationem.

Compassionis tuæ dignum me fac, quæ Verbum summa compassione prædituin peperisti, o benedicta Virgo castissima; et in hora judicii assiste mihi, ut a futuræ damnationis sententia eripias me.

Ad te Divini Gabrielis vocem cum gaudio dirigimus, clamantes : Ave, Paradise, quæ vitæ lignum semper habes in medio tui. Ave, gloriosissimum Verbi palatium, Virgo omni laude dignissima.

Ex canone feriæ VI *ad Matutinum.*

Pertransivit gladius cor tuum, quemadmodum prædixerat Simeon, o Domina; cum Christum cru- B cifixum vidisti solum lancea perfodi; quamobrem dolores sustinens in gemitus erumpebas.

Ex te reformatio Evæ revera facta est, o Virgo Domina Deo charissima : Deus scilicet in carne natus, et in cruce exaltatus, qui dæmones proturbans dejecit.

Rescinditur chirographum Adæ, dum tu lancea perforaris, Dominator Domine. Ita Deipara assistens cruci cum dolore atque ejulatu exclamabat.

Quando Christum quem incarnatum pepereras, ligno affixum vidisti, o divina gratia cumulatissima, lamentis **273** repleta es, et profecto illius longanimitatem ac patientiam cum stupore admirabaris, quamobrem ejusdem demissionem atque humilia- C tionem magnificabas.

Esto mihi portus, in pelago adversitatum fluctuanti, o purissima puella, quæ universam hominum naturam naufragium passam, partu tuo, o Dei Genitrix, salvasti.

Sponsa immaculata, palatium Creatoris, terra inarata, thronus igniformis facta es, o purissima : quare ad te clamamus : Ave, o Domina, quæ divino conceptu tuo homines deificasti.

Cum immaculatissima Mater (24) videret illum dormientem in ligno, qui omnibus divinam salutaremque tribuit vigilantiam : cum dolore ejulans exclamabat : Quodnam miraculum novum, et nunquam antea auditum est hoc? Ille qui omnia vivificat, moritur voluntarie?

Illumina, o casta, eos qui te cum affectu collaudant ac magnificant: dissolve passionum nostrarum D tenebras, o puella : seda tempestates : tolle e medio scandala maligni : subjice filios Agar piissimo imperatori intercessionibus tuis.

Ex canone Sabbati ad Matutinum.

Filius Dei, ut nos ab antiqua damnatione liberaret, etiam Filius tuus, o Virgo, esse voluit; quam-

(24) Cum Christus caruerit originalis peccati maculis, decuit ut ejus mater eisdem careret, essetque omnino immaculata, ne Filius Dei habuisset circa se in Matre maculam, et peccatum originis. Et se non decuit habuisse Matrem Dei sordes naturæ physicas, nimirum sordes partus naturalis, quanto magis debuit carere spiritualibus peccati. Item, si dolor partus dicitur contumelia naturæ, cum non sit culpa, sed pœna illius, ac proinde semota a Dei Matre, quanto magis ipsa culpa originalis, quæ est major contumelia humanæ naturæ, ab ea debuit excludi?

Digitized by Google

obrem per ipsum nos in filiorum adoptionem recepti, cœlestem Patrem benedicimus; tibique laudes decantamus.

Laudem Deo offeramus, qui ex Virgine voluntarie natus est, et choris angelorum mulierum choros adjunxit.

Ille, qui te Virginem immaculatam post partum conservavit, virgines omnes quæ te circumstant, glorificavit; cum quibus sine cessatione precare, ut animæ nostræ ab omni angustia ac tentatione serventur.

Dominus, qui habitavit in te, o Virgo ab omni macula immunis, (25) **274** fecit homines habitacula divinæ gloriæ suæ.

Ore, lingua, et corde confiteor te, o puella, castam Matrem Dei nostri; at tu mediatione tua ab æternæ damnationis sententia libera me.

Videns olim legislator flammam non conburentem rubum, didicit illam esse figuram partus tui, o Dei Genitrix sola benedicta.

Compassione tua dignum me fac, o Dei Genitrix castissima, quæ piissimum Verbum peperisti; et salvum me fac clamantem: Benedicite, omnia opera, Domino; laudate, etc.

Supernis Cherubinis superior apparuisti, o mundissima, quippe quæ illum portasti qui continet universa: fac quoque mentem meam passionibus carnis superiorem; tribuens mihi virtutem, qua Domini voluntatem exsequi possim.

TONUS PLAGIUS.

Ex canone feriæ II ad Matutinum.

O porta divinæ gloriæ, pande mihi portas pœnitentiæ, et a portis inferi erue, precor, miserabilem animam meam.

Virgo Mater, a qua Deus corpus assumpsit; suscipe voces clamantium ad te assidue, et a variis adversitatibus libera nos.

Ex puris sanguinibus tuis incarnatus est Dominus, o omnibus hymnis celebranda, concedens per benignissimam intercessionem tuam, pœnitentiæ locum honorantibus te, utpote piissimus, atque unice hominum amator.

O Virgo inter mulieres benedicta (26), concede misericordias tuas populo tuo, quippe quæ misericordis Mater facta sis.

A ὅθεν υἱοτεθέντες δι' αὐτὸν τὸν οὐράνιον εὐλογοῦμεν Πατέρα, ὑμνοῦντές σε.

Αἶνον τῷ Θεῷ προσάξωμεν, τῷ ἐκ τῆς Παρθένου ἀποτεχθέντι βουλήματι, γυναικῶν τε χοροῖς ἀγγέλων τοὺς χοροὺς ἐπισυνάψαντι.

Ὁ Παρθένον σε φυλάξας μετὰ τόκον ἀμώμητον, τὰς παρθένους πάσας σε περιεστώσας ἐδόξασεν, μεθ' ὧν ἀπαύστως δυσώπει διασώζεσθαι πάσης θλίψεως καὶ πειρασμῶν τὰς ψυχὰς ἡμῶν.

Ὁ Κύριος ἐν σοὶ κατοικήσας, πανάχραντε, εἰργάσατο τοὺς ἀνθρώπους τῆς αὐτοῦ θείας δόξης, Παρθένε, οἰκητήρια.

Στόματι καὶ γλώσσῃ καὶ καρδίᾳ ὁμολογῶ σε, Κόρη, τοῦ Θεοῦ ἡμῶν ἀγνὴν Μητέρα· ἀλλὰ τῇ σῇ μεσιτείᾳ ῥῦσαί με αἰωνίου κατακρίσεως.

Φλόγα τὴν βάτον πάλαι μὴ πυρπολοῦσαν βλέπων, ὁ νομοθέτης ἐδιδάσκετο τὸν τύπον τοῦ τόκου σου, Θεοκυῆτορ μόνη ἀεὶ εὐλογημένη.

Συμπαθείας τῆς σῆς με ἀξίωσον, συμπαθέστατον Λόγον κυήσασα, Θεογεννῆτορ πάναγνε, καὶ βοῶντά με σῶσον· Πάντα τὰ ἔργα, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Φανεῖσα τῶν ἄνω Χερουβὶμ, πανάμωμε, ἀνωτέρα, ὡς βαστάσασα τὸν συνοχέα τῶν ἁπάντων, ἀνώτερον τὸν νοῦν μου ἀπέργασαι παθῶν τῶν τῆς σαρκὸς, δυναμοῦσά με τὸ τοῦ Δεσπότου πράττειν θέλημα.

ΗΧΟΣ ΠΛΑΓΙΟΣ Α'.

C *Ἐκ τοῦ κανόνος τῆς δευτέρας εἰς τὸν Ὄρθρον.*

Πύλη τῆς θείας δόξης, μετανοίας μοι πύλας ἀνάπτασον, καὶ ἐκ πυλῶν τοῦ ᾅδου ἐξάρπασον, δέομαι, τὴν ταπεινήν μου ψυχήν.

Παρθενομῆτορ, ἡ Θεὸν σωματώσασα, τὰς φωνὰς πρόσδεξαι βοώντων σοι πάντοτε, καὶ λύτρωσαι ἡμᾶς τῶν ποικίλων περιστάσεων.

Σαρκοῦται ἐξ ἁγνῶν αἱμάτων σου Κύριος μετάνοιαν τοῖς τιμῶσί σε διδοὺς, πανύμνητε, τῇ σῇ χρηστῇ μεσιτείᾳ, ὡς εὔσπλαγχνος καὶ μόνος φιλάνθρωπος.

Παρθένε ἐν γυναιξὶν εὐλογημένη, τὰ σὰ ἐλέη παράσχου τῷ λαῷ σου· τοῦ ἐλεήμονος γὰρ ἐδείχθης D Μήτηρ.

(25) Favet Richardus de S. Victore, dum tractans illud Cantic., Tota pulchra es, etc., in hunc modum scribit: « Nemo tam sanctus, qui maculam non habuerit et defectum, præter ipsam B. Virginem. Luna enim quæ nocte splendet, et stellæ non sunt mundæ in ejus comparatione. Obtenebrantur enim stellæ caligine humanæ culpæ, sed beatissima Maria, Virgo tota adeo pulchra est, quam totam illustravit et perfudit Sol justitiæ, ut nec maculas habuerit nec tenebras culpæ. » Hæc Richardus. Cujus verba afferens Catharinus in suo tractatu *De concept.* ad synod. Trident. parte I, observat de originali macula loqui manifeste Richardum, tum quia indistincte loquitur, tum quia auctoritatem ex B. Job assumit, quæ (ut exponit B. Gregorius et D. Thomas) ad peccatum originale refertur, cum ait: Obtenebrentur tenebræ in caligine ejus. » Neque vero humanæ culpæ caligo proprie potest nisi ad originale referri.

(26) Quia sola inter mulieres a communi maledictione et contractione originalis peccati libera. Hinc Armandus Richelius R. E. cardinalis in suo *Catechismo*, seu *Institutione Christiana*, lect. 24, ait: « Beata Virgo dicitur benedicta in mulieribus, quia nulla fuit nec unquam erit sine peccati macula concepta cum plenitudine gratia sicut ipsa. » Bartholomæus etiam Pisanus De *laud. B. Virg.* lib. I, fructu 7. « Maria, inquit, dicitur Benedicta in mulieribus, secundum Hieronymum et Augustinum, id est, super omnes mulieres. Ergo puritas aliis concessa, Mariæ non debet negari. Ergo si Eva a Deo mundissima est facta, quare et Maria. »

Digitized by Google

Παρθένε, τῶν πιστῶν ἡ προστασία, ῥυσθῆναι ἀπὸ πάσης ἁμαρτίας δυσώπει τὸν Κύριον τοὺς δούλους σου. A

Εὐλογητὸς εἶ, ὁ Θεὸς, ὁ μήτραν Παρθένου καθυποδὺς, καὶ σώσας τὸν ἄνθρωπον, ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

Ἐκ σοῦ Θεὸς ἀνέτειλε, καὶ θεογνωσίᾳ κατελάμπρυνε τοὺς ἐσκοτισμένους, πανύμνητε Παρθένε.

Φέρεις ὥσπερ θρόνος πύρινος νεύματι τὸν πάντα φέροντα, καὶ θηλάζεις, Παρθένε, τὸν πάντα διατρέφοντα.

Ἐκ τοῦ κανόνος τῆς τρίτης εἰς τὸν Ὄρθρον.

Ῥῦσαι συνηθείας με, ἁγνὴ Παρθένε, πονηρᾶς, στήριζον ἐπὶ πέτραν ἐντολῶν περιτρεπόμενον μεθοδείας, Δέσποινα, τοῦ παλαιοῦ πτερνιστοῦ, καὶ ἀξίωσον ἐμὲ Χριστῷ εὐαρεστῆσαι καλῶς ᾄδοντα καὶ ψάλλοντα ἐπινίκιον ᾠδήν. B

Τέτοκας ἀπορρήτως ὠδίνων ἄνευθεν ὃν Πατὴρ πρὸ αἰώνων ἀῤῥεύστως ἀπεγέννησε, πανύμνητε Δέσποινα, ὃν δυσώπει σώζεσθαι ἀπὸ πάσης βλάβης τοὺς σοὶ προστρέχοντας.

Τῆς μετανοίας πύλης νῦν μοι ὑπάνοιξον, πύλη φωτὸς, Παρθένε, καὶ εἰσόδους τῶν παθῶν ἀπόκλεισον τῆς ταπεινῆς μου ψυχῆς.

Ἁγία Παρθενομῆτορ, μόνη πανύμνητε, ἐγκλημάτων μώμου ἡμᾶς ἀπάλλαξον, φώτισον ἡμῶν τὸν λογισμὸν, ἁγίασον καρδίαν, καὶ αἰωνίας ἡμᾶς πάντας λύτρωσαι καταδίκης δεόμεθα. C

Ἡ πάναγνος Δέσποινα, ἁμαρτανόντων ἡ προστασία, τῶν πιπτόντων ἡ θεία ἐπανόρθωσις, ὡς Θεὸν τεκοῦσα δοξάζεται.

Ἐλέησόν με, μόνη πανύμνητε, τὸν ἐλεήμονα Θεὸν ὑπερβολῇ ἀγαθότητος ἀνερμηνεύτως τεκοῦσα, καὶ ῥῦσαι αἰωνίου κολάσεως.

Πύλη ἀδιόδευτε τῆς δόξης, ἄχραντε, διάνοιξόν μοι τῆς μετανοίας πύλας, προξενήσας μοι τὰς θείας εἰσόδους καὶ τὴν ἐκεῖ κατάπαυσιν.

Θεὸν ἀῤῥήτῳ λόγῳ, Παρθενομῆτορ, ἐκύησας ἡμῖν πᾶσι μετάνοιαν δίδοντα τοῖς πολλὰ πταίουσι διὰ μεσιτείας σου τῆς ἀγαθῆς, καταφυγὴ τῶν πιστῶν καὶ λιμήν. D

Θεοχαρίτωτε σκηνὴ, τοῦ ἁγιάσματος σεπτὴ κιβωτὲ, λυχνία θείου φωτὸς, ἄρτου ζωῆς τράπεζα, Λόγου παλάτιον ἔμψυχον, εἶκον Πνεύματός με δεῖξον.

Καταιγὶς χείμαζέ με ἁμαρτίας, ἄχραντε ἁγνὴ, σπεῦσον ἐξελέσθαι με εἰσάγουσα μετανοίας πρὸς τοὺς λιμένας, πανάμωμε.

Λιμὴν σωτήριος ἐδείχθης πᾶσιν, ἁγνὴ, παθῶν τὸ κλυδώνιον καταπραΰνουσα, πρὸς γαλήνην τε πάντας μετάγουσα τῆς μετανοίας, σεμνὴ, τοὺς ἐν γῇ ταπεινούς.

O Virgo præsidium fidelium, Dominum deprecare, ut ab omni peccato liberet servos tuos.

275 Benedictus es, Deus, qui uterum Virginis ingressus, hominibus salutem attulisti : superlaudabilis es, et supergloriosus

Ex te, o Virgo celeberrima, tanquam sol exortus est Deus, et eos qui in tenebris versabantur, divinæ cognitionis luce illustravit.

Gestas tanquam thronus igneus illum, qui nutu gestat universa ; et lacte nutris, o Virgo, illum qui omnibus dat alimentum.

Ex canone duplici feriæ III ad Matutinum.

Libera me, Virgo casta, a prava consuetudine : firma supra petram divinorum mandatorum, o Domina, me, qui circumvertor ac circumagitor insidiis supplantatoris antiqui : et dignum me fac, ut et ego Christo placere possim pulchre canendo, ac psallendo canticum victoriæ.

Peperisti ineffabiliter sine doloribus illum quem Pater ante sæcula incorruptibiliter generavit ; quem deprecare, o Domina laudatissima, ut ab omni læsione serventur ii qui accurrunt ad te.

Pœnitentiæ portas aperi nunc mihi, Virgo porta lucis, et claude ingressus passionum misellæ animæ meæ.

Sancta Virgo Mater, una omni laude dignissima, a delictorum maculis libera nos : illumina mentes nostras ; sanctifica corda nostra ; omnesque nos ab æternæ damnationis sententia eripe, te precamur.

Castissima Domina, peccatorum patrocinium ; cadentium erectio divina, quæ Deum peperit, glorificatur.

Miserere mei, o sola ab universis laudanda ; quæ misericordem Deum ob nimiam ipsius bonitatem, modo inenarrabili peperisti : et ab æternis supplíciis eripe me.

O immaculata, porta gloriæ per quam nulli transire **276** licet, pœnitentiæ portas aperi mihi, pandens mihi aditum ad divinos ingressus et ad requiem futuram.

Verbo ineffabili Deum peperisti, o Virgo Mater, qui pœnitentiæ spatium dat nobis omnibus multorum lapsuum reis, per benignam intercessionem tuam, o refugium, et portus fidelium.

O Deo charissimum tabernaculum : arca veneranda sanctificationis ; divinæ lucis candelabrum ; mensa panis vitæ, palatium Verbi animatum : Spiritus sancti templum effice me.

Peccatorum tempestate jactor, o Virgo summe pura, casta et immaculata ; festina ut eripias me, et ad pœnitentiæ portus deducito me.

Portus salutaris facta es universis, o Virgo casta, quæ passionum tempestates fluctusque sedas ac serenas, atque omnes qui in terra sunt miserabiles, ad pœnitentiæ tranquillitatem, o veneranda, perducis.

Digitized by Google

Novum puerum peperisti, o purissima, Christum scilicet, qui nos antiqua transgressione inveteratos, in novam reformat creaturam.

Angelorum gloria, hominumque salus, esto mihi fidejussoris loco, o mater Dei, ut convertar et resipiscam, et indulgentiam peccatorum præteritorum per scientiam castitatemque recipiam.

Exaltasti nos sublimi partu tuo a barathro peccatorum; o divina gratia plenissima: quamobrem vocibus gratum animum demonstrantibus, te, puella, laudamus in omnia sæcula.

O Deo gratissima, tu facta es nubes lucida, quæ præcessit novum populum ad terram veram promissionis; et porta, quæ aditum fecit ad vitam: propterea te, o Deipara, magnificamus.

Vere tu facta es, o immaculata Virgo, luciferum vehiculum Solis illius, qui ex visceribus tuis refulsit, **277** et gravissimas fraudis tenebras dissolvit; unde te pro merito ac debito cum fide magnificamus.

Ex canone feriæ IV *ad Matutinum.*

Cum Dominum ex utero tuo natum, in crucis ligno injuste exaltatum animadverteres, o Virgo, lacrymas fundebas, et illius prorsus infinitam humiliationem laudibus extollebas.

Laudant te chori angelici, o omnibus laudibus celebranda, quæ illos incomparabiliter superas dignitate; Deum enim in carne peperisti, qui maledictionem per lignum illatam, ligno abolevit, et benedictionis fontem profudit.

Gladius, o benedicta Dei Mater, animam tuam pertransivit, cum Filium tuum crucifixum, et animam suam in manus Patris commendantem, vidisti.

Te immaculatissimam Dei Genitricem appellamus (27), per quam maledictio sublata est atque exstincta, et data est redemptio, et benedictio.

Admirabilis est proles tua, o Deipara, quæ facit mirabilia magna, et in sanctis glorificatur, o sola omni ex parte admirabilis Domina.

Nova ac peregrina est conceptio tua, o immaculatissima; Deum enim genuisti, qui ligno exstinxit flammam malitiæ, et mundum luce perfudit.

Astabas cruci, o Domina puella, considerans Christum quem pepereras, in illa confixum: quapropter exclamabas; Ne me prole carentem relinquas, o æterne æterni Patris Fili et Verbum.

Plantatorem religionis ac pietatis, ipsum scilicet Creatorem, peperisti, qui in terris veram scientiam plantavit, et maledictionem, quæ ex planta pullulaverat, dissolvit: quem **278** dum magnificamus, te quoque, o Virgo, beatam appellamus.

(27) Et quidem decens omnino fuit, ut Christus fabricator Matris suæ, eam faceret immaculatissimam, et tali decoraret puritate ut esset apta et digna de qua carnem assumeret, ne despiceretur ab infidelibus et hæreticis. Et hoc probat Augustin. in libr. v contra hæreses, dicens in persona Christi: « Hæc quam despicis, Manichæe, Mater mea est, manu fabricata est mea. Ergo Matrem ex qua nascerer, feci: ego viam itineri meo præparavi, » etc. In quibus verbis ostendit Augustinus, quod postquam Christus tanquam Deus, et sapiens architectus ad libitum fabricavit Matrem suam, taliter eam fabricavit sine aliquo defectu, ne ab aliquo despiceretur, et cum tanto decore, et perfectione, ut esset apta, et digna, ut ex ea carnem assumeret, et ab omnibus veneraretur, ut in canticum B. Virginis Magnificat, observat Jacobus Christopolitanus.

A Νέον ἀπεκύησας παιδίον, πανάμωμε, Χριστὸν τὴν ἀναπλασιν ἡμῶν ἐργαζόμενον τῶν πεπαλαιωμένων τῇ ἀρχαίᾳ παραβάσει.

Ἀγγέλων καύχημα, βροτῶν διάσωσμα, ἐγγυητής μου γενοῦ, Μῆτερ Θεοῦ, ὅπως ἐπιστρέψω καὶ κομίσωμαι λύσιν τῶν προημαρτημένων ἐν γνώσει καὶ ἀγνοίᾳ.

Ὕψωσας ἡμᾶς τῷ ὑψηλῷ σου τόκῳ βαράθρων συμπτώσεως, Θεοχαρίτωτε, ὅθεν φωναῖς σε χαριστηρίοις πίστει, Κόρη, ἀνυμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Φωτοειδὴς νεφέλη, προηγουμένη νέου λαοῦ πρὸς γῆν ἐπαγγελίας ἀληθῶς, Θεοχαρίτωτε, ἀνεδείχθης, καὶ πύλη εἰσάγουσα πρὸς ζωήν· διό σε, Θεοτόκε, μεγαλύνομεν.

B Φωτοφόρον ὄχημα τοῦ Ἡλίου ὤφθης ἀληθῶς τοῦ λάμψαντος ἐκ τῶν σῶν, ἄχραντε ἀγνή, λαγόνων, καὶ λύσαντος τῆς ἀπάτης σκότος χαλεπόν· ὅθεν ἐν πίστει σε καταχρέως μεγαλύνομεν.

Ἐκ τοῦ κανόνος τῆς τετάρτης εἰς τὸν Ὄρθρον.

Ὅτε τὸν ἐκ γαστρός σου τεχθέντα Κύριον κατενόησας ξύλῳ ἀδίκως ἀνυψούμενον, Παρθένε, ἐδάκρυσας, καὶ τούτου ὕμνησας ὄντως τὴν ἄπειρον συγκατάβασιν.

Ὑμνοῦσιν ἀγγελικοὶ χοροί σε, πανύμνητε, ἀσυγκρίτως τούτους τὴν ὑπερέχουσαν· τέτοκας γὰρ Θεὸν ἐν σαρκί, τὸν ξύλῳ τὴν κατάραν τὴν διὰ ξύλου ἀφανίσαντα, καὶ τὴν εὐλογίαν πηγάσαντα.

C Ῥομφαία, Θεομῆτορ, διῆλθέ σου, εὐλογημένη, τὴν ψυχήν, ἡνίκα εἶδες σταυρούμενον τὸν σὸν Υἱὸν, καὶ εἰς χεῖρας ψυχὴν τὰς πατρικὰς παραθέμενον.

Σὲ τὴν παναμώμητον Θεοῦ Λοχεύτριαν, δι' ἧς ἡ καταρὰ ἀπεστειρώθη, καὶ ἡ ἀπολύτρωσις καὶ ἡ εὐλογία ἐδόθη, μακαρίζομεν.

Θαυμαστὸς ὁ τόκος σου, ὁ μεγάλα θαύματα ποιῶν, καὶ ἐν τοῖς ἁγίοις δοξαζόμενος, Θεοτόκε, μόνη πανθαύμαστε Δέσποινα.

Ξένη σου ἡ γέννησις ὑπάρχει, πανάμωμε· Θεὸν γὰρ ἐκύησας τὸν ξύλῳ μαράναντα τὴν φλόγα τῆς κακίας, καὶ φωτίσαντα τὸν κόσμον.

Ἵστασο σταυρῷ, κατανοοῦσα, Κόρη, πηγνύμενον, Δέσποινα, Χριστὸν ὃν ἔτεκες· ὅθεν ἐβόας· Μὴ ἄτεκνόν D με δείξῃς, ἄναρχε ἀνάρχου Πατρὸς Υἱὲ καὶ Λόγε.

Φυτουργὸν ἐκύησας εὐσεβείας, τὸν Δημιουργὸν φυτεύοντα ἐπὶ γῆς γνῶσιν ἀληθῆ καὶ τὴν ἐκβλαστήσασαν ἀπὸ φυτοῦ λύοντα ἀρὰν, ὃν μεγαλύνοντες, σὲ, Παρθένε, μακαρίζομεν.

Digitized by Google

Ἐκ τοῦ Κανόνος τῆς πέμπτης, εἰς τὸν Ὄρθρον. A

Πάλαι τῶν προφητῶν σε χορὸς ἐκάλεσεν ὄρος θεῖον, Παρθένε, καὶ πύλην ἀδιόδευτον, ὅθεν, δυσωποῦμεν, μετανοίας πύλας, Παρθενομῆτορ, ἡμῖν ὑπάνοιξον.

Παρέστης ἐκ δεξιῶν Χριστοῦ, ὡς βασίλισσα χρυσοστολοις χρυσέοις, θεοχαρίτωτε, περιβεβλημένη ἀληθῶς, ἡμῖν τὴν βασιλείαν τῶν οὐρανῶν τῇ μεσιτείᾳ σου, Κόρη, προξενοῦσα πρεσβείαις σου.

Ἁγία Θεοτόκε, βοήθει μοι ταῖς ἡδοναῖς διηνεκῶς βυθιζομένῳ τοῦ σώματος, καὶ ῥᾳθυμίας ἐν κλίνῃ ἀεὶ κατακειμένῳ καὶ στένοντι.

Ὁ ἀπερινόητος, θεοχαρίτωτε, περιοχὴ σωματοφόρος γενόμενος, ἔχει με, βροτοὺς ἀπαλλάττων περιεχούσης θλίψεως. B

Κυοφόρος ἄνανδρος, Θεομῆτορ, πέφηνας ἁγνή· διὰ τοῦτο πίστει ἱκετεύω σε, τῆς ψυχῆς μου τὴν ῥαθυμίαν ἀπέλασον.

Ἐκ σοῦ ἡμῖν ἔλαμψεν ἀνέσπερος ἥλιος, νεφέλη ὁλόφωτε, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει ἀγνωσίας, Θεοτόκε.

Σάρκα δι' ἡμᾶς ἐκ σοῦ Θεὸς φορέσας, ἁγνήν σε πανάμωμον παντὸς τοῦ γένους ἡμῶν θείαν, Παρθένε, δεικνύει προστασίαν· ὅθεν, σὲ ὑμνοῦμεν πιστοὶ μεγαλοφώνως.

Φαεινὴν λυχνίαν σε ὁ προφήτης ἔβλεψεν, ἁγνή, λαμπάδιον νοητὸν φέρουσαν Χριστὸν, δι' οὗ ἐφωτίσθημεν οἱ ἐν σκότει κείμενοι κακῶν, σε μακαρίζοντες, C Θεοτόκε Ἀειπάρθενε.

Ἐκ τοῦ Κανόνος τῆς παρασκευῆς, εἰς τὸν Ὄρθρον.

Νέον βρέφος ἡμῖν τὸν παλαιὸν ἡμερῶν, ἁγνὴ Παρθένε, ἀπεκύησας παλαιωθεῖσαν τὴν φύσιν ἀνακαινίσαντα ἀνθρώπων, πανάμωμε, τῷ θείῳ πάθει αὐτοῦ.

Ζωῆς ἡμῖν πρόξενος, ἁγνὴ, θανὼν ἐν ξύλῳ ἀναδέδεικται ὁ σὸς Υἱός τε καὶ Κύριος, ὁ δοξάζων τοὺς ὑμνοῦντάς σε.

Ὡς ἑώρακας ἐν τῷ σταυρῷ Χριστὸν ὃν ἔτεκες, ἁγνὴ, ἀπεθαύμαζες τὴν ἄφατον αὐτοῦ μακροθυμίαν· ὅθεν σὺν αὐτῷ σε δοξάζομεν.

Ἰδοῦσα ἐπὶ ξύλῳ ὑπνώσαντα τὸν Δεσπότην, ὀρηνοῦσα ἠλάλαζες, Παρθενομῆτορ πανάμωμε. D

Ῥομφαία τὴν καρδίαν σου διῆλθεν, ἡνίκα σταυρούμενον τὸν Κτίστην τεθέασαι, Παρθένε πανάμωμε, καὶ λόγχῃ θείαν πλευρὰν ἐξορυττόμενον.

Ex Canone feriæ v, ad Matutinum.

Olim prophetarum chorus vocavit te, o Virgo, montem divinum, et portam impenetrabilem; unde te supplices rogamus, o Virgo Mater, ut pœnitentiæ portas aperias nobis.

Astitisti a dextris Christi tanquam Regina, o divina gratia cumulatissima Puella, vere circumdata fimbriis aureis; mediatione tua et intercessionibus tuis cœlorum regnum nobis acquireus.

O Deipara sancta, adjuva me corporeis voluptatibus assidue immersum, atque in socordiæ lectulo semper jacentem atque suspirantem.

Ille, qui nulla potest cogitatione comprehendi, intra corporis ambitum accepti a te, o divina gratia plenissima, sese conclusit, ut homines ab angustiis, quibus comprehendebantur, liberaret.

O Dei Mater, cum sine viri opera concepisses. Virgo casta apparuisti: ideo te cum fide rogo, ut animæ meæ segnitiem depellas.

Ex te, o Deipara, nobis illuxit sol, qui ignorat occasum, o nubes undequaque lucida, Christus scilicet Deus noster ut eos, qui ignorantiæ tenebris detinebantur, illuminaret.

Cum Deus ex te, o Virgo, carne indutus esset propter nos, universi generis nostri te purissimam atque castissimam, divinum præsidium constituit: quamobrem nos fideles te magna voce laudamus.

Candelabrum refulgens vidit te propheta, o Virgo, quod spiritalem lucernam Christum ferebat, per quem **279** nos, qui in malorum tenebris jacebamus, illuminati sumus, et te, o semper Virgo Deipara, beatam vocamus.

Ex Canone feriæ vi, ad Matutinum.

Novum infantem peperisti nobis, antiquum dierum, o castissima atque purissima Virgo, qui divina passione sua, inveteratam hominum naturam renovavit.

Vitæ nobis auctor, moriens in ligno, factus est Filius et Dominus tuus, o casta, qui glorificat laudatores tuos.

Cum videres in cruce Christum, quem pepereras, o pura, ineffabilem illius patientiam admirabaris quare te cum illo glorificamus.

Cum vidisses Dominum super crucis lignum obdormisse; in lamenta et fletus erupisti, o Virgo mater purissima.

Gladius pertransivit cor tuum, o Virgo ab omni prorsus labe immunis (28), cum Creatorem cruci affixum, et divinum ejus latus lancea perfossum vidisti.

(28) Favet Joan. Geometra hymno 3 de B. Virgine, dum ipsam B. Virginem sic salutat:

Ave, primævi libera labe Patris.

Favet etiam hymnus cujusdam Missalis antiqui apud Bolingkem in *Parnasso Mariano*, ubi sic legitur.

Ave, Regina cœlorum.
Omni laude dignissima;
Quæ concepta es vitiorum
Sine labe purissima.
Salve, Virgo singularis,
Vere sacra margarita.
Salve, quia stella maris,
Et sine labe concepta.

Sed et S. Gregorius papa, ut refert Jo. Vitalis in *Defensario B. Virginis* lib. 4 cap. 2, Deiparam

Digitized by Google

Post partum virgo, qualis ante partum fueras, perseverasti. Deus enim erat qui nascebatur, ut homines Deos faceret.

Μετὰ τόκον, ἁγνή, ὡς πρὸ τόκου διαμένεις· Θεὸς γὰρ ἦν ὁ τεχθείς, ἵνα θεώσῃ βροτούς.

Gabriel divinarum nuptiarum conciliator ac pronubus ad te missus, o Virgo, exclamavit dicens: Ave, lucidissimum palatium Christi omnium regis, in quo cum habitaverit, omnes homines deificabit.

Νυμφαγωγός σοι Γαβριὴλ, Παρθένε, ἀποστελλόμενος, Χαῖρε, ἐβόησε λέγων, φωτεινότατον παλάτιον τοῦ παμβασιλέως Χριστοῦ, ἐν ᾧ οἰκήσας βροτοὺς θεώσει πάντας.

Lux nobis ex te, o Virgo, exorta est Jesus, qui crucifixus creaturas suas hilari luce perfudit, ac tartareas tenebras eliminavit.

Φῶς ἡμῖν ἐκ σοῦ, ἁγνή, ἀνατέταλκεν Ἰησοῦς, καὶ ἐφαίδρυνε τὴν κτίσιν σταυρούμενος, καὶ δαιμόνων τὸ σκότος ἀπεδίωξεν.

280 *Ex Canone Sabbati, ad Matutinum.*

Ἐκ τοῦ Κανόνος τοῦ Σαββάτου, εἰς τὸν Ὄρθρον.

Ad te, o omnibus digna laudibus, clamamus: Gaude, quæ gaudium ipsum peperisti. Illumina mentem atque animam nostram, atque omnes manuduc ad semitas scientiæ: et precare Filium tuum ac Deum, o Domina illibata, ut nobis omnibus concedat indulgentiam peccatorum.

Χαῖρε, σοὶ κραυγάζομεν τῇ κυησάσῃ τὴν χαράν, πανύμνητε, φωταγώγησον ἡμῶν τὸν νοῦν καὶ τὴν ψυχὴν, καὶ πρὸς τρίβους γνώσεως πάντας ὁδήγησον, καὶ πταισμάτων ἱλασμὸν δοθῆναι πᾶσιν αἴτησαι, Δέσποινα ἄχραντε, τὸν Υἱόν σου καὶ Θεόν.

Ut te, o benedicta inter mulieres, vidit mulierum cœtus, certatim Filio tuo sese obtulit, o Virgo Mater.

Εὐλογημένη γυναικῶν, σὲ ὡς ἔβλεψε κατάλογος γυναικῶν, ἐνήθλησε καὶ τῷ σῷ Υἱῷ προσενήγκεναι, Παρθενομῆτορ.

Ille qui erat æternus, nunc ex te factus est sub tempore: eumdem nunc exora, o Virgo, ut peccata omnia animæ meæ ex longo tempore perpetrata aboleat.

Ὁ ἄχρονος γέγονε νῦν ὑπὸ χρόνον ἐκ σοῦ, Παρθένε, τοῦτον αἴτησαι διαλῦσαι ἅπαντα τῆς ψυχῆς μου τὰ χρόνια πταίσματα.

Te Laudamus, o Virgo, per quam apparuit Deus factus homo in terra. Salve terra fecundissima, quæ mysticam spicam fructificasti omnes spiritus nutrientem.

Ὑμνοῦμέν σε, Παρθένε, δι' ἧς ἐφάνη ὁ Θεὸς ἐπὶ γῆς, βροτὸς γενόμενος· Χαῖρε, γῆ εὔκαρπε, ἡ καρποφοροῦσα στάχυν μυστικὸν τὸν διατρέφοντα πᾶσαν πνοήν.

Tu, Domine, qui a principio Evam formasti; Virginis uterum ingressus, meam operaris reformationem, forma servi indutus, cum sis Dominus omnium.

Ὁ διαπλάσας κατ' ἀρχὰς τὴν Εὔαν, Κύριε, παρθένου νηδὺν καθυποδὺς τὴν ἐμὴν ἐργάζῃ ἀνάπλασιν, δούλου σχῆμα ἐνδυσάμενος ὁ Δεσπότης τῶν ἁπάντων.

Qui te orthodoxe Deiparam esse sentimus, ab igne, tenebrisque æternis intercessione tua liberemur, et ab hostibus invisibilibus, qui nos oppugnant, eruamur.

Ὡς Θεοτόκον σε φρονοῦντες γνώμῃ εὐθεῖ, πυρὸς αἰωνίζοντος καὶ σκότους, Δέσποινα, ῥυσθείημεν τῇ μεσιτείᾳ σου, καὶ ἀοράτων ἐχθρῶν πολεμούντων ἡμᾶς.

Laudibus celebremus Virginem gratia plenam, tanquam portam, quæ fert ad divinum ingressum; tanquam scalam Dei, per quam feliciter ascenditur; tanquam certam ac securam eorum qui salvantur ductricem.

Ὡς πύλην φέρουσαν πρὸς θείαν εἴσοδον, ὡς εὐδιάβατον τὴν κλίμακα Θεοῦ, τῶν σωζομένων ἁπλανῆ ὁδηγίαν, τὴν κεχαριτωμένην ὑμνήσωμεν Παρθένον.

Insania mentis incitatus peccata multa commisi, superest nunc ut me condigna pœna sequatur; a qua libera me, o Virgo, dum corde firmo ac stabili ad tuam divinam protectionem recurro, quæ est unicum præsidium fidelium.

Φρενοβλαβῶς, Παρθένε, ἁμαρτίας πράξας πολλὰς, τὴν κόλασιν ἐκδέχομαι λοιπὸν, ἀφ' ἧς με λύτρωσαι τὸν ἀδιστάκτῳ καρδίᾳ τῇ θείᾳ σκέπῃ σου προστρέχοντα, τῆς μόνης προστασίας τῶν πιστῶν.

281 TONUS PLAGIUS II.

ΗΧΟΣ ΠΛΑΓΙΟΣ Β'.

Ex Canone feriæ II, ad Matutinum.

Ἐκ τοῦ Κανόνος τῆς δευτέρας, εἰς τὸν Ὄρθρον.

Una cum martyribus, atque omnibus angelis supplica, o casta, omnium Domino pro salute eorum qui te cum fide glorificant.

Μετὰ μαρτύρων, ἁγνή, μετὰ τῶν πάντων ἀγγέλων, τὸν κτίστην τῶν ἁπάντων ἐκδυσώπει σωθῆναι τοὺς πιστῶς σε δοξάζοντας.

Novus paradisus nobis facta es, o Virgo, habens Virginem ab omni prorsus labe liberam, agnoscens eam allocutus est dicens:

Νέος ἡμῖν παράδεισος ἐδείχθης ζωῆς, ἁγνὴ, τὸ

Salve, ave, sancta parens,
Omni prorsus labe carens.

Vide S. Ambros. Serm. 22 in psalm. 118, ubi deprædicat B. Virginem per gratiam ab omni integram labe pecati.

Digitized by Google

ξύλον μέσον ἔχων, ἐξ οὗ φαγὼν, ἄχραντε, τῆς νεκρώσεως Ἀδὰμ τῆς πονηρᾶς ἀπολύεται.

Ῥᾳθύμως μου τὴν ζωὴν ἐκδαπανήσας, ἀγνὴ, πρὸς τὴν σὴν προστρέχω ἀντίληψιν, οἰκτειρον, σῶσόν με.

A in medio tui lignum vitæ, ex quo comedens Adam, a mala morte liberatur.

Cum ego, o casta Virgo, vitam meam in socordia otioque malo absumpserim ac dissipaverim, ad tuam protectione recurro : miserere mei, et salva me.

Τὴν οὐράνιον πύλην ὑμνήσωμεν, δι᾽ ἧς πάντες εἰσέρχονται ἁμαρτωλοὶ πρὸς ὁδοὺς συγχωρήσεως.

Cœlestem portam laudibus celebremus, per quam peccatoribus universis indulgentiæ aperiuntur ac patent ingressus.

Ἁγία μῆτερ Θεοῦ, τὴν βεβηλωθεῖσαν καρδίαν μου πράξεσιν ἐναγέσι συμπαθείᾳ σου ἁγίασον.

Mater Dei sancta, cor meum coinquinatum, operibus puris, pietate tua commota, sanctifica.

Δούλου μορφὴν ὑποδύντα Δεσπότην, Κόρη, τίκτεις, ὃν ἱκέτευε τῶν παθῶν τῆς δουλείας, ἀγνὴ, ἐλευθερῶσαί με.

Dominum servi forma indutum peperisti, o Puella castissima : quem precare ut me a servilibus passionibus liberet.

Ὑπάρχουσα ἀγγέλων τιμιωτέρα, Θεὸν τὸν ἅγιον τέτοκας ὑπερβαλλόντως ἁγιασθεῖσα, Θεοτόκε Παρθένε· διό μου τὴν ψυχὴν καθοδήγησον.

B Angelis honorabilior es, o Virgo Deipara, quæ Deum sanctum peperisti, in excellentissimo sanctitatis gradu constituto : propterea dux esto ac directrix animæ meæ.

Φώτισόν με ἁμαρτίᾳ σκοτισθέντα, ἀπαθείας τὸ φῶς ἡ κυήσασα, ἵνα ὑμνῶ σε, ἀγνὴ Ἀειπάρθενε.

O semper casta Virgo, quæ impassibilitatis lucem peperisti, illumina me peccati tenebris involutum, ut cantem laudes tuas.

Ἐκ τοῦ Κανόνος τῆς τρίτης, εἰς τὸν Ὄρθρον.

Ex Canone duplici feriæ III, *ad Matutinum.*

Ὤφθης πύλη τῆς ζωῆς, θανάτου πύλας τῷ τοκετῷ σου λύσασα, ἁγνή· ὤφθης γῆ ἐκλεκτὴ δι᾽ ἧς ἀνυψώθη ἀπὸ γῆς εἰς οὐρανοὺς τὸ τῶν ἀνθρώπων φύραμα.

Vitæ janua facta es, o Virgo, quæ portas mortis partu tuo dejecisti : Terra electa facta es, per quam humani generis massa a terra in cœlum sublevata est.

Δόλῳ ἀπαύστως ὁ ἐχθρὸς θηρεύει με ὁ πονηρὸς, τῆς αὐτοῦ με ἐνέδρας, πανάμωμε, ἐξάρπασον, καὶ ποιεῖν τοῦ Δεσπότου, Θεοτόκε, εὐόδευσον τὸ θέλημα.

282 Hostis malignus assidue me dolis ac fraudibus suis venatur ; tu, o purissima, ab insidiis illius C eripe me ; et prospere dirige me, o Deipara, ut Domini voluntatem exsequi valeam.

Συνέλαβες, ἄχραντε, τὸν συνοχέα παντὸς τοῦ κόσμου· διὰ τοῦτο, ἱκετεύω σε, λύτρωσαί με πάσης συνεχούσης κολάσεως.

Concepisti, o inviolata, illum qui universum mundum capit et continet : propterea te deprecor, ut ab omni supplicio inferni carceris liberes me.

Θρόνος Θεοῦ ἐδείχθης, Θεοτόκε, ἐν ᾧ σαρκὶ καθίσας τοῦ ἀρχαίου ἐξήγειρε πτώματος τοὺς ἀνθρώπους ἐν φωναῖς χαριστηρίοις ὑμνοῦντάς σε.

Thronus Dei facta es, o Deipara, in quo ille sedens incarnatus, ab antiquo casu erexit homines, qui idcirco te gratis vocibus collaudant.

Ἐπτάφωτόν σε λυχνίαν τὸ πῦρ τῆς θεογνωσίας φέρουσαν, Κόρη, ὁ προφήτης πάλαι προεώρακε, φαίνων τοῖς ἐν σκότει κινδυνεύουσι, πανάμωμε, τῆς ἀγνωσίας· διὸ βοῶ σοι, φώτισόν με, δέομαι.

Prævidit te olim propheta, o Puella ab omni nævo libera (29), candelabrum septem luminibus ornatum, habens ignem divinæ scientiæ, qui lucem præbet iis, qui in ignorantiæ tenebris periclitantur : ideo ad te voces extollo, precorque, illumina me.

Μὴ κρίνῃς με, Κύριε, κατὰ τὰ ἔργα μου, δυσωπῶ σε, ἀλλὰ ἱλεώς μοι φάνηθι, δυσωπεῖ σε σὺν τῷ Βαπτιστῇ ἡ τεκοῦσά σε.

D O Domine, precor te, ne me judices secundum opera mea, sed propitius esto mihi ; de quo precatur te cum Baptista, Genitrix tua.

Πύλη ἀδιόδευτε, διάνοιξον πύλας μοι. δέομαι, μετανοίας ἀληθοῦς, καὶ δεῖξόν μοι τὴν τρίβον τῆς σωτηρίας, ἀγνὴ, ἡ πάντων ὁδηγία.

O porta, per quam nulli hominum conceditur via, aperi mihi, precor, veræ pœnitentiæ portas, et ostende mihi semitam salutis, o Virgo omnium dux et directio.

Πεποικιλμένη θείαις ἀγλαΐαις τὸν ὡραῖον ἐν κάλλει ἐκύησας, Παρθένε. Αὐτὸν οὖν ἀεὶ ἐκδυσώπει σωθῆναι

Divinorum splendorum circumdata varietatibus, speciosum forma peperisti, o Virgo. Eumdem igi-

(29) Ab omni, scilicet, nævo tam actualis quam originalis culpæ, a quo per divinam gratiam præservata fuit. Hinc Ivo Carnotensis in Serm. de Nativit. Domini dixit, Dei Filium in Matre sua omnem nævum originalis culpæ delevisse, præservando, scilicet, non auferendo, ut optime explicat Joannes A. S. M. doctor theologus Gallus in suo opere de conceptione edito Tolosæ anno 1649, sicut actuale delevit, hoc est, præservavit.

Digitized by Google

tur assiduis precibus interpella, ut ab interitu et corruptione liberet nos, qui te cum fide et affectu glorificamus.

Templum Dei facta es, o summe immaculata, in quo cum ille tanquam sacerdos inhabitasset, humanam substantiam deificavit, et fideles templa sua mirabiliter effecit.

Hymnum gratiarum actionis offerimus tibi nunc, o Virgo pura, per te ab antiqua maledictione liberati, atque omnis benedictionis fructum consecuti.

Germinasti illum sine semine, quem Pater incorruptibiliter germinavit : et post partum virgo permansisti, **283** quemadmodum fueras ante partum : propterea beatitudinem, et gloriam concede mihi perpetuam, o Inviolata, quippe quæ es Dei Mater.

Illum, cui cum tremore assistunt cœlestes acies, tu peperisti, o casta, hominibus unitum propter suam bonitatem : Eumdem impenso affectu precare, ut misereatur servorum tuorum.

Novum nobis infantem peperisti Antiquum dierum, qui novas in terris semitas demonstravit, et vetustate confectam naturam nostram renovavit; o Virgo benedicta.

Custodi, o Puella Deo charissima, in humilitate vitam meam, tu quæ dæmonum fastum ac superbiam partu tuo contrivisti, et exalta me a stercore passionum, et famelicum gratiæ tuæ satura me, dum concino : Laudate, opera, Dominum, etc.

Voce angeli te salutamus, o benedicta Virgo castissima : Ave, quæ Deum incomprehensibilem in te continuisti ! Ave, maledictionis solutio, et benedictionis introductio ! Ave, o unica, quæ paradisi portas aperuisti.

O Virgo, quæ ipsis Cherubim sanctior apparuisti, quippe quæ Deum omni sanctitate superiorem peperisti, sanctifica nos omnes, qui noctu diuque vocibus sanctis te sanctificamus.

Ex Canone feriæ IV, *ad Matutinum.*

Ut omnibus filiis Adam impassibilitatem acquireres, passionem sustines, Domine, super crucem : terra tremit et concutitur. Tu vero, o Domina, maternis permota visceribus, in voces querulas ac flebiles erumpis.

O fili, cum te peperi, speciosum forma super omnes filios hominum cognovi ; et quomodo nunc, Christe, cruci **284** affixus pulchritudine cares? Ita cum lacrymis Virgo loquebatur.

Gladio passionis filii tui vulnerata es, o Domina, cum eumdem crucifixum, ac latus ipsius purissimum propter nos lancea perfossum vidisti.

Cum Christum, qui solus ab universo capi non potest, in utero meo cepissem, ac deinde sine doloribus peperissem ; nunc dolores partus experior, dum eumdem in cruce sublatum video. Ita Deipara illacrymans aiebat.

ἡμᾶς ἐκ φθορᾶς, τοὺς ἐν πίστει καὶ πόθῳ σε δοξάζοντας.

Ναὸς Θεοῦ ἐδείχθης, πανάμωμε, ἐν ᾧ οἰκήσας ἱερῶς τὴν βροτῶν οὐσίαν ἐθέωσεν, ποιήσας τοὺς πιστοὺς ναοὺς ἑαυτοῦ παραδόξως.

Ὕμνον σοι, Παρθένε, εὐχαριστίας προσάγομεν νῦν, διὰ σοῦ, ἁγνή, οἱ σεσωσμένοι ἐκ τῆς ἀρχαίας κατάρας, καὶ πᾶσαν εὐλογίαν καρπούμενοι.

Ἔβλάστησας ἄνευ σπέρματος ὃν ἐγέννησε Πατὴρ ἀῤῥεύστως, ἔμεινας μετὰ τόκον παρθένος ὡς πρὸ τόκου· διὸ μεμακάρισαι καὶ δεδόξασαι, ἄχραντε, ἀπαύστως, ὡς Μήτηρ οὖσα Θεοῦ.

Ὃν παρειστήκεισαν τρόμῳ τὰ ἐπουράνια τάγματα, τοῦτον τίκτεις, ἁγνή, ἐνωθέντα τοῖς βροτοῖς ἀγαθότητι, ὃν ἐκτενῶς ἱκέτευε οἰκτειρῆσαι τοὺς δούλους σου.

Νέον ἡμῖν βρέφος ἀπεκύησας τὸν Παλαιὸν ἡμερῶν νέας ἐπὶ γῆς τρίβους ὑποδεικνύντα, καὶ τὴν παλαιωθεῖσαν φύσιν καινουργοῦντα, ἀνύμφευτε εὐλογημένη.

Συντήρησόν μου τὴν διάνοιαν ἐν ταπεινώσει, Κόρη θεοχάριτωτε, ἡ τῷ τόκῳ σου συντρίψασα ἐπάρσεις τῶν δαιμόνων, καὶ ὕψωσόν με ἀπὸ τῆς κοπρίας τῶν παθῶν, καὶ πεινῶντα τὴν χάριν σου κόρεσον μελῳδοῦντα· Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φωνὴν σοι προσάγομεν τὴν τοῦ Γαβριὴλ ἀγγέλου, πάναγνε, εὐλογημένη· Χαῖρε, ἡ χωρήσασα Θεὸν τὸν ἀχώρητον· χαῖρε, κατάρας λύσις, καὶ εὐλογίας εἰσαγωγή· χαῖρε, μόνη παραδείσου ἡ τὴν θύραν ἀνεῴξασα.

Φανεῖσα τῶν Χερουβὶμ ἁγιωτέρα, Παρθένε, ὡς τὸν Θεὸν τεκοῦσα τὸν ὑπεράγιον, πάντας ἡμᾶς καθαγίασον, τοὺς ἐν φωναῖς ἁγίαις πίστει ἐν νυκτὶ καὶ ἡμέρᾳ σε ἁγιάζοντας.

Ἐκ τοῦ Κανόνος τῆς τετάρτης, εἰς τὸν Ὄρθρον.

Ἵνα ἀπάθειαν πᾶσι τοῖς ἐξ Ἀδὰμ προξενήσῃς, Δέσποτα, πάθος φέρεις ἐν σταυρῷ, καὶ ὁρῶσα σείεται ἡ γῆ, θρηνῳδοῦσα μητρικῶς ἐδόας, Δέσποινα.

Ὡραῖον κάλλει σε, Υἱὲ, ὑπὲρ πάντας ἀνθρώπους ἐν τῷ τίκτειν ἐπέγνων, καὶ πῶς σταυρούμενος νῦν κάλλος οὐκ ἔχεις, Χριστέ ; ἡ Παρθένος ἔλεγε δακρύουσα.

Ῥομφαίᾳ τέτρωσαι τοῦ πάθους, Δέσποινα, τοῦ ἐκ σοῦ σαρκωθέντος, ὅταν αὐτὸν ἔβλεψας σταυρούμενον καὶ λόγχῃ ἄχραντον πλευρὰν δι' ἡμᾶς ἐξορυττόμενον.

Πατρὶ χωρήσασα Χριστὸν μόνον τὸν ἀχώρητον παντὶ ὡδίνων ἄνευθεν τέτοκας, νῦν δὲ ὀδυνῶμαι ἐν τῷ σταυροῦσθαί σε, Χριστὲ, ἡ Θεοτόκος κλαίουσα ἔλεγεν.

Digitized by Google

Πατρὸς τὸ ἀπαύγασμα, πῶς ἐπήρθη ἐν σταυρῷ, φωταγωγῶν τὰ σύμπαντα, καὶ καταράσσων σκότους τὸν ἀρχηγόν; ἡ πάναγνος Δέσποινα μητρικῶς θρηνῳδοῦσα ἀπεφθέγγετο. A

Quomodo splendor Patris in crucem subiatus est, qui universa luce perfundit, et tenebrarum principem proturbat ac dejicit? Dicebat Domina sanctissima, tanquam mater ingemiscens ac plorans.

Ὁ ὑπάρχων ἀναλλοίωτος θεότητι ἠλλοίωσας κρεμάμενος σταυρῷ κτίσιν ἅπασαν, ἡ Παρθένος ἔλεγεν, Υἱὲ, καὶ βλέπουσα ταῦτα θρηνωδῶς ἐκπληττομένη τὴν φρικτὴν οἰκονομίαν σου.

Immutabilis secundum divinitatem, in cruce suspensus mutasti, o Fili, omnes creaturas, aiebat Virgo; et hæc aspiciens, in lamenta erumpebat, cum stupore considerans tremendam illius dispositionem.

Ἰακὼβ σε προεῖδε, Παρθένε, κλίμακα πρὸς οὐράνιον ὕψος ἡμᾶς ἀνάγουσαν, τοὺς εἰς τὴν βυθὸν τῶν κακῶν ὀλισθήσαντας· ὅθεν σε ὑμνοῦμεν, ἁγνὴ, εἰς τοὺς αἰῶνας.

Prævidit te Jacob, o Virgo, scalam quæ nos in profundum malorum delapsos ac perditos ad cœlestem altitudinem eras sublevatura: quamobrem nos te, o pura, laudibus extollimus in sæcula.

Φρικτὴν λοχείαν ὑπέστης, Δέσποινα, ἐν τῷ φρικτῶς σε τίκτειν, ὃν ἡ κτίσις σταυρούμενον ἐν ξύλῳ θελήσει, μακρόθυμε, ἔφριξε καθορῶσα, πάλαι ἡ ἀμέμπτος ἔκλαιε βοῶσα μητρικῶς ἣν μεγαλύνομεν. B

Partum sacro horrore plenum, cum te in lucem mirabiliter edidi, sustinuisti: Nunc vero cum creaturæ omnes videant te sponte in ligno confixum, exhorrescunt, o patientissime Fili. Ita exclamabat olim maternum in morem ingemiscens purissima illa, quam nunc magnificamus.

Ἐκ τοῦ Κανόνος τῆς πέμπτης, εἰς τὸν Ὄρθρον.

Ex Canone feriæ v ad Matutinum.

Ὁ συνυπάρχων Πατρὶ, ὁ συναΐδιος Υἱὸς ἐπ' ἐσχάτων βουληθεὶς κατῴκησε τὴν μήτραν σου, Θεοτόκε, εἰς ἡμῶν τῶν πιστῶν ἀναγέννησιν, ὅθεν ὑμνοῦμέν σε.

Filius coæternus Patri, voluit in fine temporum in utero tuo habitare, o Deipara, ut nos fideles regeneraret: quam ob causam tibi hymnos decantamus.

Λύσιν ἡμῖν, ἁγνὴ, ἁμαρτημάτων τὸν Λυτρωτὴν δοθῆναι ἐκδυσώπει, τὸν σκοτασμὸν, ἄχραντε, τῶν ψυχῶν ἡμῶν ἀεὶ ταῖς σαῖς πρεσβείαις σκεδάζουσα. C

285 Deprecare, o casta et inviolata, Redemptorem, ut nobis peccatorum nostrorum absolutionem concedat: atque assiduis intercessionibus tuis elimina tenebras animarum nostrarum.

Ἀνύμφευτε Δέσποινα, εὐλογημένη Θεοκυῆτορ, τοὺς ὑμνοῦντάς σε περίσωζε πάσης βλάβης, μόνη τῶν ἀνθρώπων βοήθεια.

O Domina innupta, Dei genitrix benedicta, salva nos, qui te laudamus, ab omni malo: tu enim es unicum humani generis auxilium.

Ὁ τὸ εἶναι ἡμῖν παρεχόμενος, σοῦ τὴν μήτραν κατῴκησας, Θεοτόκε, ὃν αἴτησαι σωθῆναι ἡμᾶς.

Ille qui dedit nobis esse; uterum tuum inhabitavit, o Deipara. Eumdem pro nostra salute deprecare.

Παρθένε μόνη ἁγνὴ, κεχαριτωμένη βοήθειά μοι ἀεὶ χειμαζομένῳ ταῖς τοῦ βίου περιστάσεσιν.

O Virgo sola pura (30), et gratia plena, esto mihi auxilium, assiduis adversarum rerum, et vitæ calamitatum fluctibus agitato:

Δέσποινα πάντων τῶν ἀνθρώπων, ἁγία Θεοτόκε, τῆς δουλείας με τῶν παθῶν σαῖς πρεσβείαις τελείως ἐλευθέρωσον.

O Domina omnium hominum, sanctissima Deipara, a servitute passionum mearum tuis intercessionibus penitus libera me.

Ὑμνοῦμέν σε, Παρθένε Θεοκυῆτορ, δι' ἧς ἀρὰ ἀπεστείρωται, καὶ εὐλογία πᾶσιν ἐπῆλθε τοῖς εἰδόσι σε μόνην Μητέρα τοῦ Θεοῦ ἡμῶν ἄνανδρον. D

Laudamus te, o Virgo Dei genitrix, per quam maledictio sublata est, et advenit benedictio iis omnibus qui te Dei nostri purissimam atque a viri admistione integerrimam Matrem agnoscunt.

(30) Ecclesia in catechismo Clementis VIII per quem iste pontifex jussit Ecclesiæ fideles erudiri in doctrina Christiana, illa verba Salutationis angelicæ *Gratia plena*, ita explicat: « Gratia plena, quia quod primum gratiæ effectum, scilicet peccati deletio, Virgo sanctissima nunquam maculam habuit peccati originalis, aut actualis, mortalis vel venialis. » Ludovicus etiam Granatensis ordinis Prædicatorum in catechismo Trigesbomiliario homil. 27, eodem Salutationis angelicæ verba, *Gratia plena*, in hunc modum declarat: « *Gratia plena*, hoc est, singulariter electa ab æterno Deo omnipotenti, et annuntiata mirabiliter ab initio mundi per prophetarum revelationes atque in conceptione sua custodita admirando et singulari modo ab omni macula peccati, tam originali, quam suæ ipsius personæ, deni que complete adornata omnibus gratiæ donis. » Vide S. Bonaventuram tom. III, serm. 2, de B. Virgine ubi inquit: « Domina nostra fuit plena gratia præveniente in sua sanctificatione, gratia scilicet præservativa contra fœditatem originalis culpæ. » Vide etiam Joannem Vitalem Hispanum in *Defensione B. Virginis* lib. IV, c. 1, ubi ex plenitudine gratiæ, quam B. Virgini annuntiavit angelus, hanc elicit consequentiam: « Sancta Virgo habuit plenitudinem gratiæ, ut in quodam esse totali. Ergo ipsa fuit ab originali præservata. » Vide insuper Bartholomæum Pisanum in lib. I, de Laud. B. Virg. fructu 7, sic ibi inter alia fantem: « Maria vocatur Mater Gratiæ, igitur nulla gratia sibi defuit quoad numerum, secundum Hieronymum, et sic quoad usum, igitur habuit gratiam præservationis ab originali. »

Digitized by Google

Tu quæ lucem genuisti, cordis mei pupillas excæcatas illumina, ut per te salutem consecutus, laudes tuas concinam, o omni laude dignissima.

A Φῶς τεκοῦσα, τῆς καρδίας μου τὰς κόρας ἀβλεπτούσας, πανύμνητε, φώτισον, ἵνα ὑμνῶ σε διὰ σοῦ σωζόμενος.

Ex Canone feriæ VI, *ad Matutinum.*

Ἐκ τοῦ Κανόνος τῆς Παρασκευῆς, εἰς τὸν Ὄρθρον.

Cum te speciosum forma, nullam in passione speciem aut decorem habere videret innupta puella, quæ est fidelium decor et ornamentum : materna pietate commota ejulabat, teque cum affectu glorificabat

Κάλλος ἐν τῷ πάσχειν ὡραῖον ἐν κάλλει οὐκ εἶδος ἔχοντα ἡ ἀπειρόγαμος κατανοοῦσά σε Κόρη, τῶν πιστῶν τὸ ἐγκαλλώπισμα, μητρικῶς ἠλάλαζε, καὶ πόθῳ σε ἐδόξαζεν.

Cum illum, qui ex te natus erat, lancea vulneratum vidisti, vulneratum est cor tuum, o omnibus sanctis superior purissima Virgo (31) et stupore perculsa, dixisti : Quid tibi retribuit, o fili, populus divinæ legis violator.

Σὺ τὸν ἐκ σοῦ τεχθέντα ὡς ἔβλεψας τιτρωσκόμενον λόγχῃ, ἐτρώθης τὴν καρδίαν, ὑπεραγία πανάμωμε, καὶ θαμβουμένη ἔλεγες· Τί σοι ἀπέδωκε, τέκνον, δῆμος ὁ παράνομος ;

B

286 Ego te sine doloris passione peperi ; et quomodo nunc te video passionibus admistum ? quomodo has perfers, o Fili æterne ? Glorifico longanimitatem tuam. Ita exclamans aiebat Virgo.

Ἐκτός σε πάθους ἀπεκύησα, καὶ πῶς βλέπω σε νῦν πάθει προσομιλοῦντα ; πῶς φέρεις τοῦτο ; ἔκραζεν, ἄναρχε Υἱὲ, ἡ Παρθένος, δοξάζω σου τὸ μακρόθυμον.

Ex radice Jesse, o Virgo, pullulasti, et tanquam florem protulisti satorem mundi, qui ejusdem mundi surculos arefecit divina crucis planta, quam secundum carnem suscepit.

Ἐκ ῥίζης, Κόρη, Ἰεσσαὶ βλαστάνεις, καὶ ὡς ἄνθος προσφέρεις τὸν φυτουργὸν τοῦ κόσμου, παραφυάδας ξηράναντα θείῳ φυτῷ τοῦ σταυροῦ, ὃν σαρκὶ κατεδέξατο.

Cum pastorem ac Dominum vidisset agna in ligno elevatum, in lamenta, utpote mater, erumpens clamavit : Quodnam mysterium novum est hoc, o fili ? Quomodo cum sis immortalis in essentia, mortem suscepisti, volens a corruptione homines liberare ?

Τὸν ποιμένα πρῶτον καὶ Δεσπότην ξύλῳ ὁρῶσα ἡ ἀμνὰς ἐναπῃωρήμενον θρηνῳδοῦσα μητρικῶς ἐβόα· Τί τοῦτο, τέκνον, τὸ καινὸν μυστήριον ; πῶς ἀθάνατος τὸ κατ' οὐσίαν ὑπάρχων, θάνατον δέδεξαι, τοὺς βροτοὺς θέλων ἐκ φθορᾶς ἀπολυτρώσασθαι ;

C

Crucifigeris voluntarie, o Fili æterne, exclamabat Deipara ; et dum ego aspicio, nunc doloris mœrorisque baptismate immergitur anima mea : Moreris tu, Redemptor, qui præbes vitam canentibus : Benedictus es, Deus, etc.

Σταυροῦσαι θέλων, ἡ Θεοτόκος ἐκραύγαζε· καὶ ὁρῶσα, ἄναρχε Υἱὲ, λύπῃ τὴν ψυχὴν νῦν καταβαπτίζομαι· θνήσκεις γὰρ παρέχων ζωὴν τοῖς μελῳδοῦσι· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

O Fili altissime et æterne ; sputa, probra, crucem toleras ; calamo per ludibrium percuteris, aiebat Deipara ; magnam patientiam tuam glorifico, Fili, quem pueri benedicunt, sacerdotes laudant, populi superexaltant in sæcula.

Ὕψιστε, ἄναρχε Υἱὲ, φέρεις ἐμπτύσματα, καὶ ὀνείδη, καὶ σταυρὸν, καλάμῳ παικτικῶς τυπτόμενος, ἡ Θεοτόκος ἐβόα· δοξάζω τὴν σὴν μακροθυμίαν, ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Fers, o Domina inviolata, ferentem omnia, et tenes in manibus ut infantem, illum, qui nos de manu bellatoris hostis liberavit : et intueris in ligno Crucis exaltatum, illum, qui ex malitiæ nos profundissima voragine eripuit.

Φέρεις τὸν φέροντα πάντα, καὶ κατέχεις ὡς βρέφος ἐν ταῖς χερσὶ τὸν ἐκ χειρὸς ῥυσάμενον ἡμᾶς πολεμίου ἐχθροῦ, ἄχραντε Δέσποινα, καὶ ὁρᾷς ἐπὶ ξύλου ὑψούμενον σταυροῦ τὸν ἐκ βόθρου κακίας ἡμᾶς ῥυσάμενον.

D

Ex Canone Sabbati, ad Matutinum.

Ἐκ τοῦ κανόνος τοῦ Σαββάτου, εἰς τὸν Ὄρθρον.

Cherubim atque Seraphim sanctitate superior

Ἱερωτέρα, ἁγνὴ, τῶν Χερουβὶμ καὶ Σεραφὶμ

(31) Favet Jacobus Christopolitanus dum in Comment. suo super *Magnificat* inter alia ait : « Nulla fuit gratia data alicui creaturæ, quin fuerit data Virgini Mariæ. Sed primi parentes, et angeli fuerunt creati in gratia. Ergo hoc non defuit Virgini Mariæ. » Sic ille. Bartholomæus etiam de Pisis in suo Opere *de Laud. B. Virg.* lib. I, fructu 7, ait : « Non minus fuit digna Mater Christi, quam angelus, Adam et Eva ; sed in sua factione nullam maculam habuerunt. Igitur... » Item : « Non minus est digna Maria, quam aliquis qui in puris naturalibus crearetur. Sed ille non haberet peccatum. Igitur nec Maria habuit. » Bernardinus quoque Bustensis in suo *Mariali* serm. 5, de conceptione parte 1, ita loquitur : « Cum angelis Dominus dederit innocentiam in creatione illorum, ut habetur II Sent. d. 4, et per Augustin. in VIII, *De civit. Dei*, et similiter primi parentes fuerint originali justitia decorati, ut habetur a Theologis in 2, d. 29 et ab Anselmo lib. I de conceptu Virginali, requiritur quod si dicta gratia data non fuisset B. Virgini, suis servis ipsa inferior exstitisset ; quod est valde absonum. Et ideo est concludendum, quod etiam ipsa fuit in sua conceptione originali justitia insignita : quia non fuit minus chara Filio suo, quam angeli vel primi parentes. » Sic Bustus.

Digitized by Google

ἀνεδείχθης τεκοῦσα τὸν Ποιητὴν τῆς κτίσεως, ὃν ἀναπαύστως δυσώπει οἰκτειρῆσαι τοὺς δούλους σου, τοὺς σε δοξάζοντας.

Αἱ τὸν Χριστὸν ποθήσασαι γυναῖκές σε τὴν αὐτὸν ἀπορρήτως τετοκυῖαν, πανάχραντε Δέσποινα, γεγηθότι λογισμῷ περιεστῶσαι χορεύουσιν.

Ὁ Κύριος, ἄχραντε, ἐκ σοῦ ἀῤῥήτως σάρκα φορέσας, τῶν γυναίων τὸν κατάλογον ἐν ἀνδρείᾳ διηγωνισμένων προσήκατο.

Ῥυομένη ἡμᾶς πάσης φάνηθι τοῦ ἐχθροῦ βλάβης, Δέσποινα, δυσωποῦσα Χριστὸν τὸν μόνον εὔσπλαγχνον.

Σαρκὶ τεκοῦσα Χριστὸν τῆς σαρκός μου τὰ πάθη θανάτωσον, καὶ ζώωσον, Παρθένε, τὴν ψυχήν μου μεσιτείᾳ σου.

Ὁ σὲ παρθένον δείξας ἀγνὴν καὶ μετὰ τόκον, τῶν ἁγίων τε γυναικῶν τὰς χορείας ἀκολουθούσας ἔσχηκας.

Ὅλην σε πλησίον Θεοῦ, Παρθένε, χορὸς γυναικῶν ἠγάπησεν, καὶ σοῦ ὀπίσω προσηνέχθη τῷ Δεσπότῃ τῶν ὅλων συμφώνως μακαρίζων σε, ἄχραντε.

Φῶς τεκοῦσα φωταγώγησον, Παρθένε, τῆς ψυχῆς μου τὸ σκότος, διώκουσα τῆς ἁμαρτίας, ἁγνή, τὸ βορύτατον.

A fuisti, o Virgo, quadoquidem creaturarum omnium Factorem peperisti; quem assiduis obsecrationibus ora ut misereatur **287** servorum tuorum, qui gloriam tuam decantant.

Mulieres, quæ Christi amore ac desiderio flagrabant; circa te, o Domina immaculatissima, quæ eumdem ineffabiliter pepereras, læto animo stabant ac tripudiabant.

Dominus ille, qui ex te, o inviolata, ineffabiliter carne amictus est, mulieres, quæ strenue decertaverunt, virorum fortium catalogo ascripsit.

Libera nos, Domina, ab omni inimici læsione, tuis precibus apud Christum, qui solus habet viscera misericordiæ.

B Tu Virgo, quæ Christum in carne peperisti, carnis meæ passiones mortifica, et animam meam vivifica intercessione tua.

Ille, qui te virginem etiam post partum servavit, fecit ut sanctarum mulierum chori tripudiantes te sequerentur.

Te totam proximam Dei, o Virgo, mulierum chorus dilexit; et post te oblatus est omnium Domino, concordi voce te beatam appellans, o intemerata.

O Virgo casta, quæ lucem peperisti, illumina tenebras animæ meæ, gravissimam ac densissimam peccati caliginem eliminans.

ΗΧΟΣ ΒΑΡΥΣ.

Ἐκ τοῦ Κανόνος τῆς δευτέρας, εἰς τὸν Ὄρθρον. C

Ἡ προστασία τῶν πιστῶν, ἡ τῶν ἁμαρτανόντων ἐπιστροφὴ πρὸς Θεόν, Παρθένε πανάμωμε, τῇ πρεσβείᾳ σου, σῶσόν με.

Μόνη τεκοῦσα τὸν οὐράνιον βασιλέα, Παρθένε, ἐν ἐμοὶ τὴν βασιλεύουσαν ἁμαρτίαν κατάβαλε, καὶ οἰκτείρασα σῶσόν με.

Παρθένε ἁγνή, θεοχαρίτωτε, χαριτώσασα τὸν νοῦν μου τοῦ σκοτασμοῦ τῆς ἀγνοίας τελείως ἐλευθέρωσον.

Διὰ σοῦ, παναγία, σοὶ ποιήσας μεγαλεῖα ὁ Θεὸς ὑπὲρ λόγον ἐκ σοῦ ἐσωματώθη. Αὐτὸν οὖν ἱκέτευε ἐκτενῶς ὑπὲρ πάντων.

Ὑμνοῦμέν σε, ὑπερύμνητε Κόρη, κυήσασαν ὑπερύμνητον Λόγον, ὃν πᾶσαι αἱ δυνάμεις ἀνυμνοῦσιν D οὐρανῶν ἀσιγήτοις φωναῖς.

Βάτος σε προεικόνιζεν, ἁγνή, μὴ φλεγομένη· τὸ πῦρ γὰρ ἀπεκύησας τὸ ἄστεκτον, Παρθένε, διὸ βοῶ σοι· Κατάφλεξόν μου τὰ ὑλώδη παθήματα.

Ἐλύθη τῆς κατάρας τῷ τόκῳ σου, Παρθένε, τὸ ἀνθρώπινον φύραμα· τὸν γὰρ παντευλόγητον εὐλογίαις τὰ πάντα κοσμοῦντα ἐκύησας.

Φωτιστικαῖς φρυκτωρίαις τοῦ ἀνατείλαντος Λόγου ἐκ σοῦ, Παρθένε ἁγνή, καταύγασόν με ἁμαρτιῶν καὶ παθῶν ἐν τῷ σκότει καλυπτόμενον.

TONUS GRAVIS.

Ex Canone feriæ II, ad Matutinum.

O Virgo tota pura, patrocinium fidelium, peccatorum conversio ad Deum; salvum me fac intercessione tua.

O Virgo, quæ singulari privilegio cœlestem regem peperisti; peccatum quod in me dominatur, dejice, et miserata salvum fac me.

O Virgo casta, divina gratia plenissima, imple gratia mentem meam, et ab ignorantiæ tenebris perfecte libera me.

Per te, o sanctissima, Dominus, qui fecit tibi magnalia, **288** supra rationis captum ex te corporatus est. Eumdem ergo pro universis obnixe precare.

Laudamus te, o Puella omni laude superior, quæ Verbum superlaudabile peperisti, quod universæ cœlorum potestates vocibus nunquam silentibus collaudant.

Præfiguravit te, o casta, rubus, qui non comburebatur; ignem quippe intolerabilem peperisti, o Virgo, propterea clamo ad te: Materiales passiones meas comburc.

Per partum tuum, o Virgo, humana massa a maledictione soluta est: etenim illum totum benedictum peperisti, qui universa benedictionibus exornat.

Illuminativis splendoribus Verbi quod ex te velut sol exortum est, o Virgo casta, illumina me, peccatorum ac passionum tenebris involutum.

Digitized by Google

Ex Canone duplici feriæ III, ad Matutinum.

Animam meam plurimis peccatis vitiatam maleque affectam, medica manu cura, Virgo Dei genitrix, ut in vocibus gratiarum actionis cum impenso affectu semper glorificem te.

Peperisti, o sanctissima, incomprehensibile Verbum in carne secundum hypostasin nobiscum conversatum : quod tu precibus tuis assiduis precare pro salute eorum qui te semper beatam appellant.

Dei portam prævidit te propheta, o Virgo inviolata, per quam ipse, modo sibi tantum noto, transivit. Ideo tibi supplico, ut ipsa pœnitentiæ portas aperias mihi.

O Domina pura ac benedicta, quæ Deum inexplicabili modo peperisti ; eumdem, una cum divino ejus Baptista, precare incessanter pro nobis hujus vitæ miserils, in quas incidimus, circumdatis, peccatorumque nexibus detentis.

289 Ex puris sanguinibus tuis incarnatus est Dominus, qui pœnitentiam omnibus hominibus concedit intercessionibus tuis.

Legis umbræ per multas figuras demonstraverunt te, o purissima, Deum esse pariturarn : quem exora ut me ab omni iniquitate, corporisque passionibus liberet.

O solis nubes lucida, emitte mihi jubar luminis spiritalis veræ pœnitentiæ, et dispelle tenebras pravarum cogitationum : ut cum fide te laudem salutem fidelium.

Occide terrenam carnis meæ prudentiam, o Deipara casta et inviolata, quæ vitam peperisti, quæ mortem morte divina potentia penitus abolevit.

Ex profundo negligentiæ et effrenatarum libidinum educ me, o benignissima, quæ profundum piissimæ misericordiæ abyssum peperisti ; et lacrymarum fontem largire mihi.

Velut pluvia in uterum tuum Verbum descendit, quod deprecare, te oro, o Virgo sanctissima, ut malorum meorum, quorum nulla est mensura, fluxus exsiccet.

Volumen novum vidit te propheta, in quo Verbum Patris scriptum fuit. Unde te suppliciter oro, o casta, ut precibus tuis Jesum renovatorem universi roges ut scribat me in libro viventium.

Animam habens gravissimarum passionum morbo peremptam, supplex te rogo, o Domina, quæ partu tuo infernum peremisti, per pœnitentiæ actus vivifica me.

O Deipara firmissimum præsidium et spes Christianorum, in hora tremendi judicii esto advocata mihi, qui plura peccata perpetravi, et a gehenna formidabili libera me, inter oves quæ ad dexteram collocabuntur, annumerans.

Igne intolerabilis ardoris in visceribus suscepto, nullam, o Virgo, experta es combustionem. Ideo

Ἐκ τοῦ Κανόνος τῆς τρίτης, εἰς τὸν Ὄρθρον.

Τὴν πολλαῖς κεκακωμένην ἁμαρτίαις τὴν ψυχήν, Θεογεννῆτορ Παρθένε, θεράπευσον, ὅπως ἐν φωναῖς εὐχαριστίας ἐκτενῶς ἀεὶ δοξάζω σε.

Τέτοκας, παναγία, τὸν ἀπερίληπτον Λόγον σαρκὶ καθ' ὑπόστασιν ἡμῖν προσομιλήσαντα· τοῦτον πάντοτε δυσώπει σῶσαι τοὺς πιστῶς σε ἀεὶ μακαρίζοντας.

Πύλην Θεοῦ προεῖδεν ὁ προφήτης, δι' ἧς αὐτὸς διῆλθε καθὼς οἶδε, Παρθένε ἄχραντε· διό σε ἐκδυσωπῶ, μετανοίας πύλας αὐτή μοι ἄνοιξον.

Εὐλογημένη, ἡ Θεὸν ἀνερμηνεύτως τεκοῦσα, σὺν τῷ θείῳ τούτου βαπτιστῇ δυσώπει, ἁγνή, ἀπαύστως, Δέσποινα, ὑπὲρ ἡμῶν τῶν συμφοραῖς περιπιπτόντων τοῦ βίου καὶ συνεχομένων ἁμαρτήμασιν.

Σεσάρκωται ἐξ αἱμάτων σου ἁγνῶν ὁ Κύριος τὴν μετάνοιαν βροτοῖς δωρούμενος πᾶσι μεσιτείαις σου.

Νόμου σκιαὶ πολυειδῶς τὴν τεξαμένην τὸν Θεὸν ἐδήλωσαν, ὃν ἱκέτευε, πανάμωμε, πάσης ἀνομίας με καὶ παθῶν ῥυσθῆναι τοῦ σώματος.

Ἡ τοῦ ἡλίου νεφέλη φωτεινή, λάμψον μοι φῶς νοερὸν τῆς ἀληθοῦς μετανοίας, καὶ ἀπέλασον σκότος τῶν πονηρῶν λογισμῶν, ἵνα πίστει ὑμνῶ σε ὡς σωτηρίαν πιστῶν.

Νέκρωσον τῆς σαρκός μου τὸ γεῶδες φρόνημα, Θεοτόκε, ζωὴν ἡ κυήσασα, θανάτῳ τὸν θάνατον παντελῶς θείᾳ δυναστείᾳ, ἄχραντε σεμνή, ἀφανίσασα.

Βυθοῦ με ῥᾳθυμίας τῶν ἀμετρήτων παθῶν, ἡ τὸν βυθὸν εὐσπλαγχνίας τεκοῦσα, ἀνάγαγε, ἀγαθή, καὶ δακρύων πηγήν μου δώρησαι.

Ὡς ὑετὸς ἐν γαστρί σου ὁ Λόγος κατέβη, ὃν αἴτησαι, παναγία Παρθένε, τὰ ῥεύματα ξηρᾶναι τῶν ἀμέτρων μου κακῶν, ἱκετεύω σε.

Τόμον καινόν σε προφήτης ἔβλεψεν, ἐν ᾧ Λόγος γέγραπται Πατρός· ὅθεν, ἁγνή, ἐκδυσωπῶ, βίβλῳ με ζώντων γραφῆναι ἱκέτευε τὸν καινουργὸν τοῦ παντὸς ἐκδυσωπῶν Ἰησοῦν.

Νενεκρωμένην ψυχὴν κεκτημένος ταῖς χαλεπαῖς παραβάσεσι, σὲ τὴν νεκρώσασαν ᾅδην τῷ τόκῳ σου ἱκετεύω, Δέσποινα, μετανοίας τρόποις με ζώωσον.

Θεοτόκε ἡ βεβαία προστασία καὶ ἐλπὶς Χριστιανῶν, ἐν τῇ ἡμέρᾳ τῇ φρικτῇ πρόστηθί μοι ἐπταικότι πολλά, καὶ ῥῦσαι τῆς γεέννης τῆς φοβερᾶς, προβάτοις με δεξιοῖς ἀριθμήσασα.

Ὑπῆρξας ἄφλεκτος δεξαμένη ἐν σπλάγχνοις τὸ πῦρ τὸ ἄστεκτον, ὦ Παρθένε· διό με ἐξάρπασον τοῦ

Digitized by Google

πυρὸς τοῦ ἀσβέστου, δροσίζουσά με νῦν γνησίας μετανοίας πεοικαλλέσι τρόποις.

Φορέσας με ὁ Κύριος ἐκ σοῦ προῆλθεν, ἁγνή. Αὐτὸν οὖν ἐκδυσώπησον στολὴν φεδρῦναί με φωτὸς, Παρθένε, ἐκδυθέντα τῶν παθῶν νῦν τὸν σάκκον τὸν βαρύτατον.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον, θεοχαρίτωτε, τὴν σκοτισθεῖσαν ψυχήν μου ταῖς παραβάσεσι φώτισον, δέομαι, καὶ σκότους αἰωνίου ἐλεύθερόν με δεῖξον, ὅπως σε μεγαλύνω καὶ δοξάζω, ἀειμακάριστε.

Ἐκ τοῦ Κανόνος τῆς τετάρτης, εἰς τὸν Ὄρθρον.

Ῥήγνυται γραμματεῖον τὸ τοῦ Ἀδὰμ, ἀνεβόα ἡ πάναγνος Δέσποινα, λόγχῃ, Υἱὲ, τρωθέντος σου· ὅθεν ὑμνῶ σου τὸ πάθος πᾶσι τὸ πηγάσαν ἀπάθειαν, Δέσποτα.

Τὸν ἐθελόθυτον ἀμνὸν ἐπὶ τὸ πάθος ἐλθόντα καθορῶσα, μήτηρ καὶ ἀμνὰς, δακρύων πηγὰς προχέεις λέγουσα· Τί τοῦτο, τέκνον ἱερόν; πῶς θανατοῦσαι, ζῶσαι πάντας τοὺς θανέντας προμηθούμενος;

Ἱκετηρίαν ὑπὲρ ἡμῶν τῶν σε ὑμνούντων, Θεοτόκε, ποίησον, ὅπως εὕρωμεν βοήθειαν καιρῷ περιστάσεως, οἱ αὐτοῦ τὸ πάθος δοξάζοντες.

Ποίοις ὄμμασι βλέψω ὄμμα τὸ ξηραῖνον πάσας ἀβύσσους, Υἱέ μου, σβεννύμενον, σταυρῷ κρεμαμένου σου; ἡ ἁγνὴ Παρθένος ἐβόα, θρήνοις ἑαυτὴν συντα- C ράσσουσα.

Νέον βρέφος τίκτεις τὸν πρὸ τῶν αἰώνων ἀχρόνως Πατρὶ συν[εν]ούμενον, Θεοτόκε, νεοποιοῦντα σταυρῷ τὸ ἀνθρώπινον πεπαλαιωμένον ἁμαρτίαις, τῇ τοῦ ἀρχεκάκου συμβουλῇ, πανάμωμε.

Πῶς οὐ πενθήσω, γλυκύτατον τέκνον, ἐπὶ σταυροῦ θεωροῦσά σε; πῶς οὐ θρηνήσω, ἀδίκως σου πάσχοντος, κριτὰ δικαιότατε; ἡ Παρθένος Μήτηρ ἐφθέγγετο.

Νόμου σε πάλαι κιβωτὸς προδιετύπου, οὐ πλάκας ἔνδον φορέσασα, ἀλλὰ Χριστὸν τὸν νομοδότην, ἁγνὴ, ὃν ἄνομος ἐν σταυρῷ λαὸς προσήλωσεν, ἡμᾶς βοῶντας σώζοντα. Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φῶς νοητὸν ἐν σταυρῷ ἀπήστραψεν ὁ σὸς, πανάχραντε, Υἱὸς, καὶ ἀρχὰς τὰς τοῦ σκότους παρεδειγμάτισε, πανάμωμε, τοῦ ἡλίου ἡμαύρωσε φέγγος, καὶ πιστῶν τὸ πλήρωμα, ἁγνὴ, κατεφώτισεν.

Ἐκ τοῦ Κανόνος τῆς πέμπτης, εἰς τὸν Ὄρθρον.

Ἄχραντε Θεοτόκε, σὺν ἀσωμάτοις ἀγγέλοις, προφήταις, καὶ μάρτυρσι, καὶ ἀποστόλοις πρέσβευε, ὅπως ἄφεσιν πταισμάτων λάβωμεν, Παρθένε, καὶ πλούσιον ἔλεος.

Ὁ τοὺς ἀΰλους λειτουργοὺς, Θεοτόκε, ποιήσας ἐκ σοῦ γεγέννηται δι' ἔλεον ἄφατον ἀνθρώποις καθορώμενος.

A ab igne inexstinguibili eripe me, rorem spargens super me, veræ **290** scilicet pœnitentiæ actus, quibus decoretur anima mea.

Veste carnis meæ indutus Dominus, ex te, o casta, prodivit. Eumdem ergo deprecare, o Virgo, ut me stola lucis exornet, gravissimo passionum mearum nunc sacco spoliatum.

O divina gratia cumulatissima, quæ divinam lucem peperisti; illumina, quæso, animam meam transgressionibus obtenebratam, et ab æternis tenebris libera me, ut magnificem atque glorificem te, o semper beatissima.

Ex Canone feriæ IV, *ad Matutinum.*

O Fili, exclamabat castissima Domina, scinditur B Adæ chirographum, dum tu lancea vulneraris: quamobrem passionem tuam, Domine, laudibus extollo, ex qua impassibilitatis fons omnibus emanavit.

Agnum, qui ad passionem venerat voluntarie sacrificandus, aspiciens mater et agna, lacrymarum fontes effundens, aiebat: Quodnam sacrificium est hoc, o fili? quomodo mortem subis, qui omnes mortuos vivificare disponis?

Offer supplices preces pro nobis, qui laudes tuas celebramus, o Deipara; ut tempore adversitatis inveniamus auxilium, dum nunc Filii tui passionem glorificamus.

Virgo casta, lamentis sese afflictans, et discrucians, has voces effundebat: Fili mi, quibus oculis C intueri possim exstinctum oculum illum, qui universas exsiccat abyssos, dum tu suspenderis in cruce?

Novum infantem paris, o purissima Deipara, illum scilicet qui ante sæcula sine tempore simul cum Patre esse intelligitur, qui humanum genus principis malorum astu et consilio peccatis inveteratum, cruce sua novitati restituit.

291 Quomodo non lugebo, dulcissime fili, dum video te cruce pendentem? quomodo non conquerar, dum tu injuste pateris, o justissime judex? Hæc Virgo Mater loquebatur.

Olim te legalis arca præfigurabat, o pura, quæ non duas tabulas, sed ipsum in te gessisti legislatorem Christum, quem populus legis violator cruci D affixit, et qui salvat nos clamantes: Omnia opera Domini, Dominum benedicite, etc.

Luce spiritali in cruce fulguravit tuus Filius, o intemeratissima Virgo: et tenebrarum principes palam traduxit: solis splendorem obscuravit, et fidelium multitudinem illuminavit.

Ex Canone duplici feriæ V, *ad Matutinum.*

O Deipara Virgo illibata, una cum angelis incorporeis, prophetis, martyribus, et apostolis intercede pro nobis, ut peccatorum remissionem et copiosam misericordiam consequamur.

Ille qui immateriales spiritus ministros suos fecit, ex te o Deipara genitus est propter ineffabilem misericordiam humanis oculis expositus.

Digitized by Google

Qui cœlestes potestates verbo creasti; qui prophetis, discipulis, atque omnibus martyribus gratiam largitus es, tu, Deus, eorumdem, et immaculatæ matris tuæ intercessionibus, universis salutem, et misericordiam, utpote benignissimus ac piissimus concede.

A Ὁ τὰς δυνάμεις οὐρανῶν καθυποστήσας τῷ λόγῳ, ὁ προφήταις χάριν παρασχὼν, καὶ τοῖς μαθηταῖς, καὶ πᾶσι μάρτυρσι, τούτων πρεσβείαις, ὁ Θεὸς, καὶ τῆς ἀχράντου Μητρός σου, σῶσον πάντας, οἰκτειρον ὡς εὔσπλαγχνος.

O forceps, quæ divinum carbonem in sacris visceribus tuis absque ulla prorsus combustione suscepisti, combure, o castissima, peccata nostra.

Ἡ λαβὶς ἡ τὸν θεῖον ἄνθρακα δεξαμένη ἐν τοῖς θείοις σου σπλάγχνοις, μηδ' ὅλως φλεχθεῖσα, κατάφλεξον ἡμῶν, πάναγνε, τὰ πταίσματα.

O Dei Mater electa (32), una cum sacris apostolis, martyribus et prophetis deprecare, ut a periculis, tribulationibus, **292** et peccatis liber esse possim.

O immaculatissima, quæ carentem tempore in carne peperisti, eumdem roga ut a temporalibus passionibus liberet nos, qui laudes tuas hymnis celebramus.

Ἐκύησας ἐν σαρκὶ τὸν ἄχρονον, ὃν δυσώπει τῶν χρονίων παθῶν ἡμᾶς λυτρώσασθαι ὑμνοῦντάς σε, B πανάμωμε.

Domine Deus meus, qui ex innupta puella natus es, ejusdem et apostolorum tuorum intercessionibus, propitiare peccatis meis; et a futuro supplicio libera me.

Κύριε ὁ Θεός μου, ὁ τεχθεὶς ἐκ κόρης ἀπειρογάμου, ταύτης παρακλήσεσι καὶ τῶν ἀποστόλων σου, ἱλασμὸν πταισμάτων μοι δίδου, καὶ μελλούσης ῥῦσαι κολάσεως.

O Maria Domina omnium creaturarum, et Dei genitrix, libera miserum cor meum ab inimico, qui impudenter quærit in illud exercere dominium.

Μαρία Κυρία πάσης κτίσεως, ἐχθροῦ ἀναιδῶς κυριεύειν ζητοῦντος τὴν ταπεινὴν καρδίαν μου, Θεογεννῆτορ, λύτρωσαι.

Illumina, o lucis genitrix, animam meam passionum tenebris obductam; et cum apostolis, prophetis, atque martyribus deprecare, ut omni peccato, ab omni læsione atque improbitate inimici server incolumis.

Ἡ τὸ φῶς τεκοῦσα, φώτισον τὴν ἐσκοτισμένην ψυχήν μου τοῖς πάθεσι, καὶ δυσώπει σὺν ἀποστόλοις, προφήταις, καὶ μάρτυρσι, πάσης ἁμαρτίας, πάσης βλάβης, πάσης τῆς κακίας τοῦ ἐχθροῦ ῥυσθῆναί με.

Medere, o purissima, infelici animæ meæ incurabiliter ægrotanti, ex mundanæ hujus vitæ fraudibus, et multorum peccatorum profluvio.

C Ἴατρευσον ἀνιάτως νοσοῦσαν, πανάμωμε, τὴν ἀθλίαν ψυχήν μου τοῦ βίου ταῖς ἀπάταις, καὶ πολλῶν ἁμαρτιῶν ἐπικλύσεσιν.

Cum angelis, apostolis, et martyribus, Filium tuum ac Dominum roga, o mundissima, ut a tentationibus, periculis, et angustiis eruantur servi tui.

Μετὰ μαρτύρων ἀγγέλων, καὶ ἀποστόλων, πανάμωμε, τὸν σὸν Υἱὸν ἐκδυσώπει, καὶ Κύριον, σωθῆναι τοὺς δούλους σου πειρασμῶν, κινδύνων καὶ θλίψεων.

O casta Deipara undequaque laudabilis, omnis lingua cum fide glorificat te, quæ es gloria et decus generis nostri, et eorum qui errant, directio.

Ἄφλεκτος τεκοῦσα τὸ πῦρ διεφυλάχθης, Παρθένε ἀπειρόγαμε· διὸ ἱκέτευε ὃν ἔτεκες, σὺν ἀσωμάτων χοροῖς, σὺν ἀποστόλοις, τοὺς πιστῶς σωθῆναι ψάλλοντας· Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ignem peperisti, et incombusta mansisti, o Virgo maritalis tori nescia: propterea illum exora quem peperisti, una cum angelorum choris, atque apostolis, ut salvos faciat eos, psallunt fideliter: Omnia opera Domini, laudate Dominum, etc.

Omnis lingua laudat et glorificat te; o Virgo Dei D Ὑμνεῖ σε πᾶσα γλῶσσα δοξάζουσα, Θεὸν τὸν ὑπερ-

(32). Opportune in hoc S. Josephi elogium B. Virgini tributum Bartholomæus Pisanus *De laud. Virg.* lib. I fruct. 7, dum ait: « Sapiens debet eligere quod est perfectius et melius: sed Christus est Sapientia increata, et cum melius sit, et eligibilius habere Matrem sine omni macula, quam cum macula, et potuit eam sic habere. Igitur, » etc. Opportune etiam Bernardinus de Busto in *Mariali* serm. 1, de concept. parte III, dum inquit: « Cum Christus ab æterno elegerit B. Virginem in Matrem, juxta illud quod canitur, *Elegit eam Deus, ac prælegit eam;* concludendum est quod ipse, cui omnia futura erant præsentia, a cunctis malis, et damnis peccati originalis eam voluit præservare, ut boni filii debitum adimpleret. » Et ibidem serm. 2, parte III: « Quos Deus ad aliquod elegit, ita præparat, et disponit, ut ad illud Apostoli II ad Corinth. III: *Idoneos nos fecit ministros Novi Testamenti.* Sapiens enim regulator ea, quæ sunt ad aliquem finem debet regulare secundum ordinem ipsius finis, juxta dictum philosophi II Metaph. Et probatur per c. *Prodest* 23. q. quia princeps, assumendo aliquem ad officium suum, dicitur velle dispensare cum eo meliori modo, quo potest. Item: Qui vult consequens vult etiam omne necessarium antecedens: et crimen est sacrilegii dubitare, an is dignus sit quem imperator elegerit? Sed gloriosa Virgo Maria fuit electa divinitus ab æterno ut esset Mater Dei, ipsa dicente illud Eccli. XXIV, *Ab initio et ante sæcula creata sum.* Et Proverb. VIII. *Ab æterno ordinata sum, et ex antiquis antequam terra fuerit,* quæ omnia attribuit Ecclesia B. Virgini. Ergo Deus per gratiam suam eam ad tam mirabile opus idoneam præservavit. » Sic ille.

Digitized by Google

ὑμνητον τέξασαν, Παρθένε θεόνυμφε, ὃν δυσώπει ἀπαύστως σῶσαι τὰς ψυχὰς ἡμῶν.

Φωτεινοτάτην λαμπάδα μέσον σε ἔχουσαι χοροστασίαι μαρτύρων, καὶ ἀποστόλων, ἀγνὴ, φῶς ἀπαστράπτουσαν ἐνθέων χαρισμάτων φωτίζονται ἀΰλως, καὶ πάντας τοὺς ἐν πίστει μεγαλύνοντάς σε φωτίζουσιν.

Φέρεις τὸν φέροντα πάντα ἐν ταῖς ἁγίαις χερσί σου, ὃν ἐκδυσώπει, ἁγνὴ, τοῦ ἀλλοτρίου τῆς κακουργίας ἡμᾶς ἀχειρώτους περισώζεσθαι.

Ἐκ τοῦ κανόνος τῆς παρασκευῆς, εἰς τὸν Ὄρθρον.

Τὸν ἀνατείλαντα ἐκ σοῦ ὑπερβολῇ εὐσπλαγχνίας ἐν σταυρῷ καθορῶσα θρηνῳδεῖς, Δέσποινα, τοῦτον δοξάζουσα.

Λύσιν ἡμῖν ὀφλημάτων, ἁγνὴ Παρθένε, δίδου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἡ τὸν σταυρῷ παγέντα, ἄνθρωπον γενόμενον, Θεὸν Λόγον κυήσασα.

Ἀπεκύησας ἄνευ σπορᾶς, Παρθένε, τὸν Λόγον, τὸν σταυρῷ ἐξαφανίσαντα τὴν φθορὰν ἀγαθότητι.

Ἡγίασεν ὁ Θεὸς τὴν μήτραν σου, ἁγία σεμνὴ, κατοικήσας ἐν αὐτῇ, καὶ ἐν σταυρῷ ὑψούμενος τὴν κτίσιν συνανύψωσεν.

Ὑμνολογεῖς τὸν ἐκ σοῦ σαρκωθέντα, καὶ θρηνῳδεῖς ἐν σταυρῷ ὑψωθέντα, αὐτὸν κατανοοῦσα, Μητροπάρθενε ἁγνὴ, παναμώμητε.

Ἡ παναγία πανάγιον Λόγον τὸν ἐξ αὐτῆς ἀνατείλαντα, ἐν τῷ ἁγίῳ σταυρῷ ἀνυψούμενον, καὶ καθαγιάζοντα τοὺς βροτοὺς ὁρῶσα, ὠδύρετο.

Ἁγίων τάγματα λιτανεύουσι, Κόρη, τὸν ἐκ γαστρός σου προελθόντα Δεσπότην, τὸν δείξαντα ἐν σταυρῷ τούτοις τρίβον ἀθλήσεως, ἁγνὴ, καὶ δοξολογοῦσιν ὡς πάντων βασιλίδα.

Φιλάγαθε τῶν Χερουβὶμ ἁγιωτέρα, ἡ Θεοῦ Θεὸν Λόγον σαρκὶ ἀποτεκοῦσα, τὸν ἀνυψωθέντα σαρκὶ σταυρῷ ἑθελουσίως, ὑπὲρ πάντων ἐκτενῶς τοῦτον πρέσβευε.

Ἐκ τοῦ κανόνος τοῦ Σαββάτου, εἰς τὸν Ὄρθρον.

Ὑπεραγία ἡ Θεὸν ὑπεράγιον Λόγον ἀποκυήσασα, ἁγίασον ἅπαντας τοὺς πίστει σε δοξάζοντας.

Μὴ κενώσας τοὺς κόλπους τοὺς πατρικοὺς ὁ Λόγος,

A sponsa (33), quæ Deum superlaudabilem peperisti; quem tu supplex roga incessabiliter pro salute animarum nostrarum.

Martyrum atque apostolorum chori habentes te, o Virgo, in medio, tanquam fulgentissimam lampadem, divinorum **293** charysmatum radios effundentem, spiritualiter illuminantur; ipsi vero eos omnes, a quibus tu magnificaris, illuminant.

Portas eum, qui portat universa, in tuis manibus divinis, o Virgo. Ipsum roga, ut ab alieni malignitate nos inutiles et nihil valentes tueatur.

Ex Canone feriæ VI *ad Matutinum.*

B Cum videres, o Domina, illum, qui ex te exortus fuerat, ob excessum misericordiæ suæ in cruce pendentem, in lamenta erumpens, eumdem glorificabas.

Maternis tuis intercessionibus concede nobis debitorum remissionem, o Virgo, quæ Deum Verbum hominem factum et cruci affixum peperisti.

Sine semine Verbum genuisti, o Virgo, qui per crucem ex sua benignitate corruptionem abolevit.

Sanctificavit Deus vulvam tuam habitans in illa, o Virgo veneranda; et in cruce exaltatus, simul creaturas exaltavit.

C Hymnis collaudas illum qui ex te incarnatus est; et in cruce videns exaltatum, lamentis prosequeris; o mater Virgo casta, omni laude decoranda.

Cum sanctissima videret sanctissimum Verbum, quod ex ipsa solis instar exortum fuerat, in sancta cruce exaltatum, atque homines sanctificantem; in lamenta fletusque erumpebat.

Sanctorum exercitus deprecantur, o castissima puella, Dominum illum, qui ex utero tuo processit; et qui in cruce ostendit illis viam strenuæ decertationis; teque ut omnium Reginam glorificant.

D O bonorum amica, sanctior Cherubim, quæ Deum Dei Verbum in carne progenuisti, qui et in cruce voluntarie **294** secundum carnem exaltatus est: apud eumdem pro universis strenue intercede.

Ex Canone Sabbati, ad Matutinum.

O omnium sanctorum sanctissima, quæ Deum Verbum omni sanctitate sanctiorem peperisti, sanctifica omnes qui glorias tuas cum fide decantant.

Verbum e sinu Patris nunquam discedens

